SISMANOGLIO
MILANO

ВІБЛІОѲНКН

ДЭМВ'

SISMANOGLIO

2565

ΜΑΝΟΥΗΛ ΙΩ. ΓΕΔΕΩΝ

ΜΕΓΑΛΟΥ ΧΑΡΤΟΦΥΛΑΚΟΣ ΤΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ

ΒΥΖΑΝΤΙΝΟΝ ΕΟΡΤΟΛΟΓΙΟΝ

ΜΝΗΜΑΙ ΤΩΝ ΑΠΟ ΤΟΥ Δ΄ ΜΕΧΡΙ ΜΕΣΩΝ ΤΟΥ ΙΕ΄ ΑΙΩΝΟΣ

ΕΟΡΤΑΖΟΜΕΝΩΝ ΑΓΙΩΝ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΣΥΓΓΡΑΜΜΑ ΣΥΣΤΗΘΕΝ

διὰ πατριαρχικῆς καὶ συνοδικῆς ἐγκυκλίου ἐπιστολῆς
τοῖς σεβασμιωτάτοις ἀρχιερεῦσι καὶ ταῖς ἱεραῖς μοναῖς
ἀπὸ 16 ἰουλίου 1898 καὶ ἀριθμ. 4239 - 2452

ΒΙΒΛΙΟΘΗΚΗ ΜΕΓΑΛΟΥ ΜΕΛΕΤΙΟΥ ΣΑΚΚΟΥΛΙΔΟΥ ΟΙΚΟΝΟΜΟΥ 1942

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

(*ἀνετυπώθη ἐκ τῶν τόμων ΚΕ΄ καὶ ΚΣΤ΄ τοῦ Ἑλλην. Φιλολ. Συλλόγου*)

ΑΩΥΘ

ΤΑΙΣ ΕΙΚΟΣΙΝ ΙΕΡΑΙΣ ΜΟΝΑΙΣ

ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ ΑΘΩ

ἕνεκα τῆς ἐν ταῖς βιβλιοθήκαις αὐτῶν μελέτης
ἁγιολογικῶν κειμένων

ΑΦΙΕΡΟΥΤΑΙ ΤΟ ΣΥΓΓΡΑΜΜΑ

SISMANOGLIO

Τοῖς φιλίστορσιν ἀναγνώσταις

Πρὸ ἑπταετίας ἀγγελθείσης τῆς προσεχοῦς ἐκδόσεως τοῦ μετὰ χεῖρας συγγράμματος, ὁ παναγιώτατος οἰκουμενικὸς πατριάρχης κύριος Κωνσταντῖνος Ε΄, τὴν εὐαγῆ τῶν Μιτυληναίων Ἐκκλησίαν τότε κοσμῶν, προθύμως ἑκάστοτε τὰ κατὰ τὰς ἱστορικάς μου μελέτας διαπυνθανόμενος καὶ μαθὼν τὴν τοῦ Ἑορτολογίου συγγραφὴν, ἡυδόκησε αὐθορμήτως ἵνα προκαταβάλῃ τἀντίτιμον ἀντιτύπων δέκα. Προθυμότατα δ' ἐπίσης, ὁ τὰς μελέτας μου ταύτας εὐχαῖς αὐτοῦ ἐπιρωννύων καὶ στοργῇ θάλπων παναγιώτατος πατριάρχης καὶ πρώην ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως κύριος Ἰωακεὶμ Γ΄ ὁ ἀπὸ Θεσσαλονίκης ὑπεβάστασεν ὑλικῶς τὰ ἀναλώματα πρὸς μεταγραφὴν ὕλης ἀρκετῆς ἀπὸ κωδίκων ἁγιορειτικῶν.

Τῆς ἐκτυπώσεως τοῦ παρόντος συγγράμματος (ἀρξαμένης ἐν ἔαρι τοῦ 1895) μόλις πρὸ μικροῦ συμπληρωθείσης, ἡγοῦμαι καθῆκον ὅπως ὁμολογήσω δημοσίᾳ τὴν ἐμὴν εὐγνωμοσύνην τοῖς δυσὶ παναγιωτάτοις πατριάρχαις, ὡς καὶ τῷ μακαριωτάτῳ πατριάρχῃ πρώην Ἱεροσολύμων κυρίῳ Νικοδήμῳ. Ἀλλὰ πρὸς ὑλικὴν ὑποστήριξιν εὑρὼν προθυμοτάτους τοὺς ἐμοὶ πολυτίμους πατέρας καὶ φίλους ἀναδειχθέντας ἀείποτε μητροπολίτας Προύσης κ. Ναθαναὴλ καὶ Γρεβενῶν κ. Δωρόθεον, πλέον τῶν τεσσαράκοντα συνδρομητῶν προμηθεύσαντας, ἀναφέρω καὶ τούτων εὐμνήμων τὴν φιλίστορα προθυμίαν. Ἀλλ' ἐπὶ τῇ αὐτῇ προθυμίᾳ διατελῶ εὐγνώμων τῷ τε σεβασμιωτάτῳ καρδιναλίῳ Langénieux, ἀρχιεπισκόπῳ Reims, καὶ τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ τῆς Ῥωμαγησίας Ἐκκλησίας Emmanuel Auvraiy τῷ φιλέλληνι ἀκαδημαϊκῷ, μετὰ στοργῆς ἀντιλαβομένους τῆς ἐκδόσεως. Ἡ διατράνωσις τῆς πρὸς πάντας, ὧν ἐμνήσθην, εὐγνωμοσύνης ἐπιβάλλεται, καθ' ὅσον μάλιστα πρὸ πενταετίας τἀντίτιμον καταβαλόντες ἀντιτύπων πολλῶν οὐδέποθ' ὑπέμνησάν μοι τὴν ὑπόθεσιν, ἀπεκδεχόμενοι τὴν τοῦ βιβλίου συμπλήρωσιν, εὐχῇ συντελεσθεῖσαν αὐτῶν τούτων.

διὰ τοῦτο δ' ἐν ἀρχῇ τοῦ προλόγου μιμνήσκομαι τῆς φιλίστορος πάντων προθυμίας· ἀλλ' ἐνταῦθα δέον ἵνα τάξω πρωτίστην πασῶν τὴν φιλογενεστάτην καὶ πατρώζουσαν ὁμογενῆ κοινότητα Δαρδανελλίων, ὡς καὶ τοὺς ἐν Γανοχώροις συνδρομητάς, καὶ ἰδίᾳ τὸν ἀκούραστον (ἐν Χώρᾳ) κτίτορα καὶ ἡγούμενον τῆς μονῆς Ἰωάννου τοῦ Θεολόγου κ. Διονύσιον Καλαράτην. Εὐγνωμονῶ ἐπίσης τῇ ἱερᾷ ρωσσικῇ μονῇ τοῦ ἁγίου Παντελεήμονος καὶ τῷ σεβαστῷ καὶ φίλῳ πατρὶ ἀρχιμανδρίτῃ κ. Χρυσάνθῳ Βατοπαιδινῷ: πᾶσι διὰ τὴν ἀποτελεσματικὴν ὑπὲρ τοῦ βιβλίου ὑλικὴν βοήθειαν.

Ταῖς ἱεραῖς μοναῖς τοῦ Ἁγίου Ὄρους ἀνατίθεται τὸ βιβλίον ἀντὶ τῆς προθυμίας, μεθ' ἧς παρέσχον μοι πᾶσαι πρὸς μελέτην τὰ χειρόγραφα αὐτῶν, ἅτε τοιαύτης τινος ἀπ' αὐτῶν ὑποστηρίξεως ζητηθείσης.

Αἱ σελίδες τοῦ βιβλίου 9—48 ἐξετυπώθησαν ἐν ἔαρι τοῦ 1895, αἱ δὲ μέχρι 240 ἐν θέρει τοῦ 1896, καὶ αἱ κατόπιν οὐ πρὸ πολλοῦ· σημειῶ τοῦτο πρὸς διαφώτισιν τῶν μελλόντων κρῖναι τὸ σύγγραμμα, ὡς πρὸς τὴν ἀναδίφησιν τῶν·

ἐν τύποις βοηθημάτων. Εὐαρέστως εἶδον τὴν περὶ αὐτοῦ κρίσιν τοῦ τε ἱεροκήρυκος καὶ διδάκτορος Ph. Meyer ἐν Theologischen Litteraturzeitung καὶ τοῦ φίλου πατρὸς Palmieri ἐν τῷ Bessarione τῆς Ῥώμης εὐμενῶς ἀποφηναμένων περὶ τοῦ «Βυζαντινοῦ Ἑορτολογίου» μου, ὡς ἀνοίγοντος νέους ὁρίζοντας εἰς τὴν ἐπιστήμην.

Ὁμολογῶ ὅτι σχεδὸν εἰκοσαετίαν ἐπεδιδόμην εἰς συλλογὴν ὕλης καὶ ἐπὶ πολὺ μελετήσας ἐσχημάτισα τὴν πεποίθησιν ὅτι ἑκάστη μονή, ἑκάστη κατὰ τόπον ἐκκλησία, καὶ ἕκαστος ναὸς ἐπὶ βυζαντινῶν ἴδιον εἶχεν Ἑορτολόγιον. Ἐζήτησα δ' ὁρίσαι τίνων ἁγίων μνήμας ἐγέραιρον οἱ βυζαντινοὶ ἀπὸ τοῦ Δ΄ αἰῶνος ἄχρι τῶν μέσων τοῦ ΙΕ΄, ἐν Κωνσταντινουπόλει, κατ' ἀποδείξεις, ἃς παρέχεται ἡμῖν ἡ ὕπαρξις ναῶν, ἁγίων λειψάνων, ἢ θρησκευτικῶν κειμηλίων. Ὀλίγα μὲν μελετήσας χειρόγραφα μικρὸν ἔργον κατήρτισα, πολὺ δὲ κοπιάσας ἐλυπήθην ὅτι ἥκιστα κατενοήθην ὑπὸ τῶν νομιζόντων ἑαυτοὺς ἐπαΐοντας. Ὡς ἐγὼ πολλὰς σελίδας — ἴσως τριακοσίας χιλιάδας — μελετήσας ἐπείσθην περὶ τῆς ἀρχῆς τῶν μερικῶν Ἑορτολογίων, οὕτω πᾶς ἀμερόληπτος καὶ πεπαιδευμένος κριτής, πᾶς ἐπιστήμων ἀληθῶς ἐκτιμητὴς κόπων καὶ τῶν ἱστορικῶν μετὰ κόπους συμπερασμάτων ἔδει 'να κρίνῃ ἀντιβάλλων τὰ πορίσματα καὶ συμπεράσματά μου ταῖς πηγαῖς, ἃς παρατίθημι·

τοιοῦτοι κριταὶ δ' ἐγένοντό μοι οἱ τὴν Κεντρικὴν Ἐκκλησιαστικὴν Ἐπιτροπείαν τὴν ἐν τῷ Οἰκουμενικῷ Πατριαρχείῳ ἐργαζομένην ἀποτελοῦντες, εὐμενῶς καὶ μετ' αὐστηρότητος τὸ ἔργον κρίναντες, καὶ τὴν τῆς κρίσεως σύνταξιν ἐμπιστεύσαντες εἰς τὴν ἀριστοτέχνιδα γραφίδα τοῦ πολυΐδμονος Μ. πρωτοσυγκέλλου κ. Χρυσοστόμου. Ἡ τῆς Κεντρ. Ἐκκλησ. Ἐπιτροπείας Ἔκθεσις ἐκφέρουσα τὴν κρίσιν αὐτῆς, οἵαν ἀπεξεδέχετό τις ἀπὸ λογίμων κληρικῶν, δεόντως συνέστησε τῇ Ἱερᾷ Συνόδῳ, ἥτις Ἐγκύκλιον ἀπέλυσε γράμμα τοῖς τε σεβασμ. μητροπολίταις, τοῖς θεοφιλ. ἐπισκόποις καὶ τοῖς ὁσιολογ. ἡγουμένοις, ὡς ἀπέλυσε συστατικὴν γραφὴν τοῖς μὲν μετόχοις παιδεύσεώς τινος κληρικοῖς τῆς ἀρχιεπισκοπῆς Κωνσταντινουπόλεως ὁ Μ. πρωτοσύγκελλος τοῦ Πατριαρχείου, τοῖς δὲ κληρικοῖς τῆς Ἐκκλησίας Χαλκηδόνος, εὐμενεῖ ἐντολῇ τοῦ σεβ. μητροπολίτου κ. Γερμανοῦ, ὁ πρωτοσύγκελλος τῆς μητροπόλεως ταύτης.

Ἐὰν παρ' ἑτέρων φιλοπόνων καὶ λογίμων ὁμογενῶν γένωνται νεώτεραι τῶν ἐμῶν μελέται ἐπὶ τῶν ἐν βιβλιοθήκαις ἰδιωτικαῖς καὶ δημοσίαις ἀνεκδότων ἢ ἀμελετήτων ἑλλην. Μηναίων καὶ Συναξαριστῶν, ἡ μὲν ἁγιολογικὴ βιβλιοθήκη πλουτισθήσεται, ἡ δὲ βυζαντινὴ ἱστορία, ἐκκλησιαστικὴ καὶ κοσμική, καὶ ἡ τοπογραφία ἔν τισι μέρεσι συμπληρωθήσεται. Τούτου τοῦ χρησίμου πᾶσι τοῖς ἐπιστήμοσι σκοποῦ καταστοχάζεται τὸ παρὸν «Ἑορτολόγιον», παρορμῶν πρὸς εὐρυτέρας σπουδάς, εὐχῆς δ' ἔργον ὅτι καὶ προστασίας *ἠθικῆς πρὸ πάντων* ἔτυχε παρὰ τῷ ἀνωτέρῳ κλήρῳ, δεικνύοντι λαμπρῶς πόσον ἐκτιμᾷ καὶ σέβεται μελέτας καὶ μόχθους πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν καταβαλλομένους.

Ἐν Κωνσταντινουπόλει, τῇ 1 μαΐου 1899

ΜΑΝΟΥΗΛ Ι. ΓΕΔΕΩΝ

Μ. Χαρτοφύλαξ τῆς τοῦ Χριστοῦ Μ. Ἐκκλησίας.

Κωνσταντῖνος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ἀριθμ. {Πρωτ. 4,239 / Διεκπ. 2,452}

† Ἱερώτατε μητροπολῖτα . . . . . ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος κὺρ . . . . . χάρις εἴη τῇ αὐτῆς ἱερότητι καὶ εἰρήνη παρὰ Θεοῦ. Ὁ τὰς ἱστορικὰς μελέτας τοῦ μέσου αἰῶνος εἰδικῶς καὶ εὐδοκίμως καλλιεργῶν ἐλλογιμώτατος κ. Μανουὴλ Ι. Γεδεών, Μ. Χαρτοφύλαξ τῆς καθ' ἡμᾶς Μ. τοῦ Χριστοῦ Ἐκκλησίας, τύποις πρό τινος χρόνου λόγου ἄξιον ἐξέδοτο φιλοπόνημα, γενικώτερον μὲν φέρον τίτλον «**Βυζαντινὸν Ἑορτολόγιον**» ἤτοι «**Μνῆμαι τῶν ἀπὸ τοῦ Δ΄ μέχρι τῶν μέσων τοῦ ΙΕ΄ αἰῶνος ἑορταζομένων ἁγίων ἐν Κωνσταντινουπόλει**», εἰδικώτερον δέ: «**Εἰκασίαι περὶ τοῦ βαθμιαίου καταρτισμοῦ τοῦ Βυζαντινοῦ Ἑορτολογίου· Μηνολόγιον· Σημειώματα πρὸς συμπλήρωσιν καὶ διόρθωσιν**». Τὸ κριτικὸν τοῦτο μελέτημα τοῦ φιλαργαίου ἐκδότου ὑποβληθέν, κατ' αἴτησιν αὐτοῦ, τῇ ἐν τοῖς Πατριαρχείοις Κεντρικῇ Ἐκκλησιαστικῇ Ἐπιτροπῇ, ὡς ἁρμοδίᾳ ἀποφαίνεσθαι περὶ τῶν καθ' ἡμᾶς ἐκκλησιαστικῶν βιβλίων, καὶ ἐπισταμένως ὑπ' αὐτῆς μελετηθέν, ἔτυχε τοῦ προσήκοντος ἐπαίνου, κριθὲν «ἥκιστα μὲν κατάλληλον ἵνα χρησιμοποιηθῇ ἐν τοῖς ἀναλογίοις τῶν ἱερῶν ἐκκλησιῶν καὶ μονῶν, ἢ ὅπως ἀντικαταστήσῃ τὸν Συναξαριστὴν τοῦ ἀοιδίμου Νικοδήμου, χρήσιμον ὅμως τοῖς ἐπαΐουσι καὶ δυνάμενον ὠφελῆσαι ὅταν, ἀναθεωρουμένου ποτὲ τοῦ Συναξαριστοῦ, ληφθῶσιν ὑπ' ὄψει καὶ αἱ τοιαῦται εἰκασίαι τοῦ ἐκδότου, συντελεσθῇ δ' οὕτω διὰ τῶν μελετῶν καὶ ἐπιστημονικῶν πόνων πολλῶν τὰ μάλιστα ἠκριβωμένος καὶ ἐν ἅπασι κεκαθαρμένος, καὶ ἐν τοῖς ἐλαχίστοις αὐτοῖς, εἰ δυνατόν, ἀρτιώτατος Συναξαριστής». Τῆς περὶ τοῦ βιβλίου κρίσεως ταύτης τῆς Πατριαρχικῆς Κεντρικῆς Ἐκκλησιαστικῆς Ἐπιτροπῆς συνοδικῶς ἐπιδοκιμασθείσης, προαγόμεθα συστῆσαι τοῦτο τῇ αὐτῆς ἱερότητι καὶ προτρέψασθαι αὐτὴν ὅπως συντελέσῃ εἰς διάδοσιν αὐτοῦ, ἐνθαρρύνουσα οὕτως ἠθικῶς τε καὶ ὑλικῶς τὸν φιλόπονον ἐκδότην ἔργου, οὗ σκοπός ἐστι, κατὰ τὴν ἀγγελίαν αὐτοῦ, «ἡ διαιώνισις τῆς ἀρετῆς ἐν γένει καὶ τῆς εὐσεβείας τῶν πάλαι γενομένων ὁσίων ἀνδρῶν, οἵτινες ἐστερέωσαν τὴν εἰς Χριστὸν πίστιν». Ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετ' αὐτῆς.

,αωιζ΄ ἰουλίου ιζ΄

† Ο ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς

† ὁ ***Δέρκων*** ΚΑΛΛΙΝΙΚΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ ***Ἀμασείας*** ΑΝΘΙΜΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ ***Πισσιδείας*** ΓΕΡΑΣΙΜΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ ***Ῥόδου*** ΚΩΝΣΤΑΝΤΙΝΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ ***Βιζύης*** ΙΕΡΟΘΕΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ ***Σωζοαγαθουπόλεως*** ΠΑΡΘΕΝΙΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ ***Ξάνθης*** ΙΩΑΚΕΙΜ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ ***Σκοπείων*** ΑΜΒΡΟΣΙΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ ***Σισανίου*** ΑΘΑΝΑΣΙΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς
† ὁ ***Κώου*** ΚΑΛΛΙΝΙΚΟΣ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητὸς ἀδελφὸς

Ἡ κρίσις τῆς πατριαρχικῆς Κεντρικῆς Ἐκκλησιαστικῆς Ἐπιτροπείας, ἧς ἐπὶ τῇ βάσει ἐξεδόθη ἡ ὄπισθεν (ἐν 7ῃ σελίδι) **πατριαρχικὴ καὶ συνοδικὴ ἐγκύκλιος ἐπιστολή, ἔστιν αὕτη:**

«Τὸ σύγγραμμα τοῦτο εἶναι ἐκ τῆς τάξεως ἐκείνης τῶν βιβλίων, ὧν ἡ μὲν χρησιμότης κεῖται ὑπεράνω πάσης ἀμφιβολίας καὶ ἐναντιότητος, ἡ δὲ διαπραγμάτευσις προσκρούει κατὰ πᾶν βῆμα εἰς μυρίας ὅσας δυσχερείας. Καὶ κατώρθωσε μὲν ὁ φιλόπονος συγγραφεὺς πλείστας ὅσας τῶν δυσχερειῶν τούτων νὰ παρακάμψῃ, δὲν ἠδυνήθη ὅμως νὰ ὑπερβάλῃ καὶ ἁπάσας, δι' ὃ καὶ εὑρίσκονται ἐν τῷ βιβλίῳ τούτῳ, ἐν τοῖς προλεγομένοις ἰδίᾳ, ἱκανὰ τολμηρά πως γεγραμμένα. Ἀλλ' ὁ εὐσυνείδητος συγγραφεὺς τὰς ἰδίας ἑαυτοῦ γνώμας καὶ κρίσεις, μετὰ ταπεινοφροσύνης τιμώσης ἑαυτήν, ἀποκαλεῖ «εἰκασίας», ὑποκειμένας ὡς τοιαύτας εἰς ἔλεγχον καὶ ἀνατροπὴν παρὰ τοῦ ἄλλως ἀντιλαμβανομένου καὶ κρίνοντος περὶ τῆς γενέσεως καὶ δημιουργίας τοῦ ἐν χρήσει ἐν τῇ Ἐκκλησίᾳ ὑπάρχοντος Ἑορτολογίου. Ὡς ἐκ τῆς φύσεως αὐτοῦ τὸ σύγγραμμα τοῦτο προώρισται δι' ἐκείνους ἐκ τῶν ἀναγνωστῶν, ὅσοι ἀνωτέρας λαχόντες παιδεύσεως καὶ τρίβωνες περὶ μελέτας τοιαύτας δύνανται ἐπωφελῶς νὰ ἐγκύψωσιν εἰς τὴν μελέτην καὶ κρίσιν τοῦ βιβλίου τούτου. Τὸ ἔργον τοῦτο κάλλιστα δύναται νὰ χρησιμεύσῃ ὡς σοβαρὸν μελέτημα διὰ τοὺς ἐπαΐοντας, καὶ, ἀναθεωρουμένου ποτὲ τοῦ Συναξαριστοῦ, δύνανται νὰ ληφθῶσιν ὑπ' ὄψιν ἐν πολλοῖς καὶ τὰ σημειώματα ταῦτα τοῦ κ. Μ. Γεδεὼν καὶ συντελεσθῇ οὕτω διὰ τῶν μελετῶν καὶ ἐπιστημονικῶν πόνων πολλῶν τὰ μάλιστα ἠκριβωμένος καὶ ἐν ἅπασι κεκαθαρμένος, καὶ ἐν τοῖς ἐλαχίστοις αὐτοῖς, εἰ δυνατόν, ἀρτιώτατος Συναξαριστής, τοῦθ' ὅπερ ἦν καὶ τὸ κινῆσαν τὸν συγγραφέα εἰς τὴν μεστὴν πολυμαθείας ταύτην βίβλιον αὐτοῦ αἴτιον».

ΜΕΡΟΣ ΠΡΩΤΟΝ

ΕΙΚΑΣΙΑΙ ΠΕΡΙ ΤΟΥ ΒΑΘΜΙΑΙΟΥ ΚΑΤΑΡΤΙΣΜΟΥ

ΤΟΥ ΒΥΖΑΝΤΙΝΟΥ ΕΟΡΤΟΛΟΓΙΟΥ,

ΜΗΝΟΛΟΓΙΟΝ,

ΣΗΜΕΙΩΜΑΤΑ ΠΡΟΣ ΣΥΜΠΛΗΡΩΣΙΝ ΚΑΙ ΔΙΟΡΘΩΣΙΝ

ΠΡΟΛΕΓΟΜΕΝΑ

Οὔτε θεσμόν τινα παρέβην, οὔτε πρὸς τὴν λατρείαν ὀλιγωρίαν ἐπιδείκνυμι, εἰς τὴν τῆς παρούσης πραγματείας σύνταξιν ὁρμηθείς[1]. Οὔτε καινόν τι σπουδαῖον εἰσφέρω, παρεισάγων ἐλαχίστας συμβολὰς εἰς συμπλήρωσιν ἢ διόρθωσιν τοῦ καθ' ἡμᾶς Ἑορτολογίου, ἐφ' οὗ σχεδὸν οὐδεὶς τῶν ἡμετέρων ηὐδόκησε 'ν' ἀσχοληθῇ. Μετὰ τὸν Μάξιμον Μαργούνιον μόνος ὁ ὁσίας μνήμης Νικόδημος Ἁγιορείτης, ὁ ἐκ Νάξου φιλοπονώτατος μοναχός, ὀλίγα χειρόγραφα βιβλιοθηκῶν ἁγιορειτικῶν μελετήσας, ἐπεχείρησέ τινι συμπληρώσει καὶ διορθώσει τοῦ Συναξαριστοῦ Μαυρικίου τοῦ διακόνου καὶ τοῦ Μηνολογίου τοῦ Βασιλείου Πορφυρογεννήτου, ἀλλὰ ποῦ μὲν εἰς τινα σφάλματα περιέπεσεν, ἔστιν ὅπου δὲ καὶ τὰ παλαιὰ κείμενα διορθῶσαι ζητήσας ἀνέτρεψε τὰ καλῶς κείμενα. Βιογραφίαι πατέρων τῆς Ἐκκλησίας ἐπιφανῶν ἐλάνθανον τὸν Νικόδημον, τοποθεσίαι δέ τινες ἐσφαλμένως ἡρμηνεύθησαν: ὥστε χρήζομεν νέας ἐκδόσεως τοῦ Συναξαριστοῦ μᾶλλον κεκαθαρμένης καὶ μετὰ συντόνου μελέτης καὶ συντόνου φροντίδος συντελουμένης.

Ἡμῖν τοῖς ἐν τῇ πόλει ταύτῃ ζῶσιν, ἡμῖν τοῖς ἀναλαβοῦσι, κατὰ τὸ δυνατόν, ἐρευνῆσαι τὰς χριστιανικὰς αὐτῆς ἀρχαιότητας καὶ διακριβῶσαι τὰς τοποθεσίας, ἐν γένει μὲν ἡ μελέτη πάντων τῶν τοῦ Συναξαριστοῦ χειρογράφων ἐπιβάλλεται, κατὰ μέρος δὲ ἡ ἔρευνα καὶ σπουδὴ πάντων τῶν ἁγιολογικῶν ὑπομνημάτων, οὐχὶ καθὼς εἰσιν ἐκδεδομένα τύποις, ἀλλ' ὡς ἐν χειρογράφοις κεῖνται, καὶ συμβάλλεται πλεῖστον εἰς γνῶσιν τῶν ἡμῖν πεποθημένων ἡ τοιαύτη ἔρευνα· καὶ ἡ ἱστορία τοῦ μοναχικοῦ θεσμοῦ συμπληροῦται, καὶ ἡ ἱστορία τοῦ παρὰ βυζαντινοῖς ἐκκλησιαστικοῦ τυπικοῦ, καὶ αἱ τύχαι τῶν ἁγίων λειψάνων καὶ σκευῶν διαφωτίζονται, καὶ τοποθεσίαι ναῶν τινων καὶ μονῶν ἐκ τῶν ἐν Κωνσταντινουπόλει καὶ τοῖς πέριξ κειμένων διακριβοῦνται, καὶ ὁ βαθμηδὸν καὶ κατὰ πᾶσαν ἑκατονταετηρίδα σχηματισμὸς τοῦ Ἑορτολογίου γίνεται καταληπτός, ἢ μᾶλλον, ἵνα καταστῶ καταληπτότερος, ἐννοήσομεν τὴν αἰτίαν, ἧς ἕνεκεν εἰσήχθησαν ἐν τῷ Ἑορτολογίῳ ἡμῶν ὀνόματά τινα παρὰ πᾶσαν τοῦ Νικοδήμου καί τινων ἑτέρων λογίων προσδοκίαν, παρὰ πάντα λόγον, ὡς ἐνόμισαν οἱ περὶ τούτων γράψαντες.

1. Ἡ παροῦσα εἰσαγωγὴ ἀνεκοινώθη τῷ Ἑλληνικῷ Φιλολογικῷ Συλλόγῳ κατὰ τὰς συνεδρίας ,ΑΡγϛ', ,ΑΣ', καὶ ,ΑΣΔ', τῆς 23 ἰανουαρίου, 13 μαρτίου καὶ 17 ἀπριλίου 1895.

Β

Ἀκριβῶς ἐν τῇ εἰσαγωγῇ ταύτῃ διατυπωθήσονταί τινες εἰκασίαι ἐπὶ παρομοίων ἀπορίων, πρὸς εὐόδωσιν λύσεώς τινος τοῦ ζητήματος, ὅπερ προέθηκε τὸ πρῶτον μὲν ὁ Νικόδημος, εἶτα δὲ ὁ πατριάρχης τῆς Νέας Ῥώμης Κωνστάντιος Α' ὁ ἀπὸ Σιναίου. Οὗτος, εὑρίσκων ἔν τε τοῖς Μηναίοις καὶ τῷ Συναξαριστῇ τῇ 10 φεβρουαρίου *Μνήμην Ἀναστασίου πατριάρχου Κωνσταντινουπόλεως*, ὅστις ἦν εἰκονομάχος ὡς γνωστόν, ἀπορήσας δὲ πῶς ἐν τοῖς ἁγιολογικοῖς ὑπομνήμασι παρεισέφρησεν ὁ τοιοῦτος ἄνθρωπος, ἢ, μᾶλλον, προτιθέμενος ἐπιλῦσαι τὴν ἀπορίαν, ἣν εἶχεν ὁ ἀείμνηστος ἐπίσκοπος Σταυροπόλεως Κωνσταντῖνος Τυπάλδος, εἰσήγαγε διόρθωσιν τὴν ἑξῆς: ἐπειδὴ πρὸ τοῦ Κωνσταντίνου τοῦ Καβαλίνου ἤκμαζεν Ἀναστάσιος Β' ὁ Ἱεροσολύμων (602-718), ἀνὴρ ἐνάρετος, *διορθωτέον (εἰ δόξει) τὸ ἐν τῷ Μηναίῳ σοβαρὸν τόδε ἁμάρτημα, καὶ ἀντὶ τοῦ θεοστυγοῦς ἐκείνου, σημειωθήτω: Μνήμη Ἀναστασίου ἀρχιεπισκόπου Ἱεροσολύμων*[1]. Ὁ

1. Κωνσταντίου Α' πατριάρχου Κωνστ/πόλεως Βιογρα-

δὲ Νικόδημος, εὑρὼν τῇ 2 αὐγούστου σημειουμένην *Μνήμην τοῦ ἐν εὐσεβεῖ τῇ λήξει γεροντίου βασιλέως Ἰουστινιανοῦ ἐν τοῖς Ἁγίοις Ἀποστόλοις*, ἀπαντήσας δ' ἐν χειρογράφῳ Συναξαριστῇ μνήμην οὐχὶ τοῦ Α', ἀλλὰ τοῦ Β' Ἰουστινιανοῦ, τοῦ Ῥινοτμήτου, παρατηρεῖ ὅτι *ἴσως δὲν ἀναφέρεται ἐν τῷ χειρογράφῳ ὁ Α' Ἰουστινιανὸς, καθότι ἔπεσεν εἰς τὴν αἵρεσιν τῶν ἀφθαρτοδοκητῶν, καὶ ἐν τῇ αἱρέσει ταύτῃ ἀπέθανεν*, ἐπάγεται δ' ὅμως ὅτι *καὶ ὁ Ῥινότμητος κακὴν ζωὴν ἔζησε*, διατυπῶν ἅμα τὴν ἀπορίαν: *εἰ μή τις εἴπῃ ὅτι μετενόησεν εἰς τὸ τέλος του*[2]. Δέον 'να παρατηρήσωμεν ἐν τούτοις ὅτι μεταξὺ τῶν ἐν τοῖς Ἁγίοις Ἀποστόλοις ταφέντων αὐτοκρατόρων Ἰουστινιανὸς Β' οὐ σημειοῦται. καθ' ἣν ἀναγινώσκομεν παρὰ Δουκαγγίῳ καὶ Βανδουρίῳ σημείωσιν[3]. Γνωστὸν δ' ἑτέρωθεν ὅτι κατὰ τὸν ΙΒ' αἰῶνα ἤρξατο τιμᾶσθαι μεγαλοπρεπῶς ἡ μνήμη τοῦ Α' Ἰουστινιανοῦ, πολλῷ πρὸ τούτου λαμπρυνομένη ἐν τῷ κατὰ τὴν Ἔφεσον Ἰωάννου τοῦ Θεολόγου ναῷ, τῷ ὑπὸ τούτου τοῦ βασιλέως ἐγερθέντι[4]· ἀλλὰ καὶ Κωνσταντῖνος Οἰκονόμος ὁ ἐξ Οἰκονόμων δικαιολογεῖ τὴν καθαγίασιν τῆς Ἰουστινιανοῦ τοῦ Α' μνήμης[5], διότι τε τοῦτον *εὐσεβοῦς λήξεως καὶ σεβασμίας μνήμης ἡ Σ'* Οἰκουμενικὴ Σύνοδος ὀνομάζει, καὶ διότι Ἀγάθων ὁ μακαριώτατος πάπας τῆς πρεσβυτέρας Ῥώμης *ζηλωτὴν ὑπὲρ πάντας τῆς ἀληθείας καὶ ἀποστολικῆς πίστεως* ἀποκαλεῖ. Ἐγεννήθησαν, ὡς βλέπομεν, καὶ παρά τισι τῶν ἡμετέρων ἀπορίαι περὶ τῆς παρεισδύσεώς τινων ὀνομάτων ἐντὸς τοῦ παρὰ βυζαντινοῖς Ἑορτολογίου, καὶ προσεπάθησάν τινες ἐξευρεῖν τὸν λόγον τοῦ φαινομένου τούτου· ἀλλ' ὁ θεωρῶν οὐκ ἀκριβεῖς τοὺς λόγους τούτους δύναται 'να διατυπώσῃ τοὺς ἑαυτοῦ: ἐγὼ νομίζω ὅτι τὸ ζήτημα ἁπλούστατόν ἐστι.

Ὁ καὶ ἄκρῳ δακτύλῳ τῆς Ἐκκλησιαστικῆς Ἱστορίας ἁψάμενος γινώσκει ὅτι μνήμας τῶν μαρτύρων ἦγον οἱ χριστιανοὶ ἀπὸ τῶν πρώτων τοῦ κηρύγματος αἰώνων, καὶ ὅτι τὰς μὲν ἑορτὰς ταύτας ὠνόμαζον *γενεθλίους τοῦ μαρτυρίου ἡμέρας*, τὴν ἄθλησιν δ' αὐτῶν ἀνήγγελλον πρὸς ἀλλήλους, ὅπως πᾶσα Ἐκκλησία πανηγυρίζῃ τὰ *γενέθλια*[1]. Οὕτως, ἐν ἐπιστολῇ τῆς Ἐκκλησίας Σμύρνης, ἀγγελλούσης τὸ μαρτυρικὸν τέλος Πολυκάρπου τοῦ ἀρχιερέως αὐτῆς, ἀναγινώσκομεν τὸν καθορισμὸν τῆς ἡμέρας, καθ' ἣν ἠξιώθη τοῦ μακαρίου τέλους· ἀλλ' ἐκ τοῦ μαρτυρίου τοῦ ἁγίου Ἰγνατίου τοῦ Θεοφόρου δῆλον βλέπομεν ἅμα τὸν τῆς ἀναγγελίας σκοπόν· «ἐφανερώσαμεν ὑμῖν καὶ τὴν ἡμέραν καὶ τὸν χρόνον, ἵνα κατὰ τὸν καιρὸν τοῦ μαρτυρίου συναγόμενοι κοινωνῶμεν τῷ ἀθλητῇ καὶ γενναίῳ μάρτυρι Χριστοῦ»[2]. Γνωστὸν δ' ὅτι κατὰ τὰς τῶν μαρτύρων μνήμας ἐν τοῖς τάφοις αὐτῶν οἱ πιστοὶ συνερχόμενοι ἠκροῶντο τοῦ βίου καὶ τῆς ἀθλήσεως τοῦ κατὰ τὴν ἡμέραν ἐκείνην ἑορταζομένου μάρτυρος, ἀναγινωσκομένων: εὐχόμενοι ἵνα παράσχῃ πᾶσιν αὐτοῖς ὁ Κύριος «ἐπιτελεῖν τὴν τοῦ μαρτυρίου αὐτοῦ γενέθλιον ἡμέραν, εἴς τε τῶν προηθληκότων μνήμην, καὶ τῶν μελλόντων ἄσκησίν τε καὶ ἑτοιμασίαν»[3]. Οὕτως ὑπομνήματα τῆς ἀθλήσεως τῶν κατὰ

φία καὶ Συγγραφαὶ αἱ ἐλάσσονες κλπ. ὑπὸ Θεοδώρου Μ. Ἀριστοκλέους· ἐν Κωνσταντίνουπόλει, 1866, σελ. 447-448.

2. Νικοδήμου Συναξαριστής· ἔκδοσις Ζακύνθου, 1868, τόμ. Β', σελ. 216, ὑποσημ. 2.

3. Bandurii, Imperium Orientale, μέρος Γ', σελ. 104-105 ἐκδόσεως Βενετίας — Du Cange, Constantinopolis Christiana· τῆς αὐτῆς ἐκδόσεως βιβλίον Δ', σελ. 74-75.

4. βλέπε περὶ τούτου κατωτέρω.

5. Οἰκονόμου, Περὶ τῶν Ο' Ἑρμηνευτῶν τῆς Παλαιᾶς Θείας Γραφῆς· τόμ. Δ', σελ. 696-697.

1. Εἴδησίν τινα περὶ τῆς ὑποθέσεως ταύτης εὑρίσκει τις προχείρως ἐν πάσῃ δοκίμῳ ἢ ἀδοκίμῳ μεταφράσει Ἐκκλησ. Ἱστορίας· βλέπε δὲ Φιλαρέτου Βαφείδου Ἐκκλ. Ἱστορίας τόμ. Α', σελ. 131.

2. Stephani Morcelli, Calendarium Ecclesae Constantinopolitanae· ἐν Ῥώμῃ, 1788, τόμ. Α', σελ. 4. Migne, Patrologia Græca· τόμ. Ε', στήλη 988. Γρηγόριος δὲ ὁ Θαυματουργὸς περιήργετο ἐπιβάλλων, οἷον εἰπεῖν, τὰς πανηγύρεις· «εἰρήνης τὴν ἀνθρωπίνην ζωὴν διαδεξαμένης, καταβὰς πάλιν ἐπὶ τὴν πόλιν, καὶ πᾶσαν περινοστήσας ἐν κύκλῳ τὴν χώραν, προσθήκην ἐποιεῖτο τοῖς ἁπανταχοῦ λαοῖς τῆς περὶ τὸ Θεῖον σπουδῆς, τὰς ὑπὲρ τῶν ἐνηθληκότων τῇ πίστει πανηγύρεις νομοθετήσας. Καὶ διαλαβόντες ἄλλος ἀλλαχῇ τῶν μαρτύρων τὰ σώματα, κατὰ τὴν ἐτήσιον τοῦ ἐνιαυσιαίου κύκλου περίοδον συνιόντες, ἠγάλλοντο τῇ τιμῇ τῶν μαρτύρων πανηγυρίζοντες». Γρηγόριος Νύσσης εἰς τὸν βίον Γρηγορίου Νεοκαισαρείας τοῦ Θαυματουργοῦ· Migne, ΜΣ', στ. 853. Ὡσαύτως καθορίζουσι τὴν ἡμέραν τοῦ μαρτυρίου οἱ πρεσβύτεροι τῆς Ἀχαΐας περὶ τῆς ἀθλήσεως τοῦ Πρωτοκλήτου τῶν Ἀποστόλων γράφοντες. Migne τόμ. Β', στήλη 1248.

3. Εὐσεβίου Ἐκκλησιαστικῆς Ἱστορίας βιβλ. Δ', κεφ. ιε'. Migne Patrolog. Gr. τόμ. Ε', στήλη 1044.

τόπους μαρτύρων ἐσώζοντο παρὰ ταῖς Ἐκκλησίαις ἀπὸ χρόνων ἀρχαιοτάτων, γνωστὰ δ' εἰσὶν ὡς ἀρχαιότερα τοιαῦτα τὰ τῶν ἁγίων Κάρπου καὶ Παπύλου καὶ Ἀγαθονίκης[4]. Τὰ ὑπομνήματα ταῦτα, καίπερ ἔργα συγγραφέων ἀγνώστων, ἦσαν ἀξιόπιστα. «Σχεδὸν πάντα τὰ μαρτυρογράφια—λέγει Θεόδωρος ὁ Στουδίτης[5]—ἀνεπίγραφά εἰσιν· ἀλλ' ὅμως βέβαιά εἰσι· κἀκεῖθεν οἱ διδάσκαλοι ἁρμόζονται ποιεῖν τὰ τῶν μαρτυρησάντων ἐγκώμια. Ὁ οὖν μὴ δεχόμενος τὴν ἱστορίαν συναπεβάλετο τὸν μάρτυρα δηλονότι»· ταῦτα δὲ γράφων ὁ μακάριος ἐγίνωσκε τὴν διάταξιν τῆς ἐν Τρούλλῳ Συνόδου, πυρπόλησιν ἐπιβαλλούσης τῶν μαρτυρολογίων, ὅσα ψευδῶς συνεγράφησαν ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν[6]. Τῶν δὲ τοπικῶν ὑπομνημάτων τούτων παρ' ἑκάστῃ Ἐκκλησίᾳ σωζομένων, βεβαίως δὲ πληρέστερον εἱρμὸν ἀποτελούντων, ἑκάστη εἶχε τὸ ἴδιον ἑορτολόγιον, ἐκτενέστερον ὂν τοῦ τῆς ἑτέρας.

Ἡ μελέτη τοῦ πρωτογόνου, ὡς νομίζω, ἑορτολογίου, τοῦ σωζομένου ἐν χειρογράφοις Εὐαγγελίοις οὓσιν ἐν χρήσει παρὰ τῇ Ἐκκλησίᾳ Κωνσταντινουπόλεως, ἀποδείξει οὐκ εἰς μακρὸν ὅτι τὸ Βυζαντινὸν Ἑορτολόγιον κατὰ τὴν πρώτην αὐτοῦ σύστασιν καὶ μορφὴν ἐστὶν ἑορτολόγιον μόνης τῆς Ἐκκλησίας ταύτης, ἐν ᾧ σημειοῦνται λίαν ἀκριβῶς αἱ μνῆμαι πολλῶν πατριαρχῶν, μὴ ἀναγραφομένων ἔν τε τῷ Συναξαριστῇ καὶ τοῖς Μηναίοις. Ἴσως ἡ μελέτη βιβλίων ἱερῶν ὁμοίων εὑρισκομένων ἐν ναοῖς ἢ μοναῖς Κιλικίας, Μεσοποταμίας καὶ Πόντου, Συρίας καὶ Ἀβυσσηνίας, γνωρίσει ἡμῖν ὀνόματα καὶ βίους καὶ γεγονότα τέως ἄγνωστα ἐκ βιογραφιῶν μαρτύρων, ὁμολογητῶν, ὁσίων μοναχῶν καὶ διδασκάλων τοπικῶν ἐκκλησιῶν, ἅτινα κατὰ χρόνους ἀρχαίους δυσχερῶς ἠδύναντο 'να γίνωνται γνώριμα ὑπὸ μιᾶς Ἐκκλησίας ἑτέρᾳ διὰ τὸ δυσχερὲς τῶν περιστάσεων καὶ συγκοινωνιῶν. Οὕτως, ἀπ' ἀρχῆς μὲν ἡ Ἐκκλησία Κωνσταντινουπόλεως ἀπεδέξατο τὴν καθαγίασιν τῆς ἱερᾶς μνήμης Κυπριανοῦ τοῦ Καρθαγένης, ἀλλὰ φρονῶ ὅτι πενιχρῶς ἦγον αὐτὴν οἱ βυζάντιοι· τὸν Κυπριανόν, «ἅγιον ἄνδρα», ἐσέβοντο οἱ πιστοὶ τῆς ἁγίας Ἐκκλησίας τῆς Καρθαγένης, αὐτῷ δὲ ναὸν πρὸ τῆς πόλεως ἀνεγείραντες, ἦγον μέχρι τοῦ Σ' τοὐλάχιστον αἰῶνος «ἐνιαύσιον ἑορτήν, ἣν δὴ Κυπριανὰ καλοῦσι»[1]. Τῆς ἁγίας δὲ Πρίμας τὴν ἑορτὴν οὐδαμοῦ τῶν καθ' ἡμᾶς Ἑορτολογίων εὑρίσκομεν· καὶ ἐν τούτοις οἱ χριστιανοὶ τῆς Καρχηδόνος ἦγον κατὰ τὸν Σ' αἰῶνα πρὸς τιμὴν αὐτῆς ἑορτήν[2]. Οἱ κάτοικοι τῶν Μυλάσσων, κατὰ τὸν Ε' ἢ Σ' αἰῶνα πιθανῶς, ἦγον ἑορτὴν Ἑρραίμ τοῦ περιφανῶς τὴν ἐπισκοπὴν ταύτην κοσμήσαντος, οὗ ὁ ναὸς ἠγείρετο ἐν τῇ παρὰ τὰ Μύλασσα Λευκῇ-Κώμῃ, θησαυρίζων καὶ τὸ λείψανον αὐτοῦ. Μετά τινα καιρόν, ὡς ἔοικεν, ἐγέραιρον οἱ πιστοὶ τῆς ἐν Μυλάσσοις ἁγίας Ἐκκλησίας τὴν μνήμην καὶ Παύλου τοῦ Μυλάσσων ἐπισκόπου, «θαύμασι τὸν ἑαυτοῦ βίον μετὰ θάνατον πιστωσαμένου», οὗ τὸ λείψανον ἀπέκειτο ἐν τῷ αὐτόθι ναῷ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου[3]. Ποῦ δὲ τῶν καθ' ἡμᾶς μαρτυρολογίων καὶ συναξαριστῶν πρέπει 'ν' ἀναδράμωμεν πρὸς εὕρεσιν τῆς ἡμέρας, καθ' ἣν ἦγετο παρ' ἡμῖν ἡ μνήμη τῶν δύο τούτων Μυλασσέων ἁγίων; Πάντως δὲ τὸ Ἑορτολόγιον τῶν ἐν Πόντῳ ἁγιωτάτων Ἐκκλησιῶν ἀνέγραφεν ἡμέραν, καθ' ἣν ἦγον αὐταὶ τὴν μνήμην τῶν κατὰ τὸν Ε' βεβαίως αἰῶνα ἀκμασάντων μητροπολιτῶν Ἀμασείας Μελετίου καὶ Σελεύκου, καὶ τοῦ τῶν Ἰβώρων ἐπισκόπου Οὐρανίου, διότι μαρτυρίαν ἔχομεν κατὰ τὰ τέλη τοῦ Σ' αἰῶνος ὅτι οἱ τάφοι αὐτῶν ἰάσεις καὶ θαυματουρ-

4. Εὐσεβίου Παμφίλου, ἔνθ' ἀνωτ. βλέπε δὲ καὶ πρὸς τῷ τέλει τοῦ κεφαλαίου ιε' τοῦ βιβλ. Δ' τῆς Ἐκκλ. Ἱστορ/ας.

5. Στουδίτου ἐπιστολὴ Θαλελαίῳ· Migne, Patrologia Græca τόμ. ϙθ', στήλη 1244.

6. Κανὼν ΞΓ' τῆς Πενθέκτης Συνόδου· «Τὰ ψευδῶς ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν συμπλασθέντα μαρτυρολόγια, ὡς ἂν τοὺς τοῦ Χριστοῦ μάρτυρας ἀτιμάζοιεν, καὶ πρὸς ἀπιστίαν ἐνάγοιεν τοὺς ἀκούοντας, μὴ ἐπ' ἐκκλησίαις δημοσιεύεσθαι προτάσσομεν, ἀλλὰ ταῦτα πυρὶ παραδίδοσθαι. Τοὺς δὲ ταῦτα παραδεχομένους, ἢ ὡς ἀληθῆσι τούτοις προσέχοντας, ἀναθεματίζομεν». Κατὰ τὸν Βαλσαμῶνα, Συμεὼν ὁ Μεταφραστὴς εἶχεν ὑπ' ὄψιν ἐν τῇ μεταφράσει τῶν βίων καὶ τῶν ἀθλήσεων τῶν μαρτύρων τὰ γνήσια ὑπομνήματα.

1. Προκοπίου Καισαρέως Ἱστορίαι· Βόννης, τόμ. Α', σελ. 397. Ἐν τέλει τοῦ Δ' αἰῶνος εὑρίσκομεν πανηγυριζομένην ἐν Μικρασίᾳ τὴν μνήμην αὐτοῦ. Γρηγ. Θεολόγ. Λόγος εἰς Κυπριανόν· Migne, ΛΕ', 1170-1193.

2. Προκοπίου, Περὶ τῶν Ἰουστινιανοῦ κτισμάτων· Βόννης· σελ. 339.

3. Συμεὼν Μεταφραστοῦ· Βίος Ξένης τῆς ὁσίας· Migne, Patrol. gr. ΡΙΔ', στήλη 992, 997, 1000. Οὐ μακρὰν τῶν Μυλάσσων ἦν ὁ τόπος Συκίνιον, ἔνθα ἐτέθη ὁ νεκρὸς Εὐσεβίας, τῆς καὶ Ξένης, κτιτορίσσης τῆς αὐτόθι μονῆς τοῦ *Ἁγίου Στεφάνου τῶν Κώων*.

γίας ἐπετέλουν[4]. Ἐν τίνι τῶν χειρογράφων Μηναίων εὑρεθήσεται μνεία τις ὑπομνήματος εἰς ἅγιον ἐπίσκοπον τῆς Ἐκκλησίας τῶν Νικαέων, Δρακόντιον, τὸν πρῶτον δῆθεν τῆς Νικαίας ἐπίσκοπον ὑπ' Ἀνδρέου τοῦ πρωτοκλήτου κατασταθέντα; Καὶ ἐν τούτοις οἱ κάτοικοι τῆς Νικαίας ἐπανηγύριζον τῇ 12 μαΐου τὴν μνήμην τοῦ Δρακοντίου τούτου, ἀκμάσαντος ἐν ἑνὶ τῶν τριῶν πρώτων βεβαίως αἰώνων, οὐχὶ δὲ κατὰ τὸν Α' αἰῶνα. Ἡ μεγαλοπρέπεια, δι' ἧς περιέβαλε τὴν ἐπέτειον μνήμην ἁγίου τινὸς ἡ Ἐκκλησία, παρ' ᾗ οὗτος ἐδοξάσθη καὶ ἐβίωσεν, ἡ μεγαλοπρέπεια αὕτη ἰδιάζε βεβαίως ἐκείνῃ τῇ Ἐκκλησίᾳ μόνον, τῶν λοιπῶν ἢ παντάπασι τὴν ἑορτὴν ἀγνοουσῶν, ἢ μετὰ πενιχρότητος αὐτὴν ἐπιτελουσῶν. Τίνα θέλετε μείζονα τοῦ κυρυφαίου Πέτρου, μείζονα τοῦ Παύλου; — Τίς ἠγνόει τὸ μεγαλεῖον αὐτῶν, τὸν ἅγιον ὑπὲρ τῆς εὐαγγελικῆς διδασκαλίας ζῆλον ἀμφοτέρων; — Καὶ ὅμως ἐπὶ μακρὰν διάρκειαν ἐναυτῶν ἡ τῆς Κωνσταντινουπόλεως Ἐκκλησία πενιχρῶς ἦγε τὴν μνήμην αὐτῶν, καὶ μόλις ἀπὸ τοῦ 501, ἐπὶ τοῦ πατριάρχου Μακεδονίου Β', ἤρξατο 'να τελῆται μεγαλοπρεπῶς αὕτη, κατ' αἴτησιν Φήστου τινός, συγκλητικοῦ, ἀπὸ Ῥώμης εἰς Κωνσταντινούπολιν ἀνελθόντος ἕνεκα σπουδαίων ἴσως ζητημάτων[5]. Αὐτὴ τοῦ πρωτοκλήτου τῶν ἀποστόλων, ὃν ἐπίστευον οἱ πατέρες ἡμῶν ἱδρυτὴν τῆς Ἐκκλησίας τοῦ Βυζαντίου ταύτης, ἡ μνήμη, οὐχὶ λαμπρῶς, ἀλλ' ἀγροικικώτερόν πως ἐτελεῖτο παρ' ἡμῖν μέχρις αὐτοῦ τοῦ 1759, ὅτε Σεραφεὶμ Β' ὁ ἀπὸ Φιλιππουπόλεως οἰκουμενικὸς ἀναδειχθεὶς πατριάρχης ἐπέβαλε μείζονα τὸν πανηγυρισμὸν τῆς ἑορτῆς ταύτης[6], ἥτις μέχρις ἐκείνου τοῦ ἔτους ἐγίνετό πως «ἀνέορτος, καὶ πανήγυρις ὄχι πανηγυρική, τὴν ὁποίαν τὸ πλῆθος τῶν περισσοτέρων χριστιανῶν μόλις τὴν διέκριναν ἀπὸ τὰ ὀψάρια, ὁποῦ ἀπληστότερα ἔτρωγαν, καὶ ἀπὸ τὰ μελίπαστα κολλύρια, ὁποῦ, κατὰ συνήθειαν ἐπικρατήσασαν, εἰς τρυφὴν ἐγεύοντο»[7]. Καὶ τοῦτο γίνεται ἐν ἑορτῇ ἀποστολικῇ, καὶ παρατείνεται τῆς ἑορτῆς ὁ πενιχρὸς πανηγυρισμὸς μέχρι τοῦ ΙΗ' αἰῶνος ἐν αὐτῇ τῇ Κωνσταντινουπόλει, ἥτις ἴσως ἀπὸ τῶν μέσων τοῦ Ϛ' αἰῶνος εἰσήγαγε τὴν παράδοσιν τῆς ὑπ' Ἀνδρέου τοῦ πρωτοκλήτου θεμελιώσεως τῆς Ἐκκλησίας τοῦ Βυζαντίου ταύτης. Οὐδ' ἔστι τοῦτο παράδοξον, διότι ἡ πρώτη διαμόρφωσις τοῦ ἐν χρήσει παρ' ἡμῖν Ἑορτολογίου εἶχε τοπικὸν χαρακτῆρα, δῆλά γε δὴ κωνσταντινουπολιτικόν, ὡς ἐγὼ τοὐλάχιστον φρονῶ.

Ὀλίγισται ἑορταὶ τῆς χριστιανικῆς θρησκείας, μετὰ τὰς δεσποτικὰς καὶ θεομητορικάς, μετὰ τὰς τῶν ἀγγέλων καὶ προφητῶν καί τινων μαρτύρων, εἶχον χαρακτῆρα γενικώτερον καὶ πάγκοινον, εἰ καὶ δυνατὸν εἰπεῖν ὅτι καὶ ὁ γενικώτερος οὗτος χαρακτὴρ περιωρίζετο μεταξὺ πασῶν τῶν φυλῶν καὶ θρησκευμάτων μιᾶς καὶ τῆς αὐτῆς ἐπαρχίας. Τοιαύτη τις ἦν ἡ ἐν Μαμβρῇ τελουμένη κατὰ τὴν δρῦν ἐκείνην, ἔνθα πίστις ἦν ἐπιφανῆναι τῷ πατριάρχῃ Ἀβραὰμ τοὺς ἀγγέλους σὺν τῷ Υἱῷ καὶ Λόγῳ τοῦ Θεοῦ. Ἑρμείας ὁ Σωζόμενος λέγει ὅτι *πανήγυρις ἦγον ἐτήσιον ἐν τούτῳ τῷ τόπῳ, θέρους ὥρᾳ*, μεχρι τῶν πρώτων ἐτῶν τῆς Δ' ἑκατονταετηρίδος, *οἱ ἐπιχώριοι καὶ οἱ προσωτέρω Παλαιστινοὶ καὶ Φοίνικες καὶ Ἄραβοι*. Καὶ γενικῶς μὲν ἡ πανήγυρις ἐμπορικὸν ἅμα καὶ θρησκευτικὸν ἔφερε χαρακτῆρα, « πᾶσι δὲ περισπούδαστος ἡ ἑορτή· Ἰουδαίοις μὲν, καθὸ πατριάρχην αὐχοῦσι τὸν Ἀβραάμ· Ἕλλησι δὲ διὰ τὴν ἐπιδημίαν τῶν ἀγγέλων· καὶ χριστιανοῖς». Προσφέροντες δὲ πάντες οἶνον καὶ λίβανον, ἢ βοῦν, τράγον, πρόβατον, ἢ ἀλεκτρυόνα, πάσης ἀκρασίας ἀπείχοντο κατὰ τὴν πανήγυριν ταύτην, πολὺ σεμνῶς διάγοντες, ὅντως εὐαγγελικῶς οἱ πάντες, πάσης φυλῆς καὶ θρησκεύματος, *καίπερ ἀναμίξ καθεύδοντες, καὶ τὰς σκηνὰς ὁμοῦ ἔχοντες*. Κωνσταντῖνος ὁ Μέγας ἐκώλυσε πρῶτος τὸ κοσμικῶς τιμᾶν τὴν ἑορτὴν, ναὸν ἐγείρας ἀντάξιον τῆς τοῦ τόπου σεμνότητος[1]. Αἱ λοιπαὶ τῶν ἑορτῶν εἶχον τοπικώτατον χαρακτῆρα, διάφοροι δ' αἰτίαι συνεβάλλοντο πρὸς εἰσαγωγὴν αὐτῶν εἰς τὸ τῶν βυζαντίων Ἑορτολόγιον, ἐννοῶ δὲ τοπικοῦ χαρακτῆρος τὰς ἑορτὰς τὰς ἀφορώσας εἰς τὰς μνήμας εὐσεβῶν ἀνάκτων, πατριαρχῶν καὶ ἀρχιερέων, ἱδρυτῶν μοναστηρίων ἢ μοναχῶν ἐπιφανῶν, ἢ τὰς ἀφορώσας εἰς ἀνάμνησιν μεγάλου τινὸς γεγονότος.

Λαμβάνω πρῶτον εἰς ἐμπέδωσιν τῆς ἐμῆς γνώμης τὴν τελευταίαν ταύτην τάξιν τῶν ἑορτῶν.

Ἔν τε τῷ Συναξαριστῇ καὶ τοῖς Μηναίοις, ἐντύποις τε καὶ χειρογράφοις, ἐννεάκις ἀναγεγραμμένας εὑρίσκομεν *ἀναμνήσεις μεγάλων σεισμῶν*, ἢ μνήμην τῆς μετὰ φιλανθρωπίας *ἐπενεχθείσης ἡμῖν μεγάλης ἀπειλῆς τοῦ σεισμοῦ*: τῇ 10 (ἀντὶ τῆς 9) καὶ 26 ἰανουαρίου, τῇ 17 μαρτίου, τῇ 16 (ἀντὶ τῆς 15) αὐγούστου, τῇ 25 σεπτεμβρίου, τῇ 7 καὶ 26 ὀκτωβρίου, τῇ 6 καὶ 14 δεκεμβρίου, τῶν ἑορταστικῶν δὲ μνημῶν τούτων τὴν ἀκρίβειαν μαρτυροῦσιν οἱ χρονογράφοι τοῦ μεσαίωνος· ἐγίνοντο δὲ λιταὶ κατὰ τὰς ἡμέρας ταύτας ἐν τῷ Κάμπῳ καὶ ἐν τῷ Τρικόγχῳ *ὑπὲρ τῆς τοῦ φιλανθρώπου Θεοῦ μακροθυμίας*[1]. Τινὲς τῶν ἐν λόγῳ σεισμῶν ἦσαν καταστρεπτικώτατοι, τινὲς ἤπιοι· ἄλλοτε δ' ὅμως σεισμοὶ φοβεροὶ κατέστρεφον πόλεις τῆς Ἀσίας ἐκ θεμελίων, ἢ χάσματα παράγοντες ἀδόκητον παρεσκεύαζον τάφον τοῖς οἰκήτορσιν, αὐτάνδρων κατορυττομένων κωμῶν τε καὶ πόλεων, ἢ νήσων ἀλλαχοῦ ἐντὸς τῶν λιμνῶν ἀναδυομένων, ὡς ἐγένοντο τοιαῦτα παράδοξα συμβεβηκότα τῷ 447 καὶ τῷ 469 ἐν Ἑλλησπόντῳ καὶ Φρυγίᾳ καὶ Χερρονήσῳ καὶ τῇ Βαάνῃ λίμνῃ τῆς Βιθυνίας[2]· γινώσκομεν δὲ φοβερωτέρους σεισμοὺς, τὸν τοῦ 359 κατὰ Νικομήδειαν, ὅτε συναπώλετο τῇ πόλει Κεκρόπιος ὁ ταύτης ἐπίσκοπος[3], τὸν τοῦ 543, κατὰ τὴν 6 σεπτεμβρίου, ἐν Κυζίκῳ, « ὡς πεπτωκέναι τὸ ἥμισυ τῆς Κυζίκου »[4], καὶ τοὺς ἀπὸ τοῦ 524-526 ἐπαναληφθέντας, χωρὶς ἐνδείξεως τῆς θείας μακροθυμίας, ἐν Ἀναζάρβῳ τῆς Κιλικίας, ἐν Πομπηϊουπόλει τῆς Μυσίας, καὶ κατὰ τὴν τοσοῦτον οἰκτρῶς δοκιμασθεῖσαν Ἀντιόχειαν τὴν μεγάλην, ἐν ᾗ θῦμα σὺν τῷ ποιμνίῳ καὶ ὁ ποιμὴν αὐτῆς Εὐφράσιος ἐγένετο[5]. Τίς ἀγνοεῖ δὲ τὸν κατὰ τὴν 6 ἰουλίου 551 γενόμενον ἐν Ἀραβίᾳ καὶ Παλαιστίνῃ καὶ Μεσοποταμίᾳ σεισμὸν, καθ' ὃν κατεστράφησαν ἡ Τύρος, ἡ Σιδὼν, ἡ Βηρυτὸς, ἡ Τρίπολις καὶ ἕτερα πολίσματα πλεῖστα;[6] Ἐν τούτοις οὐδεμίαν ποιοῦνται μνείαν τῶν ἐν λόγῳ σεισμῶν ὅ τε Συναξαριστὴς καὶ τὰ Μηναῖα, διότι ἡ Κωνσταντινούπολις οὐδὲν ἔπαθεν. Ὅταν εὑρεθῇ τὸ τῆς Ἐκκλησίας τῆς Ἀντιοχείας Ἑορτολόγιον, καὶ τὸ τῶν ἐν Φοινίκῃ καὶ Μεσοποταμίᾳ καὶ τῶν τῆς χριστιανικῆς Συρίας Ἐκκλησιῶν, ἀπαντήσομεν ἐν αὐτοῖς πάντως σημειουμένην τὴν ἀνάμνησιν τῶν θεομηνιῶν τούτων, διότι ἀπὸ τοῦ 527 πιθανῶς, ὅτε, θεοσεβοῦς τινος ἰδόντος ἐν �ράματι ὅτι πρέπει 'να γράψωσιν ἐπὶ τῶν ὑπερθύρων τῶν οἰκιῶν: *Χριστὸς μεθ' ἡμῶν· στῆτε·* ἔγραψαν τὰς λέξεις, «ἔστη ἡ ὀργὴ τοῦ Θεοῦ», Θεούπολις δ' ἐπεκλήθη ἡ Ἀντιόχεια· καὶ τούτου τοῦ γεγονότος, ὡς καὶ τῶν ὁμοίων, ἐγίνετο μνεία βεβαίως ἐν τοῖς τοπικοῖς ἐκείνοις Ἑορτολογίοις καὶ τοῖς σχετικοῖς ὑπομνήμασιν.

Ἐκτὸς τῶν ἀναγραφομένων ἑκάστοτε σεισμῶν, ὁ Συναξαριστὴς καὶ τὰ Μηναῖα σημειοῦσιν ἀνάμνησιν μὲν *ἐμπρησμοῦ μεγάλου* τῇ 1 σεπτεμβρίου τελουμένην, μνήμην δὲ *τῆς μετὰ φιλανθρωπίας κατενεχθείσης κόνεως* ἐπὶ Λέοντος τοῦ Μεγάλου, τῇ 6 τοῦ νοεμβρίου γινομένην[7]. Τὰ δυστυχήματα ταῦτα συνέβησαν ἐν Κωνσταντινουπόλει· τὴν ἀνάμνησιν δὲ γεγονότων τοιούτων, οἷον ὁ μέγας ἐμπρησμὸς, οἱ χριστιανοὶ φαίνονται πολλῷ πρὸ τοῦ θρακὸς Λέοντος πανηγυρίζοντες. Ἀρχαιότερον ἑτέλουν οἱ Ναυατιανοί. Τῇ 17 αὐγούστου 433 ἐξερράγη πυρκαϊὰ πέριξ τοῦ δημοσίου λουτροῦ, « ᾧ ἐπώνυμόν ἐστιν Ἀχιλλεύς », αὕτη δὲ προεξετάθη μέχρι τοῦ ναοῦ τῶν Ναυατιανῶν τοῦ κειμένου πλησίον τοῦ Πελαργοῦ· παραδόξως ὁ τῶν Ναυατιανῶν σχισματικῶν ναὸς ἐσώθη, τῶν πέριξ πάντων πυρποληθέντων· « Ναυατιανοὶ δὲ σῴστρα τῆς Ἐκκλησίας ἐξ ἐκείνου καθ' ἕκαστον ἔτος ἐπιτελοῦσι, περὶ τὴν ἑπτακαιδεκάτην αὐγούστου

---

4. Εὐτυχίου πατριάρχου Κωνστ/πόλεως Βίος, ὑπὸ Εὐστρατίου πρεσβυτέρου· Migne, Πϛ', 2293.

5. Θεοφάνους Χρονογραφία· Βόννης, τόμ. Α', σελ. 220.

6. Μ. Ι. Γεδεών, Κανονικαὶ Διατάξεις· τόμ. Β', ἐν Κωνστ/πόλει, 1889, σελ. 456-459· « τοὐντεῦθεν λαμπρῶς τελεῖσθαι τὴν πανήγυριν *καὶ μὴ ἀψοφητὶ καὶ ἐν παρόδῳ* ταῖς λοιπαῖς παραμετρεῖσθαι ὁμοίως ».

7. Εὐγενίου Βουλγάρεως λόγος κατὰ τὴν ἡμέραν τοῦ ἁγ. Ἀνδρέου τοῦ Πρωτοκλήτου· ἐν «Συλλογῇ συγγραμμάτων ἀνεκδότων Εὐγενίου Βουλγάρεως», ὑπὸ Γεωργίου Αἰνιᾶνος· Ἀθῆναι, 1838, σελ. 85. Περὶ δὲ τῶν μελιπάστων κολλυρίων ἱκανὰ μὲν γράφω ἐν τῇ προσεχῶς ἐκδιδομένῃ «Ῥαιδεστῷ», μνείαν δὲ ποιοῦμαι κατὰ τὴν ἑορτὴν τῆς 26 τοῦ δεκεμβρίου.

1. Ἑρμ. Σωζόμενος· Ἐκκλ. Ἱστορ. βιβλ. Β', κεφ. δ'.

1. Ἴδε τὰ γραφόμενα κατὰ τὰς ἡμέρας ταύτας ἐν τῷ μετὰ χεῖρας Ἑορτολογίῳ.

2. Εὐάγριος· Ἐκκλησ. Ἱστορ. βιβλ. Α', 17, βιβλ. Β', 14. Βλέπε καὶ τὰς τοῦ Valesii annotationes.

3. Θεοφάνους Χρονογραφία· Βόννης, τόμ. Α', σελ. 69. Χρονικὸν Πασχάλιον· σελ. 543.

4. Γεωργίου Κεδρηνοῦ Σύνοψις Ἱστοριῶν· Βόννης, τ. Α', σελ. 656. Μαλαλᾶς· τῆς αὐτῆς ἐκδόσεως, σελ. 420. Εὐάγριος· Ἐκκλησ. Ἱστορ. βιβλ. Δ', κεφ. ε', Ϛ'.

5. Θεοφάνης· Α', σελ. 347.

6. Fragmenta κλπ. Migne, τόμ. ΠΕ', στ. 1824.

7. βλέπε ἐν ταῖς οὕτω σημειουμέναις ἡμέραις.

μηνός, εὐχαριστηρίους εὐχὰς πέμποντες τῷ Θεῷ. Σχεδόν τε πάντες, διὰ τὸ ἐπ' αὐτῆς συμβὰν θαῦμα, τιμῶσιν ἐξ ἐκείνου τὸν τόπον, καὶ ὡς ἀληθῶς ἅγιον προσκυνοῦσιν, οὐ μόνον χριστιανοί, ἀλλὰ καὶ τῶν ἑλληνιζόντων οἱ πλείονες»[8]. Τοῦθ' ὅπερ δηλοῖ ὅτι, καὶ τοιούτων ἑορτῶν ἀγομένων παρὰ Ναυατιανοῖς, ἤγουν ἀνθρώποις ἀπεσχισμένοις τῆς Ἐκκλησίας τῶν ὀρθοδόξων, τοπικὸς ἦν ὁ χαρακτήρ. Τίς ἀγνοεῖ ὅμως ὅτι καὶ ἀλλαχοῦ παρόμοια δυστυχήματα συνέβαινον, ἐμπρησμοὶ δῆλον οὖν, καὶ πολυομβρίαι, καὶ καταστροφαὶ κατ' αὐτὰς καὶ θεοσημεῖαι; Ἀλλὰ μνήμην αὐτῶν οὔτ' ἐν τοῖς Μηναίοις εὑρίσκομεν, οὔτε ἐν τῷ Συναξαριστῇ, διότι, πόλεων καὶ κωμῶν ἑτέρων ἀλλαχοῦ δυσπραγουσῶν, ἡ Κωνσταντινούπολις οὐδὲν ἔπασχεν, οὐδ' ἀνέγραφε ταύτας, ὡς εἰκός, ἐν τῷ ἑαυτῆς Ἑορτολογίῳ· διότι οὐδ' εἶχεν ἀνάγκην ἐτησίων λιτῶν καὶ παρακλήσεων πρὸς Θεόν. Φρονῶ δ' ὅτι καὶ τὰ ἀρχαιότερα τῶν κατὰ τόπους Ἐκκλησιῶν Ἑορτολόγια μνείαν οὐκ ἦγον τῶν ἐν Κωνσταντινουπόλει φαινομένων τούτων καὶ δυστυχημάτων, ὡς οὔτε τῶν ἀναμνήσεων ἀποτυχουσῶν οἰωνδηποτοῦν ἐπιδρομῶν ἢ πολιορκίας ἀποτυγχανούσης[9].

Ἐπίσης χαρακτῆρα τοπικώτατον ἔχουσιν αἱ ἐτήσιαι μνῆμαι τῶν γενεθλίων τῶν ναῶν, δῆλά γε δὴ τῶν *ἐγκαινίων*, τῶν *θυραναιξίων*, τῶν *φωτοδρομίων* τοῦ τε μεγίστου ναοῦ τῆς τοῦ Θεοῦ Σοφίας, τοῦ πλησίον αὐτοῦ ναοῦ τοῦ ἀποστόλου Πέτρου, τῶν ναῶν τῆς Θεοτόκου τοῦ Κύρου, τῆς Θεοτόκου τῆς Πηγῆς, τῆς Θεοτόκου τῶν Καλλιστράτου, τῆς Θεοτόκου τῆς Διακονίσσης, τῆς Θεοτόκου τῶν Βλαχερνῶν, τῆς Θεοτόκου τῆς Πέτρας, τῆς Θεοτόκου τῶν Χαλκοπρατείων, τοῦ ναοῦ τῶν ἀποστόλων Πέτρου καὶ Παύλου ἐν τοῖς Μαρνακίου, τῆς περιωνύμου μονῆς τοῦ Στουδίου, τοῦ ναοῦ τῶν Τεσσαράκοντα μαρτύρων, Ἰωάννου τοῦ Θεολόγου, καὶ πολλῶν ἑτέρων ναῶν: παρεισδύσασαι βαθμηδὸν εἰς τὸ βυζαντινὸν Ἑορτολόγιον μέχρι τοῦ ΙΑ΄ ἢ ΙΒ΄ αἰῶνος, ὅτε διὰ Μαυρικίου τοῦ διακόνου συνεπληρώθη ὁ Συναξαριστὴς καὶ ἐγένετο, οὕτως εἰπεῖν, ὁ Κανών, ᾧ ἔδει 'ν' ἀκολουθήσωσιν αἱ ἐντὸς καὶ περιξ τῆς Κωνσταντινουπόλεως κείμεναι ἐκκλησίαι καὶ τὰ μοναστήρια· ἀλλ' ἐξ εἰκοσιπέντε τοιούτων μνημῶν ἐγκαινίων ναῶν καὶ μονῶν, μία μόνον ἀναφέρεται εἰς ναὸν κείμενον ἐκτὸς τῆς Κωνσταντινουπόλεως, ἡ μνήμη τῶν ἐγκαινίων τοῦ ναοῦ τῆς Ἀναστάσεως, περὶ οὗ ἀμφιβάλλωτέως, εἴπερ κατὰ τὴν πρωτόγονον αὐτοῦ μορφὴν ἐννόει τὸ Ἑορτολόγιον τὸν ἐν Ἱεροσολύμοις[10], ἢ τὸν ἐν Κωνσταντινουπόλει ναὸν Ἀναστάσεως, τὸν καὶ Ἀναστασίας. Ἑτέρωθεν, ἀνάγκη 'να σημειώσωμεν ὅτι ἐξ ἑκατὸν δώδεκα πατριαρχῶν ὀρθοδόξων Κωνσταντινουπόλεως, ἀπὸ Μητροφάνους ἕως Γενναδίου τοῦ Σχολαρίου, πεντήκοντα καὶ ἑπτὰ κατετάχθησαν ἐν τῷ Ἑορτολογίῳ, δηλ. πλέον τοῦ ἡμίσεος. Ἀπέναντι τούτων ?πόσοι πατριάρχαι Ἀλεξανδρείας, Ἀντιοχείας, Ἱεροσολύμων, πόσοι δ' ἀρχιεπίσκοποι Κύπρου, Ἰβηρίας ἢ Ἀχριδῶν ἔσχον τὴν τιμὴν 'να καταταχθῶσιν ἐν ταῖς τῶν ἁγίων φάλαγξιν, ὑπὸ τῆς Ἐκκλησίας τοῦ Βυζαντίου γεραιρόμενοι; Ἐγὼ φρονῶ ὅτι πολλοὶ τούτων ἐν τοῖς τοπικοῖς Ἑορτολογίοις ἐκείνων τῶν Ἐκκλησιῶν, παρ' αἷς ἤνθισαν, κατετάττοντο.

§

Χαρακτῆρα τοπικὸν ἔχοντος ἐξ ἀρχῆς τοῦ Βυζαντινοῦ Ἑορτολογίου, οὐδεμίαν ἀμφιβολίαν ἔχομεν ὅτι τῆς ὑπερκειμένης ταύτης τῶν πόλεων οἱ ἀρχιερεῖς, καθὼς καὶ οἱ εὐσεβεῖς ἄνακτες καὶ πάντες οἱ τῶν ἐν αὐτῇ καὶ περιξ μονῶν ἱδρυταὶ ἔδει 'να καταταχθῶσι βαθμηδὸν ἐν τῷ Βυζαντινῷ, δηλαδὴ τῷ Κωνσταντινουπολιτικῷ Ἑορτολογίῳ. Τὴν κατάταξιν ταύτην εὐώδωσε θαυμασίως ὁ ἰσαπόστολος Κωνσταντῖνος διὰ τῆς οἰκοδομῆς τοῦ μεγάλου ναοῦ τῶν Ἁγίων Ἀποστόλων «ἣν δι' αὐτὸ τοῦτο πεποιήκει ὅπως ἂν *οἱ βασιλεῖς τε καὶ ἱερεῖς* τῶν ἀποστολικῶν λειψάνων μὴ ἀπολιμπάνοιντο[1]»· ἤ, καθὼς ἑτέρῳ σαφῶς ὁ λόγος οὗτος ἐκτίθεται, «ἀπὸ τούτου (δηλ. τοῦ 337) ὡς ἔκ τινος ἔθους γενομένου, καὶ οἱ μετὰ ταῦτα τελευτήσαντες ἐν Κωνσταντινουπόλει βασιλεῖς χριστιανοὶ κεῖνται, οὐ μὴν ἀλλὰ καὶ ἐπίσκοποι, ὡς καὶ τῆς ἱερωσύνης ὁμοτίμου τῇ βασιλείᾳ οὔσης, μᾶλλον μὲν οὖν ἐν τοῖς ἱεροῖς τόποις καὶ τὰ πρῶτα ἐχούσης[2]». Ὥστε βασι-

8. Σωκράτης Σχολαστικός· Ἐκκλησ. Ἱστορ. βιβλ. Ζ΄, κεφ. λθ΄.

9. Ἴδε ἐν τῇ 5 καὶ 15 ἰουνίου, καὶ 7 καὶ 15 αὐγούστου.

10. Οὕτως εἰσήχθη ἴσως ὡς τοπική τις ἑορτὴ ἡ μνήμη τῶν ἐγκαινίων τούτων· ἔνεκεν ἀμαθείας δ' ὕστερον ἡ συνταχθεῖσα Ἀκολουθία ἐπεγράφη εἰς τὴν ἀνάμνησιν τῶν ἐγκαινίων τοῦ μεγάλου ναοῦ τῶν Ἱεροσολύμων.

1. Σωκράτης· Ἐκκλησ. Ἱστορ. Α΄, κς΄.

2. Σωζόμενος· Ἐκκλησ. Ἱστορ. Β΄ λδ΄.

λεὺς ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων θαπτόμενος εἶχέ τινα δικαιώματα πρὸς συγκαταρίθμησιν ἐν τοῖς ἁγίοις τοῦ Ἑορτολογίου, κατηριθμεῖτο δ' εὐχερέστερον εἴπερ ἦν κτίτωρ ναῶν καὶ μονῶν, ἢ προστάτης τῆς ὀρθοδόξου πίστεως· καὶ ἡ μὲν αἰτιολογία αὕτη οὐκ ἐστι βάσιμος, ὅσον ἡ πρώτη· τοῦ δὲ Ἑορτολογίου τοπικὸν χαρακτῆρα φέροντος, ἤρκει μόνον ἡ ἀνέγερσις ναῶν καὶ μονῶν ὅπως ὁ δομήτωρ ἄναξ εἰσαχθῇ εἰς τὸ Ἑορτολόγιον. Ἐκτὸς τῆς καθαγιάσεως τοῦ μεγάλου Κωνσταντίνου, πάντη διάφορον ἐχούσης τὸν λόγον[3], ἐκτὸς τῆς τοῦ Θεοδοσίου Α΄, τοῦ Θεοδοσίου Β΄ καὶ Μαρκιανοῦ, συγκαλεσάντων τὰς Οἰκουμενικὰς Συνόδους Β΄, Γ΄ καὶ Δ΄, Λέων ὁ Θρᾷξ ὀφείλει, κατ' ἐμέ, τὴν εἰσαγωγὴν αὐτοῦ εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ τῆς Ζωοδόχου Πηγῆς· Εὐδοκία ἡ πρότερον Ἀθηναΐς, πολλὰς οἰκοδομήσασα μονὰς ἐν Παλαιστίνῃ καθὼς καὶ τὸν ἔξω τῆς Ἱερουσαλὴμ ναὸν τοῦ ἁγίου Στεφάνου[4], εἰσήχθη εἰς τὸ Ἑορτολόγιον ὡς κτιτόρισσα ναῶν, διότι ἕτερος λόγος οὐ γινώσκεται, ἄτε τῆς Εὐδοκίας ἔν τισι ζητήμασιν οὐ συμφρονούσης τῇ Ἐκκλησίᾳ· καὶ ἡ Πουλχερία δὲ διὰ τὸν αὐτὸν λόγον[5] ἔτυχε τῆς ἐν τῷ χορῷ τῶν ἁγίων κατατάξεως· καὶ ὁ πρεσβύτερος Ἰουστῖνος· καὶ αὐτὸς ὁ Ἰουστινιανὸς ὁ Α΄, οὗ τὴν μνήμην ἐγέραιρον ἐνιαυσίᾳ πανηγύρει κατὰ τὴν Ἔφεσον ὡς δομήτορος τοῦ ναοῦ Ἰωάννου τοῦ Θεολόγου, διότι μέχρι τοῦ ΙΒ΄ αἰῶνος τὸ τῶν Βυζαντίων Ἑορτολόγιον οὐ κατηρίθμει τὸν ἄνθρωπον ἐν τοῖς ἁγίοις ἕνεκα στρεβλῶν τινων δοξασιῶν αὐτοῦ· πρῶτον δὲ κατὰ τὰς ἀρχὰς τῆς ΙΒ΄ ἑκατονταετηρίδος ἤρξατο μεγαλοπρεπῶς ἡ Ἐκκλησία πανηγυρίζειν ἐν αὐτῷ τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας τὴν μνήμην Ἰουστινιανοῦ τοῦ Α΄[6]. Κατὰ τὸν Γ΄ αἰῶνα ἡ τῆς Κωνσταντινουπόλεως Ἐκκλησία ἑώρταζε τῇ 29 αὐγούστου τὴν μνήμην καὶ αὐτοῦ τοῦ Βασιλείου τοῦ Μακεδόνος[7], τιμῶσα τοῦτον βεβαίως ὡς κτίτορα καὶ καινιστὴν πολλῶν ἐν Κωνσταντινουπόλει καὶ τοῖς πέριξ μονῶν καὶ ναῶν· ἐντεῦθεν ἀπὸ τοῦ ΙΒ΄ ἢ τοῦ ΙΓ΄ αἰῶνος ἐγέραιρε τὴν μνήμην Εἰρήνης βασιλίδος τῆς μετὰ ταῦτα Ξένης μοναχῆς, καθὸ κτιτορίσσης, ἐπὶ μάρτυρι τῷ Συναξαριστῇ[8], τῆς μονῆς τοῦ Παντοκράτορος. Πρώτης δὲ μεταξὺ πάντων καὶ πασῶν ἡ μνήμη τῆς ἁγίας Ἑλένης ἤρξατο γεραιρομένη, ἀπὸ δὲ τῶν Ἱεροσολύμων κατεγκλιματίσθη ταχέως εἰς τὴν Ἐκκλησίαν Κωνσταντινουπόλεως, ἴσως δὲ καὶ τῶν ἀνὰ τὸν Ἀστακηνὸν κόλπον πόλεων, ἐξ ὧν Ἑλενόπολις ὑπ' αὐτοῦ τοῦ υἱοῦ αὐτῆς τὸ Δρέπανον μετωνομάσθη[9]· δύναται δέ τις εἰπεῖν ὅτι καὶ συγχρόνως ἤρξατο γεραιρομένη ἐν Θράκῃ καὶ Βιθυνίᾳ καὶ Παλαιστίνῃ ἡ μνήμη τῆς μακαρίας Ἑλένης ἀμέσως μετὰ θάνατον, διότι αἱ ἐν Ἱεροσολύμοις ἱεραὶ παρθένοι, «αἷς ἑστῶσα, δι' ἑαυτῆς, ὡς θεράπαινα, ταῖς τραπέζαις ἡ θεόφρων διηκόνει, διὰ παντὸς θείαις μνήμαις αὐτὴν ἐμακάριζον»· ἐπίσης δ' ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐτίμων τὴν μακαρίαν βασιλίδα *μνήμαις φαιδραῖς καὶ παννυχίσι*[10].

§

Οὐδαμῶς παράδοξον εἰκασίαν εἰσάγω, νομίζων ὅτι Κωνσταντῖνος ὁ υἱὸς αὐτῆς εἰσήγαγεν ἢ ἐπέβαλε τὸν μεγαλοπρεπῆ πανηγυρισμὸν τὸν εἰς μνήμην τῆς μητρὸς αὐτοῦ· αὐτὸς ἀριβῶς εἰσήγαγε τὴν ἀποθέωσιν αὐτοῦ, οἷον εἰπεῖν, ἐξ ἧς, συνδυαζομένης πρὸς τὸν ἐν τοῖς Ἁγίοις Ἀποστόλοις ἐνταφιασμὸν τῶν εὐσεβῶν βασιλέων, διηυκολύνθη ἡ παρείσδυσις πολλῶν εἰς τὸ Ἑορτολόγιον, καὶ μονονουχὶ τοῦ κακούργου Φωκᾶ. Λόγος ἐκτενὴς ἐστι περιττὸς ἐπὶ τούτῳ· Κωνσταντῖνος ὁ Μέγας ὡς κτίτωρ τῆς ἐπωνύμου αὐτῷ πόλεως διέταξε 'να ἐπιτελῆται τῇ 11 μαΐου τὸ Γενέθλιον αὐτῆς καὶ 'ν' ἀνοίγηται κατὰ τὴν ἡμέραν ταύτην τὸ δημόσιον τοῦ Ζευξίππου λουτρόν· ποιήσας δ' *ἑαυτῷ στήλην κεχρυσωμένην* «βαστάζουσαν ἐν τῇ δεξιᾷ χειρὶ τύχην τῆς αὐτῆς πόλεως καὶ αὐτὴν κεχρυσωμένην» διέταξεν ὅπως εἰσάγωσι ταύτην εἰς τὸ Ἱππικὸν κατὰ τὴν 11 τοῦ μαΐου μετὰ πομπῆς στρατιωτικῆς καὶ μεγάλης παρατάξεως, πάντων κρατούντων κηρία λευκά, καὶ 'να διέρχηται πρὸ τοῦ

3. τὸν λόγον ἀμέσως ἐξετάζω κατωτέρω.

4. Εὐάγριος· Ἐκκλ. Ἱστορ. βιβλ. Α΄ κεφ. κα΄, κδ΄. Νικηφόρος Κάλλιστος· Ἐκκλησ. Ἱστορ. βιβλ. ΙΔ΄, κεφ. ν΄.

5. Σωζόμενος· Ἐκκλ. Ἱστορ. βιβλ. Θ΄, κεφ. α΄ καὶ γ΄. Νικηφόρος Κάλλιστος· ΙΔ΄, β. Θεοδώρου Ἀναγνώστου Ἐκλογαὶ ἐκ τῆς Ἐκκλ. Ἱστορ. Α΄, 5. Θεοφάνης· τόμ. Α΄ σελ. 126, 164.

6. βλέπε προχείρως τοῦ Μ. Ι. Γεδεὼν τοὺς Πατριαρχικοὺς Πίνακας· σελ. 348.

7. Πορφυρογεννήτου, Ἔκθεσις τῆς βασιλείου τάξεως· Βόννης, τόμ. Α΄, σελ. 780.

8. ὑπόμνημα εἰς τὴν 13 αὐγούστου.

9. Μαλαλᾶς· σελ. 323. Πασχάλιον Χρονικόν· Βόννης, 527. Κεδρηνός· Α΄ τόμου σελ. 519.

10. Θεοφάνης· τόμ. Α΄, σελ. 40.

βασιλικοῦ καθίσματος ἡ στήλη αὕτη, ὁ δὲ κατὰ καιρὸν βασιλεὺς ἐπεγειρόμενος 'να προσκυνῇ τήν τε στήλην ταύτην τοῦ Κωνσταντίνου καὶ τὴν παράστασιν τῆς τύχης τῆς πόλεως· «ὡς οὐκ ἐγένετο πώποτε βασιλέα τῶν πρὸ αὐτοῦ δοξασθῆναι οὕτως ἐν τῇ ζωῇ καὶ μετὰ θάνατον»[1]. Τοιαύτη δ' ἦν ἡ γενομένη λατρεία πρὸς αὐτὸν ὡς δομήτορα τῆς πόλεως ἢ καὶ ὡς ἰσαπόστολον καὶ ταφέντα σὺν τοῖς ἁγίοις Ἀποστόλοις, ὥστε, ἔτη τινὰ μετ' αὐτόν, Φιλοστόργιος ὁ ἐκκλησιαστικὸς ἱστοριογράφος, ὁ τὰ περὶ τὴν πίστιν οὐ πάνυ τοι ὀρθοτομῶν, μομφὴν διετύπου κατὰ τῶν χριστιανῶν, ὡς παρενεχθέντων «τὴν εἰκόνα Κωνσταντίνου τὴν ἐπὶ τοῦ Πορφυροῦ κίονος ἱσταμένην ἱλάσκεσθαί τε θυσίαις, καὶ λυχνοκαίαις καὶ θυμιάμασι τιμᾷν, εὐχάς τε προσάγειν ὡς Θεῷ, καὶ ἀποτροπαίους ἱκετηρίας τῶν δεινῶν ἐπιτελεῖν»[2]. Ἐτελεῖτο ἄρα ἀληθὴς ἐκκλησιαστικὴ καὶ ἱερὰ πανήγυρις, κοσμικὴν ἔχουσα τὴν καταβολήν, ὅ,τι δ' ἐγίνετο περὶ τὴν εἰκόνα τοῦ Μεγάλου Κωνσταντίνου καὶ τὴν αὐτοῦ στήλην, ἔδει γενέσθαι βραδύτερον καὶ πρός τινας εἰκόνας καὶ στήλας εἰς τιμὴν ἑτέρων αὐτοκρατόρων ἀναστηθείσας· διότι βασιλέων εἰκόνες καὶ στῆλαι, καθὼς καὶ ἑτέρων ἐπιφανῶν ἀνδρῶν «εἰς τὸν ἡμέτερον βίον πάντως εἰσήχθησαν . . . . οἱονεί τις ὑπόμνησις πρὸς ἀρετὴν γινόμενα»[3], πολλαχοῦ δ' ἠγείροντο παρ' ἡμῖν καὶ μετὰ τὸν Δ' αἰῶνα, πολλῆς ἀπολαύουσαι τιμῆς καὶ σεβασμοῦ πολλοῦ, οὗτινος εἴπερ ἐγίνετό τις ἔξαρνος ἐτιμωρεῖτο, καθὰ δεικνύουσι τὰς περὶ τοὺς ἀνδριάντας Θεοδοσίου καὶ Πλακίλλας ἐν Ἀντιοχείᾳ γενόμενα κατὰ τὰ τέλη τῆς Δ' ἑκατονταετηρίδος. Ἐπιφανεῖς ἄνδρες ἀνίστων ἐκείνοις ἀνδριάντας καὶ στήλας ἢ καὶ αὐτοὶ ἑαυτοῖς ἐπέτρεπον οἱ ἄρχοντες λαῶν τὴν ἀναστήλωσιν τοιούτων, ὡς ἔπραξεν Εὐδοξία ἡ τῷ Χρυσοστόμῳ πολεμία τῷ 404[4]. Οἱ σκρινιάριοι (χαρτοφύλακες) ἐπὶ Λέοντος τοῦ Θρᾳκὸς «ἀργυρήλατον ὅλην εἰκόνα τῷ βασιλεῖ ἐπὶ κίονος ἀναστήσαντες, τὸ πάλαι καλούμενον Πλάκωτον, πρὸς τῷ Ὡρολογίῳ τῆς πόλεως, διεκόσμησαν· ὡς ἐν τοῖς ἀρχείοις τοῦ δημοσίου ἱστρουμέντου ηὗρον ἱστορημένον. Καὶ ἡ μὲν στήλη καθ' ἡμᾶς ἐπὶ τὰ χρειωδέστερα τῆς πόλεως προεχώρησεν· ὁ δὲ κίων πρὸ τῆς ἐν τῷ λεγομένῳ Ἑβδόμῳ ἀγορᾶς ἀναστὰς, τῇ τοῦ κρατίστου ἡμῶν βασιλέως εἰκόνι σεμνύνεται»[5]· τοῦθ' ὅπερ δηλοῖ τὸν πρὸς τὰς εἰκόνας ταύτας σεβασμόν. Αὐτοῦ δὲ τούτου τοῦ Λέοντος αὐταρχοῦντος, Κωνσταντῖνος ὕπαρχος, εἰδήμων τῆς κατὰ Λατίνους παιδείας καὶ γλώσσης, «ἀγορὰν ἐδείματο διαπρεπεστάτην, Λέοντος αὐτὴν προσαγορεύσας, ἐν ᾗ καὶ τὴν προαγωγὴν ἐκείνου ψηφίδι κατεγράψατο»[6]. Καὶ μετ' αὐτὸν, Ἀναστασίου τοῦ Θρᾳκὸς ἀνάσσοντος, αὐτοῦ κελεύσει, στήλη ἀνεστήθη τῷ 506 διὰ τοῦ ἀπὸ ὑπάτων Ἰωάννου τοῦ Παφλαγόνος, χωνεύσαντος πάντα τὰ χαλκουργήματα τῆς πλατείας Κωνσταντινουπόλεως, «ἅπερ ὁ θειότατος Κωνσταντῖνος ὡς καλλιστεύοντα ἀπὸ ἑκάστης πόλεως συναγαγὼν ἤνεγκεν εἰς κόσμησιν αὐτῆς»[7]. Οὐδεμία δ' ἀμφιβολία ὅτι καὶ αὕτη, καθὼς καὶ ἡ τοῦ Μ. Ἰουστινιανοῦ τῷ 544 ἀναστηθεῖσα ἔριππος στήλη[8], καὶ τίς οἶδε πόσαι ἕτεραι τοιαῦται, μεγίστων ἀπήλαυον τιμῶν· διότι μέχρι τοιούτου βαθμοῦ ἔβαινεν ἡ κολακεία, ὥστε, ζῶντος ἔτι τοῦ βδελυροῦ Φωκᾶ καὶ κατὰ διαταγὴν αὐτοῦ, «οἱ μάταιοι τῶν ἀνθρώπων ἀσπροφορροῦντες εἰσῆγον εἰς τὸ Ἱππικὸν τὴν εἰκόνα μετὰ κηραΐας»[9]. Εἰ δὲ ζῶντες ἀπελάμβανον οἱ τοιοῦτοι δείλαιοι τοιαύτας τιμὰς, συνεπὲς ἦν καὶ δίκαιον 'ν' ἀπολαμβάνωσιν οἱ βέλτιστοι μετὰ θάνατον τιμὰς ἀληθεῖς, ὧν ἦσαν ἄξιοι καὶ καθ' ἑαυτοὺς καὶ ἐν ἀντιβολῇ πρὸς τὸν ἀλιτήριον Φωκᾶν.

Πᾶσι δὲ γνωστῆς οὔσης τῆς θεωρίας ὅτι ἰσοῦται τῇ ἱερωσύνῃ ἡ βασιλεία, ἣν ἑπόμενον 'ν' ἀπονέμηται σχεδὸν ἡ αὐτὴ τιμὴ τοῖς τε λειψάνοις τῶν ἐπισκόπων καὶ τοῖς σκήνεσι τῶν εὐσεβῶν ἀνάκτων. Ἡ θεωρία αὕτη, καθόσον οἱ αἰῶνες παρήρχοντο, προσελάμβανε τύπον διδασκαλίας εἰ οὐχὶ δογματικῆς, ἀλλὰ παρομοίας· οὕτω δὲ κατὰ τὸν Γ' αἰῶνα Πολύευκτος ὁ πατριάρχης ἀνεβίβασεν αὐτὴν εἰς περιωπὴν ὑψηλοτέραν, ἀποφανθεὶς ἐπὶ τῇ στέψει τοῦ Ἰωάννου Τζιμισκῆ ὅτι τὸ χρίσμα ἐκεῖνο πάσας τὰς μέχρι ἐκείνης τῆς ἡμέρας γενομένας ἁμαρτάδας ἀποπλύνει, καθὼς τὸ χρίσμα τὸ κατὰ τὸ βάπτισμα καθαίρει τὰ πρὸ τοῦ βαπτίσματος ἁμπλακήματα[1]. Περὶ τῆς ἐπισκοπικῆς ἀξίας ἤκουσεν οὐ πρὸ μικροῦ παρομοίαν θεωρίαν ἡ Ἐκκλησία διατυπουμένην καὶ παρ' ὀρθοδόξων καὶ παρὰ τῶν κατὰ τὴν πίστιν διεστραμμένων· Μαρτύριος ὁ Κίλιξ ἔλεγε πρὸς τὸν πατριάρχην Νεκτάριον ὅτι «τό τε θεῖον λουτρὸν καὶ ἡ ἱερωσύνη ἁμπλακημάτων εἶναι λυτήρια τοῖς θείοις ἔγνωμεν νόμοις»[2]· Πέτρος δ' ὁ Κναφεὺς ὁ κακόδοξος πατριάρχης Ἀντιοχείας, Ξεναίαν τὸν μήπω τοῦ θείου λουτροῦ κατηξιωμένον χειροτονήσας ἐν ἀγνοίᾳ τῆς προτέρας ζωῆς ἐπίσκοπον Ἱεραπόλεως, ἀπεφάνθη καὶ οὗτος, ἑκατὸν εἴκοσιν ἔτη μετὰ τὸν Κίλικα Βασίλειον, ὅτι ἡ χειροτονία ἐπέχει καὶ τὸν τόπον τοῦ βαπτίσματος· «μαθὼν δὲ ὕστερον ἀβάπτιστον αὐτὸν εἶναι, ἀρκεῖν αὐτῷ τὴν χειροτονίαν ἀντὶ βαπτίσματος ἔφησεν»[3]. Εἰ δὲ κατὰ τὰ τέλη τῆς Ζ' ἑκατονταετηρίδος Μάξιμος ὁ Ὁμολογητὴς ὑπό τινων κατηγορήθη ἐπὶ πρωτοφανεῖ διδασκαλίᾳ τοῦ μήτ' εὔλογον εἶναι δῆθεν, μήθ' ὅσιον ἱερεῖς καλεῖσθαι τοὺς ὑπάτους κοσμικοὺς ἄρχοντας, ἀπεδείχθη μὲν ὅτι τὸ τοιοῦτον οὐκ ἐδίδαξεν, ἀλλ' αὐτὸς εἶπε περὶ διαφορᾶς ὑπαρχούσης μεταξὺ τῆς μὲν καὶ τῆς δὲ τῶν ἀρχῶν τούτων, καθὸ τῆς μὲν ἁγιαζούσης καὶ μυστήρια τελούσης καὶ ναοὺς χριούσης, τῆς δὲ οὐχί, καὶ συνεπῶς ἀλουργίδα μὲν ταύτης καὶ στέμμα φερούσης, ἐκείνης δὲ ὠμοφόριον καὶ Εὐαγγέλιον καὶ μὴ δυναμένης ἐκεῖνα φέρειν, ἅτινα τοῖς βασιλεῦσι μόνον ἦσαν ἴδια· ἐπαγόμενος ὅτι «καὶ εἰς τὴν ἁγίαν ἀναφορὰν ἐπὶ τῆς ἁγίας Τραπέζης (ἐκεῖνοι) μετὰ τοὺς ἀρχιερέας καὶ διακόνους, μετὰ τῶν λαϊκῶν μνημονεύονται»[4]. Οὕτως ἔμενεν ἰσχύουσα πάντοτε ἡ διδασκαλία περὶ τῆς ἰσότητος ἱερωσύνης καὶ βασιλείας, συνεπάγουσα πάντοτε τὴν ἰσότητα τῆς τιμῆς τῆς ἀπονεμομένης εἰς τὰ λείψανα τῶν ἱερέων καὶ τῶν εὐσεβῶν ἀνάκτων. Γινώσκομεν πῶς ἐτιμωρήθη κατὰ τὴν κηδείαν Εὐδοκίας τῆς πρώτης συζύγου τοῦ Ἡρακλείου ἡ ἀγροῖκος ἐκείνη κόρη «λίαν οἰκτρὸν ἐπιτάφιον τῇ θανούσῃ προσαχθεῖσα»[5] κατά τι παλαιὸν ἔθιμον, ὅπερ ἀποδοκιμάζει Νικηφόρος ὁ μακάριος ἱστοριογράφος καὶ πατριάρχης «βάρβαρον ἔθιμον» καλῶν[6]. Οἱ δὲ τὸν Λέοντα Διάκονον πρόχειρον ἔχοντες εὑρίσκουσιν ὅτι τὴν αὐτὴν ὑπέστη τιμωρίαν τὸ γύναιον ἐκεῖνο τὸ κατὰ τῆς κεφαλῆς Νικηφόρου τοῦ Φωκᾶ τῷ 967 λίθους ἐπιρρῖψαν[7].

Τὰς αὐτὰς δὲ τιμὰς ἀπένεμον οἱ αἰῶνες ἐκεῖνοι πρὸς τὰ λείψανα τῶν εὐσεβῶν ἀνάκτων κατὰ τὴν ἀνακομιδὴν αὐτῶν. Κατὰ τὸν μῆνα σεπτέμβριον, πιθανῶς τοῦ 886, διαταγῇ τοῦ Σοφοῦ Λέοντος, γενομένης ἐκ Χρυσοπόλεως τῆς ἀνακομιδῆς τῶν λειψάνων Μιχαὴλ τοῦ Μεθυστοῦ, υἱοῦ τοῦ Θεοφίλου, εἰσαγαγόντες εἰς τὴν πόλιν «μεθ' ὕμνων καὶ τιμῆς πολλῆς καὶ μετὰ κηρῶν πολλῶν μέχρι τῶν Ἁγίων Ἀποστόλων προέπεμψαν»[8]. Εἰ δ' ἐψάλλετο, καθὰ γινώσκομεν, ἐπὶ τῶν τελευτώντων ἀκολουθία νεκρώσιμος ἀπὸ τοῦ Ϛ' ἔτι αἰῶνος[9], ἀλλ' ἡ προπομπὴ τῶν λειψάνων τῶν εὐσεβῶν ἀνάκτων ἐγίνετο καὶ *μετὰ κηρῶν καὶ τιμῆς πολλῆς*. Τῷ 1260, ἐν τῷ κατὰ τὸ Ἕβδομον ἱερῷ ναῷ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου εὑρεθέντος ὁλομελοῦς τοῦ λειψάνου Βασιλείου τοῦ Β', Μιχαὴλ ὁ Παλαιολόγος, πέμψας σηρικὰ πέπλα χρυσόσημα, διέταξε 'να μετακομίσωσιν εἰς Γαλατᾶν «ὑπὸ πολλῇ τιμῇ καὶ δορυφορίᾳ ψαλμοῖς καὶ ὕμνοις τὴν θήκην, πέπλοις τε χρυσοῖς ὑπ' ἀκοιμήτῳ φωτὶ . . . τιμᾷν τοῖς προσήκουσιν», ἕως οὐ μετ' οὐ πολὺ μετακομίσας εἰς Σηλύβριαν ἐν τῇ αὐτόσε μονῇ τοῦ Σωτῆρος ἀπέθετο[10]. Τὴν αὐτὴν δὲ τιμὴν ἐνίοτε ἐν ἐκρήξει φανατισμοῦ οἱ εὐλαβεῖς ἀπένεμον καὶ τοῖς τῶν πατριαρχῶν λειψάνοις· τῇ

1. Πασχάλιον Χρονικόν· σελ. 529-530 καὶ 533. Μαλαλᾶς· σελ. 321-322.
2. Φιλοστοργίου Ἐκκλ. Ἱστοριῶν ἐπιτομή· Β', 17.
3. Θεοκτίστης τῆς λεσβίας βίος· ἐν Μνημείοις Ἁγιολογικοῖς Θεοφίλου Ἰωάννου· Βενετίᾳ, 1884, σελ. 18.
4. Θεοφάνης· Α', σελ. 123.
5. Ἰωάννου Λαυρεντίου Λυδοῦ, περὶ ἀρχῶν τῶν Ῥωμαίων πολιτείας· ἐκδόσεως Hase, Παρίσιοι, 1812, σ. 212.
6. Λυδοῦ, ἔνθ' ἀνωτ. σελ. 128.
7. Θεοφάνης· Α', σελ. 229. Μαλαλᾶς· σελ. 400.
8. Μαλαλᾶς· σελ. 482.
9. Πασχάλιον Χρονικόν· σελ. 701.

1. Βαλσαμῶνος, Ἑρμηνεία εἰς τὸν ΙΒ' κανόνα τῆς ἐν Ἀγκύρᾳ Συνόδου.
2. Νικηφ. Καλλίστου Ἐκκλησ. Ἱστορίας βιβλ. ΙΒ', κεφ. 14 κατὰ μεταγραφὴν ἀπὸ τοῦ Σωζομένου.
3. Θεοφάνης· Α', σελ. 207-208.
4. Βίος Μαξίμου· Migne, τόμ. ϙ', στήλη 92. Ἰδὲ ἐν τῷ αὐτῷ τόμῳ, Ἐξήγησιν τῆς κινήσεως μεταξὺ τοῦ ἁββᾶ Μαξίμου καὶ τῶν ἀρχόντων ἐπὶ σεκρέτου· στ. 117, ἔνθεν μανθάνομεν ὅτι τῶν ἀνάκτων τὸ μνημόσυνον ὁ διάκονος ἐποιεῖτο: *Καὶ τῶν ἐν πίστει κεκοιμημένων λαϊκῶν, Κωνσταντίνου, Κώνσταντος, καὶ τοὺς λοιπούς* (οὕτω: λοιπούς).
5. Ζωναρᾶς· βιβλ. ΙΔ', κεφ. 15 (ἐκδόσ. Δινδορφίου τόμ. Γ', σελ. 305).
6. Νικηφ. Χρονογρ. σελ. 8.
7. Λέων Διάκονος· σελ. 65.
8. Theophanis Continuati· σελ. 353. Συμεὼν Μάγιστρος· σελ. 700. Γεώργιος μοναχός· σελ. 849.
9. Προκοπίου Ἱστορίαι· τόμ. Α', σελ. 257.
10. Παχυμέρης· τόμ. Α', σελ. 125. Ἡ μονὴ τοῦ Σωτῆρος Χριστοῦ ἐσῴζετο ἐν Σηλυβρίᾳ καὶ τῷ 1343. Miklosich καὶ Müller, Acta Patriarch. Constantinopolitani· τόμ. Α', σελ. 232.

23 ὀκτωβρίου 878, κατὰ τὴν κηδείαν Ἰγνατίου τοῦ μακαριωτάτου πατριάρχου, «τοσοῦτον τὸ εἰς αὐτὸν σέβας ἀνῆπται τοῖς λαοῖς, ὥστε καὶ τὰ ἐπὶ τοῦ σκίμποδος, ἐν ᾧ κατέκειτο, θράνη ἀντὶ λειψάνων διηρπάσθαι, καὶ τὸ ἐπ' αὐτοῦ δὲ κείμενον πέπλον, μυρίοις καταδιαιρούμενον τμήμασιν, εἰς ἁγιασμοῦ δῶρον καταμεμερίσθαι τοῖς πιστοῖς»[11]. Συμπεραίνει τις ὅτι καὶ κατὰ τὰς κηδείας ἑτέρων ἱεραρχῶν ἐγίνετο τὸ αὐτό, σχεδὸν ἔτι ζώντων.

§

Ἔστι δὲ βέβαιον ὅτι καὶ ναοί ποτ' ἠγέρθησαν ἐπ' ὀνόματι ὁσίου τινὸς ἀνδρὸς πρὸ τοῦ θανεῖν αὐτόν· τοῦθ' ὅπερ ἐκίνησεν εἰς ἀπορίαν τὸν πολὺν Νικόδημον τὸν ἁγιορείτην[1]. Καθ' ἑτέραν δὲ ἀσύστατον παράδοσιν, Θεοδώρα ἡ τοῦ μεγάλου Ἰουστινιανοῦ σύζυγος, οἰκοδομοῦσα δῆθεν ναὸν ἐν Προκοννήσῳ, διέταξε 'να σεμνύνηται δῆθεν ὁ ναὸς ἐπ' ὀνόματι ζῶντος ἀνθρώπου, Τιμοθέου τοῦ μυθολογηθέντος ἀρχιεπισκόπου τῆς παροικίας ταύτης[2]: τοῦθ' ὅπερ δείκνυσιν ὅτι κατὰ τοὺς αἰῶνας Ε' καὶ Ϛ' παρεισέδυεν εἰς τὴν Ἐκκλησίαν ἡμῶν διδασκαλία τις περίεργος, ὅτι καὶ τοῖς ζῶσιν ὁσίοις ἀνδράσιν ἠδύνατό τις 'ν' ἀνεγείρῃ ναούς.

Ἐκ τούτου δὲ δύναταί τις συμπεραίνειν ὅτι, ναῶν ἐπ' ὀνόματι τῶν ὁσίων τούτων ἀνδρῶν ἀνεγειρομένων, οὐδεμία μὲν ἀμφιβολία ὅτι καὶ κατετάσσοντο πάντες εὐθέως εἰς τὸ Ἑορτολόγιον, καὶ οἱ ἐπ' ὀνόματι τούτων, ζώντων ἔτι ἢ μόλις θαπτομένων, ἐγειρόμενοι ναοὶ οὐδὲν ἕτερον ἦσαν ἢ μνημεῖα πρὸς τιμὴν αὐτῶν ἀνυφούμενα. Τῶν εὐσεβῶν δ' ἀνάκτων, τῶν τὴν βασίλειον ἀρχὴν ἴσην τῇ ἱερωσύνῃ κεκτημένων, εἰσελθόντων εἰς τὸ Ἑορτολόγιον, εἰ καὶ ἐτύγχανον μάλιστα τεθαμμένοι ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων, καὶ μετὰ τὴν κατάταξιν Ἑλένης καὶ Πλακίλλας, Εὐδοκίας καὶ Θεοδώρας καὶ Πουλχερίας, τὸ δικαίωμα τῆς ἐν τῷ Ἑορτολογίῳ κατατάξεως ἐχορηγεῖτο, καθὼς νομίζω, καὶ ταῖς συζύγοις τῶν αὐτοκρατόρων, ἐκ διαταγῆς αὐτῶν. Θεοφανοῦς τῆς πρώτης συζύγου τοῦ Σοφοῦ Λέοντος ἀποθανούσης, ὁ σύζυγος, τιμῶν αὐτήν, «ἐκκλησίαν περικαλλῆ εἰς ὄνομα Θεοφανὼ τῆς συζύγου» πλησίον τοῦ ναοῦ τῶν Ἁγίων Ἀποστόλων ᾠκοδόμησεν. Ἂν εἴπῃ δέ τις ὅτι ἦν εἰς ἄκρον ἀρετῆς ἐληλακυῖα ἡ Θεοφανὼ[3], καλῶς εἶχε δ' ἄρα ἡ τοῦ ναοῦ ἀνέγερσις, δέον ὑπ' ὄψιν 'να ἔχῃ ὅτι, καὶ τῆς δευτέρας αὐτοῦ συζύγου Ζωῆς τῆς τοῦ Ζαούτζα θανούσης, αὐτὸς ὁ Λέων ᾠκοδόμησε «ναὸν τὴν ἁγίαν Ζωὴν»[4], εὐφυῶς ὑποκλέπτων οὕτω τὴν ἐν τῷ Ἑορτολογίῳ κατάταξιν. Οὕτως οἱ ναοὶ διὰ τοὺς ἰδιώτας, ὡς μνημεῖα τῆς ἐκ τοῦ κόσμου τούτου διαβάσεως, ὑποκαθιστῶσι τὰς στήλας καὶ τοὺς ἀνδριάντας τοὺς ἐπ' ὀνόματι τῶν αὐτοκρατόρων ὑψουμένους.

§

Ἐπειδὴ δ' ἐν τοῖς ναοῖς τούτοις ἐτελεῖτο διαρκῶς τὸ μνημόσυνον τῶν ἀνδρῶν ἢ τῶν γυναικῶν, ὧν ἐπ' ὀνόματι ἠγείροντο, ὧν ἀναλώμασι καὶ φροντίδι κατεσκευάζοντο, ἐπειδὴ τὸ μνημόσυνον τοῦτο κοσμικώτερον ἀναθεωρούμενον ἦν ἅμα καὶ ἑορτὴ ἐπέτειος εἰς τιμὴν τοῦ θανόντος, ἡ ἑορτὴ μετέπεσεν εἰς ἱερὸν πανηγυρισμόν, καὶ τὸ Τυπικὸν παντὸς ναοῦ τοιούτου καὶ πάσης μονῆς τοιαύτης ἐνέγραφε τὴν μνήμην τοῦ δομήτορος ὡς ἁγίου μνήμην. Ἑκάστη μονὴ καὶ πᾶς ναὸς εἶχε τὸν ἅγιον αὐτοῦ, πᾶσα μοναχικὴ δ' ἀδελφότης ἐτέλει ἑορτὴν ἐπ' ὀνόματι τοῦ ἱδρυτοῦ καὶ κτίστου τῆς μονῆς. Καὶ ὅτι μὲν ἴδιον εἶχεν ἑκάστη Τυπικὸν λέγω κατωτέρω. Ὅτι δ' εἶχεν ἴδιον Ἑορτολόγιον, καὶ ὅτι τὸ τοιοῦτον ἔθος τοῦ καταστάσσειν αὐτοβούλως ἐν αὐτῷ τοὺς ἐπ' ἐλπίδι ζωῆς αἰωνίου κοιμηθέντας εὐσεβῶς ἡγουμένους αὐτῶν καὶ ναῶν κτίτορας, ἔστιν ἀρχαῖον, διαρκοῦν ἔτι καὶ μέχρις αὐτῶν τῶν μέσων τῆς ΙΔ' ἑκατονταετηρίδος δύο δοκίμους ἔχομεν μαρτυρίας· τὴν μὲν τοῦ ΙΑ' αἰῶνος, τὴν δὲ

11. Ἰγνατίου πατριάρχου βίος, ὑπὸ Νικήτα Δαβὶδ τοῦ Παφλαγόνος· Migne, τόμ. ΡΕ', στήλη 560. Καὶ μεγαλορρημονεῖ μὲν ὁ Νικήτας περὶ Ἰγνατίου· ἕτεροι δὲ παρόμοια περὶ ἑτέρων ἀφηγοῦνται.

1. Συναξάριον Βασιανοῦ· ἴδε 10 ὀκτωβρίου ἐν τῷ μετὰ χεῖρας συγγράμματι. Ἀνάγνωθι δὲ παρὰ Νικοδήμῳ (2 νοεμβρίου) καὶ κατὰ τὴν τοῦ Θεοδωρήτου Κύρου μαρτυρίαν, ὅτι Μαρκιανοῦ τοῦ ὁσίου ζῶντος ἀνηγείροντο ναοὶ ἐπ' ὀνόματι αὐτοῦ. Ἴδε Φιλοθέου Ἱστορίας Γ': «Τούτῳ πολλοὶ μὲν πολλαχοῦ σηκοὺς εὐκτηρίους ἐδείμαντο· ἐν Κύρῳ μὲν ὁ ἀδελφιδοῦς Ἀλύπιος· Ζηνοβιανὴ δέ τις ἐν Χαλκίδι, καὶ γένει λάμπουσα, καὶ ἀρετῇ διαπρέπουσα, καὶ πλούτου περιουσίᾳ κομῶσα· καὶ ἕτεροι δὲ οὐκ ὀλίγοι αὐτὸ τοῦτο ἔδρων, τὸν νικηφόρον ἐκεῖνον ἀθλητὴν ἁρπᾶσαι φιλονεικοῦντες». Migne, ΠΓ', στήλη 1336.

2. Ἀκολουθία ὁσίου Τιμοθέου· β' ἔκδοσις· ἐν Κ/πόλει, 1844, σελ. 55. Βλέπε καὶ Μ. Ι. Γεδεών, Προικόννησον· ἐν Κ/πόλει, 1895, σελ. 120-123 καὶ ἀλλαχοῦ.

3. βλ. ἐν τῷ μετὰ χεῖρας συγγράμματι 16 δεκεμβρίου.

4. Συμεὼν Μάγιστρος· σελ. 703.

τοῦ ΙΔ'. Μαρτυρεῖ Νικήτας ὁ Στηθάτος ἐν βίῳ Συμεὼν τοῦ νέου Θεολόγου, ὅτι, ῥαδιουργία Στεφάνου τοῦ πεπαιδευμένου μὲν ἀλλὰ φθονεροῦ μητροπολίτου Νικομηδείας, ὁ Συμεὼν κατὰ τὰ πρῶτα ἔτη τοῦ ΙΔ' αἰῶνος ἐνήχθη εἰς δίκην ἐνώπιον τοῦ πατριάρχου τῆς Κωνσταντινουπόλεως καὶ τῆς συνόδου αὐτοῦ, κατηγορηθεὶς ὅτι τὸν ἐν τῷ μοναχικῷ πολιτεύματι διδάσκαλον αὐτοῦ Συμεὼν τὸν ἐπίκλην Εὐλαβῆ, δόξαν ἀνδρὸς ἐναρέτου σφετερισθέντα δῆθεν, θεωρεῖ ἅγιον καὶ μεγάλην ἄγει πανήγυριν κατὰ τὴν μνήμην αὐτοῦ· ταῦτα δ' ἡ σύνοδος ἀκούσασα, οὐδὲν μὲν ἐψηφίσατο κατὰ τῆς συνηθείας ταύτης τοῦ πᾶσαν μονὴν ἄγειν ἃς ἂν θέλῃ μνήμας ἀποθανόντων μοναχῶν, διέταξε δ' ὅμως ὅπως ὁ Συμεὼν ὁ νέος ἐλαττώσῃ τὴν μεγαλοπρέπειαν τῆς ἐπὶ τῇ μνήμῃ τοῦ Συμεὼν Εὐλαβοῦς ἀγομένης πανηγύρεως· καὶ λέγεται μὲν ὅτι ζήτημα κατ' ἐκεῖνον τὸν καιρὸν ἠγέρθη περὶ τῶν πολλαχοῦ σῳζομένων εἰκόνων τοῦ Συμεὼν Εὐλαβοῦς, ἃς ἐκ διαταγῆς τοῦ πατριάρχου κατέσπων, ὅπερ δηλοῖ ὅτι ἡ μνήμη τοῦ Συμεὼν τούτου ἀνεγράφη καὶ ἐν Ἑορτολογίοις ἑτέρων μονῶν, οὐδαμοῦ ὅμως φαίνεται ῥητή τις ἀποδοκιμασία τῆς συνηθείας τοῦ τοιαύτας πανηγύρεις ἄγειν τὰς ἐν Κωνσταντινουπόλει μονάς. Τῆς μαρτυρίας τοῦ Νικήτα Στηθάτου καὶ κατόπιν ἔχομεν ἀνάγκην· αὐτὸς οὗτος γράφει ὅτι, μετὰ θάνατον τοῦ Συμεὼν τοῦ νέου Θεολόγου, χρηματίσαντος, ὡς γνωστόν, ἡγουμένου τῆς μονῆς ἁγίου Μάμαντος τοῦ Ξυλοκέρκου, συνέθετο ἐπιτάφιον λόγον εἰς τὸν νέον Θεολόγον Συμεὼν καὶ Ἀκολουθίαν καὶ ὕμνους, ἅτινα διορθωθέντα μετ' ἔπειτα παρά τινος ἀνδρὸς εὐπαιδεύτου ἔψαλλεν *εἰς τὸν τάφον τοῦ ἁγίου μεθ'* ἑτέρων εὐλαβῶν, ἀποδιδοὺς σέβας αὐτῷ καὶ τιμὴν τὴν κατὰ δύναμιν. Φιλόθεος δέ τις, κτίτωρ, ἅμα τῷ Ἰωάννῃ, ἀνδρὶ ἐπίσης εὐλαβεῖ, μονῆς τινος ἐν προαστείοις Κωνσταντινουπόλεως, ἰδὼν ἐν ἐκστάσει τὸν νέον Θεολόγον Συμεὼν καὶ παρ' αὐτοῦ τὰ τῆς αὐστηρᾶς μοναδικῆς πολιτείας ἀναδιδαχθείς, ἐξ εὐγνωμοσύνης κινούμενος ἦρχετο εἰς τὸν τοῦ Συμεὼν τούτου τάφον καὶ προσεκύνει, καὶ τὰ ὑπὸ Νικήτα Στηθάτου συνταχθέντα λαβὼν ἐγκώμια, εἰσήγαγε καὶ αὐτὸς ἐν τῇ μονῇ αὐτοῦ τὴν ἐπέτειον ἐπὶ τῇ μνήμῃ τοῦ νέου Θεολόγου Συμεὼν πανήγυριν[1]. Τοιούτῳ τρόπῳ δ' εἰσῆγεν ἑκάστη μονὴ καὶ ναὸς οἱοσδήποτε ἐν τῷ κατ' αὐτὸν Ἑορτολογίῳ μνήμας ἑτέρων ὁσίων ἀνδρῶν ἐν μοναῖς ξέναις τὸν δίαυλον ἀνυσάντων τῆς μοναδικῆς ἀσκήσεως. Ἐν ἀρχαῖς τοῦ Ι' αἰῶνος, ἀποθανούσης τῆς ὁσίας Εἰρήνης ἡγουμένης τῆς ἐν Κωνσταντινουπόλει μονῆς τοῦ Χρυσοβαλάντου, συγγενής τις αὐτῆς, ἰλλούστριος τὴν ἀξίαν, πρεσβείαις αὐτῆς σωθείς ποτε ἀπὸ καταδίκης θανατικῆς, ἀναμιμνησκόμενος τῆς μεγάλης ταύτης εὐεργεσίας, ἐώρταζε λαμπρῶς τε καὶ πανηγυρικῶς τὴν μνήμην τῆς ὁσιωτάτης Εἰρήνης[2]. Ὅτι δ' ἡ συνήθεια τοῦ πᾶσαν μονὴν ἔχειν ἰδίους ἁγίους καὶ Ἑορτολόγιον ἴδιον καὶ κατ' αὐτὸ πανηγύρεις ἄγειν ἐτησίας διήρκεσε καὶ πέραν ἔτι τῶν μέσων τῆς ΙΔ' ἑκατονταετηρίδος ἔχομεν ἀψευδῆ μάρτυρα Φιλόθεον τὸν πατριάρχην Κωνσταντινουπόλεως, ὅστις ἰδοὺ τί λέγει, προκειμένου λόγου περὶ τῆς ἰδιωτικῶς τὸ πρῶτον, εἶτα δ' ἐπισήμως τελουμένης μνήμης Γρηγορίου τοῦ Παλαμᾶ. Λαλῶν ὁ Φιλόθεος, ἐξαετίαν μόλις μετὰ θάνατον τοῦ Παλαμᾶ, πρὸς τὴν κατὰ Προχώρου τοῦ Κυδώνη συγκροτηθεῖσαν ἐν Κωνσταντινουπόλει σύνοδον, ἀνωμολόγει τὴν ἁγιότητα τοῦ ἀνδρὸς «ἀπὸ τῆς αὐτοῦ πολιτείας τῆς θαυμαστῆς καὶ ἰσαγγέλου καὶ τῶν μεγάλων ἀγώνων, οὓς ἠγωνίσατο κατά τε τῶν παθῶν καὶ τῶν δαιμόνων, ὅσα ἐμὲ εἰδέναι τὸν ἐκείνου πεπειραμένον μάλιστα, ἔτι τε καὶ ἀφ' ὧν ὑπὲρ τῆς ἱερᾶς τοῦ Χριστοῦ Ἐκκλησίας ἠγωνίσατο καὶ ταύτης προέστη, καὶ συγγράμμασι καὶ λόγοις καὶ διαλέξεσι . . . καὶ μαρτυροῦσι τῷ λόγῳ τὰ *ἐμὰ πρὸς ἐκεῖνον ἐγκώμια, διά τε καιρῶν καὶ ὕμνων ἐμοὶ ποτηθέντα*», ἀνεκοίνου δ' ὅτι καὶ αὐτὸς καὶ ὁ πρὸ αὐτοῦ πατριάρχης, δῆλον οὖν ὁ Κάλλιστος, πρὸς τοὺς Θεσσαλονικέας ἔγραψαν αἰτούμενοι συλλογὴν τῶν ὑπ' αὐτοῦ τοῦ Παλαμᾶ τελεσθέντων θαυμάτων, οἵαν ἀπέστειλαν τῷ Καλλίστῳ· μαρτυρεῖ δὲ περὶ τοῦ Ἑορτολογίου ἑκάστης ἐν Κωνσταντινουπόλει μονῆς οὕτω σαφῶς: «Διὰ τοῦτο *καὶ ἐγὼ ἐν τῷ μοναστηρίῳ τοῦ Ἀκαταλήπτου καθήμενος καὶ ἰδιάζων, περιφανῆ τινα καὶ μεγάλην ἑορτὴν ἐπετέλουν τῷ ἁγίῳ τούτῳ*· καὶ τοὺς τῆς μεγάλης Ἐκκλησίας ταύτης μελῳδοὺς ἔχων μετ' ἐμοῦ, καὶ πολλοὺς τῶν τοῦ κλήρου· καὶ νῦν πάλιν ἐπα-

1. βίος Συμεὼν τοῦ νέου Θεολόγου ὑπὸ Νικήτα Στηθάτου· Συναξαριστὴς Κ. Δουκάκη· τόμος τοῦ μαρτίου μηνός· ἐν Ἀθήναις, 1891, σελ. 232, 234, 245 καὶ 248.

2. βίος Εἰρήνης ἐν «Καλοκαιρινῇ». Δουκάκη, Συναξαριστής· τόμος ἰουλίου· Ἀθῆναι, 1893, σελ. 457.

νελθὼν εἰς τὸν ὑψηλὸν τοῦτον θρόνον, ἐπεὶ οἱ Λαυριῶται ἔγραψαν καὶ ἀνέφερον ἡμῖν περὶ τούτου, ἔγραψα πρὸς ἐκείνους, ἵνα πᾶς ὁ βουλόμενος ἑορτάζῃ τούτῳ κατ' ἰδίαν· καὶ νῦν τοῦτο λέγω, ἵνα *πᾶς ὁ θέλων ἑορτὴν ἐπιτελεῖν τούτῳ ἀκωλύτως ταύτην ποιείτω· ἐν τῇ μεγάλῃ δὲ Ἐκκλησίᾳ οὐκ ἐποιοῦμεν τοῦτο καὶ καθόλου ἐν ταῖς λοιπαῖς ἐκκλησίαις πανταχοῦ*, ὅτι οὔπω περὶ τούτου τῇ ἱερᾷ συνόδῳ ἐκοινωσάμην· νῦν δὲ ἀπόφασιν δεδώκαμεν καὶ γνώμην κοινὴν ἵνα ἑορτάζηται. **Τοῦτο δὲ σύνηθές ἐστι γινόμενον** *ἐν τοῖς ἁγίοις, οὓς ὁ Θεὸς δοξάζει· οἷον γέγονε καὶ ἐπὶ τῷ ἁγίῳ Ἀθανασίῳ τῷ οἰκουμενικῷ πατριάρχῃ· ἐπεὶ γὰρ ὁ Θεὸς ἐκεῖνον ἐδόξασε διὰ τῶν θαυμάτων*, **καὶ μήπω τῆς Ἐκκλησίας ἀναστηλωσάσης αὐτὸν, ἑορτὴν ἐπετέλουν περιφανῆ οἱ τοῦ μοναστηρίου αὐτοῦ μοναχοί,** *καὶ τὴν ἱερὰν αὐτοῦ εἰκόνα ἔφερον ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ, κατὰ τὴν κυριακὴν τῆς Ὀρθοδοξίας, καὶ ἐν ταῖς λοιπαῖς λιτανίαις διὰ μέσης τῆς πόλεως* **ἐν χρόνοις πολλοῖς·** *ὕστερον δὲ, τῆς ἱερᾶς συνόδου τοῦτο εἰπούσης, ἑορτάζεται καὶ ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ.* **Καὶ ἐπὶ ἄλλοις δὲ πολλοῖς γέγονεν ἁγίοις ἀνδράσι καὶ γυναιξὶν, ὧν τὰ τίμια λείψανα κεῖνται ἐν πολλοῖς τῶν κατὰ τὴν βασιλίδα ταύτην τῶν πόλεων εὐαγῶν μοναστηρίων, καὶ ἑορτάζονται παρὰ τοῦ βουλομένου παντὸς,** *μήπω τῆς Ἐκκλησίας εἰπούσης τοῦτο οὐκ ἔτι*»[3].

§

Οὕτω κατετάσσοντο βαθμηδὸν ἐν τοῖς μερικοῖς ἑκάστου ναοῦ καὶ μονῆς Ἑορτολογίοις καὶ πρὸ τῆς συνοδικῆς ἀποφάσεως πάντες ἐκεῖνοι οἱ κτίτορες καὶ ἡγούμενοι μονῶν καὶ ναῶν, ὧν ἐτελοῦντο τὰ μνημόσυνα κατ' ἔτος, ἤτοι ἡ ἀνάμνησις τοῦ θανάτου αὐτῶν· οὕτως οἱ εὐσεβεῖς βασιλεῖς καὶ βασιλίδες, ὧν τινες νώνυμοι καὶ νηκλεεῖς, ἐδοξάζοντο ὡς ἁγιώτατοι τὸν βίον, ἂν θέλητε δὲ καὶ θαυματουργοί· Θεοδόσιος ὁ ἡμερόβιος αὐτοκράτωρ, ὁ ἐν ἀρχαῖς τῆς Η΄ ἑκατονταετηρίδος, τὴν ἀρχὴν λιπὼν καὶ μοναχὸς γενόμενος, ἐτάφη ἐν τῷ ναῷ τοῦ ἁγίου Φιλίππου (ἐν Ἐφέσῳ βεβαίως)· παράδοσις ἐσώζετο κατὰ τὸν ΙΑ΄ αἰῶνα *παρὰ τοὺς ἐντοπίους* «θαυματουργεῖν αὐτόν»[1]. Ἐπειδὴ δ' οἱ ἐπιφανεῖς ἱεράρχαι ἐθαυματούργουν, διατί οὐ θαυμάτων εἰσὶν ὑπηρέται καὶ οἱ ἴσην τῇ ἱερωσύνῃ κεκτημένοι τὴν ὑπάτην κοσμικὴν ἀρχὴν, τὴν ὑπὸ Θεοῦ δοθεῖσαν αὐτοῖς;[2]

Τὸ πανηγυρίζειν ἐν ὡρισμένῃ κατ' ἔτος ἡμέρᾳ τὰς μνήμας ἐπιφανῶν ἀνδρῶν ἐστιν ἔθος ἀρχαιότατον, καθεστὼς ἱερόν. Γρηγόριος ὁ Θεολόγος ἐν ἐπιταφίῳ λόγῳ εἰς Καισάριον τὸν ἀδελφὸν αὐτοῦ τὸν ἴδιον λέγει «καὶ τὰ μὲν ἀποδεδώκαμεν· τὰ δὲ δώσομεν, τὰς δι' ἔτους προσφέροντες τιμάς τε καὶ μνήμας, οἵ γε τῷ βίῳ περιλειπόμενοι»[3]. Τὸ καθεστὼς ἐπεκράτει παρ' ἅπασι, τοῖς τε δηλαδὴ προσκειμένοις τῇ τῆς Ἐκκλησίας ὑγιαινούσῃ διδασκαλίᾳ καὶ τοῖς ἀπ' αὐτῆς ἀπεσχισμένοις· εἴτε δὲ μαρτύρων, εἴτε ὁσίων ἀνδρῶν προαποθανόντων, ἦγον ἑκάστη ἐκκλησία τὰς μνήμας πανηγυρικῶς. Ἐν ἀρχαῖς ἔτι τῆς Δ΄ ἑκατονταετηρίδος οἱ Ναυατιανοί, οἵτινες εἶχον τρεῖς ἐντὸς τῆς Κωνσταντινουπόλεως ναοὺς, ὧν τὸν ἕνα πλησίον τοῦ Πελαργοῦ, ὑπὸ τοῦ πνευματομάχου πατριάρχου Μακεδονίου κατεδαφισθέντα, ἀνθ' οὗ ζήλῳ πολλῷ ἕτερον ἔκτισαν ἐν Γαλατᾷ, εἰ καὶ πάλιν ἐν τοῖς Πελαργοῦ, κατ' ἄδειαν Ἰουλιανοῦ τοῦ Παραβάτου, ἐπανέκτισαν αὐτόν, εἶχον ἐπ' ὀνόματι Ἀλεξάνδρου ναὸν ἕτερον, ἰδιάζοντος αὐτοῖς μάρτυρος, ἐγειρόμενον πλησίον Βορβύσου καὶ Κυδάρεως τῶν ποταμῶν, ἐν ᾧ βεβαίως συνήγοντο πανηγυρίζοντες[4]· λέγω δὲ βεβαίως, διότι παρόμοιόν τι συνέβαινε περὶ Σαββάτιον ἐπίσκοπον Ναυατιανῶν ἐξόριστον ἐν Ῥόδῳ θανόντα· τούτου τὸ λείψανον οἱ Ναυατιανοὶ μετακομίσαντες ἔθαψαν ἐν Κωνσταντινουπόλει, ἐπὶ τοῦ τάφου δ' ἐρχόμενοι πανήγυριν ἦγον ἱεράν, ἀπαγγέλλοντες εὐχάς· ὁ ταῦτα διηγούμενος ἐκκλησιαστικὸς ἱστοριογράφος ἀναφέρει ὅτι τὸ λείψανον τοῦ Σαββατίου, γενόμενον οὕτω δεισιδαιμονίας κέντρον, ὁ πατριάρχης Ἀττικὸς δι' ἀνθρώπων αὐτοῦ σταλέντων ἐπιτηδὲς ἀλλαχοῦ μετήνεγκε θάψας, ἐπαύθη δ' οὕτω πᾶσα τοιαύτη συνάθροισις[5]. Ὅ,τι δ' ἔπραττον οἱ Ναυατιανοὶ βεβαίως ἔπραττον καὶ οἱ τὴν μίαν καὶ καθολικὴν τοῦ Χριστοῦ συγκροτοῦντες Ἐκκλησίαν.

§

Ἐπειδὴ δὲ μνήμας ἦγον αἱ μοναὶ καὶ οἱ ναοὶ τῶν κτιτόρων καὶ τῶν ἡγουμένων αὐτῶν, οὕτω τὰ μερικὰ Ἑορτολόγια ὑπερεπληροῦντο τοιούτων ὀνομάτων, ὁπότε δὲ ἐγένετο τὸ πρῶτον ἀνακάθαρσις οἷον εἰπεῖν καὶ διόρθωσις τῆς πολλῆς ὕλης ταύτης, συνηριθμήθησαν κατὰ τὴν ἐνοποίησιν ἐν ἑνὶ Ἑορτολογίῳ πάντες καὶ πᾶσαι, καὶ κατὰ τὴν ἐν τῷ Ι΄ αἰῶνι συμπλήρωσιν εἰσῆλθεν, ὡς φρονῶ, καὶ ἡ ὑπὸ Κωνσταντίου πατριάρχου τοῦ ἀπὸ Σιναίου ὑβριζομένη «μνήμη τοῦ ἐν ἁγίοις Ἀναστασίου Κωνσταντινουπόλεως» ἤτις ἄλλως κεῖται λίαν καλῶς, ὡς συνέπεια τοῦ τε πνεύματος τῶν αἰώνων ἐκείνων καὶ τοῦ τοπικοῦ χαρακτῆρος, ὃν ἐξ ἀρχῆς εἶχε τὸ Βυζαντινὸν καὶ καθ' ἡμᾶς Ἑορτολόγιον. Δέον ἵνα λάβωμεν ὑπ' ὄψιν ὅτι σχεδὸν ἕκαστος πατριάρχης ἀπὸ τῶν μέσων τῆς Δ΄ ἑκατονταετηρίδος ᾠκοδόμει μονὴν ἰδίαν, αὐτὸς δ' ὁ αἱρετικὸς ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Μακεδόνιος ᾠκοδόμησε πολλὰς ἐν Κωνσταντινουπόλει μονὰς[1], ἐν αἷς οὐδεμίαν ἔχω ἀμφιβολίαν ὅτι οἱ ὁμόφρονες ἐπανηγύριζον τὴν μνήμην αὐτοῦ. Εἰ δ' ὁ τὴν μονὴν οἰκοδομῶν πατριάρχης συνάζων ἀπεθησαύριζεν ἐν αὐτῇ λείψανα ἁγίων, τοῦτο μᾶλλον εὐχερῆ καθίστα τὴν ἐν τῷ Ἑορτολογίῳ παρείσδυσιν. Τὰ σήμερον ἐν χρήσει ἁγιολόγια καὶ οἱ Συναξαρισταί, δεόμενα συμπληρώσεως καθὸ ἀτελῆ, παρέλιπον ἐν μηνὶ ἰανουαρίῳ, καὶ κυρίως εἰς τὴν 19 ἡμέραν αὐτοῦ, σημείωμα σπουδαιότατον περὶ τῆς «συνάξεως» τῶν ἁγίων μαρτύρων Λουκιλλιανοῦ, Παύλης, καὶ τῶν σὺν αὐτοῖς νηπίων Κλαυδίου, Ὑπατίου, Παύλου, Διονυσίου· ὁ μὲν Νικόδημος, τὴν μνήμην αὐτῶν μετατιθεὶς εἰς τὴν 3 ἰουνίου, σημειοῖ «Τελεῖται δὲ ἡ αὐτῶν ἑορτὴ καὶ σύναξις εἰς τὸν ἅγιον αὐτῶν ναὸν τὸν εὑρισκόμενον πλησίον εἰς τὸν Ἀρχάγγελον Μιχαὴλ, ἐν τόπῳ καλουμένῳ Ὀξείᾳ»· οἱ δὲ χειρόγραφοι Συναξαρισταὶ λέγουσι ῥητῶς: *Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ οἴκῳ Ἀναστασίου πατριάρχου ἐν τῇ Ὀξείᾳ*, πολὺ πιθανῶς ἐν Ὀξείᾳ τῇ μικρᾷ νήσῳ τῆς Προποντίδος, ἡ ἐν ὁμωνύμῳ τοποθεσίᾳ κειμένη πλησίον τῶν «Δομνίνου» λεγομένων «ἐμβόλων» ἐν αὐτῇ τῇ Κωνσταντινουπόλει[2]· εἰ δ' οἱ ἡμέτεροι ἁγιολόγοι παρεσιώπησαν τὸν τόπον, ἐν ᾧ ἡ σύναξις ἐτελεῖτο, ὁ πολὺς Δουκάγγιος ἀναφέρει τὸν οἶκον Ἀναστασίου πατριάρχου ἐν ταῖς εἰς Ζωναρᾶν ὑπομνήσεσιν αὐτοῦ καὶ σημειώσεσιν[3].

§

Ἀλλ' ὁ λόγος ὁ περὶ Ἀναστασίου καὶ τῶν δυσχειμέρων χρόνων, καθ' οὓς ἤκμασεν, ἀναγκαίως φέρει εἰς ἐξέτασιν ἑτέρας αἰτίας, ἥτις συνετέλεσε τὴν ὑπερπλήρωσιν τοῦ καθ' ἡμᾶς Ἑορτολογίου. Καθὼς ἡ κατὰ τῶν διασπώντων τὸν ἄρραφον τοῦ Χριστοῦ χιτῶνα αἱρετικῶν ἀντίδρασις, μετὰ πᾶσαν οἰκουμενικὴν σύνοδον ἀνεκήρυττεν ἁγίους τοὺς ὑπὲρ τοῦ δόγματος ἀγωνισαμένους, ὅσα καὶ δίκαια πράττουσα, οὕτως ἡ κατὰ τῶν εἰκονομάχων ἀντίδρασις τῶν εἰκονοφίλων, μετὰ τὴν Ζ΄ οἰκουμενικὴν ἐν Νικαίᾳ Σύνοδον καὶ μετὰ τὴν τῷ 842 τοπικὴν ἐπὶ Θεοδώρας, εἰσήγαγεν ἐν τῷ Ἑορτολογίῳ πολλοὺς ὁσίους ἄνδρας, οἵτινες ὑπερημύναντο τοῦ πατρίου δόγματος τῆς σχετικῆς τῶν εἰκόνων προσκυνήσεως, πλὴν τῶν ἀναδεδειγμένων μαρτύρων κατὰ τὰ ἑκατὸν δέκα ἑκεῖνα ἔτη τῆς εἰκονομαχικῆς ἀσυνεσίας· ἀλλὰ καὶ κατὰ τὴν περίπτωσιν ταύτην τὸν τοπικὸν τοῦ Ἑορτολογίου χαρακτῆρα συσφίγξαντες οἱ τότε χρόνοι ἀπετέλεσαν ἔτι τοπικώτερον. Γνωστὸν ἐστι πᾶσι καὶ τοῖς ἁπλῶς τὴν βυζαντινὴν ἱστορίαν ἀναδιφήσασι, πόσῳ μέγα καὶ σημαῖνον μέρος ἔλαβε κατὰ τὰς θρησκευτικὰς ἐκείνας ἔριδας ἡ περιώνυμος μονὴ τοῦ Στουδίου· Οἱ μοναχοὶ αὐτῆς εἶχον ἴδιον βεβαίως Ἑορτολόγιον, ὡς πᾶσα μονὴ, ἰδίας ἦγον μνήμας ἁγίων διακριθέντων ἐν τῇ μονῇ ἐπί τε ἀρετῇ καὶ παιδείᾳ· καίτοι δ' ἐτάραξαν οἱ κατὰ καιρὸν μοναχοὶ τοῦ Στουδίου τὴν Ἐκκλησίαν καὶ ἰδίᾳ κατὰ τοὺς αἰῶνας Η΄ καὶ Θ΄ καὶ διὰ τὸν τοῦ Κωνσταντίνου Ϛ΄ γάμον μετὰ Θεοδότης τῆς κουβικουλαρίας αὐτοῦ, καὶ διὰ τὴν δῆθεν παράνομον ἀπὸ λαϊκῶν ἀνάρρησιν εἰς τὸ πατριαρχικὸν ἀξίωμα τοῦ Νικηφόρου (806), ἦσαν ὅμως ἄνθρωποι

---

3. Δοσιθέου, Τόμος Ἀγάπης· ἐν Ἰασίῳ, 1699, σελ. 109. Γρηγορίου τοῦ Παλαμᾶ Ὁμιλίαι· ἐκδόσεως Ἱεροσολύμων, 1857, σελ. VI-VIII.

1. Κεδρηνός· Α΄, σελ. 788.

2. Ἡ διδασκαλία ἐστιν εὐαγγελική. Ἰωάννου ΙΘ΄, 11. πρ. Ῥωμαίους ΙΓ΄, 1, 2. πρ. Τίτον Γ΄, 1. Πέτρου Α΄ καθ. Β΄, 13. Παροιμιῶν Η΄, 15.

3. Γρηγορίου Θεολόγου Ἐπιτάφιος εἰς Καισάριον· Migne, τόμ. ΑΕ΄, στήλη 776.

4. Ἑρμείας Σωζόμενος· Ἐκκλησ. Ἱστορία Δ΄. κ΄. Σωκράτης Σχολαστικός· Ἐκκλ. Ἱστ. Β΄, λη΄. Τὸν Ἀλέξανδρον τοῦτον Μακεδόνιος ὁ αἱρετικὸς πατριάρχης Κωνσταντινουπόλεως ἔκλεισεν ἐν εἱρκτῇ, ἐν ᾗ ἀπέθανε.

5. Σωκράτης· Ἐκκλ. Ἱστ. Ζ΄, κε΄.

1. Ἑρμείας Σωζόμενος· Ἐκκλ. Ἱστ. Δ΄, β΄.

2. βλέπε ἐν τῷ μετὰ χεῖρας βιβλίῳ τὴν 7 ἰανουαρίου.

3. Ζωναρᾶς· κατὰ τὴν ἔκδοσιν Λουδοβίκου Δινδορφίου τόμ. ΣΤ΄, σελ. 123.

πολλῆς ἀπολαύοντες τιμῆς ἐκ μέρους τοῦ λαοῦ καὶ σεβασμοῦ πολλοῦ, πολλὴν ὡσαύτως ἀπὸ τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης ὑπόληψιν ἀγιότητος ἀπολαμβάνοντες· εἰργάσθησαν δὲ λαμπρῶς, εἰ καὶ μετὰ πολλῆς σφοδρότητος, ὑπὲρ τῆς τῶν ἁγίων εἰκόνων ἀναστηλώσεως καὶ βεβαίως ἐκτήσαντο δικαίωμα ἀναμφισβήτητον κατατάξεως ἐν τῷ Ἑορτολογίῳ· πράγματι δὲ τόσον εἰσὶ πολλοὶ οἱ ὅσοι ἐκεῖνοι ἄνδρες, οἱ ἐκ Στουδιτῶν, ὧν ἡ μνήμη καθηγιάσθη, ὥστε φρονῶ ὅτι τὸ Ἑορτολόγιον τῆς τοῦ Στουδίου μονῆς ἐπεβλήθη εἰς τὴν Ἐκκλησίαν. Τοῦ μεγαλείου καὶ τῆς δόξης, ἧς ἡ μονὴ τοῦ Στουδίου δικαίως ἠξιώθη μετὰ τὸν Η′ αἰῶνα, λαμπρὸς ὑπέρμαχος καὶ θαυμασιώτατος ἀντιπρόσωπος ἦν ὁ Θεόδωρος Στουδίτης, αὐτός τε τιμηθεὶς καὶ ζῶν καὶ μετὰ θάνατον ὑπὸ τῶν εἰκονοφίλων, καὶ τοὺς ὀπαδοὺς αὐτοῦ τιμήσας, εἰσαχθέντας εἰς τὸ Ἑορτολόγιον. Ὅστις ἔχει μαρτυρίας ἀνάγκην, ἔχει πρόχειρον τὴν μαρτυρίαν ἐπάλληλον καὶ συνεχεστάτην ἐν τῷ μετὰ χεῖρας βιβλίῳ. Οἱ πλεῖστοι τῶν ὁσίων τῶν τῇ σχετικῇ τῶν ἁγίων εἰκόνων προσκυνήσει προσκειμένων, ὧν ἡ μνήμη καθηγιάσθη, εἰσὶν ἐκ τῶν τοῦ Στουδίου μοναχῶν· οἱ δὲ μὴ τοιοῦτοι εἰσι πάντες σχεδὸν φίλοι, μεθ' ὧν ὁ Θεόδωρος εἰς ἐπιστολικὴν διετέλει κοινολογίαν· ἂν δέ ποθ' εὑρεθῇ ἐν χειρογράφοις Συναξαρίοις ἢ Μηναίοις ἡ μνήμη καὶ τῆς ἀλαζόνος βασιλίδος Εἰρήνης τῆς Ἀθηναίας, ὀφείλομεν καὶ τοῦτο εἰς τὸν ἡγούμενον τοῦ Στουδίου Θεόδωρον· αὐτὸς ἐν ἐπιστολῇ πρὸς αὐτὴν λαμπρῶς ἐγκώμιον αὐτῇ πλέκων ἐπαινεῖ «ὅτι ἦρας συσσεισμὸν ἐν τοῖς πέρασι τηλικαύτης εὐσεβείας· καὶ ἰδοὺ ἤκουσί σοι κυκλοτερόθεν, ὡς νεφέλαι πετόμεναι, λιταὶ παμπληθεῖς, γεραίρουσαι τὸν Θεὸν ὑπὲρ τῶν αἰσίων σου καταπράξεων»· καλεῖ δ' αὐτὴν *Εἰρήνην Χριστοῦ φίλην, ὄρομα καὶ πρᾶγμα γλυκὺ, θεώνυμον Εἰρήνην, ἔκδικον Χριστοῦ καὶ τῆς ἀληθείας ὑπέρμαχον*[1]. Ὅτι δὲ παρὰ τῷ λαῷ μέγα κῦρος εἶχεν ὁ Στουδίτης Θεόδωρος δείκνυσιν ἡ μεγάλη τοῦ λαοῦ πρὸς αὐτὸν εὐλάβεια, διατρανωθεῖσα κατὰ τὴν κηδείαν αὐτοῦ, καθ' ἣν (12 νοεμβρίου 826), καίπερ τοῦ χειμῶνος βαρυτάτου κατὰ τὸ νυχθήμερον ἐκεῖνο δειχθέντος, ἄπειρον προσῆλθε πλῆθος μετὰ σκευῶν πολυτίμων, ἀρωμάτων τε καὶ κηρίων καὶ θυμιαμάτων· ἡ δὲ κατάθεσις ἐν τῷ τάφῳ τοῦ λειψάνου δυσχερῶς ἐγένετο «διὰ τὸ ἐπιπεπτωκέναι τὸ τοῦ λαοῦ πλῆθος ἅραί τι τῶν ἱερῶν ἐνταφίων ἢ τοῦ τιμίου λειψάνου»[2]· Ἡ τῶν εἰκονοφίλων λοιπὸν κατὰ τῶν εἰκονομάχων ἀντίδρασις εἰσήγαγεν ἐν τῷ Ἑορτολογίῳ πολλοὺς ὁσίους ἄνδρας, ἡ δὲ μεγίστη τῶν τοῦ Στουδίου μοναχῶν ἐπὶ τοῦ πλήθους ἐπίδρασις εἰσήγαγε πάντας τοὺς στουδίτας καὶ πάντας τοὺς συναθλητὰς τοῦ Θεοδώρου καὶ τοὺς πρὸς αὐτὸν ἐπιστέλλοντας· ταὐτὸν εἰπεῖν: ἐπέβαλε τῇ Ἐκκλησίᾳ τὸ Ἑορτολόγιον τῆς περιωνύμου τοῦ Στουδίου μονῆς.

§

Ἐπειδὴ δ' ἐνίοτε τῆς Ἐκκλησίας τὴν ἠρεμίαν διέσπων ἔριδές τινες καὶ διχοστασίαι, τὸ μὲν ἀναφερόμεναι εἰς ζητήματα δόγματος ἢ τύπων λατρείας, οὐχὶ σπανίως δ' εἰς ζητήματα προσωπικά, καθὼς συμβαίνει πάντοτε καὶ μέλλει συμβαίνειν ἐνόσῳ πάντες οἱ τὰ κοινὰ πράττοντες τὸν αὐτὸν χιτῶνα περιβαλλόμεθα τὸν χοϊκὸν καὶ δερμάτινον, οἱ δ' ὀρθόδοξοι διηροῦντο κατὰ συστήματα ἀπὸ τῶν προσώπων ὀνομαζόμενα, οἷς προσέκειντο, ἡ Ἐκκλησία μόνον μέσον καὶ μέθοδον καταστολῆς καὶ ἄρσεως τῶν προσωπικῶν τούτων διενέξεών τε καὶ διαιρέσεων εἶχεν ἀπὸ τοῦ Δ' αἰῶνος ἔτι τὴν ἐν τῷ Ἑορτολογίῳ κατάταξιν, μετὰ τὴν τῶν λειψάνων ἀνακομιδὴν εἰς Κωνσταντινούπολιν· οὕτως ἔχομεν τὴν ἀνακομιδὴν Παύλου τοῦ πολύτλα ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τὴν ἀνακομιδὴν Ἰωάννου τοῦ Χρυσοστόμου, καταταχθέντος ἐν τῷ Ἑορτολογίῳ καθὼς συνηριθμήθη καὶ ὁ Πρόκλος ὁ τὴν ἀνακομιδὴν ταύτην ποιησάμενος, καί τινας ἑτέρας. Συνηριθμοῦντο δὲ συνήθως ἐν τοῖς ἁγίοις ἀμφότεροι οἱ ἀρχιερεῖς, δι' οὓς ἡ διάστασις ἐγίνετο· ὁ Φώτιος ἐπὶ παραδείγματι καὶ ὁ Ἰγνάτιος· ἀλλὰ καὶ Σέργιος ὁ ἀπὸ τῆς μονῆς τοῦ Μανουὴλ[1], ὃν φρονῶ πρῶτον ἐν τῷ Ἑορτολογίῳ κατατάξαντα τὸν Φώτιον· ἀλλὰ καὶ Εὐστάθιος ὁ διάδοχος αὐτοῦ. Διὰ τοιαύτην ἴσως αἰτίαν κατετάχθη καὶ Κοσμᾶς ὁ Ἱεροσολυμίτης ὁ τὴν διόρθωσιν τῶν τῆς Ἐκκλησίας πραγμάτων ἀπεγνωκὼς καὶ παραιτησάμενος τὴν ἱερὰν ἀρχήν. Οὕτω κατετάχθησαν Νικόλαος ὁ μυστικὸς καὶ Εὐθύμιος ὁ ἀπὸ συγκέλλων[2], παρεισήχθη δ' εἰς τὸ Βυζαντινὸν Ἑορτολόγιον, πρὸς μείζονα σφράγισιν τῆς συνδιαλλαγῆς Εὐθιαμιανῶν καὶ Νικολαϊτῶν, ἡ Κυριακὴ τῶν (;) ἀλλακτῶν[3]. Αἱ μετὰ τῆς Ἐκκλησίας τῆς πρεσβυτέρας Ῥώμης ἔριδες τῆς Νέας Ῥώμης ὀλίγους ἁγίους εἰσήγαγον ἐν τῷ Ἑορτολογίῳ. Τελευταία δ' ἐκκλησιαστικὴ διχοστασία κατὰ τὰ τέλη τῆς ΙΓ′ ἑκατονταετηρίδος εἰσήγαγε τὸν Ἀρσένιον Αὐτωρειανόν μόνον, τὸν ὑπερόριον ἐν Προκοννήσῳ θανόντα πατριάρχην· ἀλλὰ μόνον· διότι οἱ ἀρσενιᾶται, κατὰ τὸ παλαιὸν ἔθος καὶ καθεστὸς, εἶχον ἴδιον Ἑορτολόγιον, καί τινας ἐκ τούτου μνήμας μοὶ φαίνεται ὅτι εἶχον τὴν ἀξίωσιν ἵνα μεταγράψωσιν εἰς τὸ κοινὸν καὶ παρὰ τῆς Ἐκκλησίας παραδεδεγμένον Ἑορτολόγιον· οὕτω, κατὰ τὰ πρῶτα τοῦ ΙΔ′ αἰῶνος ἔτη, «μοναχοῦ τινος Κουβουκλεισίου[4] τὸν νεκρὸν, ὃν αὐτοὶ ὡς ἀδιάφθορον ἐπὶ χρόνους μείναντα ἐν ὁσίοις εἶχον καὶ ὡς ἁγίῳ προσεῖχον, εἰς τὴν τῆς Περιβλέπτου μονὴν, ὡς ἦν προστεταγμένον, ἔθαψαν· αὐτοῖς δὲ φυλακὰς ἐφιστᾶσι τοῦ μηδένα σρίσι παραβάλλειν ἀνέδην καὶ παρασυνάγεσθαι τῆς καθολικῆς Ἐκκλησίας ἀπεσχισμένους»[5]· ὥστε ὁ αὐτοκράτωρ ἐκώλυσεν αὐτοὺς ἀπονέμειν τῇ σορῷ τοῦ μοναχοῦ τούτου τιμὰς ἁγίου, ἐπιτρέψας ἵνα θάψωσι μόνον ἐν τῇ μονῇ τοῦ Παντεπόπτου τὸν νεκρὸν αὐτοῦ, οὐχὶ δὲ ἐν τῷ κατὰ τὰ Ψαμμαθεῖα ναῷ Θεοδώρας Ῥαουλαίνης τῆς Πρωτοβεστιαρίσσης, ἔνθα μετηνέχθη, κατ' αἴτησιν αὐτῆς, τὸ τοῦ Αὐτωρειανοῦ λείψανον ἀπὸ τοῦ ναοῦ τῆς τοῦ Θεοῦ Σοφίας· τὸν λόγον δὲ τῆς ἀνακομιδῆς τοῦ λειψάνου Ἀρσενίου τοῦ Αὐτωρειανοῦ, πρὸς ἄρσιν τῶν ἐρίδων μεταξὺ Ἰωσηφιτῶν καὶ Ἀρσενιατῶν, δίδωσιν, εἰ καὶ μετά τινος ἐνδοιασμοῦ, ὁ χρονογράφος Νικηφόρος Γρηγοράς· «ἵνα τιμὴ μὲν ἴσως τοῖς Ἀρσενιάταις τουτὶ κατασταίη λαμπρὰ, λανθάνουσα δὲ τοῖς Ἰωσηφίταις αἰσχύνη»[6].

§

Τοιοῦτοί εἰσιν οἱ λόγοι, δι' οὓς βαθμηδὸν κατηρτίζετο τὸ Βυζαντινὸν Ἑορτολόγιον, ὡς ἡμέραι πληρούμενον ὀνομάτων: Ὁ κοσμικὸς πανηγυρισμὸς τῆς μνήμης τῶν εὐσεβῶν ἀνάκτων καὶ δὴ κτιτόρων ναῶν ἢ μονῶν, ἢ προστασίαν τινὰ πρὸς τὴν ὀρθὴν δόξαν ἐπιδειξαμένων, ἁπλῶς δ' εἰπεῖν καὶ ταφέντων ἐν τοῖς Ἁγίοις Ἀποστόλοις, ὃ καὶ θεμελιωδέστερον, εἰσήγαγεν ἐν τῷ Ἑορτολογίῳ τὰ ὀνόματα αὐτῶν[1]. Ἡ ἐπέτειος τοῦ θανάτου τῶν ἱδρυτῶν καὶ τῶν ἡγουμένων τῶν μονῶν, κατὰ τὰ ἱερὰ θέσμια, ὑπὸ τῶν μαθητῶν ἐκείνων ἀγομένη μεγαλοπρεπῶς, παρεισέδυεν εἰς τὸ Ἑορτολόγιον. Ἐπίσης συνηριθμεῖτο ἡ μνήμη ἱερῶν ἀνδρῶν, δι' οὓς ἡ Ἐκκλησία διεσπᾶτο, γενομένου τούτου, καθὼς εἴδομεν, ἐπὶ κατευνάσει τῶν ἀντεγκλήσεων καὶ τῶν ἐρίδων. Ἡ ἵδρυσις ναοῦ τινος ἢ μονῆς ὑπό τινος εὐσεβοῦς ἐγίνετο καὶ αὕτη ἀφορμὴ πρὸς εἰσαγωγὴν νέου τινὸς ὀνόματος εἰς τὸ Ἑορτολόγιον, ὡς καὶ ἡ φήμη τῆς ἀρετῆς καὶ τῆς εὐσεβείας ἰδιώτου τινὸς ὑπὸ φίλων ἢ συγγενῶν αὐτοῦ διαδομένη ἠνάγκαζε μονὴν ἤ τινα ναὸν παρακείμενον τῷ τόπῳ τῆς ἀσκήσεως ἐκείνου ἵνα εἰσαγάγῃ καὶ τοῦτον εἰς τὸ ἴδιον Ἑορτολόγιον. Ἕνεκα δέ τινος ὀπτασίας ἢ θαύματος, ἢ πρὸς ἐκδήλωσιν εὐγνωμοσύνης, μονή τις μετέγραφεν εἰς τὸ ἑαυτῆς Ἑορτολόγιον τὴν μνήμην ὁσίου ἀνδρὸς ἢ γυναικὸς, αὐστηρὸν χριστιανικὸν βίον καὶ πολιτείαν ἐπιδειξαμένων ἐν ἑτέρᾳ μονῇ. Οὕτω δὲ ἴδια—καὶ πολλὰ βεβαίως—ὑπῆρχον Ἑορτολόγια ἐν Κωνσταντινουπόλει, ἑκάστης μὲν μονῆς αὐτοβούλως καὶ χωρὶς συνοδικῆς διαγνώμης εἰσαγούσης ἑορτὰς εἰς ἀνάμνησιν ὁσίων ἀνδρῶν ἢ νεοφανῶν μαρτύρων, τῆς δὲ Μεγάλης Ἐκκλησίας, ἤτοι τοῦ μεγίστου ναοῦ τῆς τοῦ Θεοῦ Σοφίας, εἰσαγούσης εἰς τὸ ἴδιον Ἑορτολόγιον μνήμας τοιαύτας μετὰ τὴν ὑπὸ τοῦ πατριάρχου Κωνσταντινουπόλεως καὶ τῆς συνόδου χορήγησιν ἀδείας, ἤτοι μετὰ τὴν ἐπίσημον ὡς ἁγίων ἀνακήρυξιν.

§

Οὐδ' ἠδύνατο ἡ Ἐκκλησία, καθὼς ἐν τῇ βιογραφίᾳ Συμεὼν τοῦ Νέου Θεολόγου βλέπομεν, ἵνα παρακωλύσῃ τὴν αὐτόβουλον ὑφ'

1. Θεοδώρου Στουδίτου Ἐπιστολαί· Migne, τόμ. ῃθ′, στήλαις 929-933.

2. Ναυκρατίου Ἐγκύκλιος περὶ τοῦ θανάτου τοῦ Θεοδώρου Στουδίτου· Migne, ῃθ′, στ. 1848.

1. βλέπε εἰς τὴν 12 ἀπριλίου ἐν τῷ μετὰ χεῖρας συγγράμματι.

2. βλέπε ὡσαύτως εἰς τὴν 15 μαΐου καὶ τὴν 5 αὐγούστου ἐν τῷ μετὰ χεῖρας Ἑορτολογίῳ.

3. ἴδε τὴν μνήμην κατὰ τὸ πρῶτον δεκαπενθήμερον τοῦ μηνὸς ἰουλίου.

4. Τὰ Κουβούκλια ἦσαν φρούριον ἐν τῇ Μυσίᾳ τῇ κατ' Ὄλυμπον. Παχυμέρης Β′, σελ. 580.

5. Παχυμέρης, Β′, σελ. 480.

6. βλέπε Νικηφ. Γρηγορᾶν· Βόννης, τόμ. Α′, σελ. 161-162, 165-167 κατὰ πλάτος γράφοντα περί τε τῶν ἐκκλησιαστικῶν ἐκείνων ἐρίδων καὶ τῆς ἀνακομιδῆς τοῦ λειψάνου. Οὐδαμῶς δὲ παράδοξος ἡ αἰτιολογία τῆς ἀνακηρύξεως ὡς ἁγίου ἀνθρώπου τινὸς, ἵνα λανθάνουσα γένηται τοῖς αὐτοῦ πολεμίοις αἰσχύνη ἡ καθαγίασις τῆς μνήμης!!

1. ἴδε εἰς τὴν 29 τοῦ μηνὸς αὐγούστου.

ἑκάστου μοναστηρίου κατάταξιν νέων καθ' ἑκάστην ἁγίων εἰς τὸ παρ' ἑκάστῳ μερικὸν Ἑορτολόγιον. Ἐκπληκτικὴ δ' ἦν ἡ ποικιλία καὶ τῶν παρὰ ταῖς κωνσταντινοπολιτικαῖς μοναῖς ἐν χρήσει Τυπικῶν, ὡς πρὸς τὸ τελετουργικὸν μέρος, τὴν μοναχικὴν πολιτείαν καὶ τὸ διοικητικόν· περὶ τούτου δὲ πείθουσι παραδείγματά τινα προχείρως ἔνθεν κἀκεῖθεν ἀνθολογούμενα· ἃ καὶ δεικνύουσιν ὅτι οὐδαμῶς οὐδεὶς ἠδύνατο 'να κωλύσῃ κτίτορας ναῶν καὶ μονῶν ἀπὸ τῆς ἐκθέσεως ἰδίου Τυπικοῦ καὶ αὐτῶν τῶν ἐκκλησιαστικῶν ἀκολουθιῶν τοῦ ὅλου ἐνιαυτοῦ. Καὶ ἐν πρώτοις ὡς πρὸς τὴν διοίκησιν τῶν μοναστηρίων πολλὰς εὑρίσκομεν ποικιλίας· τὸ ποιμαίνειν καὶ διοικεῖν ἕνα καὶ τὸν αὐτὸν ἡγούμενον δύο μονάς, ἤν τι σύνηθες ἀπὸ χρόνων ἀρχαιοτάτων· αἱ μοναὶ τοῦ Κοσμᾶ καὶ τοῦ Τραϊανοῦ αἱ πλησίον ἀλλήλων παρὰ τὸν ποταμὸν κείμεναι Σάγγαριν διῳκοῦντο μετὰ τὸ 930 ὑφ' ἑνὸς ἡγουμένου[1]· τοὐντεῦθεν αἱ μοναὶ τοῦ ἁγίου Δημητρίου τῶν Παλαιολόγων καὶ τῶν Κελλιβάρων, οὐ πλησίον ἀλλήλων διακείμεναι, ὡρίσθη ὑπὸ τοῦ Μιχαὴλ Παλαιολόγου 'να διοικῶνται ὑφ' ἑνός[2]· ἐν δὲ τοῖς πατριαρχικοῖς ἐγγράφοις τῆς ΙΔ' ἑκατονταετηρίδος εὑρίσκομεν, ἐν ἀρχαῖς τῆς ΙΕ', ὑφ' ἑνὸς ἡγουμένου, τοῦ Θεοδοσίου τῆς μονῆς τοῦ Παντοκράτορος, διεπομένην τὴν ἐν Κωνσταντινουπόλει μονὴν τοῦ ἁγίου Βασιλείου[3]. Ἡ μελέτη τῶν ἐγγράφων τούτων πολλὰς παρέχεται σχετικὰς πρὸς ὅμοια θέματα πληροφορίας: πολλαὶ μοναὶ δι' αὐτῶν δίδονται λαϊκοῖς, ἴσως καθὸ στερούμεναι μοναχῶν· οὐκ ἀσύνηθες δὲ ἦν τὸ χορηγεῖσθαι ταύτας εἰς ἐπισκόπους καὶ μητροπολίτας, τῆς συνηθείας ταύτης ἐμπεδωθείσης διὰ τῆς προστάξεως Ἀλεξίου τοῦ Κομνηνοῦ κατὰ δεκέμβριον τοῦ 1093 διοριζομένης «τοὺς ψηφισθέντας εἰς ἀνατολικὰς ἐκκλησίας ἔχειν καὶ αὖθις τὰ προσόντα αὐτοῖς ἡγουμενεῖα καὶ ἀδελφάτα καὶ ὀρφίκια[4]. Ἴσως μάλιστα ἐκ τῶν παρὰ Θεοδώρῳ Ἀναγνώστῃ ἤθελεν εἰκάσει τις ὅτι ἡ μονὴ τοῦ Στουδίου κατὰ τὰς ἀρχὰς τῆς Ϛ' ἑκατονταετηρίδος ἐπίσκοπον εἶχεν ἡγούμενον, ὃν ὁ πατριάρχης Κωνσταντινουπόλεως προεβάλλετο[5]· διότι καὶ τιμῶν τινῶν ἦσαν μέτοχοι οἱ ἡγούμενοι τῶν μεγάλων μονῶν τῶν ἐν τῇ βασιλίδι τῶν πόλεων, ἀρχιμανδρῖται ὄντες καὶ φέροντες ἐπιγονάτια κατὰ τὰς θείας λειτουργίας· τινὲς τούτων εἶχον καὶ τὸ πολὺ σημαῖνον κατὰ τοὺς βυζαντινοὺς αἰῶνας ὀφφίκιον τοῦ πρωτοσυγκέλλου, καθὼς ὁ τοῦ Στουδίου, ὁ τῶν Μαγγάνων καὶ ὁ τοῦ Προδρόμου τῆς Πέτρας, ὁ τελευταῖος τὸ τοιοῦτον ἀξίωμα λαβὼν κατὰ τὰ τελευταῖα ἔτη τοῦ ΙΔ' αἰῶνος, ὑπὸ τοῦ πατριάρχου Νείλου χορηγηθὲν αὐτῷ· ἀκριβῶς δὲ οἱ τῶν μονῶν τούτων ἡγούμενοι, ὁ μὲν τῆς πρώτης καὶ πρὸ τοῦ ΙΑ' αἰῶνος, ὁ δὲ τῆς τῶν Μαγγάνων μετὰ τὸν αἰῶνα τοῦτον, καὶ ὁ τῆς Πέτρας ἀπὸ τοῦ μαρτίου τοῦ ἔτους 1381 ἐκέκτηντο τὸ δικαίωμα τοῦ προκαθέζεσθαι τῶν λοιπῶν ἔν τε ταῖς ἱεραῖς τελεταῖς καὶ ταῖς συνοδικαῖς συνελεύσεσι καθ' ἣν ἔταξα τούτους ἀρίθμησιν ἀνωτέρω[6]. Γινώσκομεν δὲ καὶ περὶ τῶν παρὰ βυζαντινοῖς ἐκκλησιαστικῶν ἀξιωμάτων (ὀφφικίων) τῶν ἰδιαζόντων μάλιστα κληρικοῖς, ὅτι οἱ ναοὶ τῆς Θεοτόκου τοῦ Κύρου καὶ τῶν Τεσσαράκοντα μαρτύρων ἐν Κωνσταντινουπόλει τὰ κληρικοῖς ἰδιάζοντα ὀφφίκια λαϊκοῖς ἀπένεμον, κατ' ἔθος ἰσχύον ἐν Ἀθήναις, ἐν Μεσημβρίᾳ καὶ ἀλλαχοῦ[7]. Ναοὶ δέ τινες καὶ μοναὶ τῆς Κωνσταντινουπόλεως, ὡρισμένως δὲ δύο, ὁ ναὸς τοῦ Σωτῆρος ἐν τῇ Χαλκῇ καὶ ἡ μονὴ τῆς Θεοτόκου τῶν Ὁδηγῶν ἐπέτρεπον τοῖς λαϊκοῖς 'να εἰσέρχωνται καὶ ἵστανται ἐντὸς τοῦ ἱεροῦ βήματος αὐτῶν, *κατὰ συνήθειαν ἀρχαιοτάτην*, ἣν μάτην ἐπειράθη 'να καταργήσῃ Θεόδωρος ὁ Βαλσαμών, μαθὼν ὅτι *καθὸ παλαιὸν τὸ τοιοῦτον ἔθος οὐ καταργεῖται*[8].

Ἐπειδὴ δ' οἱ τῶν μονῶν ἡγούμενοι συνήθως ἦσαν μοναχοί, συνεπῶς αἱ νενομισμέναι τῶν μοναχῶν ἐξομολογήσεις ἐγίνετο ὑπὸ ιε-

1. Νικοδήμου Συναξαριστής, εἰς τὴν 5 ὀκτωβρίου.

2. βλ. τὴν ὑπὸ τοῦ σεβαστοῦ καθηγητοῦ τῆς ἐν Πετρουπόλει Θεολογικῆς ἀκαδημίας Ἰωάννου Τρωίσκη ἐκδοθεῖσαν ἐν Πετρουπόλει τῷ 1885 Τυπικὴν διάταξιν τῆς μονῆς τοῦ ἁγίου Δημητρίου.

3. Miklosich καὶ Müller, Acta Patriarchatus Constantinopolitani· τόμος Β', σελ. 525.

4. Migne Patrologiæ, PKZ', στήλη 940, ὅπου κατὰ λάθος φέρεται ἔτος 1094, διότι ἡ τοῦ Κομνηνοῦ πρόσταξις γράφει «νοέμβριον τῆς β' ἰνδιατιῶνος», ὅ ἐστι τοῦ ἔτους 1093.

5. Θεοδώρου Ἀναγνώστου Ἐκκλ. Ἱστορίας ἐκλογαί· Β', 33. Ἴδε περίεργον ἐπεισόδιον κατὰ τοιαύτην τινα χειροτονίαν, ἐπὶ τοῦ πατριάρχου Τιμοθέου γενόμενον, ἐν τοῖς ἐμοῖς Πατριαρχικοῖς Πίναξι, σελ 217.

6. Miklosich καὶ Müller, τόμ. Β', σελ. 22.

7. Βαλσαμῶνος ἑρμηνεία εἰς κανόνα ΑΓ' τῆς Πενθέκτης.

8. τοῦ αὐτοῦ ἑρμηνεία εἰς ΞΘ' τῆς αὐτῆς, τῆς ἐν Τρούλλῳ δηλαδή.

ρέως· ἐν τούτοις τὸ Τυπικὸν τῆς ἐν Κωνσταντινουπόλει μονῆς τῆς Θεοτόκου τῆς Εὐεργέτιδος ἐπέτρεπεν εἰς τὸν ἡγούμενον αὐτῆς οὐχὶ πρεσβύτερον, ἀλλὰ μοναχὸν ὄντα, 'να ἐξομολογῇ τοὺς μοναχούς, ὅπερ ἦν ἀκανόνιστον· τὸ τοιοῦτον ἔθος ὑπὸ τοῦ πατριάρχου Θεοδοσίου τοῦ Βοραιδιώτου κατηργήθη, διατάξαντος ὅπως ὁ ἡγούμενος τῆς Εὐεργέτιδοσς ᾖ πρεσβύτερος: «ἐξ ἀνάγκης εἶναι τὸν καθηγούμενον ἱερέα»[9].

Πολλὰς εὑρίσκει τις ποικιλίας καὶ κατὰ τὴν δίαιταν καὶ πολιτείαν τῶν ἐν κωνσταντινοπολιτικαῖς μοναῖς ἀσκουμένων μοναχῶν, ἃς εἰσήγαγον τὰ παλαιότερα Τυπικὰ τῶν πρώτων αὐτῶν ἱδρυτῶν. Τὸ Τυπικόν, ὅπερ εἰσήγαγεν ὁ σῦρος Αὐξέντιος ἐν τῇ μονῇ τῶν Τριχιναρῶν, ἐπέβαλεν ἀργίαν καὶ κατὰ τὴν παρασκευὴν τῆς ἑβδομάδος ὡς καὶ κατὰ τὴν κυριακήν[10]· τὸ Τυπικὸν τῆς περικλεοῦς τοῦ Στουδίου μονῆς, ἐὰν καλῶς ἀντιλαμβάνωμαι τῶν ἱστορικῶν κειμένων, ὥριζε τετραήμερον τὴν νηστείαν τὴν πρὸ τῆς ἑορτῆς τῆς Κοιμήσεως τῆς Θεομήτορος, ἐνῷ τὸ Ἱεροσολυμιτικὸν ὥριζεν ὀκτώ· εἰρήσθω δ' ὅτι μέχρι τέλους τοῦ ΙΒ' αἰῶνος ὑπῆρχον ἀμφιβολίαι περὶ τῆς νηστείας ταύτης, ἤτοι τῆς ἀπὸ τῆς ἑορτῆς τῆς Μεταμορφώσεως μέχρι τῆς 15 αὐγούστου[11]. Ἐν τῇ μονῇ τοῦ Στουδίου ταύτῃ ἀπὸ τοῦ Θ' αἰῶνος ἐπεκράτησεν ἡ συνήθεια 'ν' ἀναγινώσκωνται καθ' ἑκάστην ἑβδομάδα τρεῖς περικοπαὶ λόγων ἐκ τῶν ἐν τῇ Μικρᾷ Κατηχήσει τοῦ Θεοδώρου Στουδίτου[12]· ἐνῷ παρ' ἑτέραις μοναῖς ἔθος ἦν, κατὰ τὰς Τυπικὰς διατάξεις αὐτῶν, 'ν' ἀναγινώσκωνται ἐπ' ἀκροάσει κοινῇ αὐταὶ αἱ Τυπικαὶ διατάξεις· οὕτω τὸ Τυπικὸν τῆς ἐν Κωνσταντινουπόλει μονῆς τῆς Κεχαριτωμένης ἀνεγινώσκετο κατὰ πᾶσαν νουμηνίαν εἰς ἐπήκοον πασῶν τῶν μοναζουσῶν[13]· τὸ Τυπικὸν τῆς ὑπὸ τοῦ Παλαιολόγου Μιχαὴλ καινισθείσης μονῆς τῆς ἐπὶ τοῦ βουνοῦ τοῦ Αὐξεντίου ἀνεγινώσκετο δωδεκάκις τοῦ ἔτους, ὡς φαίνεται κατὰ τὴν πρώτην ἑκάστου μηνός, ἐξαιρουμένου τοῦ νοεμβρίου, ὅτε κατὰ τὴν 9 τοῦ μηνὸς ἡ ἀνάγνωσις ἐγίνετο τούτου, τελουμένων τῶν κτιτορικῶν μνημοσύνων, ἤτοι Ἀλεξίου Παλαιολόγου καὶ Εἰρήνης Κομνηνῆς πάππου καὶ μάμμης τοῦ Παλαιολόγου Μιχαὴλ, Ἀνδρονίκου τοῦ πατρὸς καὶ Θεοδώρας Κομνηνῆς τῆς μητρὸς αὐτοῦ[14]. Προσθετέον ὅτι ναοί τινες ἢ μονῶν ἢ νοσοκομείων ἐκέκτηντο καὶ κοσμικωτέρας τινὰς τιμὰς καί τινα προνόμια· τούτων ἐξῆρχεν ὁ περιλάλητος τῶν Βλαχερνῶν ναός, ὅπου πολλὰς βλέπομεν τελουμένας αὐτοκρατορικὰς προελεύσεις· ὁ δὲ σκευοφύλαξ αὐτοῦ, καθὼς καὶ ὁ χαρτουλάριος τῆς Ἁγίας Σοροῦ (τῆς ἐν Βλαχέρναις ἴσως), καὶ οἱ διευθυνταὶ τῶν ξενοδοχείων Τῶν Θεοφίλου, Τῶν Σαμψών, Τῶν Εὐβούλου, Τῶν Εἰρήνης, Τῶν Ναρσοῦ, Τῶν τῆς Ἁγίας Εἰρήνης ἐν τῷ παλατίῳ προσκαλούμενοι τῇ Κυριακῇ τῶν Βαΐων ἐλάμβανον ἀπὸ χειρὸς τοῦ βασιλέως σταυρούς[15]. Ἐνῷ δ' ἐν τῷ ναῷ τῶν Βλαχερνῶν ἐτελεῖτο κατὰ τὴν νύκτα τῆς Κυριακῆς τῆς Ὀρθοδοξίας ἡ παννυχὶς ὑπὸ τοῦ πατριάρχου Κωνσταντινουπόλεως, ἐν τῷ τῆς ἁγίας Εἰρήνης ἐτελεῖτο κατὰ τὴν ἁγίαν καὶ Μεγάλην Παρασκευὴν ὑπ' αὐτοῦ ἡ Κατήχησις τοῖς εὐτρεπιζομένοις πρὸς τὸ βάπτισμα[16]. Μέχρι δὲ τοῦ Ι' αἰῶνος ὁ γάμος τῶν βασιλέων, ἤγουν ἡ τοῦ στεφανώματος ἀκολουθία, ἐτελεῖτο ἐν τῷ ναῷ τοῦ ἁγίου Στεφάνου τῆς Δάφνης, καὶ κατὰ τὸν αἰῶνα τοῦτον ἐν τῷ ναῷ τῆς Θεοτόκου τοῦ Φάρου[17]. Καὶ τὸ τῆς ἀσυλίας

9. τοῦ αὐτοῦ Βαλσαμῶνος ἑρμηνεία εἰς τὸν Ζ' κανόνα τῆς ἐν Καρθαγένῃ.

10. Τυπικὸν τῆς ἐπὶ τοῦ βουνοῦ τοῦ Αὐξεντίου σεβασμίας μονῆς Μιχαὴλ Ἀρχαγγέλου· ἐκδιδόντος τὸ πρῶτον Μανουὴλ Ι. Γεδεών· ἐν Ἀθήναις, 1895, σελ. 68.

11. Νίκωνος ἐκ τοῦ Πανδέκτου ὁμιλία ΝΖ'. Σύνταγμα τῶν ἱερῶν Κανόνων· Ποτλῆ καὶ Ράλλη· τόμ. Δ', σελ. 590. Βαλσαμῶνος ἑρμηνεία εἰς ΝΕ' ἐρώτησιν Μάρκου πατριάρχου Ἀλεξανδρείας.

12. βίος Θεοδώρου Στουδίτου ὑπὸ Μιχαὴλ Μοναχοῦ. Migne Patrol. ηθ', στ. 152.

13. ἡ διάταξις ἐν τῷ ΞΕ' κεφαλαίῳ· τὸ Τυπικὸν παρὰ Migne, Patrol. τόμ. PKZ', ἀπὸ στήλης 992-1128.

14. Τυπικὸν τῆς ἐπὶ τοῦ βουνοῦ τοῦ Αὐξεντίου μονῆς κλπ. τῆς ἐμῆς ἐκδόσεως· σελ. 46-47.

15. Πορφυρογεννήτου, Ἔκθεσις βασιλείου τάξεως· Βόννης, τόμ. Α', σελ. 173.

16. Πορφυρογεν. αὐτόθι, σελ. 157 καὶ 179.

17. Πορφυρογέν. αὐτόθι, σελ. 201 καὶ 197-198, ὅπου τὰ ὑπὸ τῶν δήμων ᾀδόμενα φαίνονται κοσμικά τινα ἄσματα· καθὼς, λόγου χάριν:

Πνεῦμα τὸ Πανάγιον
τὰς αὐγούστας σκέπασον.
Κύριε, ζωὴν αὐτῶν (γρπτ. αὐτοῖς)
διὰ τὴν ζωὴν ἡμῶν.
Ἔντιμε, ἐνάρετε,
Τριὰς κατακοσμήσει σε,
καὶ χαρὰν παρέξει σοι
Θεὸς ὁ ἐπουράνιος·
Οὗτος εὐλογήσει σε
μετὰ τῆς συζύγου σου κλπ.

δὲ προνόμιον οὐχὶ πάντες οἱ ναοὶ ἐκέκτηντο· κατὰ τὸ 532 ῥητῶς ἀναφέρεται κεκτημένος αὐτὸ ὁ ναὸς τοῦ ἁγίου Λαυρεντίου[18].

ζ

Ἐκπληκτικαὶ δ' εἰσὶν ἀληθῶς αἱ ποικιλίαι, ἃς εὑρίσκομεν ἐν τῷ τελετουργικῷ, ὡς πρός τινα ἔθη, καὶ ὡς πρὸς τὴν διεξαγωγὴν ἱερῶν πανηγύρεων. Ἐκ τῶν ἐν Κωνσταντινουπόλει ναῶν, ὡς ἐν βιογραφίᾳ Μαρκιανοῦ οἰκονόμου δείκνυται, ἀπὸ τῶν μέσων τῆς Ε' ἑκατονταετηρίδος ἔθος εἰσήχθη, κατὰ τὸ Τυπικὸν Μαρκιανοῦ τοῦ κτίτορος, ἐν τῷ ναῷ τῆς ἁγίας Ἀναστασίας, *γοτθικῇ γλώττῃ* «τὰς θεοπνεύστους Γραφὰς ἀναγινώσκεσθαι κατὰ τὰς ἐπισήμους τῶν ἡμερῶν»[1]· ἔθος δ' εἶχε σεπτὸν καὶ μεγαλοπρεπῶς ἐπιβάλλον ὁ ἐν τῷ παλατίῳ ναὸς τοῦ ἁγίου Στεφάνου τῆς Δάφνης, ἐκτιθεὶς πρὸς ἀνάγνωσιν «κατ' ἐνιαυτὸν τῇ ἁγίᾳ μεγάλῃ Πέμπτῃ» τὸ ἐν αὐτῷ θησαυριζόμενον χειρόγραφον τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου τὸ εὑρεθὲν ἐν Κύπρῳ, τὸ δ' ἔθος ἀναφέρεται μέχρις αὐτοῦ τοῦ Ι' αἰῶνος ἰσχύον[2]. Ἐκ τῆς βιογραφίας τοῦ ὁσίου Μαρκέλλου τοῦ τῆς μονῆς τῶν Ἀκοιμήτων[3] ἡγουμένου γίνεται φανερὸν ὅτι μικρῷ πρὸ τῶν μέσων τῆς Ε' ἑκατονταετηρίδος Ἀλέξανδρός τις ἐν Βυζαντίῳ μοναχὸς σοφὸς ἱδρύσας «πρὸς αὐτῷ τῷ τοῦ Πόντου στόματι σεμνὸν φροντιστήριον» νόμον αὐτὸς εἰσήγαγεν, ἤτοι Τυπικὴν διάταξιν, μηδέποτε διακόπτεσθαι τὸ συνεχὲς τῶν εἰς Θεὸν ὕμνων «ἀλλὰ τῇ κατὰ διαδοχὴν τῶν λειτουργούντων ὑπαλλαγῇ τὴν ἀσίγητον καὶ ἄπαυστον τῷ Δεσπότῃ περιποιεῖσθαι δοξολογίαν». Ἀλλὰ καὶ ὅσον ἀφορᾷ εἰς τὴν μεταλλαγὴν τοῦ Τυπικοῦ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας ἐν ᾗ περιπτώσει συνέπιπτον ἀκίνητοι κινηταῖς ἑορταῖς, ἰδια Τυπικὰ καθώριζον τὴν ἀκολουθίαν, ἥτις ἔπρεπε νὰ ψαλῇ ἐν ἑκάστῳ ναῷ. Ἐκ τῶν τῆς ἁγίας Εἰρήνης καὶ τῆς Θεοτόκου τῶν Χαλκοπρατείων Τυπικῶν ἔχομεν ἐκδεδομένον ἀπόσπασμα περὶ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, καθορίζον τὴν τηρητέαν τάξιν, ἣν οὐδαμῶς ἐτήρουν ἕτεραι μοναί, παρ' αἷς μήτε ἡ ἑορτὴ αὕτη πανήγυρις ἦν τῆς μονῆς ἢ τοῦ ναοῦ, μήτε πατριάρχης ἐν αὐταῖς παρῆν κατὰ παλαιὸν ἔθος[4]· ἐκ τοῦ τρόπου μεθ' οὗ γράφεται τὸ τεμάχιον, συμπεραίνω ὅτι τοῖς δύο ναοῖς τούτοις ἡ Τυπικὴ διάταξις αὕτη προσιδιάζει. Κατὰ δὲ τὰ παρὰ τῷ Πορφυρογεννήτῳ φερόμενα[5] συμπεραίνει τις ὅτι τῶν αὐτοκρατόρων ἡ παρουσία κατὰ τὰς ἑορτὰς ἐν ναῷ τινι σπουδαία τις ἦν ἀφορμὴ πρὸς ἀλλοίωσιν τοῦ τυπικοῦ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας, γινομένη μόνον ἐν ἐκείνῳ τῷ ναῷ, ἐν ᾧ παρίστατο ὁ βασιλεύς. Ὅτι δὲ αἱ ἐν χρήσει παρὰ τῷ ναῷ τῆς Ἁγίας Σοφίας ἢ τῆς ἁγίας Εἰρήνης ἢ τῆς Θεοτόκου τῶν Χαλκοπρατείων τοιαῦται διατάξεις οὐκ ἐπεβάλλοντο ναοῖς ἑτέροις, αὐτὰ τὰ παρὰ Πορφυρογεννήτῳ δεικνύουσιν· οὔτε κατὰ τοὺς τελευταίους αἰῶνας, οὔτ' ἐφ' ἡμῶν ἔτι τὰ παρὰ τῷ πατριαρχικῷ ναῷ τῆς Κωνσταντινουπόλεως ἐθιζόμενα ἐπεβάλλοντο μοναῖς ἢ ναοῖς ἑτέροις·

18. Θεοφάνης· τόμ. Α', σελ, 283.

1. βίος Μαρκιανοῦ ὑπὸ Συμεὼν Μεταφραστοῦ· Migne, ΡΙΔ', στ. 456.

2. Ἰωὴλ, Χρονογραφία· Βόννης, σελ. 43.

3. βλ. ἐν τῷ μετὰ χεῖρας βιβλίῳ εἰς τὴν 29 δεκεμβρ.

4. Ἐὰν ὁ Εὐαγγελισμὸς συμπέσῃ τῇ μεγάλῃ Παρασκευῇ, «χρὴ εἰδέναι ὅτι γίνεται ἡ Τριθέκτη ἐν τῇ Ἁγίᾳ Εἰρήνῃ καὶ ἡ Κατήχησις, καὶ ἀνέρχεται ἡ λιτὴ ἐν τῷ Φόρῳ ψάλλοντες τὸ «Σήμερον τῆς σωτηρίας», καὶ ὑποστρέφει ἐν τοῖς Χαλκοπρατείοις ψάλλουσα τὸ αὐτὸ Τροπάριον· καὶ γίνεται ἡ ἀκολουθία τοῦ Εὐαγγελισμοῦ ἕως τοῦ ἁγίου Εὐαγγελίου· καὶ ἀφίει ἐκεῖ ὁ πατριάρχης ἐγκαθέτους πρεσβυτεροδιακόνους καὶ ποιοῦσι τὴν θείαν λειτουργίαν μετὰ τῆς προσκομιδῆς· καὶ ἀνέρχεται ὁ πατριάρχης ἐν τῇ προγεγραμμένῃ Ἐκκλησίᾳ τῆς ἁγίας Εἰρήνης καὶ ποιεῖ τὴν ἀκολουθίαν τῆς θείας λειτουργίας, ἄνευ τῆς προσκομιδῆς. Ὁ ἁγιοπολίτης. Ψάλλεται τὰ στιχηρά . . . κλπ. Εἰς δὲ τὸν ναὸν τῆς Ὑπεραγίας Θεοτόκου (ἴσ. τῶν Χαλκοπρατείων) λέγομεν τὸν β' Ἀπόστολον καὶ τὸ β' Εὐαγγέλιον· οὐ τελειοῦται μετὰ τῆς προσκομιδῆς ἡ θεία λειτουργία».— «Δεῖ εἰδέναι ὅτι, ἐὰν φθάσῃ τῷ Μ. Σαββάτῳ, μετὰ τὸ γενέσθαι τὴν ὑπαλλαγὴν, ἀνέρχεται ἡ λιτὴ ἐν τῷ Φόρῳ ψάλλουσα τροπάριον «Σήμερον τῆς σωτηρίας ἡμῶν», καὶ οὕτως ὑποστρέφει ἐν τοῖς Χαλκοπρατείοις, ψάλλουσα τὸ αὐτὸ τροπάριον, καὶ γίνεται ἡ προγεγραμμένη ἀκολουθία καθὼς τῇ ἁγίᾳ Παρασκευῇ· καὶ ἀνελθὼν ὁ πατριάρχης εἰς τὴν μεγάλην Ἐκκλησίαν ποιεῖ τὴν ἀκολουθίαν τοῦ Μ. Σαββάτου· τὰ ἀναγνώσματα οὐ ῥέσκονται, οὐδὲ ὁ Ἀπόστολος, οὐδὲ τὸ Εὐαγγέλιον. διὰ τὸ εἶναι πολλὴν τὴν ἀκολουθίαν τοῦ Μ. Σαββάτου· ἐὰν δὲ προσθήσῃ, οὐδὲν ἥμαρτεν». Ἱεροσολ. βιβλ. Β', σ. 396—97· χγρ. ΙΑ' αἰῶνος. Ἴσως καὶ ἡ Θεοτόκος τοῦ Φόρου, ὡς καὶ ἡ τῶν Χαλκοπρατείων, ἑώρταζε τὴν 25 μαρτίου. Ῥητέον ὅτι τὰ μοναστήρια τοῦ Ὀλύμπου κατὰ τὸν ΙΒ' αἰῶνα ἴδιον εἶχον τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας διὰ τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ εἰ συνέπιπτε τῇ ἁγίᾳ Μεγάλῃ Πέμπτῃ ἢ τῷ Μ. Σαββάτῳ· βλ. Ἱεροσολ. βιβλιοθ. Β', σελ. 442· Προστίθημι δ' ὅτι ἡ λέξις *γέσκεσθαι* σημαίνει ῥίπτεσθαι καὶ διαδίδοσθαι. Δουκαγγίου Γλωσσάριον· ἐκδόσ. Βρατισλαυίας, στήλη 1290.

5. Ἔκθεσις βασ. τάξεως Α', σελ. 85, 89, 176, 184.

τοὐναντίον ὅλως, τὸ Πατριαρχεῖον, ἑπόμενον τῇ γνώμῃ τῶν πολυμαθεστάτων πατριαρχῶν Κωνσταντίου τοῦ ἀπὸ Σιναίου καὶ Γρηγορίου τοῦ ἀπὸ Σερρῶν, ἐπικειμένης συμπτώσεως τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ τῇ Μ. Παρασκευῇ ἢ τῷ Μ. Σαββάτῳ, μετατιθὲν αὐτὴν εἰς τὴν ἡμέραν τοῦ θείου Πάσχα, ὥριζεν αὐταῖς λέξεσιν, ὅτι τοῦτο πράττει «μόνον διὰ τὰς ἐν πόλεσι καὶ κώμαις ἐκκλησίας· *τῶν μοναστηριακῶν Τυπικῶν ἀμεταβλήτων, ἀνεπάφων, καὶ ἀμετακινήτων διαμενόντων, διά τε τὸ πρὸς τοὺς ἀρχαίους ἐκείνους πατέρας σέβας καὶ διὰ τὸ διάφορον τοῦ μοναδικοῦ πολιτεύματος καὶ τῆς ὑψηλοτέρας διαγωγῆς*»[6]. Τὴν αὐτὴν γνώμην διετύπωσε τὸ Πατριαρχεῖον Κωνσταντινουπόλεως, ἐπὶ τῇ θεομητορικῇ ταύτῃ ἑορτῇ, ἧς ἐν ἡμέρᾳ τετράδι ἢ παρασκευῇ συμπιπτούσης ἀπεφήνατο *μὴ γίνεσθαι προηγιασμένων λειτουργίαν* «εἰς τὰς ἐν πόλεσι καὶ κώμαις ἱερὰς ἐκκλησίας, ἀγρυπνίας μὴ γινομένης· *εἰς δὲ τὰς τῶν ἱερῶν μοναστηρίων, διά τε τὴν διαφορὰν τοῦ ὑψηλοῦ μοναδικοῦ βίου καὶ διὰ τὸ ἔπεσθαι ἀγρυπνίαν*, γίνεται προηγιασμένη, *τῶν Τυπικῶν τῶν κτιτόρων αὐτῶν, ἀρχαίων ἐκείνων πατέρων, ἀμετακινήτων διαμενόντων*»[7].

Διάφορα δ' ἀνεγινώσκοντο ἐν τοῖς ἐν Κωνσταντινουπόλει ναοῖς εὐαγγέλια κατὰ τὰς ἐπιφανεστέρας τῶν ἑορτασίμων ἡμερῶν τοῦ ὅλου ἐνιαυτοῦ, καὶ δείκνυται σαφῶς, ἐκ συνδυασμοῦ μάλιστα πρὸς τὰ σήμερον ἐν Ἁγίῳ Ὄρει ἐθιζόμενα, ἡ ποικιλία τῶν τυπικῶν διατάξεων ἑκάστου ναοῦ καὶ μονῆς, τηρουμένων τῶν ὑπὸ τῶν ἱδρυτῶν καὶ κτιτόρων ἑκάστης διατεταγμένων, οἵτινες ὡς πρὸς τοὺς καθορισμοὺς τῶν κανόνων τῆς τε διοικήσεως καὶ τῆς μοναχικῆς πολιτείας καὶ αὐτοῦ τοῦ λειτουργικοῦ μέρους ἔπραττον ὡς ἤθελον. Τὴν διαφορὰν τῶν ἀναγινωσκομένων κατὰ τὰς ἑορτὰς ταύτας εὐαγγελικῶν περικοπῶν ἀναγινώσκομεν ἔν τισι παλαιοῖς χειρογράφοις, ὧν εἶδον ὀλίγα, τούτων δ' ἐσημείωσα μόνον ὅσα ἀναφέρονται εἰς ὡρισμένους ἐν Κωνσταντινουπόλει ναούς, συνωδὰ τῷ προγράμματι τοῦ μετὰ χεῖρας συγγράμματος. Ἀρχαῖον κωνσταντινοπολιτικὸν Εὐαγγέλιον εὑρίσκω τὸ ἐν Καλενδαρίῳ τοῦ Stephani Morcelli κείμενον, ἥκιστα ἀπομακρυνόμενον τοῦ λαμπροῦ χειρογράφου Εὐαγγελίου τοῦ ΙΑ' αἰῶνος, ὅπερ ὑπὸ τὸν παλαιὸν ἀριθμὸν 426 εὑρηται ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐνταῦθα κατὰ τὸ Φανάριον Ἁγιοταφικοῦ Μετοχίου[8]. Κατὰ ταῦτα δ' εὑρίσκω τὰς ἑξῆς διατάξεις:

23 Ἰαμουαρίου: Εἰς τὴν μνήμην τοῦ ἁγίου Κλήμεντος. Ἐκ τοῦ κατὰ Ἰωάννην· «Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους».—Ἄλλο τῇ αὐτῇ ἡμέρᾳ, ἐκ τοῦ κατὰ Ματθαῖον· «Τῷ καιρῷ ἐκείνῳ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων»[9]. Ἴσως ἐλέγετο ἴδιον Εὐαγγέλιον ἐν ἑκατέρῳ τῶν ἀνατεθειμένων εἰς τοὺς ἱερομάρτυρας Ἀγαθάγγελον καὶ Κλήμεντα ναῶν[10].

29 Ἰαμουαρίου: Εἰς ἐπάνοδον τοῦ ἁγίου Ἰγνατίου τοῦ Θεοφόρου. Ἐκ τοῦ κατὰ Μάρκον· «Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς Καπερναούμ». —Ἄλλο τῇ αὐτῇ ἡμέρᾳ, ἐκ τοῦ κατὰ Ἰωάννην· «Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους»[11].

6 Φεβρουαρίου: Μνήμη Φωτίου πατριάρχου Κωνσταντινουπόλεως. Ἐκ τοῦ κατὰ Ἰωάννην· «Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται».—Οὐ σημειοῦται παρὰ Morcelli μνήμη Φωτίου, ἀλλ' ἐν τῷ 426 καὶ ἐν ἑτέροις.

29 Φεβρουαρίου: Οὐχὶ Κασσιανοῦ τοῦ Ῥωμαίου μνήμη, ἀλλὰ τῶν ἁγίων μαρτύρων Παπία, Διοδώρου καὶ Κλαυδίου, κατὰ τὸ 426 Εὐαγγέλιον. Παρὰ τῷ Morcelli σημείωσις οὐδεμία.

24 Μαρτίου: Εἰς τὴν σαρκοφίδα τοῦ Εὐαγγελισμοῦ. Τὸ αὐτὸ δὲ λέγεται καὶ εἰς τὴν β' ἰουλίου μηνὸς εἰς τὰ Μεταθέσια (γραπτέον Καταθέσια) τῆς σοροῦ Βλαχερνῶν. Δέον γινώσκειν ὅτι τὸ αὐτὸ λέγεται εἰς ἑκατέρας παννυχίδας αὐτῆς· Ἐκ τοῦ κατὰ Λουκᾶν· «Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριὰμ ἐπορεύθη εἰς τὴν Ὀρινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα».

6. Τυπικὸν τῆς τοῦ Χ. Μ. Ἐκκλησίας κλπ. ἔκδοσις Κωνσταντίνου πρωτοψάλτου. Ἐν Κωνσταντινουπόλει, 1851, σελ. 153.

7. τοῦ αὐτοῦ Τυπικοῦ, σελ. 128.

8. περιέγραψε τοῦτο τὸ Εὐαγγέλιον ὁ γηραιὸς διδάσκαλος Ἐμμανουὴλ Ἰωαννίδης ἐν τῷ Β' τόμῳ τοῦ περιοδικοῦ τοῦ Ἑλλ. Φιλολογικοῦ Συλλόγου· σελ. 63 καὶ ἑξῆς.

9. Morcelli Calendarium· σελ. 44 τοῦ Α' τόμου, 36 τοῦ Β'.

10. ἰδὲ ἐν τῷ μετὰ χεῖρας Ἑορτολογίῳ τὴν 23 ἰανουαρ.

11. Morcelli, τόμ. Α', σελ. 45 καὶ Β' σελ. 45.

11 Μαΐου. Τοῦ ἁγίου ἱερομάρτυρος Μωκίου καὶ Παχωμίου. — Τῇ αὐτῇ ἡμέρᾳ τὸ Γερέθλιον τῆς πόλεως. Ἐκ τοῦ κατὰ Ἰωάννην· «Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμάς». Τοῦτο κατὰ τὸ 426. — Εἰς τὸ Γερέσιον τῆς πόλεως καὶ εἰς τὴν μνήμην τῶν ἁγίων Μωκίου καὶ Παχωμίου· Ἐκ τοῦ κατὰ Ἰωάννην· «Εἶπεν ὁ Κύριος· καθὼς ἠγάπησέ με ὁ Πατήρ, κἀγὼ ἠγάπηκα ὑμᾶς». Τοῦτο κατὰ Morcelli[12]. — Τοῦτο τὸ εὐαγγέλιον ἀναγινώσκεται ἐν τῷ Φόρῳ· «Καθὼς ἠγάπησα»· ἐν δὲ τῇ μεγάλῃ Ἐκκλησίᾳ ἀναγινώσκεται τοῦτο· Ἐκ τοῦ κατὰ Ἰωάννην· «Ἐὰν ἀγαπᾶτέ με». Τοῦτο κατὰ τὸ νεώτερον ἐκ τῶν δύο χειρογράφων Εὐαγγελίων τοῦ ἐν Ἐδιρνέκαπι ναοῦ τοῦ ἁγίου Γεωργίου· ἀλλὰ πληρέστερον ἀναφέρονται ταῦτα ἐν χειρογράφῳ τοῦ ΙΒ′ αἰῶνος τῆς πρώην βιβλιοθήκης τοῦ ἁγίου Σάββα ἐν Ἱεροσολύμοις, γράφοντι[13]: Τὸ Γερέθλιον τῆς πόλεως. Τοῦτο ἀναγινώσκεται ἐν τῷ Φόρῳ, ἀπερχομένης τῆς λιτῆς· Ἐκ τοῦ κατὰ Ἰωάννην· «Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· καθὼς ἠγάπησέ με ὁ Πατήρ»· ἐν δὲ τῇ μεγάλῃ Ἐκκλησίᾳ, ὑποστρεφούσης τῆς λιτῆς καὶ τελουμένης τῆς λειτουργίας, ἀναγινώσκεται τοῦτο· Ἐκ τοῦ κατὰ Ἰωάννην· «Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμάς».

12 Μαΐου: Εἰς τὴν μνήμην τοῦ ἁγίου Ἐπιφανίου Κύπρου καὶ λοιπῶν πατριαρχῶν. Ἐκ τοῦ κατὰ Ἰωάννην· «Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα».—Ἄλλο τῇ αὐτῇ ἡμέρᾳ, ἐκ τοῦ κατὰ Ματθαῖον· «Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ». Τοῦτο παρὰ Morcelli[14].

5 Ἰουμίου: Εἰς τὴν Λιτὴν τοῦ Κάμπου. Ἐκ τοῦ κατὰ Ματθαῖον· «Τῷ καιρῷ ἐκείνῳ ἐμβάντι τῷ Ἰησοῦ εἰς πλοῖον». Τοῦτο κατὰ τὸ νεώτερον Εὐαγγέλιον τοῦ ἐν Ἐδιρνέκαπι ἡμετέρου ναοῦ.—Παρὰ δὲ Morcelli[15]: Εἰς τὴν Λιτὴν τοῦ Κάμπου. Ἐκ τοῦ κατὰ Λουκᾶν· «Τῷ καιρῷ ἐκείνῳ ἐνέβη ὁ Ἰησοῦς εἰς πλοῖον».—Ἄλλο εὐαγγέλιον λέγεται εἰς τὸ βάπτισμα[16], ἐκ τοῦ κατὰ Λουκᾶν· «Τῷ καιρῷ ἐκείνῳ προσῆλθον τῷ Ἰησοῦ οἱ μαθηταὶ αὐτοῦ καὶ εἶπον αὐτῷ· Κύριε, δίδαξον»· ἀλλὰ πληρέστερον ἀναφέρονται ταῦτα ἐν τῷ 426 χειρογράφῳ Εὐαγγελίῳ, διατυποῦντι ὡς ἑξῆς· Τῇ αὐτῇ ἡμέρᾳ· Εἰς τὴν εἴσελευσιν τῶν βαρβάρων. Ἐν μὲν τῷ Τριβουναλίῳ λέγεται εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον («Τῷ καιρῷ ἐκείνῳ ἐμβάντι τῷ Ἰησοῦ εἰς πλοῖον ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ»)· εἰς δὲ τὸν ναὸν τοῦ ἁγίου Βαβύλα ἀναγινώσκεται τοῦτο· Ἐκ τοῦ κατὰ Λουκᾶν· «Τῷ καιρῷ ἐκείνῳ προσῆλθον τῷ Ἰησοῦ οἱ μαθηταὶ αὐτοῦ καὶ εἶπον αὐτῷ· Κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι». Γίνεται δ' οὕτω γνωστὸς καὶ ναὸς τοῦ ἁγίου Βαβύλα· πρόσθες ὅτι ὁ τέως ἀγνοούμενος οὗτος ναὸς εἶχε συνηθείας ἑτέρας, ἀνεγινώσκετο δ' ἐν αὐτῷ, καθ' ἡμέραν ἑορτῆς ἐπίσημον, Εὐαγγέλιον διάφορον.

11 Ἰουλίου: Εἰς τὴν σύναξιν τῆς ἁγίας Εὐφημίας τοῦ Ὄρους. Ἐκ τοῦ κατὰ Ματθαῖον· «Τῷ καιρῷ ἐκείνῳ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος, καὶ ἰδοὺ γυνὴ Χαναναία». — Ἄλλο τῇ αὐτῇ ἡμέρᾳ· Εὐαγγέλιον κατὰ Λουκᾶν· «Τῷ καιρῷ ἐκείνῳ ἠρώτα τις τῶν Φαρισαίων τὸν Ἰησοῦν». Τοῦτο κατὰ Morcelli[17].

14 Αὐγούστου: Εἰς μνήμην τοῦ ἁγίου μάρτυρος Μαρκέλλου. Ἐκ τοῦ κατὰ Ἰωάννην· «Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα». —Ἄλλο τῇ αὐτῇ ἡμέρᾳ εἰς τὴν παμμυχίδα τῆς Κοιμήσεως τῆς παναγίας Θεοτόκου· Ἐκ τοῦ κατὰ Λουκᾶν· «Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριάμ». Τοῦτο κατὰ Morcelli[18].

31 Αὐγούστου: Τὰ καταθέσια τῆς Ζώμης τῆς ἁγίας Θεοτόκου. Ἐκ τοῦ κατὰ Λουκᾶν· «Τῷ καιρῷ ἐκείνῳ διήρχετο ὁ Ἰησοῦς τὴν Ἰεριχώ».—Τῇ αὐτῇ ἡμέρᾳ, εἰς τὴν μνήμην τῶν ἁγίων πατριαρχῶν Ἀλεξάνδρου, Ἰωάννου καὶ Παύλου τοῦ νέου. Ἐκ τοῦ κατὰ Ματθαῖον· «Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου». Τὸ δεύτερον εὐαγγέλιον ἀνεγινώσκετο πάντως ἐν Ἁγίᾳ Σοφίᾳ. Ἡ διάταξις αὕτη παρὰ Morcelli[19].

1 Σεπτεμβρίου: Ἀρχὴ τῆς Ἰνδίκτου, καὶ μνήμη Συμεὼν τοῦ Στυλίτου, καὶ τοῦ μεγάλου ἐμπορησμοῦ. Γίνεται δὲ καὶ σύναξις τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις ὑπὲρ Μιασημῶν. Καὶ ἐν μὲν τῷ

12. Morcelli A′, 54. B′, 99.

13. Ἱεροσολυμιτικὴ Βιβλιοθήκη· κατάλογος κλπ. τόμ. Β′, σελ. 366. Τὸ χειρόγραφον ἐγράφη τῷ 1184.

14. Morcelli, A′, 54. B′, 103.

15. Morcelli, A′, 56. B′, 122.

16. ὁ ὁρισμὸς ἀκατάληπτος, μεθ' ὅσα μεστὰ πολυμαθείας ἐν σελ. 124-125 τοῦ Β′ τόμου γράφει ὁ Morcellis,

17. Morcelli, A′, 60. B′, 158.

18. Morcelli, A′, 65. B′, 194.

19. Morcelli, A′, 67. B′, 224.

Φόρῳ καὶ εἰς τὴν λειτουργίαν τῆς μεγάλης Ἐκκλησίας ἀναγινώσκεται εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν· «Τῷ καιρῷ ἐκείνῳ ἦλθεν Ἰησοῦς εἰς τὴν Ναζαρὲτ, οὗ ἦν τεθραμμένος»[20]. Ἐν δὲ τοῖς Χαλκοπρατείοις ἀναγινώσκεται εὐαγγέλιον «Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριάμ».—Τοῦτο κατὰ τὸ 426 χειρόγραφον. Μνεία τῆς τοιαύτης διατάξεως καὶ ἀλλαχοῦ[21] γίνεται. Παρατηροῦμεν ὅτι μία ἑνότης ὑπάρχει παρὰ πᾶσι τοῖς Εὐαγγελίοις, ὅτι τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου τὸ ἀπόσπασμα «Ἀναστᾶσα Μαριὰμ» ἀνεγινώσκετο κατὰ πᾶσαν παννυχίδα θεομητορικῆς ἑορτῆς.

2 Σεπτεμβρίου: Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Νηστευτοῦ, καὶ Παύλου τοῦ μέου. Ἐκ τοῦ κατὰ Ματθαῖον· «Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου». —Ἄλλο, τῇ αὐτῇ ἡμέρᾳ, ἐκ τοῦ κατὰ Ἰωάννην· «Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται». — Τῇ αὐτῇ ἡμέρᾳ, εἰς τὴν μνήμην τῶν ἁγίων Ἰωάμμου καὶ Παύλου ἐπισκόπων Κωνσταντινουπόλεως, καὶ εἰς τὸν ἅγιον ἱερομάρτυρα Μάμαντα. Ἐκ τοῦ κατὰ Ἰωάννην· «Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστι». Τοῦτο κατὰ Morcelli[22].

16 Σεπτεμβρίου: Οἱ μὲν λοιποὶ ναοὶ ἐγέραιρον τὴν μνήμην τῶν ἁγίων Πατέρων, τῶν ἐν τῇ Ϛ′ Οἰκουμενικῇ Συνόδῳ· ὁ δὲ τῆς Ἁγίας Σοφίας ἐπετέλει τὴν μνήμην ταύτην τῇ Κυριακῇ μετὰ τὴν Ὕψωσιν τοῦ Τιμίου Σταυροῦ, ἤτοι μεταξὺ τῆς 15-21 τοῦ σεπτεμβρίου. Τοῦτο κατὰ τὸ 426 χειρόγραφον.

25 Σεπτεμβρίου: Εἰς τὴν μνήμην τοῦ σεισμοῦ ἐν τῷ Κάμπῳ. Ἐκ τοῦ κατὰ Λουκᾶν· «Τῷ καιρῷ ἐκείνῳ ἐνέβη ὁ Ἰησοῦς εἰς πλοῖον καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ εἶπε πρὸς αὐτούς· διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης· καὶ ἀπῆχθησαν· πλεόντων δὲ αὐτῶν, ἀφύπνωσε». Ἐν δὲ τῷ ναῷ τοῦ Θεολόγου κάτω, ἐκ τοῦ κατὰ Ματθαῖον· «Εἶπεν ὁ Κύριος· αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν». Τοῦτο κατὰ Morcelli[23]. — Πληρέστερον τὸ 426 χειρόγραφον διατάττεται· Εἰς τὴν Λιτὴν τοῦ Κάμπου διὰ τὸ Τρισάγιον. Ἐν μὲν τῷ Τριβουναλίῳ λέγεται Εὐαγγέλιον κατὰ Λουκᾶν· εἰς δὲ τὴν λειτουργίαν κάτω ἐν τῷ ναῷ τοῦ Θεολόγου ἀναγινώσκεται Εὐαγγέλιον τῆς τετάρτης τῆς Ϛ′ ἑβδομάδος τοῦ Λουκᾶ.

3 Ὀκτωβρίου: Εἰς τὴν μνήμην τοῦ ἁγίου Διομυσίου. Ἐκ τοῦ κατὰ Ματθαῖον· «Τῷ καιρῷ ἐκείνῳ ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ πέραν τοῦ Ἰορδάνου». — Ἄλλο, τῇ αὐτῇ ἡμέρᾳ, ἐκ τοῦ κατὰ Ματθαῖον· «Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας». Τοῦτο κατὰ Morcelli[24].

21 Ὀκτωβρίου. Εἰς τὴν μνήμην τοῦ ὁσίου Ἱλαρίωνος. Ἐκ τοῦ κατὰ Λουκᾶν· «Εἶπεν ὁ Κύριος· μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον». —Ἄλλο, τῇ αὐτῇ ἡμέρᾳ, ἐκ τοῦ κατὰ Λουκᾶν· «Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· καὶ ὁ ὄχλος μαθητῶν αὐτοῦ». Τοῦτο κατὰ Morcelli[25].

25 Ὀκτωβρίου: Εἰς τὴν μνήμην τῶν ἁγίων Νοταρίων Μαρκιανοῦ καὶ Μαρτυρίου καὶ τῶν λοιπῶν ἁγίων. Ἐκ τοῦ κατὰ Λουκᾶν· «Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· οὐδὲν συγκεκαλυμμένον ἐστὶν, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν, ὃ οὐ γνωσθήσεται». — Ἀπὸ δὲ ἄρχεται τοῦ ἁγίου Παύλου τοῦ Ὁμολογητοῦ· «Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πᾶς, ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ». Τοῦτο κατὰ Morcelli[26], ὅπερ φαίνεταί μοι παράδοξον, διότι τὴν μνήμην Παύλου τοῦ Ὁμολογητοῦ τελεῖ ἀπ' ἀρχαίων χρόνων ἡ Ἐκκλησία τῇ 6 νοεμβρίου.

Κυριακῇ πρὸ τῆς 6 τοῦ Νοεμβρίου μηνὸς, ἤγουν πρὸ τῆς μνήμης τοῦ ἁγίου Παύλου τοῦ Ὁμολογητοῦ, ΚΑΤΑ ΤΟΝ ΤΥΠΟΝ ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ, ἀναγιμώσκεται Εὐαγγέλιον τὸ λεγόμενον Ὁ πλούσιος[27]. Τὸ αὐτὸ ἀναγιμώσκεται καὶ τῇ Ϛ′ τοῦ αὐτοῦ μηνὸς εἰς τὴν λιτὴν ὑπὲρ τῆς μνήμης τῆς κόμεως[28]. Τοῦτο κατὰ τὸ 426

20. Ἔστι δὲ τὸ καὶ νῦν ἐν τοῖς ναοῖς ἀναγινωσκόμενον.

21. Ἱεροσλμ. Βιβλιοθήκη· τόμ. Β′, σελ. 23, 38, 237.

22. Morcelli, A′, 17 καὶ 117.

23. Morcelli, A′, 23 καὶ 164.

24. Morcelli, A′, 25 καὶ 177.

25. Morcelli, A′, 28 καὶ 198.

26. Morcelli, A′, 28 καὶ 202.

27. τὸ 15′ κεφάλαιον τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου· «Ἄνθρωπός τις ἦν πλούσιος, ὃς εἶχεν οἰκονόμον» κλπ.

28. τὸ ἐπὶ τῇ μνήμῃ τοῦ Παύλου Κωνσταντινουπόλεως

χειρόγραφον, ὀρθότερα τῶν παρὰ Morcelli [29] διατάττον.

11 Νοεμβρίου: Τοῦ ἁγίου Μηνᾶ. Ἐκ τοῦ κατὰ Ἰωάννην· «Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους». Εἰς τὴν ψαμμυχίδα τοῦ Χρυσοστόμου. Ἐκ τοῦ κατὰ Ἰωάννην· «Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἀμὴν, ἀμὴν, λέγω ὑμῖν· ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας». Τοῦτο κατὰ Morcelli [30]. Σημείωσαί μοι δ' ὅτι τῇ 13, εἰς τὴν μνήμην τοῦ ἁγίου Ἰωάμμου τοῦ Χρυσοστόμου, ἀνεγινώσκετο ἐκ τοῦ κατὰ Λουκᾶν· «Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα».

* * *

Ταύτας ἐκ τοῦ προχείρου σημειῶ τὰς διαφορὰς, παραλείπων τυπικὰς διατάξεις περὶ διπλῶν Εὐαγγελίων, ἀναφερομένων εἰς μνήμην ὁσίου καὶ εἰς συμπίπτουσαν μνήμην μάρτυρος, ἢ εἰς τὰς Κυριακὰς τῶν ἁγίων Εὐαγγελιστῶν. Ἔρευνα πλατυτέρα τῶν παλαιοτέρων χειρογράφων Εὐαγγελίων ἀποδείξει πόθεν ἡ ἀρχὴ τῶν περὶ τὰς διατάξεις ταύτας διαφορῶν, αἵτινες παρέτειναν τὸ ζῆν μέχρι τέλους τοῦ 1Ε' αἰῶνος, ἑκάστης μονῆς ἴδιον ἐχούσης Τυπικὸν, καθὰ μαρτυρήσουσι τά τε «Κανονάρια τῶν συνάξεων τοῦ ὅλου ἐνιαυτοῦ» καὶ τὰ παλαιότερα Εὐχολόγια καὶ Μηναῖα καὶ Ἀνθολόγια καὶ Εὐαγγέλια, καὶ μάλιστα τὰ φέροντα σημείωσιν τοῦ ναοῦ καὶ τῆς μονῆς, εἰς ἣν ἀνῆκον καὶ δι' ἣν ἐγράφησαν. Ἐπὶ τοῦ παρόντος, ἀπὸ μαρτυρίας τῆς Π' ἑκατονταετηρίδος, γινώσκομεν ὅτι αἱ μοναὶ Πέτρας, Εὐεργέτου καὶ Περιβλέπτου τῆς Κωνσταντινουπόλεως εἶχον ἴδια Τυπικὰ τῆς ἐκκλησιαστικῆς ἐνιαυσίας ἀκολουθίας· τὰ δὲ συγχρόνως ἀναφερόμενα Τυπικὰ τῶν πατριαρχῶν Ἰγνατίου καὶ Φωτίου [31] φρονῶ ὅτι συνετάχθησαν χάριν τῶν ὑπ' αὐτῶν ἐγερθεισῶν μονῶν· ἐκτὸς ἂν ὑποτεθῇ ὅτι οἱ μακάριοι οὗτοι πατριάρχαι τῆς Νέας Ῥώμης ἐπεχείρησαν ἐνοποιήσει τινὶ καὶ διορθώσει Τυπικοῦ τινος κοινοῦ πάσαις ταῖς ἐν Κωνσταντινουπόλει μοναῖς καὶ ναοῖς. Ἀλλὰ, κατὰ μαρτυρίαν τῆς αὐτῆς Π' ἑκατονταετηρίδος, ἀναφερομένου τοῦ Τυπικοῦ τῆς Ἁγίας Σοφίας, ἀναφέρεται καὶ τὸ Τυπικὸν τῆς περιφανοῦς τοῦ Στουδίου μονῆς, ὅπερ ἀκριβέστερον ἐκρίνετο [32].

Πρὶν τεθῇ τέλος εἰς τὸ ὑπ' ὄψιν ἐδάφιον τοῦ λόγου, δέον ἵνα γραφῇ ὅτι κατὰ τὰ 1280—1281 Μιχαὴλ ὁ Παλαιολόγος, ἀνοικοδομήσας τὴν ἐπὶ τοῦ βουνοῦ τοῦ Αὐξεντίου μονὴν, εἰσήγαγεν ἐν αὐτῇ διὰ τῆς ἐπὶ τούτῳ τυπικῆς αὐτοῦ διατάξεως τὸ ἱεροσολυμιτικὸν Τυπικόν [33].

Προσθετέον ἐπίσης ὅτι κατὰ τὰς ἱερουργίας, αἱ μὲν ἐν ταῖς ἐκκλησιαστικαῖς παροικίαις Χαλκηδόνος καὶ Δέρκων διακείμεναι πρὸς τῆς Κωνσταντινουπόλεως μοναὶ ἐποιοῦντο τὸ μνημόσυνον τοῦ μητροπολίτου [34], αἱ δ' ἐν τῇ ἐνορίᾳ τῆς ἀρχιεπισκοπῆς Κωνσταντινουπόλεως ἐποιοῦντο τὸ μνημόσυνον τοῦ οἰκουμενικοῦ πατριάρχου, καίτοι δύναταί τις εἰκάζειν ὅτι αἱ μεγάλαι βασιλικαὶ μοναὶ «πάσης ἐπισκοπῆς ὀρθοδόξων» ἐμνημόνευον [35]. Ἐπειδὴ δ' ὑπῆρχον ἐν Κωνσταντινουπόλει μοναὶ προσηρτημέναι, κατ' αὐτοκρατορικὴν εὐμένειαν, τοῖς πατριαρχικοῖς θρόνοις Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων, κατὰ τὰς ἐν αὐταῖς τελουμένας ἱερουργίας ἐκ καταχρήσεως ἱερεῖς τινὲς ἐμνημόνευον τοῦ ὀνόματος τοῦ πατριάρχου, εἰς ὃν ὑπέκειτο ἡ μονή· γινώσκομεν δὲ ἀστεῖον ἐπεισόδιον μεταξὺ τῶν πατριαρχῶν Ἀλεξανδρείας καὶ Κωνσταντινουπολεως, Ἀθανασίων ἀμφοτέρων, περὶ τοῦ τοιούτου μνημοσύνου τοῦ γινομένου ἐν τῇ τοῦ Ταξιάρχου Μιχαὴλ Λαύρᾳ τῇ κατὰ τὸν Ἀνάπλουν, ἐξ οὗ καταδείκνυται ὅτι τὸ μνημόσυνον ὀνόματος ἀλλοτρίου κατὰ τὰς ἱερουργίας ἦν ἀκανόνιστον [36].

Ἡ ἔρευνα τῶν Τυπικῶν ἐν γένει τῶν ἐκτιθεμένων ἐπὶ ἱδρύσει ἢ ἀνακαινισμῷ μοναστηρίων ἐστὶν ἔργον ἑτέρων. οὐχὶ δ' ἐμοῦ, ὅστις ἠθέλησα 'ν' ἀποδείξω ὅτι οὐδεὶς νόμος ἱερὸς ἢ κοσμικὸς ἐπέβαλλε κώλυμά τι τοῖς ἱδρυταῖς εἰς τὰς π«ρ' αὐτῶν γινομένας διατάξεις. Γογγυσμόν τινα καὶ μεμψιμοιρίαν διετύπωσε κατὰ τὰ τέλη σχεδὸν τῆς ΙΒ' ἑκατονταετηρίδος ὁ Θεόδωρος Βαλσαμὼν, ἀλλ' ἡ μεμψιμοιρία ἀπέβλεπε μόνον εἴς τινα δικαιώματα τοῦ κατὰ τόπον ἐπισκόπου, οὐχὶ δ' εἰς νεωτερισμοὺς περὶ τὴν δίαιταν, τὴν διοίκησιν, ἢ τὰς ἐκκλησιαστικὰς ἀκολουθίας· ἰδοὺ δ' ὅ,τι περὶ τούτου λέγει, ἐξ οὗ φαίνεται ὅτι, ζητήσεως ἐγερθείσης ἐν χρόνοις ἀρχαιοτέροις αὐτοῦ περὶ τῆς ποικιλίας τῶν μοναστηριακῶν Τυπικῶν, οὐδὲν ἠδυνήθη 'να πράξῃ ἡ Ἐκκλησία: «Ἠρώτησεν οὖν τις· πῶς, παρὰ τὴν τούτου περίληψιν, οἱ τῶν μοναστηρίων δομήτορες Τυπικά τε ἐκτιθέασι, καὶ οὐ μόνον ἡγουμένους. ἀλλὰ καὶ ἐφόρους ἐν αὐτοῖς καθιστῶσι, καὶ ἔστιν ὅτε ὑποτυποῦσι, σὺν ἑτέροις ἀκανονίστοις τισι, καὶ τὸ μὴ ἔχειν πάροδον ἐν αὐτῇ τὸν κατὰ χώραν ἐπίσκοπον; Καί τινες μὲν εἶπον, πάντα τὰ Τυπικὰ, κἂν ὅπως ἔχωσι περιλήψεως, εἶναι ἀνίσχυρα· καὶ τὸ ἅπαξ ἀνατεθὲν τῷ Θεῷ τελεῖν ἀπολυπραγμονήτως ὑπὸ τὰ ἐπισκοπικὰ δίκαια, κατὰ τὴν τοῦ παρόντος κανόνος περίληψιν. Ἕτεροι δὲ εἶπον, ὀφείλειν κρατεῖν αὐτὰ. ὅτε τοῖς νόμοις καὶ τοῖς κανόσιν ἀκολούθως γεγράφαται. Ἄλλοι δὲ ἤθελον, τότε ἔχειν τὸ ἐνεργὸν, ὅτε σὺν τῷ κανονικῶς τε καὶ νομίμως ἐκτεθῆναι καὶ παρὰ χειρὸς βασιλικῆς ἐπικυρωθῶσιν. Ἐμοὶ δὲ δοκεῖ, ὡς . . . . . διοικούμενα κατὰ τὸ δοκοῦν αὐτῷ (τῷ ἐπισκόπῳ δῆλον οὖν), ἐπ' ἀδείας ἔχουσιν οἱ δομήτορες τούτων Τυπικὰ ἐκτίθεσθαι. Πλὴν, ἀπὸ τοῦ λέγειν τὸν νόμον *διοικεῖσθαι τοὺς εὐαγεῖς οἴκους κατὰ τὸ δοκοῦν τῷ κτίτορι*, οὐκ ἐφεῖται αὐτῷ ἀκανόνιστά τινα καὶ παράνομα διατάττεσθαι . . . . . Νομίζω οὖν ὡς, ἐκ τοῦ κανόνος τούτου, οὐκ ἐνεδόθη τῷ ἐπισκόπῳ κατεξουσιάζειν τοῦ μοναστηρίου ὡς δεσποτικῶς διαφέροντος τῇ ἐκκλησίᾳ αὐτοῦ· ἀλλ' ἔχειν μόνον δίκαια ἐπισκοπικὰ ἐπ' αὐτῷ· εἰσὶ δὲ ταῦτα· ἀνάκρισις ψυχικῶν σφαλμάτων, ἐπιτήρησις τῶν διοικούντων αὐτὸ, ἀναφορὰ τοῦ ὀνόματος τούτου, καὶ σφραγὶς τοῦ ἡγουμένου. Συντηρηθήσεται οὖν ἡ μονὴ ἐλευθέρα καὶ καθ' ἑαυτὴν διεξαγομένη, ἀνεκποίητος καὶ ἀδώρητος. Ὁ δὲ κατὰ καιρὸν ἀρχιερεὺς ἕξει ἐπ' αὐτῇ μόνα τὰ ῥηθέντα ἐπισκοπικὰ δίκαια» [37].

§

Ἕκαστος ναὸς, ἑκάστη μονὴ, καθὼς εἶχε Τυπικὸν ἴδιον, οὕτως εἶχε καὶ Ἑορτολόγιον ἴδιον· τὰ δὲ μερικὰ Ἑορτολόγια τῶν ἐν Κωνσταντινουπόλει μονῶν διαφόρως ὥριζον τὰς μνήμας πολλῶν ἁγίων, ὧν τινας, ὀρθότατα κειμένας, αὐθαιρέτως ἢ κατήργησεν ἢ μετήνεγκεν εἰς ἑτέρας ἡμέρας ὁ τοῦ Συναξαριστοῦ συγγραφεὺς Νικόδημος. Ἐν τῷ βιβλίῳ τῷ μετὰ χεῖρας ὁ ἀναγνώστης βλέπει γινομένην μνείαν τοιούτων αὐθαιρεσιῶν ἐν τοῖς ἐξελισσομένοις μηνολογίοις.

Ἰδίας ἑορτὰς πανηγυρικῶς ἦγον ἑκάστη τῶν μονῶν καὶ ναῶν τούτων, ἀναγράφουσαι ἐν τοῖς ἰδίοις Ἑορτολογίοις καὶ Μηναίοις τῆς ἐκκλησιαστικῆς ἐνιαυσίας ἀκολουθίας τὰς **συνάξεις**·

ἡ λέξις οὐκ ἀκριβῶς ἐξηγήθη μέχρι τοῦδε· ὁ πολὺς Δουκάγγιος, ἐν τῷ πολυμαθείαν ἐμφαίνοντι Γλωσσαρίῳ [1] αὐτοῦ, φέρει χωρία τινὰ ἐκ βιογραφικῶν εἰς ἁγίους ὑπομνημάτων, ἐξ ὧν πείθεταί τις ὅτι σύναξις οὐδὲν ἕτερον ἢ ἑορτὴν σημαίνει· ἀπὸ τῶν ἀρχαίων χρόνων ἐδήλου τοῦτο· λόγου χάριν ἀναφέρονται κατὰ τὸν Ζ' αἰῶνα «συνάξεις ὑπὲρ τῶν τελευτώντων», καὶ «τελεία σύναξις ὑπὲρ τοῦ προσενεγκαντος»· οὕτω δ' ἔλεγον «ἱστάμην εἰς τὴν σύναξιν», «ὑπέστρεφον ἐκ τῆς συνάξεως» [2],

---

Εὐαγγελιόν ἐστιν ἀπὸ τῆς 8 § τοῦ ΙΒ' κεφαλαίου τοῦ κατὰ Λουκᾶν· «Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων» κλπ.

29. Morcelli, A', 30 καὶ 211-112.

30. Morcelli, A', 42 καὶ 222.

31. Ἱεροσολυμ. Βιβλιοθήκη· τόμ. Β', ἐν Πετρουπόλει, 1894, σελ. 437-439.

32. Ἱεροσλμ. Βιβλιοθήκη· τόμ. Β'. σελ. 442. Ἐπίσης ἀναφέρεται καὶ *παράδοσις*, βεβαίως Τυπικὸν, *τῶν ἁγίων πατέρων, τοῦ τε ἁγίου Σάββα καὶ τοῦ Στουδίτου, καὶ τὸ πλεῖστον τοῦ Ἁγίου Ὄρους· οὐ μὴν δὲ ἀλλὰ καὶ μέρος τῆς παραδόσεως τοῦ ὁσιωτάτου Ἰωσὴφ, κτίτορος τῆς ἁγίας μονῆς τοῦ ἁγίου Νικολάου τῶν Κασούλων*. Φαίνεται δ' ὅτι ἐκ τοιούτου τινὸς ἁγιορειτικοῦ Τυπικοῦ ἐστιν ἀπόσπασμα διάταξίς τις ἐν χειρογράφῳ τοῦ ΙΕ' αἰῶνος «περὶ τῶν ἑορτῶν, τῶν μεγάλων καὶ μικρῶν καὶ μεσαίων, ἐν αἷς δεῖ τὸν μοναχὸν ἀργεῖν ἐκ τοῦ ἔργου καὶ τὴν νηστείαν καταλύειν εἰς βρῶσιν καὶ πόσιν». Ἱεροσολ. Βιβλιοθ. Α', σελ. 332.

33. Μιχαὴλ τοῦ Παλαιολόγου· Τυπικὸν τῆς ἐπὶ τοῦ βουνοῦ τοῦ Αὐξεντίου μονῆς τοῦ Μιχαὴλ Ἀρχαγγέλου, σελ. 30 καὶ 41.

34. τοῦ αὐτοῦ Τυπικοῦ σελ. 23. Βεβαίως καὶ τὰ κατὰ τὰς λοιπὰς ἐπαρχίας οὕτως ἔπραττον.

35. Miklosich καὶ Müller, Acta monasteriorum· τόμ. Β', σελ. 300. Ποικιλίας ἕνεκεν, ἀναγκάζομαι 'να γράψω τὴν λέξιν ἐμνημόνευον, καίπερ οὐ δόκιμον.

36. Παχυμέρης· τόμ. Β', σελ. 300. Ἀθανάσιος ὁ Κωνσταντινουπόλεως, ζητῶν 'να γίνηται τὸ μνημόσυνον τοῦ ὀνόματος αὐτοῦ κατὰ τὰς ἱερουργίας ἐν τῇ μονῇ τῆς Λαύρας τοῦ Ταξιάρχου Μιχαὴλ ἐν τῷ Ἀνάπλῳ «ἐπεὶ εἰς ταὐτὸν τὼ ὀνόματε συνετρεχέτην, καὶ Ἀθανάσιος ἐμνημονεύετο, τοὺς μοναχοὺς κατηνάγκαζεν ἀσφαλίζεσθαι ἐφ' ᾧπερ, ὅτε λέγοιτο καὶ ἀκούοιτο τοὔνομα, φέρειν αὐτοὺς ἐπὶ νοῦν τὸ αὐτοῦ καὶ μὴ τοῦ Ἀλεξανδρείας». Ἐν τισι μέρεσι τοῦ μετὰ χεῖρας συγγράμματος ὁ ἀναγνώστης εὑρήσει τοὺς ναοὺς ἢ τὰς μονὰς, αἵτινες ἦσαν μετόχια μονῶν ἑτέρων ἢ αὐτοκεφάλων Ἐκκλησιῶν.

37. Βαλσαμῶνος ἑρμηνεία εἰς Α' κανόνα τῆς Πρωτοδευτέρας Συνόδου· βλ. καὶ σχόλιον εἰς § β' τοῦ Α' κεφαλαίου τοῦ Β' τίτλου τοῦ Νομοκανόνος τοῦ Φωτίου.

1. στήλη 1480, ἐκδόσ. Βρατισλαυίας· διακρίνονται δὲ τῶν μικρῶν αἱ μεγάλαι συνάξεις· «ἔβαλον σύναξιν μεγάλην ἕως πρωΐ».

2. βιογραφία Ἰωάννου τοῦ Ἐλεήμονος, ὑπὸ Λεοντίου

ἐτέλουν δὲ καὶ λιτάς τινας συνάξεις, οὐχὶ πολυπληθεῖς, ὡς ἀναφέρεται περὶ τοῦ πατριάρχου τῆς Ἀλεξανδρείας Ἰωάννου τοῦ Ἐλεήμονος, ὅτι «ποιεῖ σύναξιν ἐν τῷ εὐκτηρίῳ αὐτοῦ μηδένα ἔχων εἰ μὴ τὸν σύγκελλον αὐτοῦ»[3]. Βραδύτερον ἡ λέξις ἀναφέρεται καὶ περὶ τῶν μεγάλων καὶ πολυσέπτων ἑορτῶν, ὡς παρὰ Συμεὼν τῷ Μεταφραστῇ· «Ἤδη γὰρ ὁ καιρὸς ἐκάλει τῶν νυκτερινῶν ὕμνων τὴν σύναξιν καὶ τὴν σεβάσμιον τῆς Χριστοῦ Ἀναστάσεως ἑορτήν. Κυριακὴ γὰρ ἦν ἡ πρώτη πασῶν καὶ μεγίστη. Οὕτω τοιγαροῦν εἰς τὴν σύναξιν ἀπαντήσας»[4] κλπ. Ἀλλὰ δι' ὁμοίων παραδειγμάτων καὶ μαρτυριῶν οὐδαμῶς ἑρμηνεύομεν τὰ παρὰ τοῖς Συναξαρίοις φερόμενα. Θεοφάνης ὁ χρονογράφος χρῆται τῇ λέξει *συνάξει* ἐν τῇ σημασίᾳ τῆς ἱερουργίας: «καὶ τῇ ἑορτῇ τοῦ Πάσχα εἰσῆλθεν ἐν τῇ ἁγίᾳ συνάξει εἰς τὴν καθολικὴν ἐκκλησίαν, καὶ τοῦ μητροπολίτου παρισταμένου καὶ ἐκφωνήσαντος τό· ὁ γὰρ λαός σου δυσωπεῖ σε καὶ ἱκετεύει σε· ἐξήνεγκαν αὐτὸν καὶ ἀπέκλεισαν ἐν φυλακῇ, *καὶ ἄλλος ἐπλήρωσε τὴν ἁγίαν σύναξιν*»[5]. Νικόδημος ὁ τοῦ Συναξαριστοῦ γραφεὺς τοιαύτην ἐξήγησιν δίδωσιν· «ἤτοι τό, Τελεῖται ἡ αὐτοῦ σύναξις κτλ. αὐτὸς, φημὶ, ὁ λόγος δηλοῖ, ὅτι ὁ ἅγιος ἐκεῖνος, τοῦ ὁποίου εἶναι τὸ Συναξάριον, δὲν ἐωρτάζετο εἰς ὅλους τοὺς ναοὺς καὶ ἐκκλησίας τὰς εὑρισκομένας εἰς ὅλον τὸν κόσμον, ἀλλ' ἐγίνετο ἡ ἐκείνου σύναξις, ἤτοι ἡ συνάθροισις τῶν χριστιανῶν καὶ ἑορτὴ καὶ λειτουργία εἰς μερικοὺς μόνον ναοὺς καὶ ἐκκλησίας»[6]. Ἐν τούτοις ὑπάρχουσιν ἑορταί τινες ἐπιφανέσταται, περὶ ὧν ἔξεστιν ἡμῖν ἀμφιβάλλειν ἂν ἀληθῶς ἐφαρμόζηται κατὰ τὰς σχετικὰς ἡμέρας ἡ ἐξήγησις αὕτη τοῦ Νικοδήμου. Στέφανος ὁ Μορσέλιος ἔδωκεν ἑρμηνείαν δόκιμον πως[7]. Ὁ δὲ αἰδέσιμος πατὴρ Nilles, καίπερ ἐγγίσας τῇ ἀληθείᾳ, μήτ' αὐτὸς ἐξήγησεν ἐπαρκῶς τὴν λέξιν[8], διότι γινώσκομεν ὅτι σύναξις ἑρμηνεύεται παρὰ τῷ Βασιλειανῷ Μηνολογίῳ διαφόρως· Οὕτω λ. χ. ἀναγινώσκομεν κατὰ τὴν 7 ἰανουαρίου: «*Ἡ σύναξις τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου καὶ βαπτιστοῦ Ἰωάννου* . . . . Τιμῶσα τὸν βαπτιστὴν ἡ Ἐκκλησία τοῦ Θεοῦ ἐπιτελεῖ κατὰ καιρὸν ἑορτὴν, καὶ ὀνομάζει αὐτὴν σύναξιν (quem Synaxin, hoc est Collectam appelat), διότι συνάγεται ὁ λαὸς ἐν αὐτῇ, δοξολογῶν τὸν Θεὸν καὶ τὸν αὐτοῦ Πρόδρομον», ὅπερ ἀνεξήγητον, ἐφ' ὅσον κατὰ τὴν 8 νοεμβρίου μηνὸς ἀναγινώσκει τις: «Ἡ σύναξις τῶν ἀρχαγγέλων . . . Ἡ τοιαύτη οὖν συγκρότησις (ἤτοι τῶν ἀγγελικῶν δυνάμεων κατὰ τὴν πτῶσιν τῶν διαβολικῶν) ὠνομάσθη σύναξις, τοῦτ' ἔστιν ὁμόνοια, προσοχὴ, ἕνωσις»[9]. Ἀφ' ἑτέρου δ' ἀναφέρονται τέλειαι συνάξεις· καὶ εἰκάζω ὅτι διὰ τῆς λέξεως ταύτης ἐννοητέον ἀγρυπνίαν παννύχιον, εἴτ' οὖν ἀπὸ τῆς τοῦ ἡλίου δύσεως ἄχρι τῆς ἑπομένης πρωΐας: ἤτοι ἡ λέξις σύναξις, ὡς φέρεται νῦν ἐν τοῖς Συναξαρίοις, ἔχει σημασίαν παννυχίδος, ἐνῷ κατ' ὀλίγον παρὰ τοῖς βυζαντινοῖς ἡ παννυχὶς, σημαίνουσα ἀγρυπνίαν καὶ ψαλμῳδίαν δι' ὅλης τῆς νυκτὸς, ἀπώλεσε τὴν ἀληθῆ σημασίαν αὐτῆς, ἥτις ἦν ὅτι ἀρχαιότερον παραλλήλως ἡ ἀγρυπνία τῇ συνάξει ἐγράφετο. Οὕτω, κατὰ τὸν ΙΒ' αἰῶνα ὑπῆρχον καθολικαὶ παννυχίδες καὶ μὴ τοιαῦται· αἱ δὲ καθολικαὶ ἐγίνοντο τότε «ἐξαιρέτως ἐν ταῖς πέντε ἡμέραις τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν, μετὰ τὴν τῆς ἱερουργίας τῶν προηγιασμένων ἀπόλυσιν»[10]. Κατὰ δὲ τὸν ΙΔ' αἰῶνα ἀναφέρονται

Νεαπόλεως· ἔκδοσις Heinrich Gelzer· ἐν Φρειδούργῃ, 1893, σελ. 52, 54, 21, 22.

3. τῆς αὐτῆς ἐκδόσεως, σελ. 77. κεφ. XXXIX.

4. Ἀναστασίου τοῦ Πέρσου ἄθλησις· ὑπὸ Συμεὼν Μεταφραστοῦ· Migne, PΙΔ', στήλη 781.

5. Θεοφάνης· Α', σελ. 666.

6. Νικοδήμου Συναξαριστής· ἐν τέλει τῶν προλεγομένων· ὑποσημ. σελίδος λ' κατὰ τὴν ἐν Ζακύνθῳ ἔκδοσιν τοῦ 1868.

7. Morcelli, Calendarium· Α', σελ. 114.

8. Νικολάου Nilles τοῦ ἐκ τῆς Ἑταιρίας τοῦ Ἰησοῦ Calendarium Utriusque Ecclesiæ, κτλ. Ἐν Œniponte, 1879, τόμ. Α', σελ. 52-53, ἔνθα κρίνει ὅτι τὰς συνάξεις cum stationibus Latinorum ferme comparandi sunt.

9. ταῦτα δὲ καθάπερ ψιττακὸς μετήνεγκεν ἐν τῷ Συναξαριστῇ αὐτοῦ ὁ Νικόδημος, ἐνῷ ἀλλαχοῦ ἀλλοίαν ἔδωκεν ἐξήγησιν, ἐν δὲ τῇ 8 μαΐου ἀναγράφει *σύναξιν τῆς ἁγίας κόνεως, τῆς ἐκπορευομένης ἐκ τοῦ τάφου Ἰωάννου τοῦ Θεολόγου*.

10. Ἰωάννου ἐπισκόπου Κίτρου ἀποκρίσεις πρὸς τὸν ἀρχιεπίσκοπον Δυρραχίου τοῦ Κασάσιλαν· βλ. Σύνταγμα τῶν ἱερῶν Κανόνων Γ. Α. Ράλλη καὶ Μ. Ποτλῆ· τόμ. Ε' σελ. 413. Εὐαγγέλια δὲ τῶν παννυχίδων τῆς πρώτης ἑβδομάδος τῶν Νηστειῶν ἀναφέρονται ἐν χειρογράφῳ τοῦ ΙΑ' αἰῶνος. Ἱεροσ. Βιβλιοθ. τόμ. Β', σελ. 239. Περὶ δὲ τῶν παννυχίδων τούτων, ὡς ἀρξαμένων ἀπὸ τοῦ 812 ἢ 843, γράφει διήγησίς τις περὶ Θεοφίλου τοῦ βασιλέως: «Μεθόδιος ὁ τοῦ Θεοῦ ἀρχιερεὺς προσεκαλέσατο τὸν τίμιον καὶ ὀρθόδοξον λαὸν, καὶ μητροπολίτας τε καὶ ἐπισκόπους, πρεσβυτέρους τε καὶ διακόνους, μονάζοντάς τε καὶ ἐρημίτας, στυλίτας τε καὶ ἐγκλείστους· . . . . πάντες *κοινὴν εὐχὴν*

πάννυχοι παννυχίδες, ὡς ἀπὸ τοῦ 1306 ἐν τῷ ναῷ τῆς ὁσιομάρτυρος Θεοδοσίας[11], ἐξ οὗ δηλοῦται ὅτι ἐγίνοντο καὶ παννυχίδες ἀπὸ τοῦ μεσονυκτίου μέχρι πρωΐας, οὐχὶ δ' ἀπὸ τῆς ἡλίου δύσεως. Αἱ μεγάλαι παννυχίδες εἰσήχθησαν μεγαλοπρεπῶς ἐν Κωνσταντινουπόλει ὑπὸ τῆς ἀειμνήστου Πουλχερίας, ἡ κατὰ πᾶσαν μὲν τρίτην γινομένη μετὰ λιτῆς ἐν τῇ μονῇ τῶν Ὁδηγῶν, ἥτις καὶ διήρκεσε μέχρι τοῦ ΙΔ' αἰῶνος, καὶ ἡ πᾶσαν τετράδα τῆς ἑβδομάδος ἐν τῷ ναῷ τῶν Χαλκοπρατείων[12]· φαίνεται δὲ ὅτι τὸ τελεῖσθαι πανηγυρικῶς ἑορτάς τινας ἰδίαζεν ἀπὸ χρόνων ἀρχαιοτάτων οὐχὶ πᾶσι τοῖς ναοῖς, ἐὰν βλέπωμεν ὅτι κατ' αὐτὸν τὸν Ε' αἰῶνα, οἱ κάτοικοι τῆς Ἐλαίας, πιθανῶς τῶν ὑπεράνω τοῦ Γαλατᾶ κειμένων μερῶν, κατὰ συνήθειαν, ἐπετέλουν πάνδημον τὴν ἑορτὴν τῆς τοῦ Σωτῆρος Ἀναλήψεως[13]· ἐνῷ δὲ κατὰ τὸν ΙΔ' αἰῶνα φαίνεται ὅτι παννυχίδες ἤγοντο ἐν μνήμαις δεσποτικῶν ἑορτῶν, διότι ἐγίνοντο καὶ κατὰ τὰς μνήμας τῶν μαρτύρων, ὡς ἐξ ὧν γράφει Φιλόθεος ὁ πατριάρχης ἀποδεικνύεται[14], κατὰ τὸν Ι' αἰῶνα εἰκάζει τις ὅτι παννύχους ἀγρυπνίας ἦγον οὐχὶ κατὰ πᾶσαν ἑορτὴν δεσποτικὴν ἢ θεομητορικήν· οὕτω γράφεται περὶ τοῦ ὁσίου Μιχαὴλ τοῦ Μαλεί-

---

καὶ ἀγρυπνίαν σὺν νηστείᾳ ποιησάμενοι τῇ πρώτῃ ἑβδομάδι τῆς ἁγίας τεσσαρακοστῆς, παννυχίοις τε ψαλμῳδίαις ἀεννάοις τὸν Θεὸν ἐξελιπάρουν τοῦ δοθῆναι συγγνώμην ἁμαρτιῶν Θεοφίλῳ τῷ βασιλεῖ. Ἔκτοτε οὖν καὶ μέχρι τῆς δεῦρο ἐξετέθησαν αἱ παννυχίαι ἐν τῇ μεγάλῃ τοῦ Θεοῦ ἐκκλησίᾳ τῇ πρώτῃ ἑβδομάδι τῆς ἁγίας Τεσσαρακοστῆς». W. Regel, Analecta Byzantinorussica· ἐν Πετρουπόλει 1891, σελ. 31-33.

11. βλ. ἐν τῷ μετὰ χεῖρας συγγράμματι, εἰς τὴν 18 τοῦ μηνὸς Ἰουλίου.

12. Νικηφόρος Κάλλιστος· Ἐκκλ. Ἱστορ. βιβλ. ΙΕ', κφ. ιδ'. Βραδύτερον, ἀπὸ τῶν ἀρχῶν τοῦ ΣΤ' αἰῶνος ἡ λιτὴ τῆς Θεοτόκου τῶν Χαλκοπρατείων ἐτελεῖτο κατὰ παρασκευήν· ἐν τέλει τοῦ αὐτοῦ αἰῶνος ἐξεδόθη περὶ τῆς λιτῆς ταύτης τυπικὴ διάταξις «τελεῖσθαι κατὰ παρασκευὴν ἐν Βλαχέρναις καὶ ἐν τοῖς Χαλκοπρατείοις πληροῦσθαι». Θεοδ. Ἀναγνώστου Ἐκλογαὶ Ἐκκλ. Ἱστ. Β', 30. Κεδρηνός· Α', σελ. 694.

13. Σωκράτης· Ἐκκλ. Ἱστ. Ζ', κστ'. Κάλλιστος ΙΔ' κθ'.

14. Φιλοθέου λόγος ἐγκωμιαστικὸς εἰς Γρηγόριον Παλαμᾶν· σελ. ξγ' τῆς ἐν Ἱεροσολύμοις ἐκδόσεως τῶν Ὁμιλιῶν τοῦ Παλαμᾶ: «Μοναχός τις τὴν ἀξίαν πρεσβύτερος, τὴν κλῆσιν Πορφύριος, ἐνοικῶν τῷ τοῦ Ὑπομιμνήσκοντος σεμνείῳ . . . τῆς δεσποτικῆς Μεταμορφώσεώς ποτε τελουμένης αὐτοῖς, ὡς ἔθος, καθ' ἣν ἄρα καὶ τὸν Πορφύριον *καὶ διανυκτερεύειν σὺν τοῖς λοιποῖς μοναχοῖς* ἔδει καὶ ἱερατικῶς ἐξυπηρετεῖσθαι» κλπ.

νου ὅτι «ἦτο κατὰ πολλὰ φιλακόλουθος, καὶ ἐξόχως ὅταν ἦτο τοῦ δεσπότου Χριστοῦ ἢ τῆς Θεοτόκου πανύγυρις, εἰς τὰς ὁποίας ἀγρύπνα ὁλονυκτὶς καὶ ἔψαλλεν εὐφραινόμενος»[15]· συνεπῶς ἦν παράχορδον ἵνα ζητῇ τις πανηγυρικὴν ἐπιτέλεσιν καὶ πάνδημον μνήμης ὁσίου τινὸς ἢ μάρτυρος ὑπὸ πάντων τῶν ναῶν. Ἐπειδὴ δὲ, καθὼς εἶπον ἄνω, μονή τις ἢ ναὸς, ἕνεκα λόγων ἐκτιθεμένων ὄπισθεν, ἐνέγραφε μνήμην ὁσίου τινὸς ἀπὸ ξένου εἰς τὸ ἴδιον Ἑορτολόγιον, ὁ μὲν ἀπὸ ξένου ναοῦ μεταγράφων τὴν ἑορτὴν ἐποιεῖτο συνήθη τινὰ ψαλμῳδίαν καὶ πανηγυρισμὸν τῆς ἑορτῆς ἐκείνης, ἡ δὲ μονὴ καὶ ὁ ναὸς, ἐν ᾗ ἤκμασεν ἢ διὰ μοναχικῆς πολιτείας ἁρίστης ἐθαυμαστώθη ὁ γεραιρόμενος ἅγιος, ἢ ὁ μάρτυς καὶ ὅσιος, οὐ λείψανόν τι κατεῖχεν, ἐκεῖνος ὁ ναὸς ἐποίει *τελείαν σύναξιν*, ἐποίει *παννυχίδα πάννυχον*, προσκαλῶν καὶ ἱερεῖς καὶ διακόνους καὶ ψάλτας ἐξ ἑτέρων ἐκκλησιῶν, ὡς σήμερον γίνεται κατὰ τὰς λεγομένας κοινῶς *μοιρόκκλησιάς*. Τοιαύτην τινὰ διάκρισιν εὑρίσκω παρὰ Κωνσταντίνῳ Πορφυρογεννήτῳ· οὕτως, ἀναφέρεται μὲν ὅτι κατὰ τὴν νύκτα τῆς 20 μαΐου πρὸς τὴν 21 «ἐν τῷ νέῳ παλατίῳ τῷ τοῦ Βόνου *τελεῖται οἰκειακῶς ἡ παννυχὶς* εἰς τοὺς τιμίους καὶ ἁγίους Σταυροὺς»· ἀλλὰ κατὰ τὴν νύκτα τοῦ *σαββάτου* πρὸς τὴν κυριακὴν τῆς ὀρθοδοξίας ἡ μεγάλη παννυχὶς ἐν τῷ ναῷ τῶν Βλαχερνῶν ἐτελεῖτο ὑπὸ τοῦ πατριάρχου μετὰ πολλῶν ἀρχιερέων καὶ κληρικῶν, οὐ μόνον τῆς μεγάλης Ἐκκλησίας, ἀλλὰ καὶ πασῶν τῶν ἐν Κωνσταντινουπόλει μονῶν[16]. Φρονῶ δ' ὅτι ὅπου τὴν ἑορτὴν ἐτέλουν αἱ Ἐκκλησίαι πᾶσαι τοῦ χριστιανισμοῦ, κατὰ τὴν ἡμέραν ἐκείνην οἱ Συναξαρισταὶ καὶ τὰ Μηναῖα περὶ τόπου συνάξεως οὐδὲν λέγουσιν· ὡς, ἐπὶ παραδείγματι, περὶ τῶν δεσποτικῶν λεγομένων ἑορτῶν· ἐπίσης δὲ καὶ περὶ τῶν ἑορτῶν, ὧν τὸν ἱερὸν πανηγυρισμὸν ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων εἰσήγαγε καὶ καθιέρωσεν ἡ Ἐκκλησία· λόγου χάριν: κατὰ τὴν 8 νοεμβρίου, ἐπὶ τῇ μνήμῃ τῶν Ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ καὶ τῶν λοιπῶν Ἀσωμάτων Δυνάμεων, οὐ σημειοῦται τὸ μέρος, ἐν ᾧ ἡ σύναξις αὐτῶν ἐτελεῖτο· ἐνῷ, κατὰ τὴν 11 ἰανουαρίου μηνὸς, ἀγομένης τῆς συνάξεως τῶν Μυρίων Ἀγγέλων, ἀναγράφεται

---

15. Μιχαὴλ Μαλεΐνου βίος, ἐν «Καλοκαιρινῇ». Δουκάκη Συναξαριστὴς Ἰουλίου, σελ. 206.

16. Πορφυρογ. Ἔκθ. βασιλείου τάξεως· Α', σελ. 532 καὶ 157.

ρητῶς ὁ ναός, ἐν ᾧ αὕτη ἐτελεῖτο. Τῇ 4 ἰανουαρίου ἀναγράφεται ἡ σύναξις τῶν ἁγίων ἑβδομήκοντα Ἀποστόλων, ἄνευ σημειώσεως τοῦ μέρους, ἐν ᾧ ἐτελεῖτο· ἐνῷ κατὰ τὰς εἰδικὰς ἑνὸς ἢ πλειόνων ἐξ αὐτῶν μνήμας σημειοῦσι τὰ Μηναῖα τὸν τόπον· τοῦτ' αὐτὸ ῥητέον καὶ περὶ τῆς 30 ἰουνίου. Κατὰ τὴν 25 τοῦ μαρτίου, ἐπὶ τῇ μεγάλῃ ἑορτῇ τοῦ Εὐαγγελισμοῦ, οὐ σημειοῦται σύναξις, διότι τὴν παννυχίδα πᾶσαι ἐτέλουν αἱ Ἐκκλησίαι τοῦ Χριστοῦ· κατὰ δὲ τὴν ἑπομένην αὐτῇ ἡμέραν, 26 μαρτίου, *συνάξεως τοῦ ἀρχαγγέλου Γαβριὴλ* ἀναγραφομένης, οὐδαμῶς σημειοῦται τόπος συνάξεως, ἅτε τῆς ἱερᾶς ταύτης πανηγύρεως οὔσης ἀρχαιοτάτης[17]. Τῇ 13 ἰουλίου ἀναφέρεται σύναξις τοῦ ἀρχαγγέλου Γαβριὴλ, χωρὶς οὐδεμιᾶς ὑποδείξεως τοῦ τόπου. Προστεθείσθω δ' ὅτι κατὰ τὰς ἡμέρας ταύτας τῶν πανδήμων ἑορτῶν ἡ λέξις σύναξις ἀναλαμβάνει καὶ τὴν ἀληθῆ καὶ πρωτίστην αὐτῆς σημασίαν. Ἀλλὰ συνάξεις τινὲς συμπίπτουσι μετὰ προελεύσεων αὐτοκρατορικῶν γινομένων ἐν ναοῖς, ἐν οἷς αἱ συνάξεις αὗται ἐτελοῦντο· καθὼς αἱ κατὰ τὰς 2 φεβρουαρίου, 9 μαρτίου, 1, 20 καὶ 27 ἰουλίου, 15 καὶ 16 αὐγούστου, 8 σεπτεμβρίου, περὶ ὧν ἐν τοῖς ἔμπροσθεν μέλλομεν ἰδεῖν[18], ἐκ δὲ τῆς συμπτώσεως ταύτης ἠδυνατό τις ἴσως ἵνα χαρακτηρίσῃ κοσμικωτέραν πως τὴν πρώτην κατάρξιν τῶν ἀγομένων τούτων παρὰ βυζαντινοῖς συνάξεων, ὧν ὁ λόγος, ὁ τὴν τέλεσιν τῆς συνάξεως ἐν τούτῳ ἢ ἐκείνῳ τῶν ναῶν ἐπιβάλλων, ἔστιν, ὡς ἐγὼ τοὐλάχιστον νομίζω, ἡ ὕπαρξις ἱεροῦ λειψάνου τοῦ γεραιρομένου ἁγίου ἐν τῷ ναῷ, καθὼς αἵ τε μνῆμαι τῶν πατριαρχῶν δεικνύουσι καὶ τινες ἕτεραι πανηγύρεις· περὶ δὲ τούτων περιττὸς ἐνταῦθα λόγος ἐκτενής, ὡς γινόμενος ἐν τῷ μετὰ χεῖρας συγγράμματι κατὰ τὰς προσηκούσας τῶν ἡμερῶν.

Ταῦτα περὶ τῆς λέξεως *συνάξεως* ἠδυνάμην εἰπεῖν, καὶ τοιαύτην τινὰ δίδωμι σημασίαν, ἀλλὰ καὶ ταύτην ὑπὸ αἵρεσιν, ὡς οἱ νομοδιδασκάλων λέγουσι παῖδες, ἕως ἂν ἄνδρες εἰδικότητα περὶ τὰ Τυπικὰ τῆς Ἐκκλησίας ἡμῶν κεκτημένοι γράψωσί τι δόκιμον καὶ σοφόν, ἀφορμὴν ἐκ τούτων λαμβάνοντες ὅπως γένωνται σοφώτεροι. Τοῖς τοιούτοις συνίστημι τὴν ἐμβριθῆ μελέτην καὶ Μηναίων καὶ Συναξαρίων καὶ τῶν κατ' ἔκτασιν ἁγιολογικῶν ὑπομνημάτων, πασῶν ἐν γένει τῶν ἐντύπων καὶ χειρογράφων πηγῶν, ὧν ἡμεῖς ἐνταῦθα στερούμεθα, ἐκ δὲ τῆς λιπαρᾶς ταύτης ἐρεύνης ἀναλάμψει ἡ ἐν βυθῷ σκότους κειμένη τέως ἀλήθεια[19].

§

Αἱ τοιαῦται καὶ τοσαῦται τυπικαὶ διατάξεις καὶ τὰ μερικὰ Ἑορτολόγια, καθὼς εἴδομεν, ὑπ' οὐδενὸς ἦν δυνατὸν ἵνα καταργηθῶσι, διετηρήθησαν δὲ μέχρι τέλους τοῦ ΙΕ' αἰῶνος, ἑκάστης μονῆς τηρούσης τὸ ἑαυτῆς. Ἐγένετο βεβαίως σκέψις τις καὶ φροντὶς περὶ τῆς ἑνοποιήσεως τῶν Ἑορτολογίων, ἐπιγράφομεν δὲ τὴν φροντίδα ταύτην εἰς τὴν δυναστείαν τοῦ οἴκου τῶν Μακεδόνων. Μετὰ τὸν Λακαπηνὸν Ῥωμανόν, ἀναφέρεται ἡ πρώτη φροντίς, ὅτε Κωνσταντῖνος ὁ Πορφυρογέννητος εἰσήγαγε τὴν λαμπροτέραν ἐπιτέλεσιν τῶν ἑορτῶν τῶν μαρτύρων καὶ τῶν μνημῶν τῶν ἱερῶν ποιμένων καὶ διδασκάλων δι' ᾀσμάτων ἱερῶν καὶ ὑμνῳδιῶν καὶ φαιδρῶν πανηγύρεων[1], ἐξ οὗ συμπεραίνω ὅτι πολλὰς τῶν κατὰ μέρος ἑορτῶν παρέλαβον τότε, ὡς ἰδίας ἕκαστος, οἱ ναοὶ καὶ τὰ μοναστήρια τῆς Κων/πόλεως καὶ τῶν πέριξ καὶ τῶν ἐπαρχιῶν. Μικρῷ πρὸ τούτου, ἡ εὐσεβὴς φιλοπονία τοῦ Μεταφραστοῦ Συμεὼν ἀνέλαβε τὸ γιγάντειον ἔργον τῆς συμπήξεως ἐν μιᾷ οὕτως εἰπεῖν βιβλιοθήκῃ τῶν ᾧδε κἀκεῖσε διεσπαρμένων βιογραφιῶν τῶν ὁσίων καὶ τῶν μαρτύρων, ὅσοι, δι' ὕρους καὶ λεκτικοῦ διαφόρου, καὶ τερατώδους ἔν τισι, συντεταγμένοι, μυκτηρισμοῦ τοῖς βιογραφουμένοις ἐγίνοντο πρόξενοι, διότι καὶ τοῖς μάρτυσι τὴν ἄθλησιν καὶ τοῖς ἀσκηταῖς τὴν ἄσκησιν ἐκιβδήλωσαν[2]. Βυζάντιος τὴν πατρίδα Συμεὼν ὁ Μεταφραστὴς καὶ πλούσιος ἐγένετο ῥεφερενδάριος καὶ κατόπιν λογοθέτης· ἦν δὲ φιλόσοφος καὶ πολιτικὸς «ἀμφοῖν τοῖν γενοῖν ὁμοίως εὐάρμοστος, καὶ οὐδ' ὁ φιλόσοφος τὴν πολιτικὴν ἐμίσει ὑπόθεσιν, οὐδ' ὁ ῥήτωρ

17. τοιαύτη ἀναγράφεται ἐν τοῖς Συναξαρισταῖς·

18. ἀνάγνωθι ἐν τῷ μετὰ χεῖρας συγγράμματι, κατὰ τὰς ἡμέρας ταύτας.

19. Πρὸς τοῦτο δύνανται ἵνα χορηγήσωσί τινα συμβολὴν οἱ παρ' ἡμῖν λόγιοι μοναχοί, εἰς οὓς ἄριστον ἤθελεν ἀποβῆ βοήθημα εἰ μετεφράζετο εἰς τὴν ἑλληνικὴν ἡ ἐν Κιέβῳ τῷ 1891 ἐκδοθεῖσα πραγματεία τοῦ ἐν τῇ αὐτόθι Θεολ. ἀκαδημίᾳ καθηγητοῦ τῆς Λειτουργικῆς Ἀλ. Δημητρεύσκη περὶ τῶν Τυπικῶν τῶν παρὰ ταῖς Ἐκκλησίαις τῆς Ἀνατολῆς.

1. Theophanis Continuati, σελ. 457.

2. Μιχαὴλ Ψελλοῦ Ἐγκώμιον εἰς Συμεὼν τὸν Μεταφραστήν· Migne, PΙΔ', στήλη 192.

πρὸς τὴν ἐπιστήμην ἀπήχθετο»[3]. Ζῶν ἐπὶ Λέοντος τοῦ σοφοῦ, κατὰ τὴν κοινὴν γνώμην, καί τινα πολιτικὴν ἀποστολὴν ἀναδεξάμενος περὶ τὰς ἀρχὰς τῆς Θ' ἑκατονταετηρίδος, λίαν ὑπὸ τοῦ αὐτοκράτορος ἐτιμᾶτο, θανόντος δ' αὐτοῦ ἀπεσύρθη εἰς τὸν ἰδιώτην βίον, μόνος μόνῳ Θεῷ φιλοσοφῶν καὶ σχεδὸν μοναχικῶς ζῶν[4]. Καὶ λέγεται μὲν ὅτι Λέων ὁ Σοφὸς ἐντολὴν ἔδωκε τῷ Συμεὼν ἵνα μεταφράσῃ τοὺς βίους τῶν ἁγίων, ἀλλὰ πρέπει ἵνα φρονῶμεν, καθὸ καὶ μᾶλλον πρὸς τὸν πόθον τοῦ Κωνσταντίνου Πορφυρογεννήτου συνδυαζόμενον, ὅτι ὑπὸ τούτου τοῦ αὐτοκράτορος παρεκινήθη πρὸς σύμπηξιν τῆς μεγάλης ἐκείνης ἁγιολογικῆς βιβλιοθήκης, ἥτις ἀνέκδοτος εἰς ἔτι μένει κατὰ μέγα μέρος· εἰ δὲ δαπάναις ἰδίαις ἢ δημοσίοις ἀναλώμασι συνήχθη πᾶσα ἡ πρὸς τοιοῦτον ἔργον χρήσιμος ὕλη, φαίνεται βέβαιον ὅτι αὕτη πᾶσα ἐχρησίμευσε πρὸς τὸν καταρτισμὸν τοῦ Βασιλειανοῦ λεγομένου, κατὰ τὴν παράδοσιν, Μηνολογίου, ὅπερ ἦν κατὰ τὸ τέλος τῆς Ι' ἑκατονταετηρίδος ὁ κανών, ὁ γενόμενος δεκτὸς ὑπὸ τῶν κατὰ χώραν ἐκκλησιῶν: τῶν ἐν Κωνσταντινουπόλει καὶ τοῖς ἔξω μέρεσι: καίτοι, καθὼς εἴδομεν, ἑκάστη μονὴ εἶχεν ἴδιον Ἑορτολόγιον, περιλαμβάνον μνήμας καὶ ἑτέρων ὁσίων ἀνδρῶν καὶ γυναικῶν ἢ καὶ μαρτύρων, μὴ ἀναφερομένας ἐν τῷ Βασιλειανῷ. Ἀλλὰ καὶ ἡ σπουδαία ἐργασία αὕτη οὐ μετὰ τῆς ἀπαιτουμένης ἐπιμελείας ἐγένετο[5], κατὰ δὲ τὸν τοῦ Ἑορτολογίου καταρτισμὸν καὶ τὴν ἑνοποίησιν, ὑπὸ πολλῶν, ἄνευ μελέτης, ἄνευ συνεννοήσεως, ὡς ἔοικε, γενομένην, ἄκριτα μέν τινα παρεισέφρησαν, ἀνεγράφησαν δὲ διπλαῖ ἑορταὶ ἑνὸς καὶ τοῦ αὐτοῦ μάρτυρος ἢ ὁσίου, κατὰ τὰ μερικὰ Ἑορτολόγια, ἅτινα πρὸ τῶν ὀφθαλμῶν ὑπὸ μελέτην εἶχον οἱ τὴν ἑνοποίησιν ταύτην ἀναλαβόντες[6]. Τὸ πολυάριθμον τῶν ὑπ' αὐτῶν μελετωμένων Μηνολογίων, ὧν τινα πάντως ἦσαν ἀπροσέκτως γεγραμμένα, καὶ ἡ ἀκρισία τῶν ἐργαζομένων πρὸς τοῦτο φαίνεται ἐν πολλοῖς μέρεσιν: Ἂν εἴπῃ τις, λόγου χάριν, ὅτι ὁ δὶς ἀναφερόμενος (7 ἀπριλίου καὶ 16 μαΐου) Γεώργιος Μιτυλήνης ἦ πρόσωπον οὐχὶ ἕν, ἀλλὰ δύο, οὐδεὶς ἀρνηθήσεται ὅτι Θεοδοσία ἡ δὶς ἀναφερομένη, τῇ 3 ἀπριλίου καὶ τῇ 29 μαΐου ἔστιν ἡ αὐτή. Πάντως ἓν καὶ τὸ αὐτὸ πρόσωπόν ἐστιν Ἀλέξανδρος ὁ ἐν Ἰύδνῃ, τῇ 13 καὶ τῇ 14 μαρτίου βιογραφούμενος. Ἀλλὰ τὰ πρὸς τὴν ἱστορίαν καὶ τὴν ἀλήθειαν ἀντιμαχόμενα πολλὰ εἰσίν. Εἰς τοὺς πατριάρχας Κων/πόλεως καὶ τοὺς πάπας τῆς πρεσβυτέρας Ῥώμης, ἀδιακρίτως, ἀπονέμονται οἱ τίτλοι ἐπισκόπου, ἀρχιεπισκόπου, πάπα καὶ πατριάρχου, λίαν δ' ἀνιστορήτως. Ὅσα δὲ λέγονται περὶ τοῦ ἁγίου Νίκωνος (23 μαρτίου) ἀπίστευτα γίνονται. Δομνίκη ἡ ὁσία, γράφει τὸ Βασιλειανὸν Μηνολόγιον, ὅτι ὑπῆρχεν ἐπὶ Θεοδοσίου τοῦ Α' καὶ ὅτι διήρκεσεν ἡ ζωὴ αὐτῆς ἕως τῆς βασιλείας Λέοντος καὶ Ζήνωνος, ἤτοι φέρεται ὡς ζήσασα πλέον τῶν ἑκατὸν εἴκοσιν ἐτῶν. Παυσίκακος ὁ Ἀπαμείας ὁ μητροπολίτης Συνάδων, ὁ πρότερον ἰατρὸς, παρίσταται ὡς χειροτονηθεὶς μὲν ὑπὸ Κυριακοῦ Κωνσταντινουπόλεως πατριάρχου καὶ θεραπεύσας τὸν Μαυρίκιον νοσήσαντα (δηλ. 595-602), γράφεται δ' ὅτι «ἔζησε μέχρι τῆς βασιλείας τοῦ δυσσεβοῦς Λέοντος εἰκονομάχου» σχεδὸν ἑκατὸν καὶ πεντήκοντα ζήσας ἔτη! Θεοδοσία δ' ἡ κωνσταντινοπολίτις γράφεται ὅτι ὑπῆρχε μὲν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Καβαλλίνου, τελευτησάντων δὲ τῶν γονέων ἐγένετο μοναχή· ἐν τούτοις, λέγουσιν οἱ ἁγιολόγοι τοῦ Βασιλειανοῦ σαφῶς ὅτι, Γερμανοῦ τοῦ πατριάρχου διωχθέντος ὑπὸ Λέοντος Ἰσαύρου (1730), αὕτη κατέρριψε τὸν σπαθάριον ἀπὸ τῆς κλίμακος, ἤλεγξε δὲ τὸν πατριάρχην Ἀναστάσιον, ἐφ' ᾧ ἀμέσως ἤθλησεν ἐν τοῖς τοῦ Βοὸς ἐμβόλοις! Ἐν δὲ τῷ λόγῳ περὶ Ἰωνᾶ Σαβαΐτου, πατρὸς τῶν Γραπτῶν

3. Ψελλοῦ Ἐγκώμιον· PΙΔ', στ. 188, 189.

4. ταῦτα κατὰ Ψελλόν· ἀλλὰ, πολλὰς παρέχεται δυσχερείας πρὸς καθορισμὸν τῆς ἀκμῆς τοῦ Συμεὼν τὸ πλῆθος τῶν ὑπό τινων λογίων διατυπωθεισῶν εἰκασιῶν τε καὶ γνωμῶν, εἰς ἃς προσετέθησαν τελευταῖον καὶ αἱ τοῦ Θεοφίλου Ἰωάννου· βλέπε εἰς τὴν 9 νοεμβρίου ἐν τῷ μετὰ χεῖρας συγγράμματι.

5. οὕτως ἔκρινε «ῥαθυμότερον καὶ ἄνευ τῆς ἐντελοῦς ἀκριβείας» γενομένην τὴν μετὰ τὸν Βασίλειον Β' διάταξιν καὶ συμπλήρωσιν τῶν Μηναίων ὁ μακαρίτης Σοφοκλῆς Κ. ὁ ἐξ Οἰκονόμων ἐν διατριβῇ Περὶ τῆς ἁγίας Ὄλγας· ἐν Ἀθήναις, 1867, σελ. 26. Τὸ δ' ὑπ' αὐτοῦ γραφὲν ὅτι «πᾶσα καθιέρωσις ἁγίων ὤφειλε πρῶτον (γράφει ταῦτα περὶ τῆς Ῥωσσίας) ἐγκριθῆναι παρὰ τοῦ πατριάρχου (Κωνσταντινουπόλεως) διὰ συνοδικῆς διαγνώσεως» (σελ. 18) ἱστορικῶς οὐκ ἔρρωται.

6. τὸ πνεῦμα τοῦ Πορφυρογεννήτου πρὸς ἑνοποίησιν τῶν τότε παρὰ τοῖς ἱεροῖς καὶ κοσμικοῖς κύκλοις εἰθιζομένων ἀποδείκνυσι καὶ ἡ εἰς ἓν ἕνωσις τῶν τυπικῶν τῆς αὐλῆς περὶ τελετῶν· ἀλλὰ καὶ ταύτην ἀμελῶς συνέταξαν καὶ ῥαθυμότερον κατήρτισαν οἱ τὴν ἐργασίαν ἀναλαβόντες, ἐὰν ὅλως λέγηται καταρτισμὸς τὸ τοιοῦτον.

ἀδελφῶν Θεοφάνους καὶ Θεοδώρου, γράφεται: «Θεοδώρου ἐκείνου, οὗτινος τὸ πρόσωπον διὰ μέλανος ἐπέγραψε καὶ κατεκέντησε Λέων ὁ Καβαλλῖνος!» Παράδοξον δ' ἔστιν ὅτι περὶ τῆς μάρτυρος Εἰρήνης (16 ἀπριλίου) γράφουσιν οἱ συμπήξαντες τὸ Βασιλειανὸν ὅτι «κατὰ τὸν τοιοῦτον καιρὸν(!!) τοῦ ἁγίου Πάσχα κατεμηνύθη» κτλ. Ὥστε καὶ τὸ Βασιλειανὸν ἦν ἑπόμενον 'ν' ἀποδειχθῇ, μετά τινα χρόνον ἀπὸ τῆς αὐτοῦ συντάξεως, ὡς χρείαν ἀνακαθάρσεως ἔχον· καὶ τὴν ἀνακάθαρσιν ταύτην ἀνέλαβεν ὁ Μαυρίκιος, ὁ διάκονος τῆς μεγάλης Ἐκκλησίας, ἀκμάσας ἴσως μετὰ τὴν ΙΑ' ἑκατονταετηρίδα. Φρονῶ δ' ὅτι κατ' ἐντολὴν πατριάρχου τινὸς ἀνέλαβεν ὁ Μαυρίκιος 'να συμπήξῃ ἀκριβὲς εὑρετήριον μᾶλλον τῶν γενομένων ἐν διαφόροις ἐν Κωνσταντινουπόλει καὶ τοῖς πέριξ ναοῖς καὶ μοναῖς *συνάξεων*, διότι ταύτας ἀναγράφει μετὰ μερίμνης καὶ φίλτρου πάσας· τὸ Βασιλειανὸν δὶς μόνον ἀναφέρει συνάξεις, τῇ 10 ἰουνίου: κατὰ τὰς μνήμας Ἀλεξάνδρου καὶ Ἀντωνίνης, καὶ Τιμοθέου Προύσης[7].

Ὁ τοῦ Νικοδήμου Συναξαριστὴς ἔστι μετάφρασις τῆς τοῦ Μαυρικίου συλλογῆς, δευτέρα μετὰ τὴν ὑπὸ Μαξίμου Μαργουνίου γενομένην[8]· ὁ Νικόδημος ἀφεῖλε, προσέθηκε, μετέθηκε, διώρθωσε δῆθεν καὶ παρήγαγεν ὅ,τι παρήχθη. Ἀνάγκη δὲ 'ν' ἀναθεωρηθῇ.

2

Τὸ μετὰ χεῖρας Ἑορτολόγιον ἔχει σκοπὸν 'ν' ἀναγράψῃ τοὺς ὁσίους πατέρας καὶ μάρτυρας ἐκείνους, ὅσοι ἢ ἐγεννήθησαν ἐν τῇ βασιλίδι τῶν πόλεων ἢ οὔ, ἔζησαν ὅμως ὀλίγον ἢ πολὺ καὶ διέπρεψαν ἐν αὐτῇ ὡς κοσμικοὶ καὶ πνευματικοὶ ἄρχοντες, ὡς ἡγούμενοι καὶ ἱδρυταὶ μοναστηρίων ἢ εὐαγῶν οἴκων, ἢ γνωστοὶ ἦσαν γεραιρόμενοι κατὰ τοὺς αἰῶνας Δ'-ΙΕ' διά τι λείψανον αὐτῶν ἀποτεθησαυρισμένον ἐν τῇ πόλει ταύτῃ, ἢ διά τινα ναὸν εἰς τιμὴν αὐτῶν ἐγηγερμένον ἐν ἑνὶ τῶν αἰώνων τούτων: διότι τινὲς τῶν ναῶν καὶ μονῶν ἐγερθέντων εἰς ὄνομα αὐτῶν κατηδαφίζοντο ἢ ἐρημνίζοντο μὴ διατηρηθέντες ἐπὶ ἔνδεκα αἰῶνας ὁλοκλήρους. Γνώσεις τινες ἱστορικαὶ περί τε τούτων καὶ τῶν ἐπ' ὀνόματι αὐτῶν ναῶν καὶ μονῶν ἐγκατασπείρονται ἐν τούτῳ τῷ συγγράμματι, καθὼς καὶ περὶ τῶν ἀκμασάντων κατὰ τὴν θλιβερὰν περίοδον τῆς Εἰκονομαχίας, καθὸ τὴν ἄθλησιν ὑποστάντων ἐν Κωνσταντινουπόλει· τούτων δὲ καθὼς καί τινων ἑτέρων ὑπομνήματα βιογραφικὰ συνεκδίδονται, *χρήσιμα* μὲν πρὸς πλείονα γνῶσιν τῆς βυζαντινῆς τοπογραφίας ἢ τῆς ἐκκλησιαστικῆς ἱστορίας, ἀκριβεστέραν δ' ἐκτίμησιν τῆς εἰκονομαχικῆς περιόδου.

3

Προτάσσονται τοῦ ὅλου βιβλίου αἱ τοιαῦται μνῆμαι, κατὰ τὸ Βασιλειανὸν λεγόμενον Μηνολόγιον· εἶτα, κατὰ τὸ αὐτὸ σχέδιον, ὅμοιαι μνῆμαι ἐκ τοῦ κατὰ Μορσέλλιον Κωνσταντινοπολιτικοῦ Ἑορτολογίου, ἀφ' οὗ ἀφῃρέθησαν αἱ παρὰ τῷ Βασιλειανῷ κείμεναι, προστεθεισῶν μὲν ἐκείνων, ἃς εὗρον ἐν τῷ 426 χειρογράφῳ Εὐαγγελίῳ, κατά γε παλαιὰ τοιαῦτα, διορθωθεισῶν δέ τινων λέξεων κατὰ τὸ 520 χειρόγραφον Εὐαγγέλιον τῆς ἐνταῦθα Ἁγιοταφιακῆς βιβλιοθήκης. Ἕτεραι διορθώσεις καὶ συμπληρώσεις γενήσονται κατὰ τὴν τοῦ Μηνολογίου συμπλήρωσιν. Κατόπιν τῶν δύο Μηνολογίων ἕπεται ἡ σημείωσις τῶν ἑορτῶν, καθ' ἃς, διαταγῇ τοῦ Μανουὴλ Κομνηνοῦ ἀπὸ τοῦ μαρτίου τοῦ 1166, τέλεον ἤργουν τὰ δικαστήρια, ὡς καὶ «τῶν ἐπὶ μέρους ἀπράκτων», ἐκείνων, καθ' ἃς ἤργουν, ὡς φαίνεται, μέχρι τέλους τῶν ἱερῶν ἀκολουθιῶν καὶ συνάξεων. Τὸ σημείωμα μετεγράφη ἐκ τοῦ κατὰ τὸ 1573 ἐκδοθέντος, τύποις Ἐρρίκου Στεφάνου Juris Orientalis Libri tres, ἀπὸ σελ. 80-85[1].

Σημειωτέον ὅτι ἐκ τῶν προταττομένων δύο Μηνολογίων ἀφῃρέθησαν αἱ λέξεις *ὁσίου πατρὸς ἡμῶν καὶ μάρτυρος*, γνωστοῦ ὄντος ὅτι ἔνθα γράφεται ἡ λέξις *ἄθλησις* ἐννοεῖ *μάρτυρα*· ὅπου δ' ἡ λέξις *μνήμη* νοεῖ *ὅσιον*. Μεθ' ὅσα δ' ἐλέχθησαν ἄχρι τοῦδε, τὴν λέξιν *ὁμολογητὴς* ὅταν ἀπαντᾶται χωρὶς ὑπομνήματος βιογραφικοῦ, πρέπει 'ν' ἀποδῶμεν εἰς ὅσιον ἄνδρα ἀκμάσαντα κατὰ τὴν εἰκονομαχικὴν περίοδον.

Ὅταν ποτε γένηται παρ' ἡμῖν φροντὶς ἀνακαθάρσεως καὶ συμπληρώσεως τοῦ ἐν χρήσει Συναξαριστοῦ, καλὸν 'να ληφθῶσιν ὑπ' ὄψιν ὅσα γράφονται ἐν τῷ μετὰ χεῖρας συγγράμματι.

Ἐν Κωνσταντινουπόλει, 17 ἀπριλίου 1895.

ΜΑΝΟΥΗΛ ΙΩ. ΓΕΔΕΩΝ.

---

7. ὁ χρόνος τῆς ἀκμῆς τοῦ Μαυρικίου ἄγνωστος· ἀνάγκη δὲ 'να μελετηθῶσι πάντα τὰ χειρόγραφα τοῦ Συναξαριστοῦ αὐτοῦ, ὅπως ἴδωμεν τὸ ἀρχαιότερον· ἐγὼ παλαιότερον τοῦ ΙΔ' αἰῶνος οὐδὲν εἶδον τέως. Νικόδημος ὁ Ἁγιορίτης οὐκ ἀντέβαλλε πρὸς ἄλληλα τὰ πολλὰ χειρόγραφα τοῦ Συναξαριστοῦ τοῦ Μαυρικίου.

8. τοὺς τίτλους τριῶν ἐκδόσεων τῶν ὑπὸ Μαργουνίου «Συναξαρίων» ἢ «Βίων ἁγίων ἐκ τῆς ἑλληνικῆς γλώσσης ἤτοι ἐκ τῶν Συναξαρίων μεταφρασθέντων», ἐκδόσεων γενομένων ἐν Βενετίᾳ, τῷ 1607 παρὰ Ἀντωνίῳ Πινέλλῳ, 1685 παρὰ Ἀνδρέᾳ Ἰουλιανῷ, καὶ 1691 παρὰ Νικολάῳ Σάρῳ, ἀνέγραψα ἐν «Ἀποσημειώμασι Φιλίστορος»· ἐν «Ἐκκλησιαστ. Ἀληθείᾳ», τόμ. Ε', σελ. 67-68.

1. τῆς περὶ τῶν ἑορτασίμων ἡμερῶν διατάξεως φαίνεται μοι μιμνησκόμενος ἀμυδρῶς πως ὁ χρονογράφος Ἰωάννης Κίνναμος· Βόννης, σελ. 276-277. Βλέπε ὡσαύτως σχόλιον Βαλσαμῶνος εἰς κεφ. α' τοῦ Ζ τίτλου τοῦ Νομοκανόνος τοῦ Φωτίου· Ράλλη καὶ Ποτλῆ Σύνταγμα Κανόνων, τόμ. Α', σελ. 136-139.

ΒΥΖΑΝΤΙΝΑ ΜΗΝΟΛΟΓΙΑ

ΒΑΣΙΛΕΙΑΝΟΝ ΜΗΝΟΛΟΓΙΟΝ

ΙΑΝΟΥΑΡΙΟΣ[1]

1. Μνήμη Βασιλείου ἀρχιεπισκόπου Καισαρείας.
7. Σύναξις τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου καὶ βαπτιστοῦ Ἰωάννου.
9. Ἄθλησις Πολυεύκτου — Μνήμη Θεοκτίστου ἱερομάρτυρος καὶ ὁμολογητοῦ (ἄνευ βίου).
10. Μνήμη Γρηγορίου ἐπισκόπου Νύσσης— Μνήμη Δομετιανοῦ ἐπισκόπου Μελιτηνῆς — Μνήμη Μαρκιανοῦ πρεσβυτέρου καὶ οἰκονόμου τῆς μεγάλης ἐκκλησίας — Μνήμη Δομνίκης.
11. Μνήμη Θεοδοσίου κοινοβιάρχου.
12. Ἄθλησις Ἀθανασίου τοῦ ὁμολογητοῦ (ἄνευ βίου).
13. Ἄθλησις Ἑρμύλου καὶ Στρατονίκου.
14. Μνήμη Θεοδούλου—Μνήμη Στεφάνου τοῦ κτίσαντος τὴν μονὴν τοῦ Χηνολάκκου.
15. Μνήμη Ἰωάννου τοῦ καλυβίτου.
16. Ἡ προσκύνησις τῆς ἁγίας ἁλύσεως τοῦ ἀποστόλου Πέτρου, ἣν ἐφόρεσεν ὑπὸ Ἡρῴδου τοῦ βασιλέως διὰ Χριστὸν, καὶ ἐβλήθη ἐν τῇ φυλακῇ.
17. Μνήμη Ἀντωνίου τοῦ μεγάλου.
18. Μνήμη Ἀθανασίου καὶ Κυρίλλου.
20. Μνήμη Εὐθυμίου πρεσβυτέρου γενομένου καὶ καθηγητοῦ τῆς ἐρήμου.
22. Ἄθλησις τοῦ ἁγίου ἀποστόλου Τιμοθέου ἐπισκόπου Ἐφέσου, μαθητοῦ τοῦ ἁγίου ἀποστόλου Παύλου— Ἄθλησις Ἀναστασίου τοῦ Πέρσου — Ἡ ἀνακομιδὴ τῶν τιμίων λειψάνων τοῦ αὐτοῦ μάρτυρος Ἀναστασίου τοῦ Πέρσου.
23. Ἄθλησις Κλήμεντος ἐπισκόπου Ἀγκύρας—Ἄθλησις Ἀγαθαγγέλου.
25. Μνήμη Γρηγορίου τοῦ Θεολόγου.
26. Ἡ ἀνάμνησις τῶν φόβων τοῦ μεγάλου καὶ παραδόξου σεισμοῦ.
27. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Ἰωάννου τοῦ Χρυσοστόμου.
28. Μνήμη Ἐφραὶμ τοῦ Σύρου.
30. Ἄθλησις Θεοφίλου τοῦ νέου.
31. Ἄθλησις Κύρου καὶ Ἰωάννου.

ΦΕΒΡΟΥΑΡΙΟΣ

1. Ἄθλησις Τρύφωνος — Μνήμη Βενδιμιανοῦ.
3. Μνήμη τοῦ ἁγίου καὶ δικαίου Συμεὼν, καὶ Ἄννης τῆς προφήτιδος
5. Ἄθλησις Ἀγάθης.
8. Μνήμη Ζαχαρίου τοῦ προφήτου.
11. Ἄθλησις Βλασίου—Ἡ εὕρεσις τοῦ τιμίου λειψάνου τοῦ προφήτου Ζαχαρίου — Μνήμη Θεοδώρας τῆς βασιλίσσης.
12. Μνήμη Ἀντωνίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως,
13. Μνήμη Μαρτινιανοῦ.
14. Μνήμη Αὐξεντίου.
15. Ἄθλησις Ὀνησίμου, μαθητοῦ Παύλου τοῦ ἀποστόλου.
16. Ἄθλησις Παμφίου, Οὐάλεντος καὶ τῆς συνοδίας αὐτῶν.

1. τὰ ἐν ( ) καὶ διὰ μικροτέρων γεγραμμένα ψηφίων εἰσὶ παρατηρήσεις τοῦ συγγραφέως.

ΒΑΣΙΛΕΙΑΝΟΝ ΜΗΝΟΛΟΓΙΟΝ

17. Ἄθλησις Θεοδώρου τοῦ Τήρωνος.
18. Μνήμη Λέοντος πάπα τῆς μεγάλης Ῥώμης.
22. Μνήμη Ἀθανασίου ὁμολογητοῦ (ἄνευ βίου).
23. Ἄθλησις Πολυκάρπου ἐπισκόπου Σμύρνης.
24. Ἡ ἀνάμνησις τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου.
25. Μνήμη Ταρασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.
26. Μνήμη Στεφάνου τοῦ συστησαμένου τὸ γηροκομεῖον τοῦ Ἀρματίου (ἄνευ βίου).
27. Μνήμη Προκοπίου καὶ Βασιλείου τῶν ὁμολογητῶν.

ΜΑΡΤΙΟΣ

2. Ἄθλησις Θεοδότου ἐπισκόπου Κυμηνίας (ἄνευ βίου).
6. Ἄθλησις Κόνωνος τοῦ ἐν Ἰσαυρίᾳ.
7. Παύλου τοῦ ὁμολογητοῦ τῆς Προυσίας.
8. Μνήμη Θεοφυλάκτου ἐπισκόπου Νικομηδείας.
9. Τῶν ἐν Σεβαστείᾳ μαρτύρων.
12. Μνήμη Θεοφάνους ὁμολογητοῦ τοῦ ἐν τῷ Μεγάλῳ Ἀγρῷ.
14. Εὐσχήμονος ἐπισκόπου Λαμψάκου.
15. Μνήμη Ἰωάννου τοῦ ἐν Ῥουφινιαναῖς (ἄνευ βίου).
20. Μνήμη Φωτεινῆς τῆς Σαμαρείτιδος καὶ τῶν σὺν αὐτῇ. — Μνήμη Θωμᾶ πατριάρχου Κωνσταντινουπόλεως.
21. Μνήμη Ἰακώβου τοῦ νέου ἐπισκόπου.
27. Ἄθλησις Στεφάνου τοῦ ὁμολογητοῦ.
28. Ἰλαρίωνος ἡγουμένου μονῆς Πελεκητῆς (ἄνευ βίου).

ΑΠΡΙΛΙΟΣ

3. Μνήμη Νικήτα τοῦ ὁμολογητοῦ — Μνήμη Ἰωσὴφ τοῦ ποιητοῦ τῶν Κανόνων.
4. Ἄθλησις Ἀγαθόποδος καὶ Θεοδούλου.
6. Μνήμη Εὐτυχίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.
7. Μνήμη Γεωργίου ἐπισκόπου Μιτυλήνης.
10. Ἄθλησις Τερεντίου, Ἀφρικανοῦ καὶ τῶν λοιπῶν.
11. Ἄθλησις Ἀντίππα ἐπισκόπου Περγάμου.
13. Μνήμη Βασιλείου τοῦ ὁμολογητοῦ.
17. Μνήμη Ἀγαπητοῦ πάπα Ῥώμης—Μνήμη Ἀνθούσης.

ΒΑΣΙΛΕΙΑΝΟΝ ΜΗΝΟΛΟΓΙΟΝ

18. Κοσμᾶ τοῦ ὁμολογητοῦ.
21. Μνήμη Μαξιμιανοῦ πατριάρχου Κωνσταντινουπόλεως.
22. Μνήμη Θεοδώρου τοῦ Συκεώτου.
23. Ἄθλησις μεγαλομάρτυρος Γεωργίου.
25. Ἄθλησις τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου.
26. Ἄθλησις Βασιλέως ἐπισκόπου Ἀμασείας.
28. Ἄθλησις Δάδα καὶ τῆς συνοδίας αὐτοῦ.

ΜΑΙΟΣ

1. Ἡ κοίμησις τοῦ ἁγίου προφήτου Ἱερεμίου.
2. Ἄθλησις Ἑσπέρου καὶ Ζωῆς· καὶ κοίμησις Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας.
3. Ἄθλησις Τιμοθέου καὶ Μαύρας.
4. Ἄθλησις Νικηφόρου μονῆς Μηδικίου.
5. Ἄθλησις Εἰρήνης.
7. Μνήμη τοῦ ἐν οὐρανῷ φανέντος σημείου τοῦ Σταυροῦ· καὶ — Ἄθλησις Ἀκακίου.
8. Μνήμη τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου ἐπὶ τῆς ἁγίας κόνεως.
9. Ἄθλησις Ἡσαΐου τοῦ προφήτου — Ἄθλησις Χριστοφόρου—Ἄθλησις Ἀκυλίνης, Ἐπιμάχου, καὶ Γορδιανοῦ.
11. Ἡ ἀνάμνησις τοῦ γενεθλίου τῆς Κωνσταντινουπόλεως—Ἄθλησις Μωκίου.
12. Μνήμη Ἐπιφανίου ἐπισκόπου Κύπρου —Μνήμη Γερμανοῦ πατριάρχου Κωνσταντινουπόλεως.
13. Ἄθλησις Γλυκερίας — Μνήμη Σεργίου ὁμολογητοῦ.
17. Μνήμη Στεφάνου πατριάρχου Κωνσταντινουπόλεως.
19. Ἄθλησις Πατρικίου ἐπισκόπου Προύσης.
20. Ἄθλησις Θαλελαίου.
21. Μνήμη Κωνσταντίνου καὶ Ἑλένης.
23. Μνήμη Μιχαὴλ ἐπισκόπου Συνάδων τοῦ ὁμολογητοῦ.
25. Ἄθλησις Παγχαρίου—Ἄθλησις Θεράποντος.
29. Μνήμη τῶν ἐν Νικαίᾳ κατὰ Ἀρείου συνελθόντων ἁγίων πατέρων — Ἄθλησις Θεοδοσίας τῆς παρθένου.
30. Μνήμη Ἰσαακίου ὁμολογητοῦ.

ΙΟΥΝΙΟΣ

2. Μνήμη Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως.

ΒΑΣΙΛΕΙΑΝΟΝ ΜΗΝΟΛΟΓΙΟΝ

3. Ἄθλησις Λουκιλλιανοῦ καὶ τῆς συνοδίας αὐτοῦ.
4. Μνήμη Μητροφάνους πατριάρχου Κωνσταντινουπόλεως.
8. Ἀνακομιδὴ λειψάνου Θεοδώρου στρατηλάτου.
10. Ἄθλησις Τιμοθέου ἐπισκόπου Προύσης—Ἄθλησις Ἀλεξάνδρου καὶ Ἀντωνίνης.
11. Ἄθλησις τῶν ἁγίων ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα.
12. Μνήμη Ὀνουφρίου.
13. Ἄθλησις Ἀκυλίνης.
14. Μνήμη Ἐλισαίου τοῦ προφήτου—Μνήμη Μεθοδίου πατριάρχου Κωνσταντινουπόλεως.
17. Ἄθλησις Μανουὴλ, Σαβὴλ, καὶ Ἰσμαήλ.
18. Ἄθλησις Λεοντίου, Ὑπάτου καὶ Θεοδούλου.
21. Ἄθλησις Ἰουλιανοῦ.
23. Ἄθλησις Ζήνωνος καὶ Ζηνᾶ.
24. Τὸ γενέθλιον Ἰωάννου τοῦ Προδρόμου.
25. Ἄθλησις Φεβρωνίας.
27. Μνήμη Σαμψὰν τοῦ ξενοδόχου.
28. Ἡ εὕρεσις τῶν λειψάνων Κύρου καὶ Ἰωάννου.
29. Ἄθλησις τῶν ἁγίων μεγάλων ἀποστόλων Πέτρου καὶ Παύλου.
30. Ἡ σύναξις τῶν ἁγίων ΙΒ΄ ἀποστόλων.

ΙΟΥΛΙΟΣ

1. Ἄθλησις Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἐν Ῥώμῃ — Μνήμη Πέτρου.
2. Ἡ κατάθεσις τῆς τιμίας ἐσθῆτος τῆς Θεοτόκου.
3. Μνήμη Ἀνατολίου πατριάρχου Κωνσταντινουπόλεως.
4. Ἀνδρέου ἀρχιεπισκόπου Κρήτης (ἄνευ βίου).
5. Μνήμη Ἰλαρίωνος τῆς Δαλμάτου (ἄνευ βίου).
8. Ἄθλησις Προκοπίου μεγαλομάρτυρος.
10. Ἄθλησις τῶν ἐν Νικοπόλει ΜΕ΄ μαρτύρων.
11. Ἀνάμνησις τοῦ γεγονότος θαύματος τῆς πανευφήμου μάρτυρος Εὐφημίας.
12. Ἄθλησις Πρόκλου καὶ Ἰλαρίου.
14. Ἄθλησις Ἰούστου — Μνήμη Ἰωσὴφ ὁμολογητοῦ.
15. Ἄθλησις Κηρύκου καὶ Ἰουλίτης.
16. Ἡ ἀνάμνησις τῆς ἐν Χαλκηδόνι ἁγίας Συνόδου τῶν ἑξακοσίων τριάκοντα πατέρων — Ἄθλησις Ἀθηνογένους.
17. Ἄθλησις Μαρίνης.

ΒΑΣΙΛΕΙΑΝΟΝ ΜΗΝΟΛΟΓΙΟΝ

18. Ἄθλησις Αἰμιλιανοῦ — Ἄθλησις Θεοδοσίας.
19. Μνήμη Δίου.
20. Ἡ πυρφόρος ἀνάβασις εἰς οὐρανοὺς Ἡλιοὺ τοῦ προφήτου.
22. Μνήμη Μαρίας Μαγδαληνῆς.
23. Ἄθλησις Φωκᾶ, καὶ μνήμη Σωσάννης τῆς ἐν τῷ Λευκάτῃ (περὶ ἧς οὐκ ἔστιν ὑπόμνημα).
24. Ἄθλησις Χρηστίνης.
25. Μνήμη Ἄννης τῆς μητρὸς τῆς Θεοτόκου — Μνήμη Ὀλυμπιάδος — Μνήμη τῶν ἁγίων ΞΕ΄ πατέρων ἡμῶν τῶν ἐν τῇ Ε΄ Συνόδῳ συνελθόντων. (Ἐν τούτοις τὸ ὑπόμνημα γράφει ΡΞΕ΄ πατέρων).
27. Ἄθλησις Παντελεήμονος μεγαλομάρτυρος — Μνήμη Ἀνθούσης.
29. Ἄθλησις Καλλινίκου — Μνήμη Ἰωάννου μητροπολίτου Χαλκηδόνος τοῦ ὁμολογητοῦ (ἄνευ βίου).
30. Μνήμη τοῦ μακαρίου Ἰωάννου τοῦ στρατιώτου.
31. Μνήμη Εὐδοκίμου τοῦ νέου.

ΑΥΓΟΥΣΤΟΣ

1. Ἄθλησις Μακκαβαίων.
2. Ἀνακομιδὴ τοῦ λειψάνου Στεφάνου τοῦ πρωτομάρτυρος — Εὕρεσις τῶν λειψάνων Δάδα καὶ τῶν σὺν αὐτῷ.
3. Μνήμη Δαλμάτου, Φαύστου καὶ Ἰσαακίου.
7. Ἄθλησις Δομετίου — Ἀνάμνησις τῆς καταλύσεως τῶν Ἀβάρων — Μνήμη τῶν εὐσεβῶν βασιλισσῶν Πουλχερίας καὶ Εἰρήνης (ἄνευ βίου).
8. Ἄθλησις Αἰμιλιανοῦ ἐπισκόπου Κυζίκου — Ἄθλησις Ἐλευθερίου, Λεωνίδους καὶ τῶν νηπίων.
9. Ἄθλησις Ἰουλιανοῦ καὶ τῆς συνοδίας αὐτοῦ—Μνήμη Κωνσταντίνου ἀρχιεπισκόπου τῆς βασιλίδος πόλεως (ἄνευ βίου).
10. Ἄθλησις Λαυρεντίου, Ξύστου καὶ Ἱππολύτου.
12. Ἄθλησις Φωτίου καὶ Ἀνικήτου.
16. Ἄθλησις Διομήδους[1].
18. Ἄθλησις Φλώρου καὶ Λαύρου.
20. Μνήμη Σαμουὴλ τοῦ προφήτου.
22. Ἄθλησις Ἀγαθονίκου — Μνήμη Ἀνθούσης.
23. Μνήμη Καλλινίκου ἀρχιεπισκόπου Κων-

1. ἡ 15 ὡς ἐν τῷ Συναξαριστῇ καὶ τοῖς Μηναίοις.

ΒΑΣΙΛΕΙΑΝΟΝ ΜΗΝΟΛΟΓΙΟΝ

σταντινουπόλεως — Μνήμη Μελετίου ἀρχιεπισκόπου Ἀντιοχείας.
24. Μνήμη Μηνᾶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως—Ἄθλησις Γεωργίου τοῦ Λιμναιώτου.
25. Μνήμη Γενναδίου, Ἰωάννου, Στεφάνου καὶ Μηνᾶ, ἀρχιεπισκόπων γενομένων ἐν Κωνσταντινουπόλει.
26. Ἄθλησις Ἀδριανοῦ καὶ Ναταλίας.
29. Ἡ ἀποτομὴ τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου.
31. Ἡ κατάθεσις τῆς τιμίας ζώνης τῆς ὑπεραγίας Θεοτόκου.

ΣΕΠΤΕΜΒΡΙΟΣ

1. Μνήμη Συμεὼν τοῦ στυλίτου.
2. Ἄθλησις Μάμαντος μεγαλομάρτυρος — Μνήμη Ἰωάννου πατριάρχου Κωνσταντινουπόλεως τοῦ νηστευτοῦ.
3. Ἄθλησις Ἀνθίμου ἐπισκόπου Νικομηδείας.
4. Ἄθλησις Ἑρμιόνης θυγατρὸς Φιλίππου τοῦ ἀποστόλου — Μνήμη τοῦ ἁγίου Μωσέως τοῦ νομοθέτου.
5. Μνήμη Ζαχαρίου τοῦ προφήτου.
6. Ἄθλησις Εὐδοξίου καὶ Ῥωμύλου.
10. Ἄθλησις Μηνοδώρας, Μητροδώρας καὶ Νυμφοδώρας.
11. Ἄθλησις Ἴας.
14. Ἡ ἀνάμνησις τῆς ὑψώσεως τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.
15. Ἄθλησις Νικήτα μεγαλομάρτυρος.
21. Ἄθλησις Πρίσκου.
22. Μνήμη Ἰωνᾶ τοῦ προφήτου.
24. Ἄθλησις Θέκλης πρωτομάρτυρος.
25. Ἡ ἀνάμνησις τῶν φόβων τοῦ μεγάλου σεισμοῦ καὶ τῆς τοῦ παιδὸς ἐν ἀέρι ἁρπαγῆς.
26. Ἡ μετάστασις Ἰωάννου τοῦ Θεολόγου.

ΟΚΤΩΒΡΙΟΣ

1. Μνήμη Ῥωμανοῦ τοῦ ποιητοῦ τῶν κοντακίων.
2. Ἄθλησις Κυπριανοῦ καὶ Ἰουστίνης — Ἄθλησις Θεοφίλου τοῦ ὁμολογητοῦ.
3. Ἄθλησις Διονυσίου τοῦ ἀρεοπαγίτου.
6. Ἄθλησις Θωμᾶ ἀποστόλου — Μνήμη Νικήτα τοῦ ὁμολογητοῦ.
7. Ἄθλησις Σεργίου καὶ Βάκχου.
10. Μνήμη Βασιανοῦ.
11. Μνήμη Φιλίππου τοῦ ἀποστόλου τοῦ ἐν ταῖς Πράξεσι τῶν ἁγίων ἀποστόλων.
12. Ἡ ἀνάμνησις τῆς ἁγίας Ζ΄ Συνόδου

ΒΑΣΙΛΕΙΑΝΟΝ ΜΗΝΟΛΟΓΙΟΝ

τῶν ΤΞΖ΄ ἁγίων πατέρων — Ἄθλησις Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου—Ἄθλησις Ἀναστασίας τῆς παρθένου.
13. Ἄθλησις Κάρπου, Παπύλου καὶ τῶν σὺν αὐτοῖς.
17. Ἄθλησις τῶν ἁγίων Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ καὶ τῶν ἀδελφῶν αὐτῶν Ἀνθίμου, Λεοντίου, καὶ Εὐπρεπίου.
18. Μνήμη Λουκᾶ ἀποστόλου καὶ εὐαγγελιστοῦ.
20. Ἄθλησις Ἀρτεμίου.
23. Ἄθλησις Ἰακώβου ἀποστόλου ἀδελφοῦ τοῦ Κυρίου — Μνήμη Ἰγνατίου πατριάρχου Κωνσταντινουπόλεως.
24. Μνήμη Πρόκλου πατριάρχου Κωνσταντινουπόλεως.
25. Ἄθλησις Μαρκιανοῦ καὶ Μαρτυρίου τῶν νοταρίων.
26. Ἄθλησις Δημητρίου μεγαλομάρτυρος —Ἀνάμνησις τοῦ μεγάλου σεισμοῦ.
31. Μνήμη Στάχυος ἀποστόλου —Ἄθλησις Ζηνοβίου καὶ Ζηνοβίας.

ΝΟΕΜΒΡΙΟΣ

1. Ἡ κοίμησις τῶν ἁγίων Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ τῶν υἱῶν τῆς ἁγίας Θεοδότης.
6. Ἄθλησις Παύλου τοῦ ὁμολογητοῦ πατριάρχου Κωνσταντινουπόλεως — Ἡ ἀνάμνησις τῆς πεσούσης ἐξ οὐρανοῦ κόνεως, ἤτοι τέφρας ἢ στακτῆς.
8. Σύναξις τῶν Ἀρχαγγέλων — Μνήμη Ματρώνης.
11. Ἄθλησις Μηνᾶ, Βίκτωρος, Βικεντίου καὶ Στεφανίδος—Μνήμη Θεοδώρου ἡγουμένου τῆς μονῆς τῶν Στουδιτῶν.
13. Ἡ ἀνάμνησις τῆς ἐξορίας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.
14. Μνήμη τοῦ ἁγίου ἀποστόλου Φιλίππου ἑνὸς τῶν ΙΒ΄ ἀποστόλων.
16. Μνήμη Ματθαίου τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ.
18. Ἄθλησις Πλάτωνος — Ἄθλησις Ῥωμανοῦ.
20. Μνήμη Γρηγορίου τοῦ Δεκαπολίτου.
27. Ἄθλησις Ἰακώβου τοῦ Πέρσου.
28. Ἄθλησις Στεφάνου τοῦ νέου καὶ τῶν σὺν αὐτῷ Πέτρου καὶ Ἀνδρέου· καὶ τῶν σὺν τῷ ἁγίῳ Στεφάνῳ μαρτυρησάντων ὑπὲρ τῶν ἁγίων Εἰκόνων.
29. Μνήμη Ἰωάννου τοῦ Δαμασκηνοῦ.

ΒΑΣΙΛΕΙΑΝΟΝ ΜΗΝΟΛΟΓΙΟΝ

30. Ἄθλησις τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἀνδρέου ἀδελφοῦ τοῦ μεγάλου Πέτρου.

ΔΕΚΕΜΒΡΙΟΣ

2. Ἄθλησις Ἀβίβου.
4. Ἄθλησις Βαρβάρας.
5. Μνήμη Σάβα.
6. Μνήμη Νικολάου ἀρχιεπισκόπου Μύρων.
7. Μνήμη Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων.
9. Ἡ σύλληψις τῆς ἁγίας Ἄννης μητρὸς τῆς Θεοτόκου— Μνήμη Παταπίου.
11. Μνήμη Δανιὴλ τοῦ στυλίτου τοῦ ἐν τῷ Ἀνάπλῳ.
12. Μνήμη Σπυρίδωνος ἐπισκόπου Τριμιθοῦντος.
13. Ἄθλησις Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου καὶ Ὀρέστου.

ΒΑΣΙΛΕΙΑΝΟΝ ΜΗΝΟΛΟΓΙΟΝ

14. Ἄθλησις Θύρσου καὶ Λευκίου.
15. Ἄθλησις Ἐλευθερίου.
16. Μνήμη Θεοφανοῦς, γυναικὸς Λέοντος τοῦ σοφωτάτου βασιλέως.
17. Ἄθλησις τῶν ἁγίων παίδων—Ἄθλησις Δανιὴλ τοῦ προφήτου.
19. Ἄθλησις Ἄρεως, Ἡλία, καὶ Πρόμου.
20. Ἄθλησις Ἰγνατίου πατριάρχου τῆς μεγάλης Ἀντιοχείας.
21. Ἄθλησις Ἰουλιανῆς.
22. Ἄθλησις Ἀναστασίας—Ἄθλησις Θεοδότης.
23. Ἄθλησις τῶν ἐν Κρήτῃ 10 μαρτύρων.
27. Ἄθλησις Στεφάνου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου.
28. Ἄθλησις Θεοδώρου τοῦ γραπτοῦ — Μνήμη Θεοδώρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.
29. Ἡ ἀναίρεσις τῶν ἐν τῇ Βηθλεὲμ ἁγίων νηπίων — Μνήμη Μαρκέλλου μονῆς τῶν Ἀκοιμήτων.

ΜΟΡΣΕΛΛΙΑΝΟΝ ΜΕΤΑ ΣΥΜΠΛΗΡΩΣΙΝ

ΙΑΝΟΥΑΡΙΟΣ

1. (Μνήμη Βασιλείου οὐκ ἀναφέρεται).
12. Στεφάνου ὁσίου τοῦ Χηνολάκκου [1].
15. Ἰωάμμου τοῦ πτωχοῦ.
18. Εἰς τὴν ἐπάνοδον τῆς ἐξορίας τοῦ ἁγίου Ἀθανασίου· καὶ εἰς τὴν μνήμην τῶν ἁγίων Κυρίλλου καὶ Ἀλεξάνδρου.

ΦΕΒΡΟΥΑΡΙΟΣ

4. Νικήτα ὁσίου τοῦ ἐν τοῖς Πυθίοις.
6. Μνήμη Φωτίου πατριάρχου Κωνσταντινουπόλεως.
7. Θεοδώρου μεγαλομάρτυρος τοῦ στρατηλάτου.
18. Λέοντος Ῥώμης καὶ Φλαβιανοῦ Κωνσταντινουπόλεως.
22. Θωμᾶ πατριάρχου Κωνσταντινουπόλεως.

1. τὰ διὰ στοιχείων βυζαντινῶν ὀνόματα παρελήφθησαν ἐκ χειρογράφων Εὐαγγελίων, οὐχὶ δ' ἐκ τοῦ Morcelli.

ΜΟΡΣΕΛΛΙΑΝΟΝ ΜΕΤΑ ΣΥΜΠΛΗΡΩΣΙΝ

ΜΑΡΤΙΟΣ

15. Ἰωάμμου τοῦ ἐν Ῥουφινιαναῖς, καὶ Βενεδίκτου ἐπισκόπου Ῥώμης.

ΑΠΡΙΛΙΟΣ

12. Γερμανίου μάρτυρος, καὶ μνήμη Σεργίου πατριάρχου τοῦ ἀπὸ τῆς μονῆς τοῦ Μαμαντᾶ.
14. Τοῦ ἁγίου Ἰακώβου τοῦ καὶ Συμεών, ἐπισκόπου Ἀμτιοχείας [1].
17. Κοσμᾶ Χαλκηδόνος, καὶ Ἀγαθίου πάπα Ῥώμης.
19. Λογγίνου τοῦ Ἰσαύρου.
22. Θεοδώρου ἐπισκόπου Θεοδοσιουπόλεως (ἀντὶ τοῦ ὀρθοῦ Ἀναστασιουπόλεως).
27. Κυρτιαμοῦ, Μαξίμου καὶ Λάβα.

ΜΑΙΟΣ

3. Ἑσπέρου καὶ Ζωῆς.

1. τίς οὗτος;

ΜΟΡΣΕΛΛΙΑΝΟΝ ΜΕΤΑ ΣΥΜΠΛΗΡΩΣΙΝ

8. Εἰς τὴν μνήμην τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου καὶ εὐαγγελιστοῦ εἰς τὸ λεγόμενον Μάννα.
15. Νικολάου πατριάρχου Κωνσταντινουπόλεως τοῦ ἐν Γαλακρίναις.
16. Ζαχαρίου τοῦ προφήτου.
17. Κόλωνος.
26. Στεφάνου πατριάρχου Κωνσταντινουπόλεως.
31. Εὐσταθίου πατριάρχου Κωνσταντινουπόλεως.

ΙΟΥΝΙΟΣ

5. Εἰς τὴν λιτὴν τοῦ Κάμπου.
6. Λαυρεντίου ἱερομάρτυρος.
8. Τοῦ ὁσίου καὶ ὁμολογητοῦ Παύλου τοῦ Καϊουμᾶ.
22. Βασιλείου ἐπισκόπου Πατελαρίας.

ΙΟΥΛΙΟΣ

2. Τὰ μεταθέσια τῆς σοροῦ Βλαχερνῶν.
2. Τὰ καταθέσια τῆς τιμίας ἐσθῆτος τῆς ὑπεραγίας Θεοτόκου.
9. Μνήμη τῶν ἐγκαινίων τῆς Θεοτόκου ἐν τῇ Πηγῇ.
11. Τῆς ἁγίας μεγαλομάρτυρος Εὐφημίας τοῦ Ὄρους.
11. Ἡ σύναξις τῆς ἁγίας Εὐφημίας τοῦ Ὄρους.

μέχρι τῆς 6 καὶ 12 τοῦ μηνὸς ἰουλίου

ἐπιτελεῖται ἡ ἔμφασις τῆς Μεγάλης Ἐκκλησίας.

μετὰ τὴν ἑορτὴν ταύτην

Κυριακὴ — Μνήμη τῆς Δ΄ Συνόδου. Καὶ μετὰ τὴν μνήμην τῆς Δ΄ Συνόδου, τῇ ἐπερχομένῃ κυριακῇ ἐπιτελοῦμεν τὴν μνήμην τῶν ἐν τῇ Ϛ΄ Συνόδῳ συνελθόντων ἁγίων πατέρων.
18. Τῆς ἁγίας ὁσιομάρτυρος Θεοδοσίας, μαρτυρησάσης ὑπὲρ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἐπὶ τοῦ δυσσεβοῦς Κωνσταντίνου τοῦ Κοπρωνύμου.
20. Τῶν ἁγίων προφητῶν Ἠλιοὺ καὶ Ἐλισσαίου[1].
20. Μνήμη τῶν ἁγίων προφητῶν Ἠλιοὺ, Μωσέως καὶ Ἀαρών.
31. Ἡ προσκύνησις τῶν τιμίων ξύλων.

1. τὸν Ἐλισσαῖον ἀναφέρει καὶ μόνον τῇ 14 ἰουνίου τὸ χειρόγραφον 426 Εὐαγγέλιον.

ΜΟΡΣΕΛΛΙΑΝΟΝ ΜΕΤΑ ΣΥΜΠΛΗΡΩΣΙΝ

ΑΥΓΟΥΣΤΟΣ

5. Τῆς ἁγίας μάρτυρος Ἴας[1].
5. Εὐθυμίου πατριάρχου Κωνσταντινουπόλεως.
17. Τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Μάκαρι, τοῦ ἐπὶ τοῦ δυσσεβοῦς Κωνσταντίνου τοῦ Κοπρωνύμου μαρτυρήσαντος.
20. Ἄθλησις Θαδδαίου τοῦ ἀποστόλου.
21. Τῆς ἁγίας μάρτυρος Ἴας, τῆς ἐν Περσίδι ἀθλησάσης.
28. Ποιμένος ὁσίου, καὶ Σάβα τοῦ ἐν Βενεθάλοις.
31. Τὰ καταθέσια τῆς ζώνης τῆς ἁγίας Θεοτόκου—Μνήμη τῶν ἁγίων πατριαρχῶν Ἀλεξάνδρου, Ἰωάννου καὶ Παύλου τοῦ νέου.

ΣΕΠΤΕΜΒΡΙΟΣ

1. Τὸ νέον ἔτος· καὶ μνήμη τοῦ ἁγίου Συμεὼν τοῦ στυλίτου — καὶ σύναξις τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις.
2. Τῶν ἁγίων πατριαρχῶν Ἰωάμμου τοῦ μηστευτοῦ καὶ Παύλου τοῦ μέου.
4. Μνήμη τῶν ἁγίων Βαβύλα καὶ τῶν νηπίων καὶ τῶν λοιπῶν ἁγίων.
15. Ἡ Ϛ΄ Σύνοδος[2] — Κυριακῇ μετὰ τὴν Ὕψωσιν· ἐπιτελεῖ ἡ μεγάλη Ἐκκλησία καὶ μνήμην τῆς Ϛ΄ Συνόδου.
19. Τῆς ἁγίας μεγαλομάρτυρος Εὐφημίας. — Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Ϛ΄ Συνόδῳ[3].
21. Τῆς ὑπεραγίας Θεοτόκου ἐν τῇ Πέτρᾳ.

ΟΚΤΩΒΡΙΟΣ

11. Τῶν ἁγίων πατριαρχῶν Νεκταρίου, Ἀρσακίου, Ἀττικοῦ καὶ Σισινίου[4].— Ἡ ὀρθοδοξία τῆς Ζ΄ Συνόδου[1].
Ἡ δὲ μεγάλη Ἐκκλησία ἐπιτελεῖ τὴν Ϛ΄ Σύνοδον ἐν ἡμέρᾳ κυριακῇ, καὶ ἁγιασμώσκεται Εὐαγγέλιον τὸ τοῦ σωρού[5]. Ζήτει Κυριακὴ Δ΄ τοῦ Λουκᾶ.

1. τῇ 5 αὐγούστου τιθέασι τὴν μνήμην καὶ τὸ 426 καὶ τὸ παρὰ Morcelli.
2. οὕτω σημειοῖ τὰς ἑορτὰς τὸ 520 χειρόγραφον.
3. φαίνεται λοιπὸν ὅτι οἱ μὲν λοιποὶ ναοὶ ἐν ὡρισμένῃ ἑώρταζον ἡμέρᾳ τὴν μνήμην της Ϛ΄ Συνόδου, ὁ δὲ της Ἁγίας Σοφίας ἐν κινητῇ.
4. οὕτω καὶ τὸ 426 καὶ τὸ παρὰ Morceli.
5. προδήλως ἐννοεῖ τὴν Ζ΄ Σύνοδον.

ΜΟΡΣΕΛΛΙΑΝΟΝ ΜΕΤΑ ΣΥΜΠΛΗΡΩΣΙΝ

17. Ἰσιδώρας καὶ Νεοφύτης τῶν μαρτύρων.
20. Ἀρτεμίου . . . καὶ τοῦ ἁγίου ὁσιομάρτυρος Ἀνδρέου τῆς Κρίσεως.
30. Κυριακοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

ΝΟΕΜΒΡΙΟΣ

3. Ἰωαννικίου τοῦ ὁσίου.
7. Ματρώνης τῆς ὁσίας.
15. Θωμᾶ πατριάρχου τοῦ νέου.
20. Μνήμη τῶν ἁγίων πατριαρχῶν Μαξιμιανοῦ καὶ Γενναδίου.

ΜΟΡΣΕΛΛΙΑΝΟΝ ΜΕΤΑ ΣΥΜΠΛΗΡΩΣΙΝ

20. Τῶν ἁγίων πατριαρχῶν Πρόκλου, Μαξίμου, Ἀνατολίου καὶ Γεννάδιου.
21. Τὰ Ἅγια τῶν Ἁγίων.

ΔΕΚΕΜΒΡΙΟΣ

12. Ἡ ἀνάμνησις τῆς τοῦ (γρ. ἐκ) Θεοῦ δωρηθείσης νίκης τῷ εὐσεβεστάτῳ βασιλεῖ κατὰ Χοσρόου ἐν τῷ γενομένῳ ἐν Περσίδι πολέμῳ.
22. Τὰ ἀμοίχια τῆς μεγάλης Ἐκκλησίας.
23. Τὰ ἐγκαίνια τῆς μεγάλης Ἐκκλησίας.
26. Τὰ ἐπιλόχια τῆς Θεοτόκου[1].

ΑΠΡΑΞΙΑ ΔΙΚΑΣΤΗΡΙΩΝ

ΙΑΝΟΥΑΡΙΟΥ

1-6 διὰ τὰς δεσποτικὰς ἑορτάς — *10 Γρηγορίου Νύσσης — *16 προσκύνησις τῆς ἁλύσεως Πέτρου — 18 μνήμη Ἀθανασίου καὶ Κυρίλλου — *19 ἀνακομιδὴ τοῦ τιμίου νεκροῦ τοῦ Θεολόγου — 25 μνήμη Γρηγορίου τοῦ Θεολόγου — *27 ἀνακομιδὴ τοῦ σεβασμίου λειψάνου Ἰωάννου τοῦ Χρυσοστόμου.

ΦΕΒΡΟΥΑΡΙΟΥ

2 διὰ τὴν Ὑπαπαντήν — 3 μνήμη Συμεὼν τοῦ θεοδόχου — *7 Θεοδώρου τοῦ στρατηλάτου—*17 Θεοδώρου τοῦ τήρωνος.

ΜΑΡΤΙΟΥ

*9 Μ΄ μαρτύρων—25 διὰ τὸν Εὐαγγελισμόν — ἀπὸ τοῦ σαββάτου τοῦ Λαζάρου μέχρι τῆς Κυριακῆς τοῦ Θωμᾶ.

ΑΠΡΙΛΙΟΥ

*23 Γεωργίου μεγαλομάρτυρος — 25 Μάρκου τοῦ εὐαγγελιστοῦ—30 Ἰακώβου ἀδελφοῦ Ἰωάννου τοῦ Θεολόγου.

* αἱ ἑορταὶ, ὧν προτάττεται ἀστερίσκος, εἰσὶν αἱ ἐπὶ μέρους ἄπρακτοι.

ΑΠΡΑΞΙΑ ΔΙΚΑΣΤΗΡΙΩΝ

ΜΑΪΟΥ

*2 Ἀθανασίου τοῦ μεγάλου—8 μνήμη Ἰωάννου τοῦ θεολόγου — 10 Σίμωνος ἀποστόλου τοῦ Ζηλωτοῦ — 21 μνήμη Κωνσταντίνου καὶ Ἑλένης—26 Ἀλφαίου τοῦ καὶ Ἰούδα ἀποστόλου (ἴσ. τῇ 22).

ΙΟΥΝΙΟΥ

*8 Θεοδώρου τοῦ στρατηλάτου — *9 Κυρίλλου Ἀλεξανδρείας — 11 Βαρθολομαίου ἀποστόλου—19 Ἰούδα τοῦ καὶ Θαδδαίου καὶ Λεβαίου τοῦ ἀποστόλου—24 γενέθλιον Προδρόμου—*27 Σαμψὼν τοῦ ξενοδόχου—29 Πέτρου καὶ Παύλου—30 τῶν ἁγίων ΙΒ΄ ἀποστόλων.

ΙΟΥΛΙΟΥ

*1 ἁγίων Ἀναργύρων—*2 κατάθεσις τῆς τιμίας ἐσθῆτος—*8 Προκοπίου μεγαλομάρτυρος—*11 Εὐφημίας—*20 Ἠλιοὺ προφήτου—25 κοίμησις ἁγίας Ἄννης—*27 Παντελεήμονος τοῦ θαυματουργοῦ.

1. οὕτως ἐν τῷ 426 χειρογράφῳ Εὐαγγελίῳ λίαν ὀρθῶς κεῖται· ὁ Συναξαριστὴς γράφει *σύναξιν*, ὡσαύτως καὶ ὁ Morcellis· τόμ. Α΄, σελ. 38.

ΑΥΓΟΥΣΤΟΥ

6 ἡ μεταμόρφωσις τοῦ Σωτῆρος—9 Ματθίου τοῦ ἀποστόλου — 15 μετάστασις τῆς Θεοτόκου—20 Θαδδαίου ἀποστόλου—24 Βαρθολομαίου τοῦ ἀποστόλου—29 ἀποτομὴ τοῦ Προδρόμου— 30 κατάθεσις τῆς τιμίας ζώνης.

ΣΕΠΤΕΜΒΡΙΟΥ

*6 Μιχαὴλ ἀρχιστρατήγου θαύματος ἐν Χώναις ἀνάμνησις—8 γενέθλιον τῆς Θεομήτορος—14 ὕψωσις τοῦ ζωοποιοῦ Σταυροῦ—26 μετάστασις Ἰωάννου τοῦ θεολόγου.

ΟΚΤΩΒΡΙΟΥ

6 Θωμᾶ τοῦ ἀποστόλου — 9 Ἰακώβου

ΑΠΡΑΞΙΑ ΔΙΚΑΣΤΗΡΙΩΝ

ἀποστόλου τοῦ Ἀλφαίου—10 Λουκᾶ τοῦ εὐαγγελιστοῦ—*23 Ἰακώβου τοῦ ἀδελφοθέου—*26 Δημητρίου τοῦ μυροβλήτου.

ΝΟΕΜΒΡΙΟΥ

*1 Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἀναργύρων—*8 σύναξις τῶν ἀσωμάτων—13 Ἰωάννου Χρυσοστόμου—14 Φιλίππου τοῦ ἀποστόλου—16 Ματθαίου τοῦ εὐαγγελιστοῦ —21 εἰσόδια τῆς Θεομήτορος εἰς τὸν ναὸν —*28 Στεφάνου τοῦ νέου—30 Ἀνδρέου τοῦ πρωτοκλήτου.

ΔΕΚΕΜΒΡΙΟΥ

*4 Βαρβάρας μάρτυρος — *6 Νικολάου τοῦ μυροβλύτου—9 σύλληψις τῆς Θεοτόκου— 20 — 31 διὰ τὰς ἑορτὰς τῆς γεννήσεως τοῦ Σωτῆρος.

ΜΝΗΜΑΙ ΤΩΝ ΑΓΙΩΝ ΚΑΤΑ ΜΗΝΑΣ

(ΒΡΑΧΕΙΑΙ ΣΗΜΕΙΩΣΕΙΣ ΠΡΟΣ ΣΥΜΠΛΗΡΩΣΙΝ ΚΑΙ ΔΙΟΡΘΩΣΙΝ)

ΙΑΝΟΥΑΡΙΟΣ *

1. Ἡ ἀνάμνησις τῆς ἁγίας περιτομῆς τοῦ κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ [1].

* * *

1. Μνήμη Βασιλείου ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας.

Εἰς μνήμην τοῦ περιφανοῦς ἀρχιερέως ὡρίσθη ἡ πρώτη τοῦ μηνός, ἐπέτειος τοῦ θανάτου αὐτοῦ (1 ἰανουαρίου 379). Ἡ φήμη τῆς εὐσεβείας καὶ τῆς βαθείας αὐτοῦ πολυμαθείας ἐπεκράτει ἀπὸ τῶν μέσων αὐτοῦ τοῦ Δ′ αἰῶνος[2]. Ὑπῆρχε παράδοσις, ἥτις ἀναγράφεται παρὰ Θεοφάνει, ὅτι τῷ 376 θελήσας ὁ Οὐάλης ἵνα ὑπογράψῃ τὸ διάταγμα τῆς ὑπερορίας τοῦ Βασιλείου, θεόθεν ἐκωλύθη, «τριῶν μὲν καλάμων συντριβέντων, ἔσχατον δὲ καὶ τῆς χειρὸς αὐτοῦ παρεθείσης»[3].

Πρῶτος ὁ Γρηγόριος Νύσσης, ἀδελφὸς τοῦ Βασιλείου, ὠνόμασεν αὐτὸν *μέγαν, ὑψηλὸν βίῳ τε καὶ λόγῳ, παρὰ Θεοῦ μέγαν ἀναδεδειγμένον, καθάπερ ἐπὶ τοῦ Ἀγαὰδ ὁ Ἠλίας*[4].

Ἡ σύναξις ἐπὶ τῇ ἑορτῇ ταύτῃ ἐτελεῖτο ἐν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας.

Μονὴν ἐπ' ὀνόματι τοῦ Μ. Βασιλείου μεγαλοπρεπῆ ἀνήγειρεν ὁ κατὰ τὴν παιδικὴν ἡλικίαν τοῦ αὐτοκράτορος Βασιλείου Β′ παρακοιμώμενος Βασίλειος, αὐτάρκεις ἀποτάξας αὐτῇ προσόδους· φαίνεται ὅτι Βασίλειος ὁ Β′ ἀφεῖλε μέρος τοῦ πλούτου τούτου τῆς μονῆς, ἥτις ἄγνωστον εἴπερ ἠγείρετο ἐντὸς τῆς Κωνσταντινουπόλεως ἡ πέριξ αὐτῆς[5]. Ἐπίσης οὐδεὶς δύναται ἵνα βεβαιώσῃ ἂν αὐτὴ ᾖ ἡ τῷ 1347 ἐν Κωνσταντινουπόλει ὑπάρχουσα, ἐν ᾗ περιωρίσθη πρὸς ὀλίγον ὁ πατριάρχης Ἰωάννης ΙΔ′ ὁ Καλέκας[6], καὶ ἐν ᾗ ἐτάφη τῷ 1283 ὁ πατριάρχης τῆς Νέας Ῥώμης Ἰωσὴφ Α′[7]. Κατὰ τὸ 1401 τὴν μονὴν τοῦ ἁγίου Βασιλείου διηύθυνε Θεοδόσιος ὁ ἡγούμενος τῆς μονῆς τοῦ Παντοκράτορος[8].

Ναὸς ἐπ' ὀνόματι τοῦ Μ. Βασιλείου ὑπῆρχεν ἐν τῷ παλατίῳ κατὰ τὸν Γ′ αἰῶνα, καὶ ἐν αὐτῷ ἐκκλησιάζετο κατὰ τὴν 1 ἰανουαρίου ὁ αὐτοκράτωρ «μέχρι τῆς ἀπολύσεως τοῦ ἁγίου Εὐαγγελίου»[9]. Ὁ ναός, μικρὸς ὤν, ὡς ἔοικεν, ἠγείρετο πρὸ τοῦ ναοῦ τοῦ ἁγίου Στεφάνου τῆς Δάφνης, ἐν δὲ τῷ νάρθηκι αὐτοῦ μεταξὺ τῆς 25 καὶ 29 ἰουλίου προετίθετο ὁ τίμιος Σταυρὸς εἰς προσκύνησιν[10].

Τὸ ὄπισθεν τοῦ τῶν Βλαχερνῶν ἁγιάσματος καταβάσιον, τὸ κοινῶς ἁγίου Βασιλείου λεγόμενον ἁγίασμα, ἐντὸς τοῦ πενταπυργίου,

---

* Ὅπου μνήμη τις ἁγίου οὐ σημειοῦται ἐν τοῖς προτατομένοις Μηνολογίοις, ἐκεῖ λαμβάνω τὴν εἴδησιν ἀπὸ χειρογράφων τοῦ Συναξαριστοῦ τοῦ Μαυρικίου καὶ κυρίως ἀπὸ τοῦ καλλίστου χειρογράφου αὐτοῦ τοῦ σῳζομένου ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν Ἁγίῳ Ὄρει ἱερᾶς μονῆς τοῦ Σταυρονικήτα.

1. οὕτω γράφει τὸ Βασιλειανόν.

2. βλ. περὶ τοῦ βίου, τῶν συγγραμμάτων, καὶ τῆς διδασκαλίας τοῦ Βασιλείου ἐν Β′ τόμῳ τῆς τοῦ Κ. Κοντογόνου Φιλολογικῆς καὶ κριτικῆς ἱστορίας τῶν ἁγίων πατέρων τῆς Ἐκκλησίας· ἐν Ἀθήναις, 1853, σελ. 354-425.

3. Θεοφάνης· τόμ. Α′, σελ. 100.

4. Γρηγορίου Νύσσης Ἐπιτάφιος εἰς τὸν Μ. Βασίλειον· Migne M5′, στήλη 789, 796, 800, 813. Τοῦ αὐτοῦ Λόγος εἰς τὸν ὅσιον Ἐφραὶμ τὸν σῦρον· αὐτόθι, στήλη 821. Καὶ τὸν Ἐφραὶμ ὅμως εἶπε μέγαν πατέρα καὶ διδάσκαλον (στ. 841) καὶ τὸν θαυματουργὸν δὲ Γρηγόριον Νεοκαισαρείας λέγει μέγαν πολλαχοῦ τοῦ λόγου εἰς τὸν βίον αὐτοῦ.

5. Ψελλοῦ Χρονογραφία παρὰ Κ. Ν. Σάθᾳ· Μεσαιωνικῆς Βιβλιοθήκης τόμ. Δ′, σελ. 13.

6. Νικηφόρος Γρηγορᾶς· τόμ. Β′, σελ. 784.

7. Παχυμέρης· τόμ. Β′, σελ. 38.

8. Acta Patriarchatus· τόμ. Β′, σελ. 525.

9. Πορφυρογεννήτου, Ἐκθ. βασιλείου τάξεως· σελ. 137.

10. Πορφυρογ. αὐτόθι· σελ. 539.

οὐδὲν ἐπιτρέπει 'να εἴπωμεν περὶ τῆς πρὸ αἰώνων ὑπάρξεως αὐτόθι ναοῦ. Ὀρθῶς συνεπέρανεν ὁ εἰπὼν ὅτι ἡ πάλαι ὕπαρξις τῆς τοποθεσίας *Τὰ Βασιλείδου* ἔδωκεν ἀφορμὴν 'να νομισθῇ μέχρι σήμερον ὡς ἁγίασμα τοῦ ἁγίου Βασιλείου ἡ μικροτάτη αὕτη δεξαμενὴ ὕδατος. — Οὐδεμία δ' ὡσαύτως μαρτυρία προβιβάζει τὴν παρὰ τοῖς χωρικοῖς παράδοσιν ὅτι παρὰ τὸ Ῥήγιον, ἤτοι τὸν νῦν Κιουτσοὺκ-Τσεκμετζὲν, ὑπῆρχε πρὸ αἰώνων μοναστήριον ἐπ' ὀνόματι Βασιλείου τοῦ μεγάλου ἐν ᾧ τόπῳ σήμερον ὑψοῦται χαριέστατον τουρκικὸν εὐκτήριον.

Ἴσως μονή τις τοῦ ἁγίου Βασιλείου ἔκειτο ἐν Κοντοσκαλίῳ.

ꝛ

Τῇ 1 ἰανουαρίου ἦγεν ἡ Ἐκκλησία τὴν ἀνάμνησιν τῆς περιτομῆς τοῦ Κυρίου ἡμῶν.

ꝛ

2. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κοσμᾶ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ θαυματουργοῦ, τοῦ ἐν τῇ σεβασμίᾳ μονῇ τῆς Χώρας[11].

Ὁ πατριάρχης Κοσμᾶς ἀνῆλθε τὸν θρόνον τῇ 2 αὐγούστου 1075 καὶ παρητήσατο τὴν ἱερὰν ἀρχὴν τῇ 8 μαΐου 1081. Ὁ τίτλος *ἱεροσολυμίτου*, ὃν ἀποδιδόασιν αὐτῷ, συνδυαζόμενος πρὸς ὅσα γινώσκομεν περὶ τῆς μονῆς τῆς Χώρας, ἐπιτρέπει 'να φρονῶμεν ὅτι ἐμόναζε πρὸ τῆς ἐκλογῆς ὡς καὶ ἐτάφη ἐν τῇ μονῇ τῆς Χώρας, καίπερ ἀποβιώσας ἐν τῇ μονῇ τοῦ Καλλίου τῇ καὶ ἀλλως Καλέως ἢ Καυλέα[12].

Ὁ μακάριος Κοσμᾶς εἶχε τὸ γένος ἐκ Συρίας, ἀλλ' εἰς Κωνσταντινούπολιν ἦλθεν ἐξ Ἱεροσολύμων· ἠγάπα τὸν ἱερὸν ἄνθρωπον ὁ αὐτοκράτωρ Μιχαὴλ ὁ Δούκας διὰ τὴν ἀρετὴν αὐτοῦ. Ἐμόναζεν οὐ μακρὰν τῶν Βλαχερνῶν, ἐν τῇ μονῇ τῆς Χώρας, ὡς εἰκάζω, ἀπολαύων τοῦ γενικοῦ σεβασμοῦ[13].

Νικηφόρος ὁ Βρυέννιος, δόκιμος καὶ σύγχρονος σχεδὸν κριτὴς, ἀποκαλεῖ τὸν Κοσμᾶν *μέγαν καὶ περιβόητον*[14].

ꝛ

4. Ἡ σύναξις τῶν ἑβδομήκοντα ἀποστόλων.

Ἦν ἑορτὴ πάγκοινος.

* * *

4. Μνήμη τῶν ἁγίων μαρτύρων Χρυσάνθου καὶ Εὐφημίας τῆς πλησίον τοῦ ἁγίου Ἀκακίου.

Νεωτέρα τίς ἐστι πάντως ἡ Εὐφημία αὕτη· ἐπειδὴ δὲ οἱ Συναξαρισταὶ γράφουσι *κειμένης*, πρόκειται λοιπὸν οὐχὶ περὶ ναοῦ, ἀλλὰ περὶ τάφου νεοφανοῦς τινος ὁσίας ἀκμασάσης ἐν Κωνσταντινουπόλει. Ὁ δὲ Χρύσανθος οὐ φαίνεταί μοι συνακμάσας ἐν τῇ αὐτῇ πόλει.

* * *

4. Τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ νέου, τοῦ κειμένου πλησίον τοῦ ἁγίου Μωκίου.

Οὐ πρόκειται περὶ ναοῦ[15].

* * *

Τοῦ ὁσίου πατρὸς ἡμῶν Μιχαὴλ συγκέλλου τῶν Ἱεροσολύμων.

Ἔν τε τῷ Συναξαριστῇ καὶ τοῖς Μηναίοις γράφεται κακῶς ἡ μνήμη τοῦ ὁσίου Μιχαὴλ συγκέλλου τῇ 18 δεκεμβρίου καὶ δὴ διὰ τῶν λέξεων: *ὁ ὅσιος πατὴρ ἡμῶν Μιχαὴλ ὁ σύγκελλος καὶ ὁμολογητὴς ἐν εἰρήνῃ τελειοῦται* διότι οὕτω σημειοῦται ἡμέρα θανάτου τοῦ Μιχαὴλ ἡ πρώτη ἡμέρα τῆς δεκαπενθήμερον διαρκεσάσης ἀσθενείας αὐτοῦ.

Μιχαὴλ ὁ σύγκελλος ἐγεννήθη ἐν Ἱεροσολύμοις τῷ 763. Φίλος γενόμενος τοῖς γραπτοῖς ἀδελφοῖς Θεοφάνει καὶ Θεοδώρῳ, πρὸ τῆς εἰς τὴν Ἁγίαν πόλιν ὑπερορίας αὐτῶν ὑπὸ Θεοφίλου τοῦ εἰκονομάχου, συνανῆλθεν αὐτοῖς εἰς Κωνσταντινούπολιν φέρων ἐπιστολὴν πρός τε τὸν Λέοντα Ε' καὶ τὸν πατριάρχην Θεόδοτον τὸν Μελισσηνὸν ὑπὲρ τῶν ἁγίων εἰκόνων· ἀλλὰ περιορισθεὶς ἐπὶ μικρὸν ἐν τῇ Κωνσταντινουπόλει ἐστάλη κατόπιν ὑπερόριος ἔν τινι μοναστηρίῳ καὶ ἀνεκλήθη εἰς

11. βλέπε τινὰ περὶ τοῦ Κοσμᾶ ἐν τοῖς Πατριαρχικοῖς μου Πίναξι, σελ. 333-335.

12. ὅτι εἰς μίαν μονὴν ἀνήκουσιν αἱ τρεῖς ὀνομασίαι, λέγουσι καὶ αἱ σημειώσεις εἰς Ἄνναν Κομνηνήν· τόμ. Β', σελ. 479.

13. τελειοτέραν τῆς ἐν τοῖς «Πίναξιν» ἀναγραφὴν τῶν πράξεων τοῦ Κοσμᾶ παρατίθημι ἐν τῷ «Συμπληρώματι» τῶν πινάκων τούτων.

14. Νικηφόρος Βρυέννιος· Βόννης, σελ. 126.

15. ἐν τοῖς Μηναίοις οὐ σημειοῦνται κατὰ τὴν 4 ἰανουαρίου αἱ μνῆμαι Εὐθυμίου καὶ Εὐφημίας.

τὴν πρωτεύουσαν ὑπὸ Μιχαὴλ καὶ Θεοδώρας τῷ 842[16]. Πολλὰ παρακληθεὶς τότε, μετὰ τὴν καθαίρεσιν Ἰωάννου τοῦ πατριάρχου, 'να χειροτονηθῇ τῆς νέας Ῥώμης ἀρχιεπίσκοπος ἠρνήσατο τὴν τιμὴν, ὑπέδειξε δὲ τὸν ἱερὸν Μεθόδιον, ὅστις πατριάρχης χειροτονηθεὶς διώρισεν αὐτὸν ἅμα σύγκελλον αὐτοῦ καὶ ἡγούμενον τῆς σεβασμίας μονῆς τῆς Χώρας, βεβηλωθείσης ὑπὸ Κωνσταντίνου τοῦ Κοπρωνύμου. Κατ' αἴτησιν τοῦ Μιχαὴλ τούτου καὶ τοῦ πατριάρχου Μεθοδίου, ἡ Θεοδώρα μετὰ τοῦ υἱοῦ Μιχαὴλ ἀπέδωκαν τῇ μονῇ τὰ δημευθέντα κτήματα αὐτῆς[17]. Ὁ σύγκελλος Μιχαὴλ, ἀσθενήσας τῇ 18 δεκεμβρίου τοῦ 846 ἢ 847, ἀπεβίωσεν ἐν τῇ μονῇ ταύτῃ τῇ 4 ἰανουαρίου τοῦ ἑπομένου ἔτους.

Βιογραφίαν τοῦ συγκέλλου Μιχαὴλ γινώσκομεν μίαν[18], ἧς ἡ ἀρχὴ «Νόμος οὗτος ἦνθησε πάλαι παρ' Ἕλλησι καὶ μέγα τῷ χρόνῳ τὸ κράτος εἰλήφει». Καλλίστην δὲ βιογραφίαν, ἐπὶ τῇ βάσει τῶν λεχθέντων ὑπὸ τῶν τῷ Μιχαὴλ ὁμορόφων καὶ φίλων καὶ συγγενῶν ἔγραψέ τις μικρὸν μετὰ τὸν θάνατον τοῦ ὁσίου· ἧς ἡ ἀρχὴ «Τὰς τῶν ἀγαθῶν ἀνδρῶν ἀναγράπτους τίθεσθαι πράξεις» κτλ.[19].

ꝛ

5. Γρηγορίου τοῦ ἐν τῷ Ἀκρίτᾳ.

Τὰ παρὰ Νικοδήμῳ περὶ αὐτοῦ γραφόμενα εἰσί πως ἐσφαλμένα περὶ τὴν τῶν χρόνων ἀρίθμησιν. Ὁ ἱερὸς Γρηγόριος ἐγεννήθη ἐν Κρήτῃ τῷ 755, καὶ εἰς ἡλικίαν ἐτῶν εἴκοσιν ἐξ ἦλθεν εἰς Παλαιστίνην, ὕστερον δὲ, Νικηφόρου ποιμνιαρχοῦντος καὶ τὰ σκῆπτρα κατέχοντος τοῦ Ῥαγκαβὲ Μιχαὴλ, ἀνεχώρησεν εἰς Ῥώμην, δηλαδὴ κατὰ τὸ 812 ἢ 813· εἰς τὴν πόλιν ταύτην μετὰ μικρὸν μεταβὰς ὁ μητροπολίτης Συγάδων Μιχαὴλ ὁ ὁμολογητὴς καὶ εὑρὼν αὐτὸν παρέλαβεν εἰς Κωνσταντινούπολιν «καὶ τῇ εὐαγεστάτῃ μονῇ τῇ ἐν τῷ Ἀκρίτᾳ φέρων δίδωσι, τοῖς ἐκεῖσε συναριθμήσας».

Ἡ μονὴ τοῦ Ἀκρέτα ὑπῆρχεν ἄρα κατὰ τὰ πρῶτα ἔτη τοῦ Θ' αἰῶνος, ἴσως δ' ἦν αὐτὴ ἡ ἐπ' ὀνόματι τῆς Θεομήτορος, ἀρχῆθεν μὲν δικαίῳ πατριαρχικοῦ σταυροπηγίου τετιμημένη, μετὰ δὲ τὸν ΙΕ' αἰῶνα τῇ ἑαυτῶν ἐνορίᾳ ὑπὸ τῶν μητροπολιτῶν Χαλκηδόνος ὑπαχθεῖσα, καὶ πάλιν ἐν τοῖς πατριαρχικοῖς σταυροπηγιακοῖς ἀριθμηθεῖσα μοναστηρίοις ὑπὸ τοῦ πατριάρχου Τιμοθέου Β' μεταξὺ τῶν ἐτῶν 1612-1620[20]. Τὸ σταυροπηγιακὸν δίκαιον ἐπεκύρωσαν οἱ πατριάρχαι Κύριλλος ὁ Λούκαρις (1620-1623) καὶ μετ' αὐτὸν Ἄνθιμος ὁ Β' τῷ 1623. Πενίᾳ στενοχωρουμένην τὴν μικρὰν μονὴν ἐσφετερίσθησαν οἱ μητροπολῖται Χαλκηδόνος ἐπὶ βραχὺν χρόνον, μικρὸν δὲ πρὸ τοῦ 1730 ἀνῳκοδόμησεν αὐτὴν ἐκ βάθρων ἡ φιλογενὴς συντεχνία τῶν γουναράδων, ἀναθήμασι καὶ κτήμασι πλουτίσασα. Παΐσιος Β' ὁ πατριάρχης ἐχορήγησε τῇ μονῇ τῷ 1730 τὸ σταυροπηγιακὸν δίκαιον ἐπὶ τῇ βάσει τῶν παλαιῶν πατριαρχικῶν γραμμάτων, τότε σῳζομένων[21]. Οἱ κατόπιν μητροπολῖται Χαλκηδόνος καὶ πάλιν κατεπάτησαν τὰ πατριαρχικὰ σιγίλλια.

ꝛ

6. Ἡ βάπτισις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ ἁγιασμὸς ἐγίνετο κατὰ τὴν ἡμέραν ταύτην μεγαλοπρεπῶς ἐν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας· τὰ παλαιὰ Εὐχολόγια ὥριζον: *μετὰ τὴν λειτουργίαν ἁγιασμὸς, εἰ πατριάρχης εὑρίσκεται οἰκουμενικὸς, γίνεται παρ' αὐτοῦ· εἰ δὲ μὴ, παρά τινος τῶν ἑτέρων πατριαρχῶν, ἢ τοῦ Ἀλεξανδρείας, ἢ τοῦ Ἀντιοχείας, ἢ τοῦ Ἱεροσολύμων, ἐὰν ἐνδημῶν τύχῃ*[22].

16. «ἐν οἷς καὶ τὸν Μιχαὴλ, τῆς ἱεροσολυμιάδος ὁμηγύρεως σύγκελλον, ἅμα πολλοῖς ἀσκηταῖς φυλακαῖς ἐναπέκλεισε». Γενέσιος· Βόννης, σελ. 74. Theophanis Contin. σελ. 108.

17. Νικόδημος ὁ τοῦ Συναξαριστοῦ εὑρὼν ἐν χειρογράφοις ὅτι ὁ Μιχαὴλ ἔλαβε *τὴν μεγάλην μονὴν τῆς χώρας*, τοῦ χ μικροῦ σημειωθέντος, ἐστρέβλωσε τὴν ἱστορίαν γράψας: *λαμβάνει τὸ ἐκεῖ μεγαλώτατον μοναστήριον ὑπὸ τὴν ἐξουσίαν του καὶ πρὸς ἀνάπαυσίν του!*

18. Κατάλογος ὑπομνημάτων ἁγιολογικῶν· Migne, ΡΙΔ', στήλη 98.

19. συνεκδίδονται τῷ παρόντι πολλὰ σπουδαῖα κεφάλαια τῆς δευτέρας τῶν βιογραφιῶν, ἅτε χρήσιμα παντὶ φιλίστορι. Προστίθημι ὅτι τὰ παρὰ Oudini φερόμενα, ἐν στήλῃ 43-46 τοῦ Β' τόμου τῶν Commantarius de Scriptoribus Ecclesiæ antiquis εἰσιν ἀδόκιμα, καί μοι φαίνονται εἰς ἓν ἑνοῦντα πολλοὺς τῷ συγκέλλῳ Μιχαὴλ ὁμωνύμους.

20. ὅπου γράφω μόνον τὴν λέξιν: *πατριάρχης*, νοῶ τὸν τῆς Κωνσταντινουπόλεως.

21. αἱ εἰδήσεις ἐν γράμματι τοῦ πατριάρχου Παϊσίου Β', σῳζομένου ἐν χειρογράφῳ τῆς βιβλιοθήκης τοῦ Ἑλλ. Φιλ. Συλλόγου, ὑπ' ἀριθμ. 11. Μνεία γίνεται τῆς μονῆς ἐν τῷ συγγράμματί μου «Ἀκρίτας καὶ Τοῦζλα».

22. Morcelli, Calendarium, τόμ. Β', σελ. 13.

§

7. Ἡ σύναξις τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου καὶ βαπτιστοῦ Ἰωάννου.

Ἡ μνήμη παρὰ τῷ Βασιλειανῷ Μηνολογίῳ οὕτω· παρὰ δὲ Μαυρικίῳ προστίθεται: *συνέδραμε δὲ καὶ ἡ τῆς παντίμου τούτου χειρὸς πρὸς τὴν Κωνσταντινούπολιν εἰσέλευσις.*

Ἡ ἑορτὴ ἀρχαιοτάτη· φαίνεται δ' εἰσαχθεῖσα κατὰ τὸν Ε' αἰῶνα[23], καὶ δικαίως ἑωρτάζετο κατὰ τὴν ἐπομένην τῇ τῶν Θεοφανείων ἡμέρᾳ ἡ μνήμη τοῦ τῷ βαπτίσματι τοῦ Σωτῆρος ὑπουργήσαντος, ὡς ἑωρτάζετο τῇ τρίτῃ φεβρουαρίου ἡ μνήμη Συμεὼν τοῦ τὸν Λυτρωτὴν ἐν ἀγκάλαις δεξαμένου, ὡς ἑωρτάζετο κατὰ τὴν 26 μαρτίου ἡ σύναξις τοῦ ἀρχαγγέλου Γαβριὴλ τοῦ τῇ Θεομήτορι τὴν ὑπὲρ λόγον γέννησιν τοῦ Σωτῆρος εὐαγγελισαμένου[24].

Ἡ σύναξις ἐπὶ τῇ ἑορτῇ ταύτῃ ἐτελεῖτο ἐν τοῖς Φορακίου, ὀρθότερον δὲ Σφωρακίου, τοποθεσίᾳ, δῆλον οὖν, ἐν ᾗ ἠγείρετο ναὸς εἰς τιμὴν Ἰωάννου τοῦ βαπτιστοῦ.

Τὴν τιμίαν χεῖρα τοῦ Προδρόμου περὶ τὰ 956-957 διάκονός τις Ἰωὴ ἐκόμισεν ἐξ Ἀντιοχείας εἰς Κωνσταντινούπολιν[25]. Περὶ τῶν λοιπῶν τοῦ τιμίου Προδρόμου λειψάνων ἐν οἰκείοις τόποις γίνεται λόγος ὁ προσήκων[26].

Ναοὶ ἐπ' ὀνόματι τοῦ τιμίου Προδρόμου ἠγείροντο ἐν Κωνσταντινουπόλει καὶ τοῖς πέριξ σχεδὸν εἴκοσι, κατά γε τὰς ἀξιοπίστους μαρτυρίας:

α') ὁ ἐν τοῖς Σφωρακίου, πανηγυρίζων κατὰ τὴν ἡμέραν ταύτην, εἰ καὶ ὁ Συναξαριστὴς τοῦ Μαυρικίου γράφει, χωρὶς σημειώσεως ναοῦ, μόνον *ἐν τοῖς Φορακίου*. Ἡ τοποθεσία ὠνομάσθη ἀπὸ Σφωρακίου τοῦ πρὸ τῶν μέσων τοῦ Ε' αἰῶνος, ἐπὶ Θεοδοσίου Β', ἀκμάσαντος ὁμωνύμου πατρικίου, τοῦ καὶ τὸν ναὸν δῆθεν κτίσαντος· ἀτυχῶς ἡ μαρτυρία αὕτη ἀνήκει εἰς τὸν παραδοξογράφον Κωδινὸν τὸν κουροπαλάτην[27], οὗ τὰ λεγόμενα συνεπλήρωσε δῆθεν ἕτερός τις, γράψας τὸν ναὸν τοῦτον τοῦ Προδρόμου τυγχάνοντα ναὸν τοῦ Θεολόγου· ἴσως τὸ χειρόγραφον, ὅπερ εἶχεν ὑπ' ὄψιν ὁ ἄνθρωπος οὗτος, ἔγραφε: *τὸν ΠΑΡΑ ΤΟΝ ναὸν τοῦ Θεολόγου τυγχάνοντα*. Ὁ ἐν τοῖς Σφωρακίου ναὸς ἔκειτο πλησίον τῆς Ἁγίας Σοφίας[28].

β') ὁ τῆς περιωνύμου μονῆς τοῦ Στουδίου, περὶ ἧς ἐν οἰκείῳ χώρῳ·

γ') ὁ ἐν τῷ Ἑβδόμῳ, κείμενος ἔξω τῆς πόλεως, ἐγερθεὶς ὑπὸ Ἰουστινιανοῦ Α', ἢ ἴσως ἀνοικοδομηθεὶς ὑπ' αὐτοῦ, κατὰ δὲ τὴν μεγαλοπρέπειαν καὶ τὴν διακόσμησιν ὅμοιος τῷ ἐν Ἀνάπλῳ ναῷ τοῦ ἀρχαγγέλου Μιχαήλ· ὁ ναὸς οὗτος οὐκ ἦν ἐπιθαλάσσιος[29]· ἀναφέρεται ὑπάρχων τῷ 602[30]. Βασίλειος ὁ Μακεδὼν ἐρείπιον αὐτὸν ὄντα ἐκ βάθρων ἐνεούργησεν[31]. Ἀμφίβολον ὅτι ἐκτίσθη ὑπὸ Θεοδοσίου τοῦ Α'[32].

---

23. Φιλαρέτου Βαφείδου Ἐκκλησ. Ἱστορία· τόμ. Α', σελ. 313, ὅπου οὐδεμίαν βλέπει τις εἰδικὴν παραπομπήν.

24. ταυτὰ λέγει καὶ Nilles ἐν Calendar. Utr. Ecclesiæ, τόμ. Α', σελ. 56-62 καὶ 127.

25. τὸ Βασιλειανὸν λεγόμενον Μηνολόγιον, μὴ μιμνησκόμενον τῆς εἰς Κωνσταντινούπολιν εἰσελεύσεως τῆς τιμίας χειρὸς τοῦ Προδρόμου, δῆλόν ἐστι συνταχθὲν πρὸ τοῦ 956, δῆλον οὖν ἐπὶ Κωνσταντίνου Πορφυρογεννήτου.

26. βλ. ἐν τῷ μετὰ χεῖρας συγγράμματι εἰς τὴν 24 φεβρουαρίου, εἰς τὴν 29 αὐγούστου, καὶ εἰς τὴν 23 ὀκτωβρίου.

27. Κωδινὸς κουροπαλάτης· Βόννης, σελ. 82. Bandurii, Imperium Orientalis, ἐκδόσ. Βενετίας, 1729, σελ. 11, ἔνθα τὰ Πάτρια Κωνσταντινουπόλεως γράφουσιν ὅτι τὸν τοῦ Προδρόμου ναὸν ὁ Σφωράκιος ἔκτισεν ὄπισθεν τοῦ ἱεροῦ βήματος τοῦ ναοῦ τοῦ ἁγίου Θεοδώρου· βλ. Κωδινὸν, αὐτόθι.

28. ὁ μακαρίτης Ἀλ. Γ. Πασπάτης ἔθηκε τὰ Σφωρακίου περὶ τὸ σήμερον Βεφᾶ-μεϊδάν· φαίνεται μᾶλλον ἡ συνοικία Σφωρακίου κειμένη πλησιέστερον τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας· γνωστὸν ὅτι πλησίον αὐτοῦ ἦν ναὸς Ἰωάννου τοῦ Θεολόγου· ὁ δὲ Σκαρλᾶτος Βυζάντιος ἐν τῷ Α' τόμῳ τῆς «Κωνσταντινουπόλεως» αὐτοῦ, σελ. 550, καίπερ γινώσκων ἀπὸ τῆς τοῦ Δουκαγγίου Constantinop. Christ. (σελ. 96 τῆς ἐκδόσεως Βενετίας, βιβλ. Δ') ὅτι, κατά τινα νεαρὰν Ἰουστινιάνειον, ἦσαν ἡνωμένοι οἱ ναοὶ τῆς ἁγίας Εἰρήνης, τῆς ἁγίας Θεοτόκου καὶ τοῦ ἁγίου Θεοδώρου ἐν τοῖς Σφωρακίου, μετέθηκε τὰ Σφωρακίου ἐν ᾧ τόπῳ καὶ ὁ Πασπάτης (Βυζαντιναὶ Μελέται· σελ. 314-316) καὶ μετ' αὐτοὺς ἐγώ· ἄρθρ. *Κωνσταντινούπολις* ἐν τῷ τοῦ «Νεολόγου» Λεξικῷ Ἱστορίας καὶ Γεωγραφίας· τόμ. Δ', σελ. 957. Ἂν δὲ, καθὼς ἄνω γράφω, διορθώσωμεν τὸ παρὰ Δουκαγγίῳ κείμενον περὶ τοῦ ΠΑΡΑ ΤΟΝ *Θεολόγον* ναοῦ τοῦ Προδρόμου ἐν τοῖς Σφωρακίου, οὐδεμίαν ἀμφιβολίαν ἔχομεν ὅτι τὰ Σφωρακίου μετὰ τοῦ ναοῦ τοῦ Προδρόμου ἔκειντο παρὰ τῇ μεγάλῃ ἐκκλησίᾳ. Βλ. τοῦ πολυμαθοῦς ἰατροῦ Mordtmann τὸ Esquisse topographique de Constantinople, ἐν Λύλῃ, 1892, σελ. 67-68 καὶ 70.

29. Προκοπίου περὶ τῶν Ἰουστινιανοῦ τοῦ δεσπότου κτισμάτων· Βόννης, σελ. 198.

30. Θεοφ. Α', σελ. 447.

31. Theophanis Continuati, σελ. 340.

32. βλ. περὶ τούτου εἰς τὴν 24 φεβρουαρίου.

δ') ὁ τοῦ Προδρόμου τῶν Δανιὴλ, κείμενος πλησίον τοῦ ναοῦ τοῦ ἁγίου Μωκίου, ἐν Ἐξωκιονίῳ, καὶ κτισθεὶς ὑπὸ Μαρκιανοῦ πρεσβυτέρου κατὰ τὰ μέσα τοῦ Ε' αἰῶνος[33].

ε') ὁ ἐν τῇ μονῇ τῶν Αἰγυπτίων, οὗ μακρὰν τῶν Βλαχερνῶν κείμενος, ἐν ᾧ κατετέθη τὸ λείψανον τοῦ ὁσίου Παταπίου[34]. Μικρῷ πρὸ τῶν μέσων τῆς Ϛ' ἑκατονταετηρίδος ἐσῴζετο ὁ ναὸς ἢ μᾶλλον ἡ μονὴ τῶν Αἰγυπτίων, ἧς ἡγούμενος ἀναφέρεται Κυρίων ἐπὶ τοῦ πατριάρχου Μηνᾶ τῷ 536. Ἠγέρθη πρὸ τῆς αὐτοκρατορίας Ζήνωνος[35], παρὰ τὸ ἐπὶ τῇ θαλάσσῃ τεῖχος τῶν Βλαχερνῶν·

Ϛ') ὁ ναὸς ὁ ἐν τῇ μονῇ τοῦ ὁσίου Βάρα, κτισθεὶς πρὸ τοῦ Ζήνωνος ἐκ πλίνθων καὶ ξεστῶν λίθων, ἐρείπιον δὲ γενόμενος καὶ κατὰ τοὺς χρόνους Ἀναστασίου τοῦ Θρᾳκὸς ἀνοικοδομηθεὶς ὑπὸ τοῦ Βάρα τούτου[36]· τῷ ναῷ ἐδωρήσατο γαίας ἐκτεταμένας ὁ Ἀναστάσιος[37]· ὡς φρονεῖ δ' ὁ ἰατρὸς Mortdmann, ἡ τοῦ Βάρα μονὴ πάντως ἐστὶν ἡ τοῦ Προδρόμου τῆς Πέτρας, ἥτις ἦν μοναχῶν ἔρημος κατὰ τὴν ΙΓ' ἑκατονταετηρίδα, μεθ' ἣν περὶ τοὺς διακοσίους συνήχθησαν μοναχοί, ὧν μεταξὺ κατὰ τὰ τέλη τοῦ ΙΔ' καὶ ῥῶσσοι δῆθεν ἐμόναζον. Περὶ τὰ μέσα τοῦ ΙϚ' αἰῶνος ἦν μονὴ γυναικεία, μετὰ ταῦτα δὲ περιῆλθεν εἰς τὴν κυριότητα τῶν ἡγεμόνων τῆς Μολδαυίας, ἧς ὁ ἡγεμὼν Ἰωάννης Θεοδώρου Καλλιμάχης ἀφιέρωσεν αὐτὴν εἰς τὴν μονὴν τοῦ ἁγίου Παντελεήμονος, ἤτοι τὴν ἐν Ἁγίῳ Ὄρει ῥωσσικὴν μονὴν «ἐπὶ τῷ παρὰ τῶν ὁσιωτάτων πατέρων διακυβερνᾶσθαι καὶ διεξάγεσθαι διὰ παντός»[38]. Ἡ κατὰ τὸν ἡμέτερον αἰῶνα τοῦτον τύχη τῆς μονῆς ἄγνωστος. — Εὐρωπαῖος περιηγητὴς καὶ τις προσκυνητὴς ῥῶσσος εἶδον τῷ 1403 καὶ τῷ 1420 ἐν τῇ μονῇ 1) τὴν ἐσθῆτα τοῦ Σωτῆρος, τὴν λόγχην, τὸν κάλαμον, τὸν σπόγγον καὶ τὴν χολήν· 2) ἕνα τῶν ἄρτων τῶν ἐν τῷ Μυστικῷ δείπνῳ· 3) τεμάχιον τοῦ λίθου, ἐφ' οὗ κατατεθεὶς ἐσμυρνίσθη ὁ Σωτήρ· 4) τρίχας ἐκ τῆς κεφαλῆς τῆς Θεομήτορος· 5) λείψανον τῆς ἀριστερᾶς χειρὸς τοῦ Προδρόμου· 6) τὸ αἷμα τὸ ῥεῦσαν ὑπερφυῶς ἀπὸ τῆς ἐν Βηρυτῷ θαυματουργοῦ εἰκόνος τοῦ Θεανθρώπου[39]. — Ὁ μακαρίτης Α. Γ. Πασπάτης ψευδῆ τινα γράφει περὶ τοῦ ναοῦ τούτου[40], ἐν ᾧ δυστυχῶς εἰσελθὼν οὐδαμῶς προσέσχεν εἰς τὴν ὕπαρξιν δύο ναῶν ἐπαλλήλων[41]. Μετὰ τὸν ΙΓ' αἰῶνα τοσοῦτον ἐπιφανὴς ἀπεδείχθη ἡ μονὴ τοῦ Προδρόμου τῆς Πέτρας, ὥστε καὶ ἕτεραι μοναὶ ἀναφέρονται γνωριζόμεναι διὰ τοῦ ὀνόματος τούτου· ὡς ἡ τοῦ Διονυσίου ἐν Ἁγίῳ Ὄρει[42] καὶ ἡ ἐν Θεσσαλίᾳ[43]. Νομίζω ὅτι ἡ τῆς μονῆς τοῦ Προδρόμου τῆς Πέτρας ἱστορία λήγει τῷ 1564, ὅτε ὁ πατριάρχης Κωνσταντινουπόλεως Ἰωάσαφ Β' ὁ Μεγαλοπρεπὴς ἠγόρασε τὰ ριπίδια τοῦ ναοῦ[44].

---

33. ἀνάγνωθι ἐν βιογραφίᾳ Μαρκιανοῦ οἰκονόμου τῇ 10 ἰανουαρίου.

34. Ἀνδρέου Κρήτης λόγος εἰς ὅσιον Πατάπιον· Migne, τόμ. γΖ', στήλη 1233. Ὁ ναὸς τῶν Αἰγυπτίων ἐκτίσθη κατὰ τὰ τέλη τῆς Ε' ἢ τὰς ἀρχὰς τῆς ΣΤ' ἑκατονταετηρίδος· ἴσως ἀπὸ τῆς αὐτόθι τοῦ Παταπίου διαμονῆς ὠνομάσθη τῶν Αἰγυπτίων ἡ μονὴ, διότι ὁ Πατάπιος ἦν ἐκ Θηβῶν τῆς Αἰγύπτου. Βλ. Ἀνδρέου Κρήτης λόγον, ἔνθα ἀνωτέρω, στήλη 1217.

35. βλ. βιογρ. Παταπίου, τῇ 9 δεκεμβρίου.

36. σελ. 44 τῶν «Ἑλληνικῶν Ἀνεκδότων» τῶν ὑπὸ τοῦ καθ' ἡμᾶς Ἑλλην. Φιλολ. Συλλόγου τῇ *Μαυροκορδατείῳ Βιβλιοθήκῃ* συνεκδιδομένων· ἐν Κωνσταντινουπόλει, 1884.

37. αὐτόθι, σελ. 45· αἱ γαῖαι, μοδίου περίμετρον ἔχουσαι, ἐπὶ μακροὺς χρόνους ἐκαλοῦντο *Μόδιοι*.

38. Μ. Ι. Γεδεών, Ὁ Ἄθως· ἐν Κ/πόλει, 1885, σελ. 195. Φαίνεται δ' ὅτι τὴν δωρεὰν ταύτην ἐπεκύρωσαν καὶ νεώτερα χρυσόβουλλα τῶν ἡγεμόνων Μολδαυΐας Γρηγορίου Ἰω. Καλλιμάχη, κατὰ ἰανουάριον τοῦ 1762, Γρηγορίου Ἀλεξάνδρου Γίκα, κατ' ἀπρίλιον 1765, Ἀλεξάνδρου Καλλιμάχη, ἀπὸ ἰουλίου 1795, καὶ Σκαρλάτου Καλλιμάχη, τῷ 1814. Langlois, Mont Athos· ἐν Παρισίοις, 1867, σελ. 83-84.

39. ἀνάγνωθι τὴν περὶ τῆς μονῆς τοῦ Προδρόμου τῆς Πέτρας καλλίστην διατριβὴν τοῦ ἰατροῦ A. Mordtmann ἐν Ἀρχαιολογ. παραρτήματι τοῦ ΙΘ' τόμου τοῦ Ἑλλ. Φιλ. Συλλόγου· σελ. 3-9.

40. Βυζαντ. Μελέται· σελ. 361, καὶ κυρίως ἐν τοῖς στίχοις 19-21.

41. τὸ κτίζειν ναοὺς ἐπαλλήλους ἦν ἐν χρήσει παρ' ἡμῖν ἀπὸ τοῦ ΣΤ' αἰῶνος, τουλάχιστον ἐν Ἀμασείᾳ: «Οἶκον εὐκτήριον τοῦ ἀρχαγγέλου (μετὰ τὸ 565) *διὰ τὸ εἶναι αὐτὸν ἐν ἀναγωγαῖς, τὸ δὲ κατώγειον μέγαν οἶκον εὐκτήριον* τῆς ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου»· βίος Εὐτυχίου Κωνσταντινουπόλεως, ὑπὸ Εὐστρατίου πρεσβυτέρου· Migne, ΠΣ', στήλη 2336.

42. Langlois, ἔνθ' ἀνωτ. σελ. 67.

43. Acta monasteriorum, τόμ. Α', σελ. 357-82· Ἔκθεσις ἐπὶ τῶν ὑπὸ τοῦ Ἑλλην. Φιλολογ. Συλλόγου τεθέντων διαγωνισμάτων Ἠπείρου καὶ Θεσσαλίας, ἀναγνωσθεῖσα ὑπὸ Σ. Ἀριστάρχου, εἰσηγητοῦ, τῇ 9 μαΐου 1865· ἐν Κωνστ/πόλει, 1865, σελ. 49.

44. Μ. Ι. Γεδεών, Χρονικὰ τοῦ πατριαρχικοῦ οἴκου καὶ τοῦ ναοῦ· ἐν Κωνστ/πόλει, 1884, σελ. 148.

ζ΄) ὁ ναὸς ὁ ἐν Μακεδονιαναῖς, οὗ τὸ πλεῖον μέρος ἀνῳκοδόμησε Βασίλειος ὁ Μακεδών[45].

η΄) ὁ ἐν τῇ Στροβιλαίᾳ, ὅστις ἦν ἐρείπιον κατὰ τὸν Θ΄ αἰῶνα· διὸ Βασίλειος ὁ Μακεδὼν ἤγειρεν αὐτὸν ἐκ βάθρων[46].

θ΄) ὁ πλησίον τοῦ Ταύρου, μέρους δῆλον οὖν, ὅπερ ὠνομάσθη προδήλως ἀπὸ τοῦ κατὰ τὸ 360-361 ὑπάτου τῆς νέας Ῥώμης Ταύρου[47].

ι΄) ὁ τοῦ Οὐάλεντος, ὅστις ἀγνοοῦμέν που τῆς πόλεως ἔκειτο· τούτου γινώσκομεν ἀντιπρόσωπον τὸν ἀβδᾶν Μαρτύριον ἐν τῇ ἐπὶ Μηνᾷ συνόδῳ[48].

ια΄) ὁ ἐν τῷ Τρούλλῳ, οὐ μακρὰν τοῦ ναοῦ τῆς Παμμακαρίστου· τοῦτον ὁ πατριάρχης Γεννάδιος ὁ Σχολάριος, ἤτοι τὸν τῆς Παμμακαρίστου, τῷ 1455 καταστήσας πατριαρχικὸν ἐξεδίωξε τὰς ἐν αὐτῷ καλογραίας, ἃς συνήλασεν ἐν τῷ ναῷ τοῦ Προδρόμου ἐν τῷ Τρούλλῳ, ὅστις διετέλεσε κατοικητήριον μοναζουσῶν μέχρι τοῦ 1575 ἴσως[49].

ιβ΄) ὁ παρὰ τὸν αἰγιαλὸν τῆς Βασιλικῆς πύλης, ἤτοι τῆς νῦν πύλης τοῦ Μπαλατᾶ, κτισθεὶς ἐν τέλει τοῦ ΙΔ΄ αἰῶνος ὑπὸ τοῦ πρεσβυτέρου Νικολάου Χρησίμου· ὁ ναὸς οὗτος ἀναφέρεται ἐν ἀρχαῖς καὶ τοῦ ΙΕ΄ αἰῶνος[50], ὑπῆρχε δὲ καὶ μετὰ ταῦτα μέχρις ἡμῶν, ὅς ἐστι τὸ Σιναϊτικὸν νῦν μετόχιον. Τῶν τυχῶν τοῦ ναοῦ τούτου δίδωσιν ἡμῖν ἰδέαν τινὰ πατριαρχικὸν γράμμα Διονυσίου Δ΄ τοῦ Μουσελίμη[51].

ιγ΄) τὸ εὐκτήριον τοῦ Προδρόμου κείμενον ἐκ δεξιῶν τοῦ ναοῦ τῆς Ἁγίας Τριάδος τὰ Σταυρακίου[52], σῳζόμενον ἐν τῷ Ι΄ αἰῶνι·

ιδ΄) ὁ ἅγιος Ἰωάννης τὸ Ξηροκήπιον, ἀναφερόμενον κατὰ τὸν αὐτὸν αἰῶνα[53]· τὸν ναὸν τοῦτον ὁ ἰατρὸς Mordtmann ἔσπευσέ πως ὁρίζων ὡς κείμενον περὶ τὸ τέμενος Σελιμιέ[54].

ιε΄) ὁ εἰς τὴν Ὀξίαν, πλησίον τῶν Δομνίνου Ἐμβόλων[55], ἄρα οὐ μακρὰν τοῦ ναοῦ τῆς ἁγίας Ἀναστασίας[56].

ις΄) ὁ τῆς μονῆς τοῦ προδρόμου καὶ βαπτιστοῦ τῆς ἐν τῷ Καλῷ-Ἀγρῷ διακειμένης ἐν τῇ βιθυνικῇ παραλίᾳ τῇ ἀπὸ Φενὲρ-μπαγτζὲ μέχρι Καρτα-λιμένος[57].

ιζ΄) ὁ τῆς μονῆς τοῦ ἁγίου Ἰωάννου ἐν τῷ Μικρῷ-βάθει, ἴσως ἐντὸς τῆς πόλεως[58].

ιη΄) ὁ ἔσωθεν τῆς πύλης Μυριάνδρου, δῆλον οὖν Ἐδιρνέκαπι τῆς σήμερον, οὖσα γυναικεία μονὴ μέχρι τοῦ 1637, καὶ κατὰ τὸν ἀείμνηστον Δοσίθεον Ἱεροσολύμων[59], κείμενος ἔνθα σήμερον ἐγείρεται τὸ τέμενος Βαϊρὰμ πασᾶ·

ιθ΄) ὁ ἐν τῇ μονῇ τῶν Δαλμάτων, οὗ μνείαν εὑρίσκομεν ἐν βιογραφίᾳ τῶν ὁσίων Ἰσαακίου, Δαλμάτου καὶ Φαύστου, νῦν πρῶτον ὑπ' ἐμοῦ ἐκδιδομένῃ·

κ΄) ὁ τῆς ἐν Ἀντιφίλῳ μονῆς περί που τοὺς πρόποδας τοῦ βουνοῦ τοῦ Αὐξεντίου (νῦν Καϊσδαγ), ὡς ἐν ἀνεκδότῳ βιογραφίᾳ τοῦ ὁσίου τούτου φαίνεται· ἴσως ἦν διάφορος τοῦ ἐν τῷ Καλῷ Ἀγρῷ, ἴσως ἦν ὁ αὐτός.

κα΄) Ναοὶ δὲ τοῦ Προδρόμου, περὶ ὧν ἔξεστιν ἀμφιβάλλειν, εἰσίν: 1) ὁ *εἰς τὰ Κυθίλια*, ὃν ὁ διδάκτωρ A. Mordtmann τίθησι περὶ τὸν λιμένα τῶν Σοφιῶν (τανῦν Κάτεργαλιμὰν)[60], 2) ὁ *ἐν τῷ Ὡρολογίῳ*, 3) ὁ *εἰς τὰ καλούμενα Ἰλλοῦ*, 4) ὁ *Πρόδρομος ἡ παλαιά*· περὶ τοῦ τελευταίου τούτου γράφουσιν οἱ παραδοξολόγοι[61] ὅτι τοῦτον ἤγειρεν ὁ μέγας Κωνσταντῖνος, *τὸ δὲ κτίσμα ἠκοίμβιζεν εἰς τὸ χερσαῖον τεῖχος*, ἐξηγοῦντος τοῦ μυθολόγου Κωδινοῦ τὴν λέξιν *παλαιὰν* διὰ τῆς λέξεως *πόρτας*· ὑπονοῶ ὅτι τὰς λέξεις *Πρόδρομον τὴν παλαιὰν* τὰ χειρόγραφα παρέδωκαν ἐλλιπῆ, καὶ ὅτι δέον προσθεῖναι παρ' αὐτῇ τὴν λέξιν *Πέτραν*, ὅπως οὕτως εὐοδωθῇ καὶ ἡ ὑπὸ Βάρα ἀνεύρεσις ἀρχαιοτέρου ναοῦ, περὶ οὗ ἐν § Σ΄ γράφω· καὶ 5) ὁ *Πρόδρομος εἰς τὰ Πρόβου*, κτισθεὶς δῆθεν ὑπὸ Πρόβου συγκλητικοῦ, ἑνὸς τῶν ἐκ Ῥώμης εἰς Κωνσταντινούπολιν ὑπὸ τοῦ Μ. Κωνσταντίνου μετοικισθέντων[62].

Ἡ τιμία χεὶρ τοῦ Προδρόμου

μακρᾶς ἱστορικῆς ὑπομνήσεως ὑπόθεσις ἐγένετο τῷ Θεοδώρῳ Δαφνοπάτῃ, ἀκμάσαντι μικρὸν μετὰ τὴν εἰς Κωνσταντινούπολιν εἰσέλευσιν τοῦ τιμίου λειψάνου. Τῆς ὑπομνήσεως ταύτης ἐν οὐκ ἀκριβεῖ λατινικῇ μεταφράσει σωζομένης (ἐν Πατρολογ. ἑλλην. Migne, τόμ. PIA΄, στήλῃ 611-620) τὸ πρωτότυπον ἑλληνικὸν κείμενον μελετήσας ἐν τῷ ὑπ' ἀριθμὸν ΙΓ΄ μεμβρανίνῳ διστήλῳ κώδηκι τῆς ἐν Ἁγίῳ Ὄρει ἱερᾶς μονῆς τοῦ Παντοκράτορος, ἀπήνθισα τὰ χρησιμώτερα μέρη αὐτοῦ καὶ ταῦτα παρατίθημι, σημειῶν, ὡς καὶ ἐν ἑτέροις κειμένοις διὰ μὲν τοῦ πρώτου ἀριθμοῦ τὸ φύλλον, διὰ δὲ τοῦ α ἢ β τὴν ἔμπροσθεν καὶ τὴν ὄπισθεν ὄψιν τοῦ φύλλου καὶ διὰ τοῦ παρὰ τὸ α ἢ β ἀριθμοῦ 1 ἢ 2 τὴν στήλην. Ὁ τοῦ Δαφνοπάτου λόγος οὗτος ἄρχεται «Ἰδοὺ καὶ πάλιν ἡμῖν ὁ ἱερὸς τοῦ Χριστοῦ ἐπεδήμησε Πρόδρομος» καὶ λήγει «καὶ πᾶς ὁ εἰς τὸν κόσμον ἐρχόμενος φωτίζεται ἄνθρωπος· ὅτι αὐτός ἐστιν ὁ φωτισμὸς καὶ ἱλασμὸς τοῦ ἀνθρωπίνου γένους» (ἀπὸ φύλλου 163β1-175α2). Τὰ ἡμῖν χρήσιμα μέρη τοῦ κειμένου εἰσὶ ταῦτα:

1661 «Ἡρῴδης ὁ παιδοκτόνος ..... (α2) πόλιν ἐδείματο, οὐ πολλῷ ἄπωθεν Ἱεροσολύμων ἀπῳκισμένην, ἀλλ' ὅσον ἡμέρας ἐπιμετρεῖν οἵδε διάστημα, Σεβαστὴν ταύτην ἐπονομάσας. Ἐν ταύτῃ ὁ μετ' ἐκείνου * ἄρξας τετράρχης Ἡρῴδης τοὺς ἀνακτορικοὺς ὑπεπήξατο δόμους, ἐν οἷς καὶ ὁ προφητοκτόνος πότος ἐκεῖνος συνετελέσθη ..... οὗ καὶ κατὰ τὸ πλάγιον, τὸ τοῦ κήρυκος τῆς ἀληθείας τεθάφθαι σῶμα διαφημίζουσιν, ἔνθα καὶ προϋπάρχειν τά(1661β)φον ἕτερον τοῦ προφήτου λέγουσιν Ἐλισσαιὲ ..... ἐν οἷς καὶ ναὸς ὑπερμεγέθης καὶ τοῖς περὶ αὐτὸν θαύμασι καὶ κάλλεσι τὸ ἀσύγκριτον ἔχων πάλαι διῳκοδόμητο **, οὗ τῷ χρόνῳ τῆς σκέπης διαρρυείσης ἐν ὑπαίθρῳ τὰ τούτου καταλελεῖφθαι οἰκοδομήματα, ἑνὸς μόνου δωματίου ἀβλαβοῦς διαμεμενηκότος καὶ ἱερῶν σκευῶν φυλακτήριον χρηματίζοντος, ἐν ᾧπερ αἱ τῶν προφητῶν σωροὶ συγκλειόμεναι τὸ ἀσφαλὲς ἐτήρουν ἀνάλωτον. Τοῦ δὲ εὐαγγελιστοῦ Λουκᾶ τὰς ἁπανταχοῦ περινοστοῦντος χώρας, ἐπείπερ καὶ εἰς τὴν Σεβαστὴν πόλιν ἦκε περιοδεύων, πόθῳ τῆς Ἀντιόχου βαλλόμενος πόλεως, ὡς ἐκ ταύτης καὶ φῦς καὶ γενόμενος, ἦν μὲν αὐτῷ σπουδὴ ὁλόκληρον ἐκεῖνο τὸ ἱερὸν ἀ(β2)νελέσθαι τοῦ Προδρόμου σῶμα, ὡς δὲ οὐχ οἷός τε ἦν, διὰ τὸ εὐφώρατον, τὴν δεξιὰν ὑφελόμενος χεῖρα πρὸς τὴν ἑαυτοῦ φέρων ἦγαγε πόλιν..... Ἔκειτο γοῦν ἡ χεὶρ ἐξ ἐκείνου καιροῦ παρὰ τοῖς ἀντιοχεῦσι τιμωμένη. Ἰουλιανοῦ δὲ τῶν τῆς βασιλείας οἰάκων δραξαμένου..... (1671) οἱ τῆς χριστιανῶν μοίρας τὴν ἱερὰν τοῦ Προδρόμου χεῖρα κρυφίως ἔν τινι πύργῳ τῆς πόλεως, Γωνίᾳ καλουμένῳ, ἐγκαθεῖρξαι σπουδὴν ἔθεντο. Ὁ μέν τοι τοῦ ἀρχιερατικοῦ θρόνου τῶν Ἱεροσολύμων ἐπειλημμένος, ... σπουδὴν καταβάλλεται μεγίστην ὥστε τὸ τοῦ Προδρόμου ἱερώτατον σκῆνος τῆς σοροῦ ἀνελόμενος τῇ (α2) Ἀλεξανδρέων παραπέμψαι πόλει φυλαχθησόμενον, ἑτέρῳ κοινῷ σώματι καὶ νεκρῷ τὴν ἀντὶ τούτου ἀναπληρώσας κατάθεσιν. Ὡς δὲ πάντα περιερευνησάμενος ὁ δυσσεβὴς ἀδυνάτοις ἐπεχείρει, τῆς χειρὸς ἀφανῶς κεκρυμμένης, κατὰ τοῦ λοιποῦ λυτήσας προφητικοῦ σώματος, τοὺς ἐρευνήσοντας εὐθὺς ἕως Ἱεροσολύμων ἐξέπεμπε τὸ τοῦ Προδρόμου σκῆνος ἔργον ποιησομένους πυρός· οὗ καὶ εἰς πέρας ἐληλυθότος καὶ τοῦ ἀντιταφέντος κοινοῦ σώματος ὑπὸ τῶν ἀπεσταλμένων κατατεφρωθέντος, ἐκεῖθεν ἀναζεύξας, κατὰ Ἐδέσσης τὴν πολιορκίαν ἀντεπῆγεν ..... (1671) Ὡς οὖν.... χριστιανοῖς ἐδίδοτο παρρησία, ἦν μὲν ἡ τιμία χεὶρ τοῦ Προδρόμου ἄγνωστος τοῖς τὴν Ἀντιόχου κατοικοῦσι πόλιν, οὐκ εἰς μακρὰν δὲ διὰ θειοτέρας ὁράσεως ἀνεκαλύπτετο ἔνθα περ ἦν κρυπτομένη· ἣν καὶ πιστῶς ἐκεῖθεν ἀνελόμενοι, τῆς περὶ αὐτὴν τιμῆς ἁπλήστως ἀντείχοντο. Χρόνων δὲ οὐκ ὀλίγων διαρρυέντων, βασιλεὺς Ἰουστινι(β2)ανὸς ἔδρασέ τι τοιοῦτον· τὴν θαυματουργὸν ταύτην δεξιὰν τοῦ Προδρόμου ἐξ Ἀντιοχείας καὶ τὸν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν χιτῶνα, τὸν ἐν Μαρατ-σμέρῃ τῇ πόλει, καὶ τὴν ἐξ Ἐμέσσης πάντιμον κεφαλὴν πρὸς τὴν βασιλεύουσαν μετηνέγκατο, ἃ τῇ σφραγῖδι τοῦ ἐν ἁγίοις βασιλέως Κωνσταντίνου σεσημειωμένα ἐδείκνυτο, πρὸς τὸ μή τι ἐκ τούτων ὑπὸ τῶν ἀσταζομένων παρασωθείη. Τῶν οὖν σφραγίδων περιαιρεθεισῶν, τὸν ἐν τῷ Ἑβδόμῳ παρ' αὐτοῦ δομηθέντα τοῦ Προδρόμου ναὸν διὰ τοῦ δεσποτικοῦ χιτῶνος καὶ τῶν τοιούτων ἁγιάσας καὶ ἐνθρονίσας λειψάνων, πάλιν ταῖς οἰκείαις ἐπισημάναις σφραγῖσι πρὸς τὰ ὄπισθεν ἀνῆλθον ἐξέπεμπε, μόνην τὴν προφητικὴν δεξιὰν ἀσήμαντον καταλελοιπώς, ἅτε καὶ μύροις (1681) ὑπαλειφομένην· καὶ κατὰ τὴν

---

45. Χρονογραφία ἐκ προστάγματος τοῦ Πορφυρογεννήτου. Continuati, σελ. 323.

46. τῆς αὐτῆς Χρονογρ. σελ. 323. Ἴσως ὁ τῆς Στροβιλαίας ἦν τὸ σήμερον Σινὰν πασσᾶ μεσδζιτὶ παρὰ τὸ Ἁγιὰ καπισί.

47. Χρον. Πασχάλιον, σελ. 545· βλέπε καὶ ἔμπροσθεν: εἰς τὴν 11 Ἰανουαρίου· σημείωσαι δ' ὅτι ὁ Δουκάγγιος τὸ *Ταύρου* εὗρε γεγραμμένον, οὐ καλῶς, *Τάφου*, καὶ κατ' αὐτὸν ἔγραψα κ' ἐγὼ ἐν ἄρθρῳ *Κωνσταντινουπόλει* Λεξικοῦ Ἱστορίας καὶ Γεωγραφίας.

48. Δουκαγγίου Constantin. Christiana· ἐκδόσεως Βενετίας, σελ. 69 Δ΄ μέρους.

49. Πασπάτη Βυζαντιναὶ Μελέται, σελ. 303.

50. Acta Patriarch. Constant. τόμ. Β΄, σ. 391.

51. μεταγραφὲν ἐκ τοῦ Α΄ κώδηκος τοῦ Γραμματοφυλακείου τοῦ Οἰκουμενικοῦ Πατριαρχείου, σελ. 470-472, ἐκδίδοται προσεχῶς ἐν «Ἡμερολογίῳ Κωνσταντινουπολίτου πανηγυριστοῦ».

52. Πορφυρογ. Ἔκθ. σελ. 647.

53. Πορφυρογεν. αὐτόθι, σελ. 532.

54. Esquisse topograph. σελ. 72 στήλῃ β΄, 73 α΄. Τὰ παρὰ Πορφυρογεννήτῳ ἥκιστα δύνανται ἵνα ὁδηγήσωσιν ἡμᾶς πρὸς ἀπόδειξιν τῆς γνώμης τοῦ κ. A. Mordtmann.

55. Ἱεροσλμ. Βιβλιοθήκη, τόμ. Β΄, σελ. 55.

56. οὐ μακρὰν δῆλα δὴ τοῦ σήμερον Μεχμὲτ πασσᾶ ὄζαμὶ, κατὰ τὸν ἀκριβῆ ὁρισμὸν τοῦ Πασπάτη. Βυζαντιναὶ Μελέται, σελ. 364-370.

57. Morcelli, Calendar. τόμ. Β΄, σελ. 214.

58. αὐτόθι· πιθανῶς τινὲς τῶν ναῶν τούτων ἤλλαξαν πάτρωνα ἅγιον κατὰ τοὺς ἀκολούθους αἰῶνας ἢ κατηδαφίσθησαν.

59. Δοσιθέου, Ἱστορία περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων, βιβλ. ΙΑ΄, ι΄, 9.

60. Esquisse topogr. σελ. 56, στήλῃ β΄.

61. παραπέμπω τὸν περίεργον ἀναγνώστην εἰς τοὺς ἐκδοθέντας ὑπὸ Βανδουρίου πατριογράφους· ἐκδόσ. Βενετίας Imperii Orient. σελ. 30, 39, 46 τοῦ Γ΄ μέρους· ἀπὸ τούτων πραλαμβάνω πᾶν ὅ,τι δυνατὸν ἵνα πιστευθῇ, μὴ ἀντικείμενον καὶ τῇ ἱστορίᾳ. Προστεθείσθω δ' ὅτι τὸν ἐν τῷ παλατίῳ ναὸν τοῦ ἁγίου Ἰωάννου ἄγνωστον εἰς τίνα τῶν Ἰωαννῶν πρέπει ἵνα ἐπιγράψωμεν· τὰ δὲ περὶ τοῦ Βαπτιστῆρος Ἰωάννου γραφόμενα τοῦ Α. Γ. Πασπάτη θαυμασίως συγχέουσι τὸ βαπτιστήριον τῆς Ἁγίας Σοφίας πρὸς ναὸν ἴδιον, οὗ καὶ τὸν τόπον ὁρίζει. Τὰ Βυζαντ. ἀνάκτορα, σελ. 112-115.

62. δῆθεν ἄνω τοῦ λιμένος τῶν Σοφιῶν καὶ αὐτός· Σκ. Δ. Βυζαντίου, Κωνσταντινούπολις· Α΄, σελ. 272.

* ἴσ. μετ' ἐκεῖνον.

** ἴσ. δὴ ᾠκοδόμητο.

τῆς ὑψώσεως ἑορτὴν ἀνυψουμένην. *Οὕτω μὲν περὶ τούτων τοῖς παλαιοῖς ἀνιστόρηται, ἄλλων ἄλλα περὶ ταύτης διηγουμένων καὶ μηδενὸς μακρὰν τῆς ἀληθείας ἀποπλανωμένου,* ἀλλ' εἰς μίαν καὶ τὴν αὐτὴν τῆς πίστεως ἔννοιαν συγκλειομένων, καὶ πᾶσαν ἀπιστίαν ἀπωθουμένων * ..... (169β1) Πολλῶν οὖν βασιλέων δι' ἐφέσεως ἦν (β2) ἐν κατασχέσει ταύτης γενέσθαι ..... Ἐπεὶ δὲ πάντα τῇ θείᾳ προνοίᾳ προώριστο ..... ὁ πάντα πρὸ καταβο(170α1)λῆς κόσμου προεγνωκὼς ..... εὐδόκησε κατὰ τήν δε τὴν γενεὰν τὸ μέγα τοῦτο καὶ ὑπερφυὲς ἀνακαλυφθῆναι μυστήριον, καθ' ἣν Κωνσταντῖνος καὶ Ῥωμανὸς, οἱ μεγάλης εὐφημίας ἐπάξιοι, ἐξ αὐτῆς γεννήσεως τῇ πορφυρίδι σπαργανωθέντες τὰς αὐτοκρατορικὰς ἡνίας διεῖπον καὶ διεζώννυντο..... Ἀνὴρ γάρ τις τῶν τῆς Ἀντιόχου, κλήρῳ διακόνου συνταττόμενος, Ἰωὴ ὀνόματι, ... (α2) πρὸς πεῖραν ἐχώρει τοιάνδε. Ναὸς περικαλλὴς καὶ μετάρσιος ἐπ' ὀνόματι τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου ἀνὰ τὸ ἄστυ τοῦτο ἀνίδρυται· οὗ ἐν τοῖς προαυλίοις τὴν κατοίκησιν ποιησάμενος τῷ τῶν ἐκεῖσε ἱερῶν σκευῶν φύλακι πρὸς γνησίαν φιλίαν συνῆπτο ..... (170β1) ἀωρὶ τῶν νυκτῶν ἑαυτὸν καθεὶς τῷ ναῷ, ἡρέμα καὶ ἀψοφητὶ τὴν ἱερὰν ὑπανοίξας σορὸν, λαμβάνει τὴν ποθουμένην τιμίαν δεξιὰν τοῦ Προδρόμου ..... ἐντεῦθεν ἔξεισι τῆς Ἀντιόχου καὶ τῆς ὁδοῦ εἴχετο ..... (β2) οὕτω τῶν ῥωμαϊκῶν ὁρίων ἐπέβαινε, θαρσαλεώτερον πρὸς τὴν βασιλεύουσαν ἐπειγόμενος· ἔδει γὰρ [τὴν] βασίλειον πόλιν ..... μηδὲ τῆς τοῦ μεγάλου Προδρόμου χειρὸς ἄμοιρον εἶναι· καὶ οὕ ναοὶ περικαλλεῖς πανταχοῦ ταύτης καθίδρυνται καὶ πεπήγασιν. Ὡς δὲ βασιλεὺς (171α1) τὴν ταύτης εὐηγγελίζετο ἄφιξιν ..... τοὺς τουτὶ τὸ ἅγιον ἀναληψομένους καὶ μεθ' ὕμνων καὶ λαμπάδων καὶ μύρων ὡς αὐτὸν διακομισαμένους ἐξέπεμπε ..... Τοιγαροῦν, ἐπεὶ πρὸς αὐτὸ τὸ ἄστυ Καλκηδόνος ἤδη προσήγγιζε, ναῦς μὲν βασίλειος ἐξεπέμπετο, καὶ ἱεράρχης, τοὔνομα (α2) Θεοφύλακτος σὺν ἱερεῦσι, καὶ ὅσον τῆς συγκλήτου ἐπίσημον συνεπέμπετο τὸ ἱερὸν ἐκεῖνο θησαύρισμα μεταγαγ[έσθ]αι ** πρὸς τὰ βασίλεια ..... χερσὶν ἀρχιερέως ἀνελαμβάνετο καὶ ἐπ' ἀγκάλαις ἐφέρετο ..... Συνέδραμε δὲ καί τι τῶν ἄλλων παραδοξότερον καὶ τῇ τιμίᾳ χειρὶ τοῦ Προδρόμου ἐπάξιον. Ἑορτὴ γὰρ παρῆν τῆς τῶν ἁγίων Φώτων ἡμέρας, ... (171β1) συνέβη κατ' αὐτὸν τὴν τὴν ἐπιλύχνιον ὥραν, ἐν ᾗ τὸν ἁγιασμὸν ἔθος τελεῖν χριστιανοῖς, τὴν θείαν χεῖρα ἐπιδεδημηκέναι· ἣν βασιλεὺς ὑποδεξάμενος καὶ κατασπασάμενος ἐν μέσῳ τῇ τῶν βασιλείων ναῷ * ἀποτίθησιν, ὥστε πιστεύειν πάντας αὐτὸν ἐκεῖνον ἀοράτως παρεῖναι τὸν βαπτιστὴν καὶ τὰ προκείμενα ὕδατα καθαγιάζειν τῇ δεξιᾷ ..... (β2) Οὕτω μὲν τὴν τῶν ἁγίων Θεοφανείων ἑορτὴν, οὕτω δὲ καὶ τὴν μετ' ἐκείνην, ἐν ἧπερ καὶ μνήμη τοῦ ἱεροῦ Προδρόμου ἄνωθεν παραδέδοται ὡς τῷ μύρῳ τοῦ θείου βαπτίσματος ὑπουργήσαντος, τελέσαντές τε καὶ πανηγυρίσαντες, ἑορταῖς ἐτησίαις τιμᾷν κεκρίκαμεν ἄξιον τὴν κατάπαυσιν, συνταττομένης καὶ ταύτης ταῖς ἄλλαις αὐτοῦ πανηγύρεσιν».

* ἐνταῦθα ἀφηγεῖται τεράστιόν τι θαυματουργηθὲν ἐν τοῖς ὁρίοις Ἀντιοχείας, ἐν οἷς ἐνεφώλευε δράκων, εἰς ὃν ἔδιδον κατ' ἔτος πρὸς βρῶσιν παρθένον ἄρτι πρὸς ἥβην ἐλάσασαν· παρθένου δέ τινος, ὁρισθείσης πρὸς θυσίαν, ὁ πατὴρ, χρήμασι διαφθείρας τὸν νεωκόρον, « τὸν τῆς σεπτῆς δεξιᾶς ἀντίχειρα δάκτυλον, σὺν τῷ ἀσπασμῷ, τῇ τῶν χειλέων προσψαύσει τοῖς ὀδοῦσιν ἀποτεμὼν καὶ περικρύψας », ἐν τῇ τῆς Θυσίας ἡμέρᾳ, κατὰ τοῦ φάρυγγος ἐξηκόντισε τοῦ δράκοντος « τῇ τούτου ἐπεμβολῇ παραχρῆμα καὶ τὸν Σάνατον αὐτῷ συνεισήνεγκεν » . . . . (169 α1) « Ἐξ οὗ καὶ ναὸν ἔνθα τὸ Σκῦμα τετέλεστο τῷ Προδρόμῳ ἐδείμαντο, Κρεμαστὸν αὐτὸν ὀνομάσαντες, εἴτε διὰ τὸ τῆς γῆς ὕπερθε τὸ τοῦ ναοῦ ἔδαφος εἶναι μετέωρον, εἴτε πρὸς οἰκοδομημάτων ὕψη τὴν τούτου εὐρυχωρίαν ἐκτετᾶσθαι, ὡς μικροῦ τοῖς ὁρῶσι δοκεῖν ἀέριον κρέμασθαι· ἐν ᾧ τὸν ἱερὸν τοῦτον καὶ Σαυματουργὸν ἀποθέμενοι δάκτυλον, ἐτησίοις τιμῶσιν αὐτὸν πανηγύρεσι ». Τὴν διήγησιν εἶχε μαθὼν παρ' ἀντιοχέων ὁ Δαφνοπάτης.

** ὁ κδ̃ξ μεταγάγαι.

* τῇ τῶν ταῷ, πῶς;

63. Μ. Ι. Γεδεών, Πατριαρχ. Πίνακες, σελ. 254. Θεοφάνης Α', σελ. 574, 586. Πατριαρχικοὶ κατάλογοι, οἱ παρὰ Βανδουρίῳ.

8. Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κύρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ σεβασμίᾳ μονῇ τῆς Χώρας, καὶ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐν ἡμέρᾳ κυριακῇ.

Φανερὰ τῶν μερικῶν Ἑορτολογίων ἡ διάκρισις· ἡ μὲν μονὴ τῆς Χώρας (ἴσως καί τινες ἕτεροι ναοὶ) τὴν ἐπὶ τῇ μνήμῃ τοῦ ὁσίου Κύρου σύναξιν ἐτέλουν τῇ 8 ἰανουαρίου· ὁ δὲ μέγιστος ναὸς τῆς τοῦ Θεοῦ Σοφίας εἰ συνέπιπτεν ἡ 8 τοῦ μηνὸς ἡμέρᾳ κυριακῇ.

Κῦρος ὁ μακάριος ἐμόναζεν ἐν μικρᾷ νήσῳ πρὸ τῆς Ἀμάστριδος τῆς ἐν Εὐξείνῳ πόντῳ· προβληθεὶς δὲ τῷ 705 πατριάρχης ὑπὸ Ἰουστινιανοῦ Β', τιμήσαντος τὸν ἄνδρα διά τε τὴν ἀρετὴν αὐτοῦ καὶ τὸ προορατικὸν χάρισμα, καθηρέθη κατὰ τὰς τελευταίας ἡμέρας τοῦ 711 ὑπὸ Φιλιππικοῦ καὶ περιωρίσθη ἐν τῇ μονῇ τῆς Χώρας, ὅπου βεβαίως ἐτάφη [63].

* * *

8. Τῆς ὁσίας μητρὸς ἡμῶν Δομνίκης.

Ἐγεννήθη ἐν Ῥώμῃ, τὸ γένος ἐκ Καρθαγένης ἕλκουσα· ἐδιδάχθη παρὰ τοῖς γονεῦσι τὰ ἱερὰ γράμματα· ζητοῦσα δ' ἐκ νεαρᾶς ἡλικίας ἀσκῆσαι παρθενίαν, ἀπῆλθεν εἰς Ἀλεξάνδρειαν· εἰσῆλθεν εἰς οἴκημα « φρουρίου δίκην κατεσκευασμένον καὶ κλείθροις κατησφαλισμένον», ἐν ᾧ κατῴκουν παρθένοι τέσσαρες εἰδωλολάτριδες μὲν, ἀλλὰ σεμναὶ τὰ ἤθη, ὧν ἐνώπιον ὑπεκρίνετο καὶ αὕτη τὴν εἰδωλολάτριν, τοιαύτην δ' ὅμως ἐπιδεικνυμένη τὴν ἀρετὴν, ὥστε καὶ ταύτας εἰς τὴν τοῦ Σωτῆρος ἀγρεῦσαι σαγήνην· ἐξ Ἀλεξανδρείας δραπε-

τεύσασα σὺν αὐταῖς ἦλθεν εἰς Κωνσταντινούπολιν, ἀσμένως δ' αὐτὴν ὑποδεξάμενος ὁ πατριάρχης Νεκτάριος, ἤκουσεν ἡδέως τὰ κατ' αὐτὰς καὶ βαπτίσματος ἀξιώσας, ὠνόμασε τὰς σὺν αὐτῇ παρθένους Δωροθέαν, Εὐανθίαν, Νόνναν, καὶ Τιμοθέαν· Θεοδόσιος ὁ Μέγας [64] σὺν τῇ συζύγῳ προσῆλθεν αὐτῇ, τὴν φήμην τῆς ἀρετῆς ἐνωτισθείς καὶ πάντες οἱ τότε λογάδες· αἰτήσει δ' αὐτῆς, εὑρούσης τόπον *πᾶσι βδελυκτὸν* «διὰ τοὺς ἀναιρουμένους ἐκεῖσε κακούργους καὶ καταδίκους», ᾠκοδόμησεν ὁ Θεοδόσιος ἰδίαις δαπάναις μονὴν ἐπ' ὀνόματι Ζαχαρίου τοῦ προφήτου, ἧς τὰ ἐγκαίνια, τοῦ βασιλέως θέλοντος ποιῆσαι τὴν 26 ἰανουαρίου, αὕτη ἐζήτησε γενέσθαι τὴν 24 « ὡς ἤδη προβλέπουσα τὴν μέλλουσαν κατὰ τήνδε τὴν ἡμέραν ἐπιφέρεσθαι τῇ πόλει φοβερὰν ἀπειλήν». Τὴν 26, ὡς φαίνεται, *ἐπεισῆλθε τῶν κακούργων ἐκείνων λῃστῶν ἡ συμμορία λεηλατῆσαι τὴν μονὴν*, οὓς δι' εὐχῶν αὐτῆς ἀνενεργήτους καὶ πεπεδημένους ἀπέδειξε· τοῦτο συνδυάζων πρὸς τὴν ἱστορίαν, καθ' ἣν τῷ 388 [65] συνεπείᾳ φήμης περὶ θανάτου Θεοδοσίου Α', τοῦ προστάτου τῆς ὀρθῆς δόξης, οἱ ἀρειανοὶ «*ἀνασυρθέντες* τὴν οἰκίαν ἐνέπρησαν Νεκταρίου ἐπισκόπου Κωνσταντινουπόλεως», εἰκάζω ὅτι ταύτην ἐννοεῖ τὴν ταραχὴν ὁ βιογράφος· καὶ τάττω τὰ ἐγκαίνια τῆς μονῆς τῇ 24 ἰανουαρίου τοῦ ἔτους τούτου, καθ' ἣν ἡμέραν «τὸ ἱερατικὸν σχῆμα τῆς ἐν Χριστῷ διακονίας» ἐχορήγησεν αὐτῇ Νεκτάριος ὁ πατριάρχης. Ἐπέζησε τῷ βασιλεῖ Θεοδοσίῳ ἄγνωστον πόσον χρόνον, μέλλουσα δὲ τελευτᾶν προεχειρίσατο ἡγουμένην τῆς μονῆς τὴν Δωροθέαν, καίπερ «συγκεκυφυῖαν ἐξ ἀγώνων καὶ κόπων πολλῶν καὶ ὑφ' ἑτέρων ὑποκρατουμένην» [66].

* * *

8. Ἰουλιανοῦ, Βασιλίσσης καὶ τῶν σὺν αὐτοῖς. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρίῳ, πλησίον τοῦ Φόρου.

Σύζυγοι, τὸ γένος αἰγύπτιοι, ἀθλήσαντες ἐπὶ Διοκλητιανοῦ. Τὰ παρὰ Κωδινῷ καὶ τοῖς πατριογράφοις φερόμενα περὶ τῶν κτιτόρων τῶν ἐπ' ὀνόματι τοῦ μάρτυρος Ἰουλιανοῦ ναῶν εἰσὶν, ἐμοὶ τουλάχιστον, ἄπιστα. Ἐὰν δὲ πιστεύσωμεν μόνον ὅτι, σῳζόμενος ὁ ναὸς οὗτος, οὐ μακρὰν τοῦ Φόρου, μέχρι τῶν τοῦ Κωνσταντίνου Κοπρωνύμου χρόνων, ἑκάη ἐπ' αὐτοῦ, θέλομεν ἰδεῖν ὅτι ὁ ἐπὶ τῆς στέγης τοῦ ναοῦ μόλυβδος ἀναλυθεὶς ἔρρευσε μέχρι τοῦ λιμένος Σοφιῶν, ἤτοι τοῦ Κάτεργα-λιμὰν [67], διότι ὁ ναὸς ἔκειτο εἰς ὁδὸν κατωφερῆ [68]. Ἔκειτο ἄρα πλησίον τοῦ σήμερον Γεδὶκ-πασᾶ.

Νομίζω ὅτι ὁ εἷς καὶ μόνος ναὸς Ἰουλιανοῦ τοῦ μάρτυρος ἐγέννησεν ἕτερον, ὃν παρὰ τῷ Δουκαγγίῳ βλέπομεν ὁριζόμενον ὡς τὸν φέροντα παρὰ τοῖς μυθολόγοις τὴν ἐπωνυμίαν: *Πέρδιξ*.

Ὁ τοῦ Νικοδήμου Συναξαριστὴς τὸν αὐτὸν Ἰουλιανὸν μετὰ τῆς συναθλησάσης αὐτῷ συνοδίας ἀναφέρει καὶ τῇ 21 ἰουνίου, καίπερ οὐ σπανίως ἑτέρων ἐπανορθῶν τὰ λάθη περὶ τὴν διττὴν ἀναγραφὴν τῶν ὀνομάτων τῶν ὁσίων καὶ μαρτύρων. Τὸ Βασιλειανὸν ἀναφέρει μνήμην Ἰουλιανοῦ μόνον τῇ 21 ἰουνίου· ὁ τοῦ Σταυρονικήτα Συναξαριστὴς τῇ 8 ἰανουαρίου.

* * *

Τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου μοναχοῦ, κτίτορος καὶ ἡγουμένου μονῆς τῆς Χώρας.

Περὶ τούτου μακρὸς γίνεται λόγος ἐν ἰδίᾳ διατριβῇ μετὰ τὴν μετὰ χεῖρας ἀναγραφὴν τῶν μνημῶν τῶν ἁγίων κατὰ μῆνας.

* * *

Μακαρίου τοῦ ἐπικεκλημένου Μακρῆ, ἡγουμένου χρηματίσαντος ἐν τῇ σεβασμιωτάτῃ μονῇ τοῦ Παντοκράτορος [69].

Θεσσαλονικεὺς τὴν πατρίδα, μονάσας ἐπὶ πολὺν χρόνον ἐν τῇ μονῇ τοῦ Βατοπεδίου· ἐγένετο σχεδὸν κτίτωρ τῆς ἐν Κωνσταντινουπόλει μονῆς τοῦ Παντοκράτορος, ἀπεστάλη

64. Ἄρα καὶ ἐξ ὧν ἀμέσως ῥηθήσονται, ἡ εἰς Κωνσταντινούπολιν ἔλευσις συμπίπτει μεταξὺ τῶν ἐτῶν 381-388.

65. Ὁ Θεοφάνης τάττει τὰς ἀτασθαλίας ταύτας τῶν ἀριανῶν τῷ 385, ὁ δὲ Σωκράτης τῷ 388, ὃν προτιμῶμεν βεβαίως. Θεοφ. Α', σελ. 109. Σωκράτης· Ἐκκλ. Ἱστορ. Ε', ιγ', ιθ'. Σωζόμενος· Ζ', ιδ'.

66. Δομνίκης βίος ἐν Μνημείοις ἁγιολογικοῖς Θεοφίλου Ἰωάννου· σελ. 268-282. Βασιλειανὸν Μηνολόγιον, εἰς τὴν 10 ἰανουαρίου.

67. Δουκαγγίου Constantin. Christ. σελ. 87 τοῦ Δ' βιβλίου.

68. « ἐπορεύετο εἰς τὸν κατήφορον κατὰ τὴν κλίμακα τοῦ ἁγίου μάρτυρος Ἰουλιανοῦ »· Συναξαριστὴς, εἰς τὴν τοῦ σκυτοτόμου Ζαχαρίου διήγησιν· τῇ 17 νοεμβρίου.

69. Γεωργίου Φραντζῆ Χρονικόν· Βόννης, σελ. 156-7. Δελτίον Ἱστορικῆς καὶ Ἐθνολογ. Ἑταιρίας τῆς Ἑλλάδος· τόμ. Γ', σελ. 463.

δὲ εἰς Ῥώμην ὑπὲρ ἑνώσεως πρὸς τὸν πάπαν Μαρτῖνον πρεσβεύων ἐκ μέρους Ἰωάννου Παλαιολόγου. Ἀπεβίωσε λοιμόβλητος τῇ 7 ἰανουαρίου 1430.

* * *

Ἡ κατὰ τὴν 8ην τούτου τοῦ μηνὸς ἀναγραφομένη *μνήμη Ἀττικοῦ πατριάρχου Κωνσταντινουπόλεως* ἀντίκειται τῇ ἱστορίᾳ. Βλέπε εἰς τὴν 11 ὀκτωβρίου.

§

9. Μνήμη τοῦ ἁγίου μάρτυρος Πολυεύκτου. Τελεῖται ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ.

Ἤθλησεν ἐν Μελιτηνῇ, ἐπὶ τοῦ Δεκίου καὶ τοῦ Οὐαλεριανοῦ.

Πρὸς τὰς τοῦ Κωδινοῦ μυθολογίας περὶ τῆς τοῦ ναοῦ τούτου κτίσεως ἀντιτάττων ὁ Δουκάγγιος τὴν ἱστορίαν φρονεῖ ὅτι τοῦτον ἔκτισεν ἡ κωνσταντινουπολίτης Ἰουλιάνα ἐπὶ Ἰουστινιανοῦ Α΄. Ἄγνωστος ὁ τόπος, ἐν ᾧ ὁ ναὸς ἠγείρετο[70]· παρὰ τοῖς τῶν Βυζαντινῶν ἱστοριογράφοις οὐδεμίαν εὗρον μαρτυρίαν περὶ ναοῦ ἁγίου Πολυεύκτου· δὶς εὗρον παρὰ Πορφυρογεννήτῳ τὸν ναὸν ἀναφερόμενον, ὡς κείμενον ἐπὶ τῆς ὁδοῦ τῆς ἀγούσης ἀπὸ τῶν Ἁγίων Ἀποστόλων πρὸς τὸ Φιλαδέλφιον καὶ πρὸς τὸν Ταῦρον[71].

* * *

9. Θεοκτίστου ἱερομάρτυρος καὶ ὁμολογητοῦ.

Ἄγνωστος ὁ βίος τοῦ ἀνδρός, ὃν νομίζω, κατά γε τὰ ἐν τοῖς «προλεγομένοις» εἰρημένα, ζήσαντα κατὰ τὴν εἰκονομαχικὴν περίοδον. Ὁ κατὰ τὴν 4 ἰανουαρίου ἔν τε τῷ Συναξαριστῇ καὶ τοῖς Μηναίοις ἀναφερόμενος ὅσιος Θεόκτιστος «ἐν εἰρήνῃ τελειοῦται»· οὐκ ἦν ἄρα μήτε ἱερομάρτυρ, μήτε ὁμολογητής.

§

10. Γρηγορίου ἐπισκόπου Νύσσης. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Γρηγόριος ὁ Νύσσης, ἀδελφὸς τοῦ Μ. Βασιλείου, διετίαν ἐκείνου νεώτερος, ἐγεννήθη ἐν Καισαρείᾳ τῆς Καππαδοκίας τῷ 331, παρεκάθησεν ἐν τῇ Β΄ οἰκουμενικῇ Συνόδῳ, καὶ παρέτεινε πιθανῶς τὸ ζῆν ἕως τῆς Δ΄ ἑκατονταετηρίδος[72].

* * *

10. Δομετιανοῦ Μελιτηνῆς. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Δομετιανὸς ὁ προστὰς τῆς ἐκκλησίας Μελιτηνῆς συγγενὴς ἦν Μαυρικίου τοῦ αὐτοκράτορος, ὃς πολλὰς ἐνεπίστευσεν αὐτῷ πολιτικὰς ἀποστολάς, ὧν ἀκριβῶς τὴν πρὸς Χοσρόην γινώσκομεν. «Ἦν τὴν περὶ τὸν βίον κατασκευὴν ἱερώτερος, τὸν λόγον ἡδύς, τὴν πρᾶξιν ταχύς, τὴν συμβουλὴν ἐμφρονέστατος . . . . μεγαλονοίᾳ συνέσεως τῆς ῥωμαίων πολιτείας τὰς ἐπισημοτέρας τῶν πράξεων ἐπιστεύετο»[73]. Εἰδήμων τῆς θύραθεν καὶ τῆς ἔσω σοφίας· θανούσης τῆς συζύγου κληρικὸς ἐγένετο, καὶ μετὰ καιρὸν ἐπίσκοπος. Ἀπεβίωσεν ἐν Κωνσταντινουπόλει τῇ 11 ἰανουαρίου 602 «καὶ ἐτάφη ἐν τοῖς Ἁγίοις Ἀποστόλοις, ὑπὸ Κυριακοῦ τοῦ πατριάρχου καὶ πάσης τῆς συγκλήτου τιμηθεὶς ἐπιτάφια»[74]. Λέγεται δ' ὅτι μετά τινα καιρὸν «εἰς Μελιτηνὴν ἀνεκομίσθη τὸ λείψανον αὐτοῦ, πολλὰς ἰάσεις τελοῦν»[75].

* * *

10. Μαρκιανοῦ, πρεσβυτέρου καὶ οἰκονόμου τῆς μεγάλης ἐκκλησίας. Τελεῖται ἡ αὐτοῦ σύναξις ἐν τῷ προφητείῳ τοῦ ἁγίου προφήτου καὶ βαπτιστοῦ Ἰωάννου, πλησίον τῆς κινστέρνης Μωκησίας, ἐν τοῖς Δανιήλ.

Βυζάντιος τὴν πατρίδα, καταγόμενος ἐκ Ῥώμης, ὁ Μαρκιανὸς ἦν ἐπιφανὴς τὸ γένος· εἰδήμων τῆς ἱερᾶς καὶ τῆς θύραθεν παιδεύσεως· ἐχρημάτισεν ἱερεὺς καὶ οἰκονόμος τῆς Ἁγίας Σοφίας ἐπὶ Μαρκιανοῦ καὶ Λέοντος τοῦ Θρᾳκός· ναυατιανὸς πρότερον, προσῆλθεν εἶτα τῇ καθολικῇ Ἐκκλησίᾳ[76]· τὸν πλοῦτον αὐτοῦ

70. Σκαρλάτος ὁ Βυζάντιος ἐν τῇ «Κωνσταντινουπόλει», τόμ. Α΄, σελ. 382, νομίζει παρακείμενον τὸν τοῦ ἁγίου Πολυεύκτου τῷ ναῷ τοῦ ἁγίου Ἰουλιανοῦ.

71. Πορφυρογ. Ἔκθεσις, σελ. 50, 75.

72. Κοντογόνου Φιλολ. καὶ κριτ. ἱστορία τῶν Πατέρων. Α΄, σελ. 425-456.

73. Θεοφύλ. Σιμοκάττης· Βόννης, σελ. 191, 208-211, 213, 337. Λέξεις τινὲς εὐμενεῖς παρ' Εὐαγρίῳ· Ἐκκλησ. Ἱστορ. Ϛ΄, ιη΄.

74. Θεοφάνης· Α΄, σελ. 410, 438.

75. ἡ εἴδησις παρὰ τῷ Βασιλειανῷ λεγομένῳ Μηνολογίῳ· τοῦ Δομετιανοῦ δὲ μνείαν ὁ ἀναγνώστης εὑρήσει κατὰ τὴν 11 αὐγούστου.

76. Αὐξεντίου βίος, ὑπὸ Συμεών· Migne, ΡΙΔ΄, στ. 1380. Νικηφ. Καλλίστου Ἐκκλησ. Ἱστ. ΙΕ΄, κδ΄.

σύνολον ἐδαπάνησε πρὸς ἐπισκευὴν πολλῶν ναῶν, καὶ πρὸς ἔγερσιν τοῦ ναοῦ τῆς ἁγίας μάρτυρος Ἀναστασίας, κειμένου μὲν παρὰ τὸν ὑπὸ Γρηγορίου τοῦ Θεολόγου κλεϊσθέντα ναίσκον, κτισθέντος δὲ μεγαλοπρεποῦς μετὰ σκευοφυλακείου καὶ φωτιστηρίου λαμπρῶν, οὗ τὰ ἐγκαίνια ἐγένοντο ὑπὸ τοῦ πατριάρχου Γενναδίου[77] κατὰ δεκέμβριον, *ἡμέρᾳ, καθ' ἣν ἡ μάρτυς ἐτελείου τὴν ἄθλησιν*· ἐν τῷ ναῷ τούτῳ ἐγένετο δῆθεν[78] τὸ θαῦμα τῆς ἀναστάσεως τῆς νεκρᾶς γυναικός. Γνωστὸν ὅτι ὁ Μαρκιανὸς ἀνήγειρε τὴν Ἁγίαν Εἰρήνην τὴν πρὸς θάλασσαν, καὶ τὸν ὑπ' αὐτὴν ναὸν Ἰσιδώρου τοῦ μάρτυρος καὶ τὸν τοῦ ἁγίου Στρατονίκου[79]· ἀπεβίωσε δὲ πρὸ τοῦ τελεσθῆναι τὰ τῆς Ἁγίας Εἰρήνης ἐγκαίνια, καὶ τὸ λείψανον αὐτοῦ κατετέθη «ἐν τῇ ἐκκλησίᾳ τοῦ Προδρόμου, ἥτις ἄρα καὶ *τοῦ Δανιὴλ* λέγεται, *ἐγγὺς που* τοῦ θείου ναοῦ τοῦ μάρτυρος Μωκίου διακειμένη», ἣν αὐτὸς ᾠκοδόμησεν· «*ἔνθα δὴ καὶ ἐς δεῦρο λαμπρῶς αὐτῷ καὶ φιλοθέως ἡ μνήμη τελεῖται*»[80].

Πλὴν τῆς ἐκδοδομένης παρὰ Migne (Πατρολογ. τόμ. ΡΙΔ΄, στ. 430-456) ὑπάρχει καὶ ἑτέρα τοῦ Μαρκιανοῦ βιογραφία, πολύτιμος ἕνεκεν ἱστορικῶν εἰδήσεων, ἣν, τέως ἀνέκδοτον, ἐκδίδωμι μετὰ τοῦ παρόντος.

* * *

10 Τελεῖται τῇ αὐτῇ ἡμέρᾳ ἡ σύναξις διὰ τὸν γεγονότα σεισμὸν ἐν ἀρχῇ τῆς βασιλείας Βασιλείου, ὅτε ἔπεσεν ὁ ναὸς τῆς Θεοτόκου τοῦ Σίγματος.

Ἡ τοῦ σεισμοῦ μνήμη παρὰ Μαυρικίῳ. Συνέβη δ' οὐχὶ τῇ 10, ἀλλὰ τῇ 9 ἰανουαρίου, τρίτῳ ἔτει τῆς αὐταρχίας Βασιλείου, τῷ 870 δηλ., διαρκέσας ἡμέρας τεσσαράκοντα, καθ' ὃν ἔπεσεν ἡ σφαῖρα (τροῦλλος) τοῦ ναοῦ τῆς Θεοτόκου τοῦ Φόρου καὶ τῆς Θεοτόκου τοῦ Σίγματος[81]. Σύγχρονος χρονογράφος[82] γράφει τὸν σεισμὸν τοῦτον *φρικωδέστατον*· «πολλαὶ μὲν ἐκκλησίαι, ἔμβολοι δὲ πλεῖστοι καὶ οἶκοι ἠδαφίσθησαν, κτηνῶν τε καὶ ἀνθρώπων ἀμύθητος γέγονε πανωλεθρία».

§

11. Θεοδοσίου κοινοβιάρχου. Ἡ σύναξις ἐν τῷ ἀποστολείῳ τοῦ κορυφαίου Πέτρου.

Μοναχὸς ἐπιφανέστατος· υἱὸς Εὐλογίας καὶ Προαιρεσίου, τὴν πατρίδα καππάδοξ· ἤκμασεν ἐν Παλαιστίνῃ κατὰ τὸ δεύτερον ἥμισυ τοῦ Ε΄ αἰῶνος·

φαίνεται ὅτι ἡ σύναξις ἐτελεῖτο ἐν τῷ ναῷ τοῦ κορυφαίου τῶν ἀποστόλων τῷ παρακειμένῳ τῇ Ἁγίᾳ Σοφίᾳ.

* * *

11. Ἡ σύναξις τῶν ἁγίων Μυρίων Ἀγγέλων· τελεῖται δὲ ἔνδον τοῦ μαρτυρείου τῆς ἁγίας Ἀναστασίας ἐν τοῖς Δομνίνου.

Ναὸς τῶν Μυρίων ἀγγέλων, ἐξ οὗ καὶ κοινῶς Μυριαγγέλων, ἐγένετο κατὰ τὸν Ϛ΄ αἰῶνα περιβόητος ἐπὶ τοῖς ἐν αὐτῷ τελουμένοις θαύμασιν· ἔκειτο δ' ἀρκετὰ μακρὰν τῆς Κωνσταντινουπόλεως· ἀλλὰ τὰ περὶ αὐτοῦ ἐφάνησάν μοι ἀσαφῆ[83].

* * *

11. Μνήμη τοῦ ἁγίου Στεφάνου ἐν Πλακιδιαναῖς.

Ὁ ναὸς ἐτιμᾶτο βεβαίως ἐπ' ὀνόματι Στεφάνου τοῦ πρωτομάρτυρος, ἴσως δ' ἐτελεῖτο κατὰ τὴν 11 ἰανουαρίου ἡ ἑορτὴ τῶν κτιτόρων αὐτοῦ. Τὰ ἀλλαχοῦ γραφόμενα Τὰ Πλακίδιας εἰσὶ βεβαίως αὗται αἱ πλακιδιαναί, τοποθέσιον, οὕτως ὀνομασθὲν ἀπὸ Πλακιδίας τῆς τοῦ Μ. Θεοδοσίου θυγατρός, ἣν ἔσχεν ἀπὸ Πλακιδίας. Περὶ τῶν Πλακιδιανῶν οὐδεὶς δύναται, τό γε νῦν, μήτε κατ' εἰκασίαν εἰπεῖν ποῦ τῆς πόλεως ἔκειντο —Ὁ ναὸς οὗτος ἐσῴζετο κατὰ τὰ πρῶτα τοῦ ΙΓ΄ αἰῶνος ἔτη, κατὰ τὴν ἀφήγησιν ῥώσσου προσκυνητοῦ[84].

* * *

11. Μνήμη τοῦ ἁγίου ἀποστόλου Μάρκου πλησίον τοῦ Ταύρου.

Τὴν μνήμην εὑρίσκομεν ἔν τε χειρογράφοις

77. μεταξὺ τῶν ἐτῶν 458-471. Πατριαρχ. Πίνακες· σελ. 194-198.

78. λέγω *δῆθεν*, διότι μιμνήσκεται τοῦ Θαύματος ὁ πρὸ τοῦ Γενναδίου ζήσας Ἑρμείας· Ἐκκλ. Ἱστ. Ζ΄, ε΄.

79. βλέπε εἰς τὴν 13 τοῦ μηνὸς ἰανουαρίου.

80. Μαρκιανοῦ βίος, ὑπὸ Συμ. Μεταφραστοῦ· Migne, ΡΙΔ΄, στ. 430 455.

81. Λέων Γραμματικὸς, σελ. 254· Συμεὼν Μάγιστρος, σελ. 688· Γεώργιος μοναχὸς, σελ. 840.

82. Ἰγνατίου πατριάρχου βίος, ὑπὸ Νικήτα Δαυίδ. Migne, ΡΕ΄, στ. 549.

83. Μ. Ι. Γεδεών, Ἀθῶοι καὶ Κεράμια· ἐν Κωνστ/πόλει, 1892, σελ. 15-19.

84. Mordtmann, Esquisse topogr. σ. 64, στ. α΄.

Συναξαρισταῖς καὶ παρὰ Μαργουνίῳ[85] ἀναγραφομένην, καὶ δηλοῦσαν ὅτι, καθὼς ἡ τοῦ ναοῦ τοῦ πρωτομάρτυρος Στεφάνου μνήμη ἤγετο κατὰ τὴν 11 τοῦ μηνός, οὕτως ἦγε συγχρόνως καὶ ὁ τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου ναὸς ὁ πλησίον τοῦ Ταύρου, τῆς εὐρείας ἐκείνης περιοχῆς, ἥτις ἀνταποκρίνεται πρὸς τὰ μεταξὺ Τσεμπερλὶ-τὰς καὶ Στραταρχείου τῆς σήμερον μέρη.

Εἷς μόνον ναὸς ἀναφέρεται τιμώμενος εἰς ὄνομα τοῦ ἀποστόλου Μάρκου, οὗ τὴν μνήμην ἄγει ἡ Ἐκκλησία τῇ 25 ἀπριλίου· κατὰ τοὺς παραδοξογράφους, ἔκτισε δῆθεν αὐτὸν μέγαν καὶ ξυλότρουλλον Θεοδόσιος ὁ Μέγας, ὑπὸ σεισμοῦ δὲ καταστραφέντα, νέον ἀνήγειρε Ῥωμανὸς ὁ Λακαπηνός[86].

Δείκνυται δ' οὕτως ὅτι οἱ μεγάλοι ναοὶ τῆς Κωνσταντινουπόλεως καὶ τῶν πέριξ ἐτέλουν κατ' ἔτος συνάξεις: μίαν μὲν κατὰ τὴν ἐπέτειον τοῦ θανάτου τοῦ πάτρωνος ἁγίου, μίαν δὲ πρὸς ἀνάμνησιν τῶν ἐγκαινίων ἢ πρὸς τιμὴν τῶν κτιτόρων, ἴσως δὲ καὶ τρίτην καὶ τετάρτην. Νικόδημος ὁ τοῦ Συναξαριστοῦ ἀφήρεσε τὴν μνήμην Μάρκου τοῦ ἀποστόλου, νομίσας ὅτι «περιττῶς γράφεται ἐδῶ παρὰ τοῖς Μηναίοις».

ℰ

12. Ἀθανασίου τοῦ ὁμολογητοῦ.

Φρονῶ ὅτι ἐστιν εἷς τῶν ἐπὶ τῆς εἰκονομαχικῆς περιόδου διακριθέντων.

* * *

12. Στεφάνου ὁσίου τοῦ Χηνολάκκου[87].

Κατὰ τὸν ἐν χρήσει Συναξαριστὴν καὶ τὸ Βασιλειανὸν Μηνολόγιον, ὁ Στέφανος ἦν κτίτωρ τῆς μονῆς τοῦ Χηνολάκκου. Μοναχὸς ἐν τῇ ἐρήμῳ τοῦ Ἰορδάνου γενόμενος, ἦλθεν εἰς Κωνσταντινούπολιν ἐπὶ Λέοντος Ἰσαύρου, «καὶ Γερμανὸς ὁ ἁγιώτατος πατριάρχης ἐδωρήσατο αὐτῷ *τὸν τόπον, ἔνθα νῦν ἡ τοῦ Χηνολάκκου μονὴ ὑπάρχει*· καὶ ἔκτισε μοναστήριον· καὶ συνήγαγεν ἄνδρας εὐλαβεῖς· ἐδίδασκε δὲ καὶ τοὺς καθ' ἑκάστην ἡμέραν ἐρχομένους πρὸς αὐτόν. . . . . ἐν εἰρήνῃ παρέδωκε τῷ Θεῷ τὴν ψυχήν».

Ἔκ τε τοῦ τρόπου, καθ' ὃν ἡ ὑπόμνησις αὕτη γράφεται, καὶ ἐξ ἑτέρας ἐνδείξεως[88], ἡ μονὴ τοῦ Χηνολάκκου δείκνυται οὕτως ἐν Κωνσταντινουπόλει κειμένη· καὶ μάλιστα σῳζομένη κατὰ τὰ μέσα τῆς Ι' ἑκατονταετηρίδος.

* * *

12. Τοῦ ἁγίου Ἀλεξάνδρου πλησίον τῶν Ἁγίων Ἀποστόλων.

Ἡ μνήμη σημειοῦται ἐν τῷ Συναξαριστῇ τοῦ Μαργουνίου καὶ ἐν χειρογράφοις Συναξαρισταῖς· ἐπειδὴ δ' οὐ λέγει τὸ χειρόγραφον τὴν λέξιν *κειμένου*, πρόκειται προδήλως περὶ ναοῦ παρὰ τῷ τῶν Ἁγίων Ἀποστόλων ἐγειρομένου, ἀλλ' ἄγνωστον εἰς τίνα τῶν ὁμωνύμων ἁγίων ἀφιερωμένου. Νικόδημος ὁ τοῦ Συναξαριστοῦ ἀφήρεσε καὶ τὴν μνήμην Ἀλεξάνδρου, καθὸ δῆθεν ἀναγραφομένην καὶ κατὰ τὴν 30 αὐγούστου· διότι ἐπίστευσεν ὅτι ὁ ἅγιος Ἀλέξανδρος οὗτός ἐστιν ὁ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως· ταῦτα δὲ γράφει χωρὶς οὐδεμιᾶς μαρτυρίας.

ℰ

13. Ἑρμύλου καὶ Στρατονίκου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ εὐκτηρίῳ οἴκῳ τοῦ ἀρχαγγέλου Μιχαὴλ τῷ ὄντι ἐν τῇ Ὀξείᾳ[89].

περὶ τῆς συνάξεως τὰ Μηναῖα, συμπληροῦντα τὴν διάταξιν, γράφουσιν ὅτι τελεῖται: *καὶ ἐν Φιρμουπόλει, καὶ ἐν τοῖς Σπουδαίου πλησίον τοῦ Ὀρφανοτροφείου*[90].

Ἤθλησαν οἱ δύο μάρτυρες ἐπὶ Αἰκινίου.

Ναὸς ἐπ' ὀνόματι Στρατονίκου τοῦ μάρτυρος ὑπῆρχεν ἐν Ῥηγίῳ, τῷ σήμερον Κιουτσοὺκ-τσεκμετζέ· τοῦτον ἤγειρε πιθανῶς ἐπὶ Λέοντος τοῦ Θρᾳκὸς ὁ πρεσβύτερος καὶ οἰκονόμος Μαρκιανὸς[91], οὗ τὴν μνήμην γεραίρομεν τῇ 10 ἰανουαρίου· τῷ 557 ἐκρημνίσθη ὑπὸ σεισμοῦ[92], νεωτέραν δὲ περὶ τοῦ ναοῦ εἴδησιν οὐδαμοῦ εὗρον. Ἕνεκα τῆς ὑπάρξεως τοῦ ναοῦ τούτου, τὸ Ῥήγιον καὶ τὰ πέριξ ἐκαλοῦντο συνηθέστερον Ἅγιος Στρατόνικος, ὡς παρὰ Θεοφάνει[93], καθ' ὃν ἴσως ἤθελεν εἰπεῖ τις ὅτι Στρατονίκου ναὸς ἐσῴζετο κατὰ τὸν Θ' αἰῶνα· ὅπερ δυσχερῶς ἐννοεῖται.

Ἡ σύναξις ἐτελεῖτο ἐν Ὀξείᾳ τῇ νήσῳ τῆς Προποντίδος παρὰ τὴν Κωνσταντινούπολιν[94]· καὶ ἐν Φιρμουπόλει, ἥτις ἦν, ὡς φαίνεται, πολίχνιον περὶ τὴν πρωτεύουσαν[95]· καὶ ἐν τοῖς Σπουδαίου. Ἄγνωστον ἐν τίνι ναῷ παρὰ τὸ Ὀρφανοτροφεῖον ἐτελεῖτο ἡ σύναξις[96].

* * *

13. Τὰ ἐγκαίνια τῆς μονῆς τοῦ προφήτου Ἠλιοὺ, τῆς καλουμένης τοῦ Βαθέως Ῥύακος[97]· παρὰ Μαργουνίῳ: Τὰ ἐγκαίνια τοῦ προφήτου Ἠλιοὺ τῆς μονῆς τοῦ Βαθέως Ῥύακος.

ℰ

14. Νείλου καὶ Θεοδούλου τοῦ υἱοῦ αὐτοῦ. Ἡ σύναξις ἐν τῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Πέτρου ἐν τῷ Ὀρφανοτροφείῳ[98].

Ἤκμασαν πρὸ τῶν μέσων τοῦ Ε' αἰῶνος, ἐπὶ Θεοδοσίου τοῦ Β'[99].

ℰ

15. Ἰωάννου τοῦ διὰ Χριστὸν πτωχοῦ.

Προδήλως ζήσας μικρῷ πρὸ τῶν μέσων τοῦ Ε' αἰῶνος, ἦν υἱὸς Εὐτροπίου συγκλητικοῦ καὶ Θεοδώρας, ἐκ Ῥώμης ἑλκόντων τὴν τοῦ γένους σειράν. Λιπὼν τὴν ἐν τῇ σχολῇ σπουδὴν ἐγένετο μοναχὸς τῶν Ἀκοιμήτων[100], μονάσας ἐνώπιον αὐτῆς αὐτοῦ τῆς οἰκίας, ἐν ἀγνοίᾳ τῶν γονέων, οἵτινες ἤγειραν αὐτῷ μετὰ θάνατον ναόν, «πᾶσαν τὴν ὕπαρξιν αὐτῶν εἰς διακονίαν τῶν ξένων» ἀφιερώσαντες[101]. Ἐπωνομάσθη μετὰ θάνατον *ὁ διὰ Χριστὸν πτωχὸς*, οὕτω δὲ γράφεται ἐν χειρογράφοις Συναξαριστοῖς καὶ παρὰ Κεδρηνῷ, ὅστις ἀναφέρει[102] τὸν ναὸν αὐτοῦ, σῳζόμενον τῷ 461, καὶ κείμενον κατὰ πᾶσαν πιθανότητα ἐν τῷ μεταξὺ Ζιντὰν-καπὶ τῆς σήμερον καὶ Ἁγιάσμα-καπὶ διαστήματι[103].

ℰ

16. Ἡ προσκύνησις τῆς τιμίας ἁλύσεως Πέτρου τοῦ ἀποστόλου ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι ἔνδον τῆς μεγάλης ἐκκλησίας, ἔνθα καὶ ἡ σύναξις αὐτοῦ τελεῖται.

Τὰ παρὰ τῷ Βασιλειανῷ Μηνολογίῳ σαφέστερα τῆς παρὰ τῷ Μηναίῳ φερομένης ἐπιγραφῆς ταύτης· «τινὲς τῶν πιστῶν, τὰς ἁλύσεις εὑρόντες, κατὰ διαδοχὴν διεφύλαξαν· ὕστερον παρὰ τῶν εὐσεβῶν εἰς Κωνσταντινούπολιν εἰσήχθησαν· καὶ κατετέθησαν *ἐν τῷ ναῷ τοῦ ἀποστόλου Πέτρου τῷ* **πλησίον** *ὄντι τῆς Ἁγίας Σοφίας*, καὶ ἕως σήμερον τιμῶνται καὶ προσκυνοῦνται ὑπὸ τῶν χριστιανῶν».

Βεβαίως ὁ ναὸς οὗτος οὐκ ἔστιν ὁ κατὰ τὴν ἄκραν τῶν Μαρκιανοῦ περιδρόμων ὑπὸ Βασιλείου τοῦ Μακεδόνος ἐγερθείς, μήτε ὁ ὑπὸ Ἰουστινιανοῦ Α' ἐν Τοῖς Ὁρμίσδου[104], διότι τῶν ὑπ' ὄψιν ἡμῶν δύο μαρτυριῶν, ἡ μὲν γράφει τοῦτον ἔνδον ὄντα τῆς Ἁγίας Σοφίας, ἡ δὲ πλησίον.

---

85. ὑπ' ὄψιν ἔχω τὴν ἐξῆς ἔκδοσιν· « Βίοι ἁγίων | ἐκ τῆς ἑλληνικῆς | γλώττης | ἤτοι ἐκ τῶν | συναξαρίων | μεταφρασθέντες | παρὰ Μαξίμου ταπεινοῦ ἐπισκόπου Κυθήρων | εἰς κοινὴν ὠφέλειαν. | Τὸ παρὸν βιβλίον τετύπωται Ἐνετίησι παρὰ Ἀνδρέᾳ | τῷ Ἰουλιανῷ, ἀναλώμασι μὲν τοῖς αὐτοῦ, ἐπιμε|λείᾳ δὲ καὶ διορθώσει Θεοφυλάκτου ἱερο|μονάχου τοῦ Τζανφουρνάρου. | Ἔτει ἀπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ,αχνϛ'. Ἐνετίησι ». Τοῦ βιβλίου ὁ πρόλογος φέρει χρόνον γραφῆς ,αχ', τὸ δὲ ὅλον τεῦχος φύλλα τκη' εἰς δ', πλὴν τῶν τοῦ πίνακος σελίδων.

86. Κωδινὸς, σελ. 124. Γράφω τὴν εἴδησιν ταύτην ἐνταῦθα, καθὸ μὴ ἀντικειμένην εἰς τὴν ἱστορίαν.

87. ἡ μνήμη αὐτοῦ μετατίθεται ἐνταῦθα ἀπὸ τῆς 14 ἰανουαρίου κατὰ τὸ 426 χειρόγραφον Εὐαγγέλιον.

88. Μεθοδίου πατριάρχου βιογρ. Migne, P', 1245.

89. ταῦτα μόνα τὸ σταυρονικητηνὸν χειρόγραφον.

90. ἡ διάταξις οὕτω συμπεπληρωμένη κεῖται παρὰ Δουκαγγίῳ· Const. Christ. Δ', σελ. 112, ἀριθ. XC. Ἡ αὐτὴ σχεδὸν ἐν τῷ κοινῷ Συναξαριστῇ.

91. Μαρκιανοῦ βιογρ. παρὰ Migne, PIΔ', 449.

92. Θεοφ. Α', σελ. 357. Βλέπε εἰς τὴν 6 καὶ εἰς τὴν 14 δεκεμβρίου ἐν τῷ μετὰ χεῖρας Ἑορτολογίῳ.

93. Θεοφ. Α', σελ. 361 « εἰς τὸ Δέκατον »· βλ. περὶ Δεκάτου, Λίθους καὶ Κεράμια, σελ. ρξγ'-ρξδ'.

94. Τυπικὸν μονῆς Αὐξεντίου· σελ. 75.

95. βλέπε εἰς τὴν 4 φεβρουαρίου τὸν κατ' ἔκτασιν βίον Νικολάου τοῦ Στουδίτου.

96. περὶ τοῦ Ὀρφανοτροφείου βλ. εἰς τὴν 29 ἰουνίου ἐν τῷ μετὰ χεῖρας συγγράμματι.

97. βλ. περὶ τῆς μονῆς ἐκτενῆ λόγον ἐν τῇ 7 καὶ 17 φεβρουαρίου καὶ τῇ 1 ἰουλίου.

98. *Παύλου* μὲν κατὰ τὰ Μηναῖα, Πέτρου δὲ κατὰ τὸν Νικοδήμ. Συναξαριστὴν, διότι Πέτρου καὶ Παύλου ἦν ὁ ναός.

99. Casimiri Oudini Commentar. τόμ. Α', στ. 1251-1258. Νικόδημος ὁ τοῦ Συναξαριστοῦ περιέπεσεν εἰς ἀναχρονισμὸν φοβερὸν περὶ Νείλου αὐτελεγχόμενον· (12 νοεμβρίου συναξάριον, ἔνθα ὁ πρῶτος στίχος ἀναιρεῖ τὸν προτελευταῖον).

100. βλ. εἰς τὴν 29 δεκεμβρίου.

101. Βασιλ. Μηνολόγιον. Ἰωάννου βίος, ὑπὸ Συμεὼν Μεταφραστοῦ· Migne, PIΔ', 568-580. Νικηφ. Κάλλιστος· Ἐκκλ. Ἱστ. IE', κγ'.

102. Κεδρηνοῦ, τόμ. Α', σελ. 611.

103. Σκαρλάτου Βυζαντίου «Κωνσταντινούπολις», τόμ. Α', σ. 552. Κατὰ ῥῶσσόν τινα προσκυνητὴν, ὁ ναὸς ὑπῆρχε κατὰ τὰς ἀρχὰς τοῦ IΓ' αἰῶνος· Mordtmann, Esquisse, σελ. 48, β', 64, α'.

104. Theoph. Contin. σελ. 331. Πασπάτη, Τὰ βυζαντινὰ ἀνάκτορα καὶ τὰ πέριξ αὐτῶν ἱδρύματα ἐν Ἀθήναις, 1885, σελ. 27, 315.

Ἐκ τῶν χρονογράφων ὁ Παχυμέρης[105] ἀναφέρει τὴν ἑορτὴν τελουμένην καὶ κατὰ τὸν ΙΓ' αἰῶνα τῇ 16 ἰανουαρίου· τῷ 1274, Νικολάου τοῦ μητροπολίτου Χαλκηδόνος ἔν τινι τῶν ἀνακτορικῶν ναῶν τῇ ἡμέρᾳ ταύτῃ λειτουργοῦντος «ἐπὶ τῇ καταθέσει τῶν θείων ἁλύσεων», ὁ διάκονος ἀνέγνω τὰς ἐκ τοῦ Ἀποστόλου καὶ τοῦ Εὐαγγελίου περικοπὰς ἑλληνιστὶ καὶ λατινιστί, ἐν δὲ τοῖς διπτύχοις ἐγένετο τὸ μνημόσυνον τοῦ ὀνόματος τοῦ πάπα Γρηγορίου.

ꝛ

17. Ἀντωνίου τοῦ μεγάλου. Ἡ σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ[106].

* * *

17. Μνήμη τοῦ εὐσεβοῦς βασιλέως Θεοδοσίου τοῦ μεγάλου.

Ἀπεβίωσε τῇ 17 ἰανουαρίου 394 καὶ ἐτάφη ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων, τοῦ λειψάνου μετενεχθέντος ἀπὸ Μεδιολάνων. Ἀνεδείχθη προστάτης τῶν τὴν ὀρθὴν περὶ θεότητος δόξαν ἀσπαζομένων «καὶ ηὐξήθη τὰ χριστιανῶν πλέον ἐπὶ τῆς βασιλείας αὐτοῦ»[107] ἐφ' οὗ καὶ ἡ Β' Οἰκουμενικὴ συνεκροτήθη Σύνοδος. Ἐπαινεῖται ἡ πρὸς τοὺς κληρικοὺς εὐλάβεια τοῦ Θεοδοσίου, ὅστις θνήσκων παρήνει τοῖς υἱοῖς αὐτοῦ τελείαν εὐσέβειαν, δι' ἧς ἡ εἰρήνη φυλάττεται[108].

* * *

Τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδότου ἐπισκόπου Κυρηνίας τῆς Κύπρου. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ εὐκτηρίῳ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου ἐν τοῖς Ἁρματίου[109].

Καταδιωχθεὶς ἐπὶ Λικινίου καὶ πολλὰ παθὼν, ἀπεβίωσεν ἐν εἰρήνῃ, ἴσως ἐπὶ τοῦ Μ. Κωνσταντίνου. Παρὰ τῷ τοῦ Νικοδήμου Συναξαριστῇ γράφεται ὅτι ἐλυτρώθη τῆς φυλακῆς τῇ 19 τοῦ μηνὸς ἰανουαρίου, ἀπεβίωσε δὲ τῇ 2 μαρτίου, διετίαν μετὰ τὴν ἀπόλυσιν ταύτην· — ὁ Νικόδημος διέγραψε τὴν μνήμην τοῦ Θεοδότου, διότι τὸ λεγόμενον Βασιλειανὸν Μηνολόγιον ἀναφέρει αὐτὴν τῇ 2 μαρτίου, ἐξ οὗ φαίνεται ὅτι τῇ μὲν ἰανουαρίου 17 ἑώρταζον τὴν εἰς Χριστὸν καλὴν ὁμολογίαν τοῦ Θεοδότου, τῇ δὲ 2 μαρτίου τὴν ἐπέτειον τοῦ θανάτου.

ꝛ

18. Ἀθανασίου καὶ Κυρίλλου πατριαρχῶν Ἀλεξανδρείας. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ[110].

ꝛ

19. Τῶν ἁγίων μαρτύρων Λουκιανοῦ, Παύλης, καὶ τῶν σὺν αὐτοῖς νηπίων Κλαυδίου, Ὑπατίου, Παύλου, Διονυσίου. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ οἴκῳ Ἀναστασίου πατριάρχου ἐν τῇ Ὀξείᾳ[111].

Κατὰ τὰ Μηναῖα, Λουκιλλιανὸς, ἀντὶ Λουκιανοῦ, γράφεται.

Καίπερ ἀσαφοῦς ἔτι ὄντος τοῦ ὁρισμοῦ, μᾶλλόν ἐστι πιστευτὸν ὅτι τὴν νῆσον Ὀξεῖαν τὴν τῆς Προποντίδος ἐννοεῖ τὸ συναξάριον· ὁ δὲ οἶκος Ἀναστασίου πατριάρχου πιθανῶς οὐκ ἦν ἐπώνυμος αὐτῷ ναός[112].

Νικόδημος ὁ τοῦ Συναξαριστοῦ διέγραψε τὴν μνήμην τῶν ἁγίων τούτων, διότι δῆθεν ἀναφέρεται καὶ τῇ 3 ἰουνίου.

* * *

19. Ἡ εἰς τὸν ναὸν τῶν Ἁγίων Ἀποστόλων ἐπὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου ἀνακομιδὴ τοῦ λειψάνου Γρηγορίου τοῦ Θεολόγου.

Ἡ εἴδησις ἀρκετὰ σαφής· ἀλλὰ μέχρι τοῦ 1204 τεμάχιά τινα λειψάνων κατεῖχεν ὁ ναὸς τῆς τοῦ Θεοῦ Σοφίας, ὡσαύτως δὲ μέρος τοῦ λειψάνου τοῦ Θεολόγου ἐκέκτητο ὅ τε τῶν Ἁγίων Ἀποστόλων ναὸς καὶ ὁ τῆς ἁγίας Ἀναστασίας[113].

* * *

19. Μελετίου Γαλησιώτου τοῦ ὁμολογητοῦ.

Υἱὸς Γεωργίου στρατιωτικοῦ ἀξιωματικοῦ καὶ Μαρίας, ἔκ τινος ἐν τῷ Πόντῳ κώμης Θεοδότου καλουμένης· Μιχαὴλ κατὰ κόσμον, ἐκάρη μοναχὸς ἐν τῷ Σινᾷ, ὅπου μετέβη πεζῇ, διελθὼν καὶ τὴν Ἁγίαν Γῆν· ἐπεσκέψατο κατόπι τὴν Αἴγυπτον, ὑστερον ἦλθεν εἰς Δαμασκὸν, ἐπισκεπτόμενος πάσας τὰς ἐν τοῖς τόποις τούτοις μονάς· διέμεινε μακρότερον χρόνον εἰς τὸ ὄρος τοῦ Λάτρου καὶ κυρίως εἰς τὸ Γαλήσιον, ἐν τῇ μονῇ τοῦ ὁσίου Λαζάρου, θαυμαζόμενος διὰ τὴν ἀρετὴν αὐτοῦ. Ἦλθεν εἰς Κωνσταντινούπολιν μετὰ τὸ 1261, μικρῷ δὲ πρὸ τοῦ 1272, καὶ ἠσκεῖτο ἔν τινι σπηλαίῳ[114] κατὰ τὸν Αὐξεντίου βουνόν· ἀλλὰ περιήρχετο καὶ τὰς πέριξ κώμας, στηρίζων τοὺς πιστοὺς εἰς τὸ πάτριον δόγμα. Μεταξὺ τῶν ἐτῶν 1272-74 ἔκτισεν ἐπὶ τῆς πρὸ τοῦ Ἀκρίτα νησίδος τοῦ ἁγίου Ἀνδρέου τοῦ Πρωτοκλήτου μονύδριον μετὰ ναοῦ καὶ κελλίων· Μιχαὴλ ὁ Παλαιολόγος ἐξώρισεν αὐτὸν εἰς Σκύρον τὴν νῆσον ἅμα Γαλακτίωνι τῷ Γαλησιώτῃ, λογίῳ ἱερεῖ καὶ μοναχῷ, τῷ 1275, καὶ μετά τινα ἔτη μετεπέμψατο πάλιν εἰς τὴν Κωνσταντινούπολιν· Ἰωσὴφ δὲ ὁ πατριάρχης ἠθέλησε 'να χειροτονήσῃ πρεσβύτερον τὸν Μελέτιον, ἀλλ' ὁ ἱερὸς ἄνθρωπος ἠρνήθη. Ἀπεβίωσε μικρῷ μετὰ τὸ 1283 εἰς ἡλικίαν ἐτῶν ἑβδομήκοντα καὶ ἑπτά[115]. Ἐτάφη ἐν τῇ μονῇ τοῦ ἁγίου καὶ δικαίου Λαζάρου, τιμηθεὶς ἀμέσως ὡς ἅγιος[116].

ꝛ

20. Εὐθυμίου πρεσβυτέρου καὶ καθηγητοῦ τῆς ἐρήμου. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

* * *

20. Θύρσου καὶ Ἀγνῆς. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις πλησίον Ἐλενιανῶν.

Ἐκ τῶν ἀλλαχοῦ γραφομένων[117] δείκνυται ὅτι ναὸς ἐπ' ὀνόματι τῶν δύο τούτων μαρτύρων ἠγείρετο πλησίον τοῦ παλατίου τῶν Ἐλενιανῶν, τοποθεσίας ἐκτεινομένης μεταξὺ τῶν Ὑψωμαθείων καὶ τοῦ Ξηρολόφου, τοῦ σήμερον Ἀβρὰτ-παζάρ.

* * *

20. Λέοντος τοῦ μεγάλου βασιλέως.

Κατὰ τὴν παράδοσιν, ἤγειρε τὸν ναὸν τῆς Ζωοδόχου Πηγῆς. Ἐπέβαλε διὰ θείας αὐτοῦ σάκρας τὴν ἀργίαν τῆς κυριακῆς[118]. Ἐδείχθη λάτρις καὶ προστάτης τῶν θεοπνεύστων ἀποφάσεων τῆς ἐν Χαλκηδόνι Δ' Οἰκουμενικῆς Συνόδου. Ἐτάφη δ' ἐν τοῖς Ἁγίοις Ἀποστόλοις[119], ἀποθανὼν τῷ 474, κατὰ τὴν 20 ἰανουαρίου, καθὼς εἰκάζει τις ἐκ τῆς ἡμέρας, ἐν ᾗ τὰ Μηναῖα ὥρισαν τὴν μνήμην αὐτοῦ.

* * *

20. Πέτρου τοῦ τελώνου τοῦ μακαρίου ..... καὶ κατετέθη ἐν τῇ τοποθεσίᾳ τοῦ Βοὸς, ἐν τῷ ἰδίῳ οἴκῳ.

Οὐ πρόκειται περὶ ναοῦ[120].

Πατρίκιος καὶ διοικητὴς Ἀφρικῆς ἐπὶ τοῦ Μ. Ἰουστινιανοῦ· διένειμε τὸν πλοῦτον αὐτοῦ τοῖς πτωχοῖς· ἐπεσκέψατο τοὺς ἁγίους τόπους

---

105. Παχυμ. τόμ. Α', σελ. 399.

106. ὅπου σαφὴς ἡ διάταξις, οὐδαμῶς ἐκτείνομαι· γίνεται δὲ λόγος ἐκτενὴς ὅταν ἡ ὑπόθεσις ᾖ ὅσιός τις ἀνὴρ ἐν Κωνστ/πόλει ζήσας, ἡγούμενος δ' ἢ κτίτωρ μοναστηρίου, πατριάρχης ἢ ἀρχιερεύς. Ἐπίσης παραλείποντα τὰ κοσμητικὰ *ὁσίου, θεοφόρου, τοῦ ἐν ἁγίοις*, καὶ τὰ παραπλήσια, ἐὰν τὰ παρ' ἐμοὶ χειρόγραφα τίτλους ἑκάστης ἑορτῆς ἔχωσιν ὁμοίους τοῖς παρὰ Νικοδήμῳ.

107. Σωκράτης· Ἐκκλησιαστ. Ἱστ. ΣΤ', α'. Πασχ. Χρον. 561, 565.

108. Θεοδωρήτου Κύρου Ἐκκλ. Ἱστ. Ε', ιη', κε'.

109. ἡ μνήμη ἀναγράφεται ἐνταῦθα κατὰ τὸν τοῦ Σταυρονικήτα Συναξαριστήν.

110. βλ. περὶ Ἀθανασίου καὶ Κυρίλλου τὴν «Πατρολογίαν» τοῦ φιλτάτου ἀρχιμανδρίτου καὶ καθηγητοῦ τῆς Θεολογίας Ἀποστόλου Χριστοδούλου, ἐκδοθεῖσαν ἐν Κων/πόλει, 1894 (γράφε 1895), σελ. 372-395. Κοντογόνου «Πατρολογίαν», τόμ. Β', σελ. 83-164. Φιλαρέτου Βαφείδου, Ἐκκλ. Ἱστ. τόμ. Α', σελ. 234-238 καὶ 363.

111. ἡ τῆς μνήμης ἀναγραφὴ γίνεται κατὰ τὸν τοῦ Σταυρονικήτα Συναξαριστὴν, καθὸ πληρεστέρα.

112. βλ. ὅσα περὶ τούτου γράφω ἐν Τυπικῷ μονῆς Αὐξεντίου, σελ. 73-76.

113. Πασπάτη, Βυζαντιναὶ Μελέται, σελ. 343 καὶ 368· βλ. καὶ εἰς τὴν 25 ἰανουαρίου.

114 τοῦτο κατὰ τὴν βιογραφίαν· ἀλλὰ ποῦ σπήλαιον ἐν τῷ βουνῷ τούτῳ!!

115. Μελετίου βιογραφία ἐν «Νέῳ Ἐκλογίῳ».

116. Παχυμέρης, τόμ. Β', σελ. 17.

117. βλ. εἰς τὴν 14 δεκεμβρίου καὶ εἰς τὴν 21 σεπτεμβρίου ἐν τῷ μετὰ χεῖρας συγγράμματι.

118. τὰ περὶ Λέοντος γράφονται κατὰ τὴν μαρτυρίαν Εὐαγρίου, Ἐκκλ. Ἱστ. Β', 9, καὶ Θεοδώρου Ἀναγνώστου, Ἐκκλ. Ἱστ. Ἐκλ. Α', 14. Μάλχου ἀποσπάσματα· (Historici Græci minores, σελ. 388, 392 κατὰ τὴν ὑπ' ὄψιν μου ἔκδοσιν Λουδοβίκου Δινδορφίου, ἐν Λειψίᾳ, 1870) καθ' ὃν, καίπερ ὠμὸς ὁ Λέων, ὅμως ταῖς παραινέσεσι καὶ συμβουλαῖς Ἀκακίου τοῦ πατριάρχου πειθόμενος, πολλοὺς μὲν ἔσωσε, τοῦ Θυμοῦ δ' ἔμαθε κρατεῖν, « καὶ τοὺς ἐξορίαν ἀΐδιον ἔχοντας ἀνεκαλεῖτο πρὸς τὴν πατρίδα ». Πολλῶν ἐπαίνων ἄξια καὶ τὰ λεχθέντα ὑπὸ Λέοντος ἐπὶ τῇ χορηγίᾳ σιτηρεσίου πρὸς Εὐλόγιον τὸν φιλόσοφον. Τὰ δὲ περὶ Ζωοδόχου Πηγῆς Θρυλούμενα βλέπε εἰς τὴν 9 ἰουλίου.

119. Τὰ περὶ τῶν ἐν Ἁγίοις Ἀποστόλοις ταφέντων εὐσεβῶν ἀνάκτων γράφονται κατὰ τὴν παρὰ Δουκαγγίῳ σημείωσιν ἐν Constant. Christ. σελ. 74-75 τοῦ Δ' βιβλ.

120. ἡ μνήμη γράφεται κατὰ τὸ τοῦ Σταυρονικήτα Συναξάριον· τὰς λέξεις *ἐν τῷ ἰδίῳ οἴκῳ* ὁ Δουκάγγιος ἐνόμισε δηλούσας ναόν· Const. Christ. μέρ. Δ', σελ. 91.

καὶ ἐπανελθὼν εἰς Κωνσταντινούπολιν διεκρίθη διὰ τὸ φιλελεῆμον αὐτοῦ καὶ τὴν εὐσέβειαν.

* * *

20. Ἡ σύναξις τῆς Ἁγίας Εἰρήνης ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῇ οὔσῃ πρὸς τὴν θάλασσαν.

Παρὰ τῷ Συναξαριστῇ καὶ τοῖς Μηναίοις ἡ ἑορτὴ ὁρίζεται τῇ 21 τοῦ μηνὸς τούτου· παρὰ τῷ χειρογράφῳ Συναξαριστῇ οὐδὲν εὗρον· ἀλλ' ἐν βιογραφίᾳ Μαρκιανοῦ ἀναγράφεται σαφῶς ἥ τε ἡμέρα καὶ ἡ τῆς συνάξεως αἰτία· διότι οὕτω γεγραμμένον παρὰ τοῖς Μηναίοις ἤθελε δείξει ὅτι ἑορτὴ εἰς μνήμην τῆς ἀθλήσεως τῆς ἁγίας μάρτυρος Εἰρήνης καὶ παννυχὶς ἐτελεῖτο. Ἡ βιογραφία παραδίδωσιν ἡμῖν ὅτι τοῦ ναοῦ τῆς ἁγίας Εἰρήνης τοῦ πρὸς θάλασσαν ὑπὸ Μαρκιανοῦ οἰκονόμου κτισθέντος «*τὰ ἐγκαίνια κατὰ τὴν εἰκάδα τοῦ ἰανουαρίου δι' ἔτους τελεῖται· ὁπότε καὶ πολλὴ τοῦ πλήθους ἡ συνδρομὴ* καὶ πολὺς ὁ Μαρκιανὸς ἐν τοῖς ἁπάντων ἄδεται στόμασι»[121].

Περὶ τοῦ ναοῦ τούτου γίνεται λόγος ἐν οἰκείῳ τόπῳ[122].

ℰ

21. Μαξίμου τοῦ ὁμολογητοῦ.

Βυζάντιος τὴν πατρίδα, καταγόμενος ἐξ εὐγενῶν, ἦν ἀνὴρ πεπαιδευμένος, καὶ γραμματεὺς καὶ σύμβουλος ἐχρημάτισεν ἐν τοῖς ἀνακτόροις ἐπὶ Ἡρακλείου, κατὰ τῶν μονοθελητῶν αἱρετικῶν ἀγωνισάμενος· ἐγένετο μοναχὸς ἐν τῷ μοναστηρίῳ τῆς Θεοτόκου τῷ κατὰ τὴν Χρυσόπολιν, ὅπερ ἤρξατο κτίζειν τῷ 594 Φιλιππικὸς ὁ γαμβρὸς τοῦ Μαυρικίου, κείμενον μὲν «πρὸς θάλασσαν τοῦ ἄστεος Χρυσοπόλεως», ἀνθοῦν δὲ κατὰ φιλοσοφίαν περὶ τὰ μέσα τῆς Ζ' ἑκατονταετηρίδος καὶ σῳζόμενον τοὐλάχιστον ἕως τοῦ 798, ὅτε Δωροθέῳ τῷ ἡγουμένῳ αὐτοῦ ἐνεπίστευσέ τινα πολιτικὴν ἀποστολὴν[123] Εἰρήνη ἡ αὐτοκράτειρα. Τοῦ μοναστηρίου τούτου ὁ Μάξιμος ἐγένετο ἡγούμενος· μὴ συμφρονῶν δὲ Κώνστᾳ τῷ αὐτοκράτορι καὶ κακοποιηθείς, ὡς λέγεται, ἐστάλη ὑπερόριος εἰς Βιζύην, μετενεχθέντα δ' ἐκεῖθεν εἰς Ῥήγιον «μετά τινα χρόνου παραδρομὴν εἰσάγουσιν αὐτὸν ἐν Κωνσταντινουπόλει»· τέλος ἀποσταλεὶς εἰς τὸ φρούριον (τὴν, ἤ, τὸ) Σχίζαριν ἐν Ἀλανίᾳ, τρία δ' ἔτη ζήσας ἐν αὐτῷ, ἀπεβίωσε καὶ ἐτάφη «ἐν τῇ μονῇ τοῦ ἁγίου Ἀρσενίου, ἐν αὐτῇ τῇ χώρᾳ τῶν Λαζῶν»[124].

ℰ

22. Τιμοθέου τοῦ ἀποστόλου .... Τὸ ἅγιον λείψανον ἐν Κωνσταντινουπόλει μετεκομίσθη καὶ κατετέθη εἰς τὸν ναὸν τῶν Ἁγίων Ἀποστόλων, ἔνθα καὶ ἡ σύναξις αὐτοῦ τελεῖται.

Τὸ λείψανον Τιμοθέου τοῦ ἀποστόλου ἐκομίσθη εἰς Κωνσταντινούπολιν τῇ 1 τοῦ μηνὸς ἰουλίου 356 καὶ κατετέθη ὑπὸ τὴν ἁγίαν τράπεζαν τοῦ ναοῦ τῶν Ἁγίων Ἀποστόλων μετὰ τῶν ἀποστολικῶν λειψάνων Ἀνδρέου καὶ Λουκᾶ. Ἐπειδὴ δὲ καὶ τῷ 547 πάλιν ἀναφέρεται κατάθεσις τῶν αὐτῶν ἀποστολικῶν λειψάνων[125] ἐν τοῖς Ἁγίοις Ἀποστόλοις, φρονῶ ὅτι πρὸ τῆς ἀνοικοδομῆς τοῦ ναοῦ ἤρθησαν ἐκεῖθεν καὶ μετὰ τὴν ὑπὸ Θεοδώρας ἀνέγερσιν κατετέθησαν ἐπὶ τοῖς ἐγκαινίοις.

Κατὰ τὸν Ϛ' αἰῶνα ἡ σύναξις ἐπὶ τῇ ἑορτῇ ἐτελεῖτο ἐν τοῖς Ὁρμίσδα[126].

* * *

22. Ἀναστασίου τοῦ πέρσου. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἔνδον τοῦ ἁγίου μάρτυρος Φιλήμονος ἐν τῷ Στρατηγίῳ.

τῇ αὐτῇ ἡμέρᾳ ἀναφέρεται παρὰ τῷ Βασιλειανῷ λεγομένῳ Μηνολογίῳ

22. Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ αὐτοῦ μάρτυρος Ἀναστασίου τοῦ πέρσου.

Ἤκμασεν ἐπὶ Ἡρακλείου ὁ Ἀναστάσιος, ἡ δὲ ἀνακομιδὴ ἐγένετο δέκα ἔτη μετὰ τὴν ἄθλησιν[127], δηλ. τῷ 430.

---

121. Μαρκιανοῦ βιογρ. Migne, ΡΙΔ', στ. 448.

122. δηλ. εἰς τὴν 5 μαΐου.

123. Στεφάνου βίος, ὑπὸ Στεφάνου διακόνου· Migne, Ρ', 1140. Μαξίμου βίος· Migne, ᾱ', στ. 72. Θεοφ. Α', σελ. 420, 733. Κεδρηνός, Α', σελ. 698. Νικηφόρ. Κάλλ. Ἐκκλ. Ἱστ. ΙΗ', μϐ'.

124. Μαξίμου βίος καὶ συναξάριον· Migne, η', στ. 68-109 καὶ 209. Θεοφ. Α', σελ. 531, 538.

125. Φιλοστόργιος, Γ', 2. Μαλαλᾶς, σελ. 484. Θεοφ. Α', σελ. 352. Ἴδε εἰς τὴν 30 ἰουνίου.

126. Εὐτυχίου βίος, ὑπὸ Εὐστρατίου· Migne, ΠΣΤ', στ. 2361.

127. περὶ τῶν λειψάνων ἐκτενῶς ὁ Συναξαριστής· ὁ δὲ Νικόδημος ἀναγράφει τὴν μνήμην εἰς τὴν 24 ἰανουαρίου, καίπερ ἔχων ὑπ' ὄψιν χειρόγραφα τοῦ παλαιοτέρου Μηνολογίου.

Ναὸς ἴδιος εἰς τιμὴν Ἀναστασίου τοῦ μάρτυρος οὐκ ἠγείρετο, ἀλλ' εἰς μνήμην αὐτοῦ καθωσιώθη παρεκκλήσιόν τι τοῦ ναοῦ τοῦ ἁγ. Φιλήμονος, κειμένου κατὰ τὸ Στρατήγιον, ἤτοι κατὰ τὸν πέρπτον ῥεγεῶνα τῆς πόλεως[128]· ὁ Δουκάγγιος κρίνει τὸν ναὸν κτίσμα γυναικός τινος ἐπιφανοῦς ἐπὶ Θεοδοσίου Β'[129]. Ὁ ναὸς οὗτος, ἄγνωστον εἰς τίνα τῶν πέντε ἁγίων τῶν τὸ ὄνομα Φιλήμονος φερόντων ἀνατεθειμένος, εἶχε καὶ ἕτερον παρεκκλήσιον ἐπ' ὀνόματι τιμώμενον Ἐπιφανίου Κύπρου[130].

Ἐν τῷ μετὰ χεῖρας Ἑορτολογίῳ μνεία Φιλήμονος, ὡς εἰκός, οὐ γίνεται.

ℰ

23. Κλήμεντος Ἀγκύρας καὶ Ἀγαθαγγέλου μάρτυρος. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ τῷ ὄντι πέραν, ἐν τοῖς Εὐδοξίου, ἐπέκεινα Ἀνάπλου, καὶ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς ἁγίας Εἰρήνης τῆς παλαιᾶς καὶ νέας.

Ἀόριστος ὁ τόπος, ὅπου ἔκειτο ὁ ναὸς τῶν δύο ἱερομαρτύρων· οἱ ἐπέκεινα Ἀνάπλου τόποι, δῆλον οὖν οἱ ἀπὸ τοῦ σημερινοῦ Μεγάλου-ῥεύματος πρὸς τὸ τοῦ Εὐξείνου στόμα ἦσαν γνωστοὶ ὑπὸ ἰδίας ὀνομασίας, ὡς εὑρίσκομεν παρὰ τοῖς χρονογράφοις. Τὰ Εὐδοξίου ἔκειντο ἴσως ἐπέκεινα τῶν Χηλῶν, τοῦ σημερινοῦ χωρίου Βεβέκ. Ναΐσκος ἐπ' ὀνόματι τοῦ ἁγίου Κλήμεντος ἠγείρετο καὶ ἐν τοῖς ἀνακτόροις, ὃν ἀνῳκοδόμησε Βασίλειος ὁ Μακεδών[131].

Ἡ κάρα Κλήμεντος τοῦ μάρτυρος ἐν τῷ ναΐσκῳ τούτῳ κατετέθη σὺν λειψάνοις ἑτέρων ἁγίων ὑπὸ τοῦ κτίτορος Βασιλείου, κατὰ τὴν χρονογραφίαν[132].

Περὶ τῆς ἁγίας Εἰρήνης τῆς παλαιᾶς καὶ νέας ἐπέχω· διότι ναὸς ὑπῆρχεν ἁγίας Εἰρήνης τῆς παλαιᾶς καὶ ἕτερος ὁ τῆς νέας, ὁ ὑπὸ Μαρκιανοῦ κτισθείς· ὁ δὲ τρίτος ἐν Συκαῖς· ἂν δὲ πρέπῃ 'να πιστεύσωμεν καὶ τέταρτον ὑπάρχοντα, οὐδὲν εἰπεῖν ἔχω· διότι καὶ ἀλλαχοῦ μέλλομεν ἰδεῖν ἀναφερόμενον *ναὸν ἁγίας Εἰρήνης παλαιᾶς τε καὶ νέας* ἕνα, οὐχὶ δὲ δύο. Ἴσως ἦν ὁ αὐτός[133].

Φρονῶ ὅτι ἀπὸ τῶν ἀρχῶν τοῦ Ι' αἰῶνος ἤρξατο 'να τελῆται σύναξις Ἀγαθαγγέλου καὶ Κλήμεντος ἐν τῇ κατὰ τὰ Ὑψωμαθεῖα μονῇ Εὐθυμίου τοῦ πατριάρχου, εἰς ὃν τῷ 907 Γαβριὴλ ὁ μητροπολίτης Ἀγκύρας ἐδωρήσατο τό τε τοῦ Κλήμεντος ὠμοφόριον, παρ' αὐτῷ σῳζόμενον, καὶ λείψανά τινα τοῦ Ἀγαθαγγέλου· τὰ δῶρα ταῦτα κατέθηκεν ὁ πατριάρχης Εὐθύμιος ἐν τῇ μονῇ αὐτοῦ[134].

* * *

23. Μνήμη τῆς ἁγίας καὶ οἰκουμενικῆς Ϛ' Συνόδου τῆς καθελούσης τοὺς λέγοντας ἓν θέλημα ἔχειν τὸν Χριστὸν καὶ μετὰ σάρκωσιν· ἐγένετο δὲ αὕτη ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου, τοῦ πατρὸς Ἰουστίνου (γρπτ. Ἰουστινιανοῦ) τοῦ Ῥινοτμήτου, ἐν Κωνσταντινουπόλει[135].

ℰ

24. Τοῦ ἁγίου προφήτου προδρόμου Ἰωάννου τοῦ βαπτιστοῦ πλησίον τοῦ Ταύρου.

Ἤγετο τῶν ἐγκαινίων ἡ μνήμη[136].

* * *

24. Καστίνου πρώτου ἐπισκόπου τοῦ Βυζαντίου.

Νικόδημος ὁ τοῦ Συναξαριστοῦ εὗρεν ἐν χειρογράφοις Συναξαρισταῖς σημειούμενον τὸν Καστῖνον δεύτερον ἐπίσκοπον τοῦ Βυζαντίου· ἕτερα χειρόγραφα λέγουσι πρῶτον· ὁ χρονογράφος Κεδρηνὸς τίθησι τοῦ Βυζαντίου πρῶτον ἐπίσκοπον ἐπὶ Καρακάλλα τὸν Φιλάδελφον, μεθ' ὃν Εὐγένιον[137]. Τὸ μόνον ἀκριβές ἐστιν ὅτι ἡ περὶ τοῦ πρωτοκλήτου Ἀνδρέου παράδοσις ὡς πρώτου κήρυκος τοῦ χριστια-

---

128. ὁ Σκ. Βυζάντιος («Κωνσταντινουπόλεως» τόμ. Α', σελ. 408-410) τίθησι τὸ Στρατήγιον ὅπου τὸ νῦν Γεσὶρ παζάρ· μᾶλλον ἐν τῇ περιοχῇ τοῦ σήμερον Τσεμπερλὶ-τάς.

129. Constant. Christ. Δ' μέρους, σελ. 92. Οὐ δέχεται δὲ τὰς τοῦ Κωδινοῦ ψευδολογίας, καθ' ὃν μάλιστα ναὸν ἴδιον εἰς τὸν Ἀναστάσιον ἤγειρεν Εἰρήνη καὶ Κωνσταντῖνος· Κωδινός, σελ. 76.

130. βλ. εἰς τὴν 12 τοῦ μηνὸς μαΐου.

131. Theoph. Continuati, σελ. 330.

132. ἡ μαρτυρία κατὰ τὴν ἄνω παραπομπήν.

133. Ἴδε εἰς τὴν 24 ἰουλίου ἐν τῷ μετὰ χεῖρας συγγράμματι· πρβλ. καὶ τὰ τῆς 1 φεβρουαρίου.

134. Εὐθυμίου βίος, ἐκδοθεὶς ὑπὸ C. De Boor· σελ. 55 καὶ 56.

135. ἡ μνήμη οὕτω γράφεται κατὰ τὸν τοῦ Σταυρονικήτα Συναξαριστήν.

136. ἡ μνήμη οὕτω γραφομένη σημαίνει τὴν ἀνάμνησιν τῶν ἐγκαινίων· Ἴδε εἰς τὴν 12 καὶ 20 ἰανουαρίου.

137. Κεδρηνός, Α', σελ. 449 καὶ 451. Κατὰ Ζωναρᾶν (ΙΓ', 3) ἀρχαιότερος γνωστὸς ὁ Δομέτιος, εἶτα δὲ Πρόβος. Τὴν δὲ μνήμην τοῦ Καστίνου τὸ τοῦ Σταυρονικήτα χειρόγραφον εἰς τὴν 24 ἀναγράφει.

νισμοῦ ἐν Βυζαντίῳ οὐχ εὕρηται παρὰ τοῖς ἀρχαίοις χρονογράφοις [138].

Μνήμη Καστίνου παρὰ Νικοδήμῳ τῇ 25 ἰανουαρίου.

* * *

Ἡ ἀνάμνησις τῶν ἐγκαινίων τοῦ ναοῦ τοῦ ἁγίου Ζαχαρίου ἐν τῇ μονῇ τῆς ὁσίας Δομνίκης.

Βεβαίως ἦγε τὴν ἐπὶ τούτῳ σύναξιν, ὡς ἔθος, ἡ μονὴ τῆς Δομνίκης, ὡς ἐν τῇ 8 ἰανουαρίου βλέπομεν.

ℰ

25. Γρηγορίου τοῦ Θεολόγου. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν τῷ μαρτυρείῳ τῆς ἁγίας Ἀναστασίας ἐν τοῖς Δομνίνου ἐμβόλοις, καὶ ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων, ἔνθα καὶ τὸ ἱερὸν αὐτοῦ λείψανον [139].

Ἐπὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, κατὰ τὰ τελευταῖα πιθανῶς ἔτη τῆς ἀρχῆς αὐτοῦ, εὑρέθησάν που τῆς Κωνσταντινουπόλεως ἀποκεκρυμμένα τὰ λείψανα Γρηγορίου τοῦ Θεολόγου, καὶ τούτων τινὰ μὲν ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων ἀπεθησαύρισε, τινὰ δὲ ἐν τῷ ναῷ τῆς ἁγίας Ἀναστασίας [140].

Κατὰ τὸν Πορφυρογέννητον, ἀπερχόμενοι οἱ βασιλεῖς ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων κατὰ τὴν δευτέραν ἡμέραν τοῦ Πάσχα, πρὸς ἀκρόασιν τῆς θείας λειτουργίας, ἠύχοντο καὶ ἥπτον κηροὺς ἐνώπιον τοῦ τάφου τοῦ ἁγίου Γρηγορίου [141].

Ναὸς ἁγίου Γρηγορίου, κατὰ τοὺς παραδοξολόγους, Ξηροκήπιον ἐπιλεγόμενος, ἐκτίσθη δῆθεν ἐπὶ τοῦ Μ. Θεοδοσίου· οἱ δ' αὐτοὶ καὶ ἕτερον ἀναφέρουσι τοῦ ἁγίου Γρηγορίου ναόν, ὑπὸ Μαυρικίου κτισθέντα [142]· κατὰ τὰ 858 ἀναφέρεται ἐντὸς τῆς Κωνσταντινουπόλεως ναός, οὗ πλησίον καὶ «σταυρὸς ἐν μαρμαρίνῳ κίονι κατὰ μέσον ἀνεστήλωται τῆς λεωφόρου» [143]. δῆθεν πρὸς δυσμὰς τοῦ ναοῦ τῶν ἁγίων Ἀποστόλων [144].

Ἐκ **τοῦ λειψάνου τοῦ ἱεροῦ Γρηγορίου** τοῦ Θεολόγου θησαυρίζει τὸ κρανίον ἡ ἐν Ἁγίῳ Ὄρει ἱερὰ μονὴ τοῦ Βατοπεδίου. Περὶ τοῦ λειψάνου τούτου γράμμα πατριάρχου τινὸς Ἱεροσολύμων, ἴσως τοῦ Χρυσάνθου ἢ ἀρχαιοτέρου, εὕρηται ἐν τῷ ὑπ' ἀριθμὸν 27 χειρογράφῳ τῆς ἐνταῦθα κατὰ τὸ Φανάριον Ἁγιοταφικῆς βιβλιοθήκης, μιμνησκόμενον καὶ προγενεστέρων ἐπισήμων γραμμάτων, τὴν τοῦ λειψάνου γνησιότητα μαρτυρούντων· ὃ καὶ διὰ τὸν λόγον τοῦτον ἐκδίδωμι:

«Τὰ καλὰ μὲν πάντα συμιστᾶν καὶ τὴν δυματὴν περὶ ταῦτα προόμοιαν ποιεῖσθαι τοὺς τὰ τοιαῦτα διεργεῖν ἐπιτετραμμένους ὅσιόν τε καὶ δίκαιον διατελεῖ, ἐκ περιουσίας δὲ μάλιστα ἐπιμελεῖσθαι χρεὼν τῶν θειοτέρων καὶ πνευματικῆς χάριτος ἠξιωμένων, καὶ οὐ μικρᾶ τιμα τὴν ψυχικὴν λυσιτέλειαν τοῖς τὰ τοιαῦτα σεβομένοις ἐπιμνηστευόντων, ὡς παρταχόθεν τὸ μόνιμον καὶ ἀναμφίρητον ἔχοιεν. Ὅθεν καὶ ἡ μετριότης ἡμῶν εὐλαβῶς θεασαμένη, καὶ ἐ.....μένως κατασπασθεῖσα τὴν παιέρον καὶ χαριτόβρυτον κάραν τοῦ ἐν ἁγίοις καὶ θεοφόρου πατρὸς ἡμῶν ἱεράρχου Γρηγορίου τοῦ μεγάλου καὶ Θεολόγου, φδὰς μὲν χαριστηρίους τῷ κρείττονι ἀνέπεμψεν, ὡς ἀξιωθεῖσα τοιαύτης εὐκταίας θέας καὶ χάριτος, βεβαιωθεῖσα δὲ ἐκ πολλῶν τεκμηρίων καὶ ἀρχαίων ὑπομνημονευμάτων, ὡς ἀληθῶς ἡ διαληφθεῖσα αὕτη ἡ ἱερὰ καὶ σεβασμιωτάτη κάρα ὑπάρχει τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου, φήθη δεῖν συμμαρτυρῆσαι καὶ ἐπιβεβαιῶσαι πᾶσι τοῖς ἀξιωθεῖσιν ἐντυχεῖν σεβασμίως τῇ ἱερᾷ ταύτῃ κάρᾳ, ἔσομένη καὶ ἑτέροις πατριαρχικοῖς γράμμασι περὶ ταύτης διαλαμβάνουσιν· ὅπως οἱ φιλόθεοι τῶν χριστιανῶν μετὰ τῆς προσηκούσης εὐλαβείας καὶ τιμῆς [πρὸς] ταύτην προσφέρωνται, τὸν παρ' αὐτῆς ἁγιασμὸν δαψιλῶς ἀρυόμενοι. Καὶ δή, ἀδιστάκτως ἀσφαιμόμεθα ὅτι ἡ διαληφθεῖσα σεβασμία καὶ ἱερὰ κάρα, ἡ οὖσα πνευματικὸς καὶ ἀμεξάμπλητος θησαυρὸς καὶ κειμήλιον ἀδάπανον ἐν τῷ ἱερῷ καὶ σεβασμίῳ βασιλικῷ μοναστηρίῳ τῆς ὑπεραγίας δε-

138. ἐκτενῆς γίνεται περὶ τούτου λόγος ἐν τῷ προσεχῶς ἐκδιδομένῳ βιβλίῳ μου «Φιλίστορος Σημειώσεις· περὶ ἐκλογῆς, χειροτονίας καὶ καθαιρέσεως τοῦ πατριάρχου Κωνσταντινουπόλεως».

139. Πατριαρχικοὶ πίνακες· σελ. 128-131. Κοντογόνοο Πατρολογία· Β', σελ. 532-601.

140. Συμεὼν Μάγιστρος· σελ. 755.

141. Ἔκθ. βασιλικῆς τάξεως· σελ. 77.

142. Κωδινός, σελ. 93, 98· ὁ Δουκάγγιος ἀπορεῖ εἴπερ ἦσαν δύο ἢ εἷς ναός, καὶ εἴπερ ἔκειτο παρὰ τὸν τῆς Ἁγίας Σοφίας.

143. Ἰγνατίου πατριάρχου βίος, ὑπὸ Νικήτα Δαυίδ· Migne, PE', στ. 517.

144. Mordtmann, Esquisse, σελ. 72, α'. Ὁ ζητῶν ὁριστικόν τι πορίσασθαι ἀπὸ τῶν τοῦ Κωδινοῦ τερατολογιῶν ἀδυνάτοις ἐπιχειρεῖ.

σωσίμης ἡμῶν Θεοτόκου τοῦ Βατοπεδίου κατὰ τὸ ἁγιώρυμον Ὄρος τοῦ Ἄθωος ὑπάρχει βεβαίως καὶ παραληθῶς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ μεγάλου καὶ Θεολόγου, ὥσπερ ἐν τοῖς ἀρέκαθεν παλαιοῖς καταστίχοις καὶ κώδηξι τοῦ μοναστηρίου [καὶ] σκευοφυλακείου, καὶ μὴν καὶ πατριαρχικοῖς γράμμασι, μαρτυρουμένη καθορᾶται, οὐχ ἥκιστα δὲ καὶ ἐκ τῆς στικτῆς οὐλῆς τῆς περὶ τὸν ὀφθαλμὸν τὸ ἀραμφίλεκτον κεκτημένη· διείληπται γὰρ καὶ τοῦτο ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς, ὥσπερ δῆλόν ἐστι τοῖς φιλαναγνωστοῦσι τὰς ἱερὰς βίβλους. Ὅθεν εἰς ἔνδειξιν καὶ πληρεστάτην βεβαίωσιν ταύτης τῆς ἱερᾶς κάρας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου ἐδόθη καὶ τὸ παρὸν τοῖς πατρᾶσι τοῦ ῥηθέντος σεβασμίου βασιλικοῦ μοναστηρίου».

ℰ

26. Μνήμη τοῦ μεγάλου σεισμοῦ τοῦ γενομένου εἰς τὰ τελευταῖα τῆς βασιλείας τοῦ νέου Θεοδοσίου, υἱοῦ Ἀρκαδίου καὶ Εὐδοξίας [145].

Τὰ συναξάρια λέγουσιν «ἡμέρᾳ κυριακῇ, ὥρᾳ δευτέρᾳ τῆς ἡμέρας, κατέπεσον τὰ τείχη τῆς πόλεως, κατ' ἐξαίρετον δὲ, μέρος τῶν οἰκημάτων, ἀπὸ τῶν Τρωαδησίων ἕως τοῦ Χαλκοῦ Τετραπύλου, καὶ ἐπεκράτησεν ὁ σεισμὸς ἐπὶ μῆνας τρεῖς». Ὁ σεισμὸς οὗτός ἐστιν ὁ τῷ 449 ἢ 450 συμβάς· διότι τό τε Πασχάλιον Χρονικὸν καὶ ὁ Μαλαλᾶς ὁρίζουσιν ὁμοίως ἀναγράφοντες αὐτὸν «ἰανουαρίῳ μηνὶ κϛ' ἐν νυκτὶ» [146] γενόμενον. Τὸ δὲ λεγόμενον Βασιλειανὸν ἀφηγεῖται· «εἰς τὰ τελευταῖα τῆς βασιλείας τοῦ μικροῦ Θεοδοσίου, μηνὶ ἰανουαρίῳ εἰκάδι ἕκτῃ . . . . . κατέστρεψε καὶ ἄλλας πόλεις τῆς Θρᾴκης καὶ τῆς Μακεδονίας καὶ τῆς Βιθυνίας, καὶ ἐπεκράτησε μῆνας τρεῖς· ὁ βασιλεὺς μετὰ τοῦ πατριάρχου. καὶ τοῦ κλήρου, καὶ τοῦ λαοῦ παντὸς ἀνυπόδητος μετὰ δακρύων λιτανεύων πρὸς τὸν Θεὸν ἔλεγε· «*Ῥῦσαι ἡμᾶς, Κύριε, τῆς δικαίας σου ὀργῆς, καὶ τῶν παραπτωμάτων ἡμῶν, διὰ τῆς μεταροίας. Ἐσάλευσας γὰρ τὴν γῆν καὶ συνετάραξας, διὰ τὰς ἁμαρτίας ἡμῶν, ἐμβάλλων φόβον εἰς τὰς καρδίας ἡμῶν, τοῦ δοξάζειν Σὲ τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον.* Ἔκτοτε οὖν ἑορτάζεται ἡ τοιαύτη ἀνάμνησις» [147].

145. οὕτω κατὰ τὸ Συναξάριον τοῦ Σταυρονικήτα.

146. Πασχ. Χρονικόν· σελ. 589. Μαλαλᾶς· σελ. 363.

147. ἐκ τοῦ Μηνολογίου παραλαμβάνων παρατίθημι τὴν εὐχὴν, εἰκάζων ὅτι ταύτην ἔλεγον κατὰ τὰς λιτὰς τὰς ἀγομένας ἐπὶ τῇ τῶν σεισμῶν ἀναμνήσει.

Κατὰ τὸ Πασχάλιον Χρονικὸν, ἐπὶ τῷ σεισμῷ τούτῳ, γενομένῳ χωρὶς θυμάτων, ἐγένοντο μὲν, ὡς ἔοικεν, ἐν τῷ Κάμπῳ [148] λιτανεῖαι, ἡ δὲ «μνήμη τῆς λιτανείας ἐπιτελεῖται κατ' ἔτος μέχρι τοῦ νῦν ἐν τῷ Κάμπῳ, ὑπὲρ τῆς τοῦ φιλανθρώπου Θεοῦ μακροθυμίας· ἐν γὰρ τοσαύτῃ ὀργῇ οὐδεὶς ἐθανατώθη». Κατὰ τοῦτον δὲ τὸν σεισμὸν, χρονογράφος πολλῷ μεταγενέστερος λέγει ὅτι, ἐγένετο ἡ θρυλουμένη τοῦ παιδὸς εἰς τὸν ἀέρα ἁρπαγὴ, συγχέων τὰ γεγονότα, διότι αἱ περὶ Τρισαγίου ἔριδες εἰσιν Ἀναστασίῳ τῷ Θρᾳκὶ σύγχρονοι [149].

* * *

Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Θεοδώρου τοῦ Στουδίτου.

Προστίθημι τὴν μνήμην ταύτην, ὡς ἰδιάζουσαν τῇ τοῦ Στουδίου μονῇ, εἰς ἣν ἀνακομισθὲν ἐκ τῆς νήσου Πριγκήπου κατετέθη, τῇ 26 ἰανουαρίου 844, τὸ λείψανον τοῦ μακαρίου Θεοδώρου [150].

ℰ

27. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου. Ἡ σύναξις ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων, ἔνθα καὶ τὸ ἱερὸν αὐτοῦ λείψανον.

Τὸ λείψανον ἀνεκομίσθη τῷ 438 ἐκ Κομάνων ὑπὸ Πρόκλου πατριάρχου Κωνσταντινουπόλεως καὶ κατετέθη προσωρινῶς ἐν τῷ ναῷ τοῦ ἁγίου Θωμᾶ τῶν Ἀμαντίου, εἶτα δ' εἰς τὴν Ἁγίαν Εἰρήνην, καὶ ὁριστικῶς ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων· ἀλλὰ μέρος αὐτοῦ κατεῖχε καὶ τῆς Ἁγίας Σοφίας ὁ ναός, ἀφ' ἧς ἀλλαχοῦ μετενεχθὲν ἀπωλέσθη, δύο δὲ τεμάχη τοῦ λειψάνου ἀφιέρωσεν Ἰωάννης ὁ Τζιμισκῆς διὰ χρυσοβούλλου τῇ ἐν Ἁγίῳ Ὄρει μονῇ τῆς Λαύρας, καὶ τεμάχιον τῆς ἀριστερᾶς χειρὸς Ἀνδρόνικος ὁ Παλαιολόγος τῇ ἁγιορειτικῇ μονῇ τοῦ Φιλοθέου διὰ χρυσοβούλλου κατὰ ἰούλιον τοῦ 1284 [151]. Σῴζουσι δ' ὡσαύτως αἱ μοναὶ τοῦ Βατοπεδίου, τῶν

148. «Κάμπον ῥωμαῖοι κατονομάζουσι τὸ πεδίον τὸ ἀνακείμενον ἐν τῷ λεγομένῳ Ἑβδόμῳ». Σιμοκάττης· σ. 339.

149. γίνεται λόγος ἰδίᾳ περὶ τῶν ἑορτῶν ἐπὶ ἀναμνήσει σεισμῶν ἐν οἰκείοις τόποις.

150. Νικολάου Στουδίτου βίος· Migne, PE', στ. 904.

151. Langlois, Mont Athos· σελ. 43.

Ἰβήρων, τοῦ Διονυσίου καὶ τοῦ Δοχειαρίου τεμάχη τοῦ λειψάνου [152].

* * *

27. Ἡ ἁγία Μαρκιανὴ ἡ βασίλισσα ἐν Ἁγίοις Ἀποστόλοις ἐν εἰρήνῃ τελειοῦται.

Φαίνεται οὖσα ἡ σύζυγος Ἰουστίνου Α΄ τοῦ Θρᾳκὸς, ἡ Λουπικία τὸ πρότερον, εἶτα δ' Εὐφημία μετονομασθεῖσα [153]. Κῶδινὸς ὁ κουροπαλάτης μυθολογεῖ περὶ αὐτῆς ὅτι ἐτάφη ἀλλαχοῦ [154].

ꝛ

28. Ἐφραὶμ τοῦ σύρου. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ τῆς ἁγίας Ἀκυλίνης ἐν τῇ Φιλοξένῳ, πλησίον τοῦ Φόρου [155].

ꝛ

30. Τῶν τριῶν ἱεραρχῶν· Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου.

Κατά τι σημείωμα παλαιὸν [156], ἡ μνήμη τῶν τριῶν οἰκουμενικῶν διδασκάλων εἰσήχθη εἰς τὸ ἑορτολόγιον τῷ 1082.

Περὶ τὰς ἀρχὰς τοῦ ΙΔ΄ αἰῶνος, *ἐγγὺς τοῦ τῆς περιωρῆς* τοῦ μεγάλου ναοῦ τῆς τοῦ Θεοῦ Σοφίας ἠγείρετο ναὸς ἐπ' ὀνόματι τῶν τριῶν ἱεραρχῶν, συγκεκολλημένος σχεδὸν τῇ μονῇ τῆς Παναχράντου [157].

* * *

30. Θεοφίλου τοῦ νέου.

Βυζάντιος τὴν πατρίδα, συγκλητικὸς καὶ στρατηγὸς, ζῶν ἐπὶ Κωνσταντίνου καὶ Εἰρήνης, σταλεὶς εἰς τὸ θέμα τῶν Κιβυρραιωτῶν, ἐγκαταλείφθη κατά τινα ναυμαχίαν ὑπὸ τῶν αὐτῷ συστρατηγούντων μόνος· συλληφθεὶς ἤθλησεν ὑπὲρ Χριστοῦ [158].

* * *

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Παναγίας Θεοτόκου πέραν ἐν Γεωργίᾳ [159].

Ὁ χρόνος φωτίσει τοὺς φιλίστορας ὅπως ἀκολούθως ὁρίσωσι τὸ μέρος, ὅπερ ἔφερε τὸ ὄνομα Γεωργία, καὶ ὅπερ ἔκειτο κατέναντι τῆς πόλεως· ἀκριβῶς οὐ δυνάμεθα εἰπεῖν εἴπερ ἦν ἐν Γαλατᾳ̣ ἢ πρὸς τὴν ἀνατολικὴν ἀκτήν [160].

ꝛ

31. Κύρου καὶ Ἰωάννου. Τελεῖται ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι ἐν τοῖς Φωρακίου.

Τὰ λείψανα αὐτῶν ἀνευρέθησαν ἐπὶ Ἀρκαδίου [161].

Σὺν τοῖς ἁγίοις μάρτυσι τούτοις ἑορτάζονται αἱ συναθλήσασαι μάρτυρες Ἀθανασία καὶ αἱ θυγατέρες αὐτῆς Θεοδότη, Θεοκτίστη καὶ Εὐδοξία.

Ναὸς εἰς τιμὴν αὐτῶν ἦν ἐγηγερμένος ἐν τῇ τοποθεσίᾳ τῶν Σφωρακίου· τούτου τὴν ὕπαρξιν μαρτυροῦσι τὰ Μηναῖα καὶ οἱ Συναξαρισταὶ καί τις ἑσπέριος συγγραφεὺς, ὁ περὶ τὰ 1140 ἀκμάσας Ordericus Vitalis [162].

φεβρουαριος

1. Τρύφωνος μάρτυρος. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ τῷ ἐν τῷ ἀποστολείῳ Ἰωάννου τοῦ Θεολόγου παρὰ τὴν μεγάλην ἐκκλησίαν.

Παρεκκλήσιον φαίνεται ὢν ὁ ναὸς οὗτος τοῦ ναοῦ Ἰωάννου τοῦ Θεολόγου τοῦ πλησίον τῆς Ἁγίας Σοφίας, ἤτοι τοῦ εἰς τὸ Διίππειον, ὅστις, ὡς νομίζει Σκαρλᾶτος ὁ Βυζάντιος, ἐστὶν αὐτὸς ὁ εἰς τὸ Ὡρολογεῖον τοῦ Μιλίου [1]. Ναὸν ἐπ' ὀνόματι τοῦ ἁγίου Τρύφωνος ἤγειρεν ὁ Μέγας Ἰουστινιανὸς ἐν τῇ τοποθεσίᾳ τοῦ

---

152. βλ. τὰς παραπομπὰς ἐν τοῖς ἐμοῖς Πατριαρχικοῖς Πίναξι, σελ. 152-153.

153. Du Cange, Familiæ augustæ Byzantinæ· ἔκδ. Βενετίας, σελ. 78, στήλῃ α΄, ἃ καὶ μετήνεγκεν ὁ Σκ. Βυζάντιος ἐν τῇ «Κωνσταντινουπόλει» αὐτοῦ· Β΄, σελ. 330.

154. Δουκαγγίου καὶ Σκ. Βυζαντίου αὐτόθι. Κωδινοῦ, Περὶ κτισμάτων· σελ. 33, 120. Banduri, σελ. 55.

155. Ἴδε εἰς τὴν 13 ἰουνίου.

156. Ἱεροσολ. Βιβλιοθήκη· τόμ. Β΄, σελ. 250.

157. Γρηγορίου σιναΐτου βιογραφία, μετὰ ῥωσσ. μεταφράσεως, ἐκδ. Πομιαλόβσκη.

158. Βασιλειανὸν Μηνολόγιον.

159. ἡ μνήμη σημειοῦται ἐν τῷ Σταυρονικητηνῷ Συναξαριστῇ.

160. διότι κατὰ τὸν Ζ΄ αἰῶνα *Πέραν* ἔλεγον καὶ τὴν Χαλκηδόνα καὶ τὰ περιξ. Πασχ. Χρον. σελ. 696.

161. Const. Christ. σελ. 84 Δ΄ μέρους, στήλῃ α΄.

162. ἄγνωστον ἂν ἡ τῷ 518 ἀναφερομένη μονὴ Τῶν Κύρου ἐν τοῖς Ἐλεβίχου ἔχῃ πάτρωνα τὸν ἐκ τῆς συζυγίας ταύτης τῶν Ἀναργύρων Κῦρον· οὐκ ἔκειτο δ' ἐν τοῖς Κύρου.

1. Σκ. Βυζαντίου «Κωνσταντινουπόλεως»· τόμ. Α΄, σ. 450.

Πελαργοῦ, κάλλιστον, ἐντὸς τῆς πόλεως [2]. 2) Μονὴ (καὶ ναὸς) τοῦ ἁγίου Τρύφωνος ἀναφέρεται κατὰ τὰ μέσα ἢ μικρῷ μετὰ τὰ μέσα τοῦ Θ΄ αἰῶνος «ἐπὶ τῇ μητροπόλει Χαλκηδονέων» παρακειμένη, ἐν ᾗ μοναχὸς ἐκάρη Νικόλαος ὁ κατόπι μυστικὸς καὶ μετὰ ταῦτα πατριάρχης [3]· ἴσως ἔστιν αὕτη ἡ μονὴ τοῦ ἁγίου Τρύφωνος ἡ ἐν τῇ χερσονήσῳ τῇ παρὰ τὸν Ἀκρίταν· ἀπὸ ταύτης ἀνήρχετο πρὸς ἐπίσκεψιν τοῦ πατριάρχου Νικηφόρου, διατελοῦντος ὑπὸ περιορισμὸν, Θεόδωρος ὁ Στουδίτης [4]· 3) ναὸς εἰς Καστόρεον, μετόχιον τῆς μονῆς τῆς Χώρας, ἔξω τῆς Κωνσταντινουπόλεως, καὶ ἴσως ἐγγὺς αὐτῆς, ἀναφέρεται ἐν ἀνεκδότῳ βιογραφίᾳ τοῦ Μιχαὴλ Συγκέλλου, κατὰ τὰ μέσα τῆς Θ΄ ἑκατονταετηρίδος σωζόμενος· 4) ἐν τούτοις ἀναφέρεται καὶ ναὸς ἁγίου Τρύφωνος παρὰ τῇ ἁγίᾳ Εἰρήνῃ τῇ παλαιᾷ καὶ νέᾳ [5], ὅστις ἦν πιθανῶς οὐχὶ ὁ ἐν τῷ ἀποστολείῳ Ἰωάννου τοῦ Θεολόγου· διετύπωσα δ' ἄλλοτε τὴν εἰκασίαν [6] ὅτι καὶ — 5) ἕτερος ναὸς ἁγίου Τρύφωνος ὑπῆρχεν ἐν τῷ παρὰ τὴν Κωνσταντινούπολιν χωρίῳ Νύμφαις. — Ὁ ἰατρὸς A. Mordtmann ὑπονοεῖ τοὺς εἰς τὰ Εὐβούλου καὶ εἰς τὰ Βασιλίσκου ναοὺς τοῦ ἁγίου Τρύφωνος ἕνα, τὸν αὐτὸν ὄντα [7].

Ὁ τῷ 510 ἐν τῷ λιβέλλῳ πρὸς Ὁρμίσδαν τὸν πάπαν ὑπογράφων «Λεόντιος ἀρχιμανδρίτης τοῦ *ἐν ὁσίοις* Τρύφωνος» προδήλως ἐκπροσωπεῖ μονὴν, ὀνομασθεῖσαν ἀπὸ τοῦ ἱδρυτοῦ, οὐχὶ δ' ἀπὸ τοῦ πάτρωνος ἁγίου.

* * *

1. Βενδεδιανοῦ τοῦ ὁσίου.

Μυσὸς τὴν καταγωγὴν, ὁ Βενδεδιανὸς λέγεται μαθητὴς Αὐξεντίου, οὗ μετὰ θάνατον «ῥαγάδα πέτραν ὑποδὺς, τεσσαράκοντα καὶ δύο διαβιοὺς ἔτη, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο» [8], τρίτος μετ' Αὐξέντιον καὶ Σέργιον γενόμενος τοῦ βουνοῦ τοῦ Αὐξεντίου κάτοικος καὶ «σημειοφόρος καὶ παντὶ τρόπῳ διαλάμψας ἐν ἀρεταῖς»· αὐτὸς ἀφηγήθη τὸν βίον καὶ τὴν πολιτείαν Αὐξεντίου πρὸς τὸν μέλλοντα *ν*α συγγράψῃ αὐτήν [9].

Ἀνέκδοτος τοῦ ὁσίου τούτου βιογραφία, φερομένη ἐν τῷ ὑπ' ἀριθμὸν Ε 186 μεμβρανίνῳ εἰς φύλλον χειρογράφῳ τῆς ἐν Ἁγίῳ Ὄρει μονῆς μεγίστης Λαύρας, γραφέντι κατὰ τὸν ΙΓ΄ αἰῶνα, γράφει ἐπανειλημμένως αὐτὸν ΒενΔΕΔιανὸν, οὐχὶ δὲ ΒενΔΙΜιανόν. Καὶ ἐν βιογραφίᾳ Στεφάνου τοῦ νέου (28 νοεμβρίου) γράφεται Βενδεδιανὸς, καταγόμενος ἐκ τῆς μεγάλης Μυσίας. Ἡ βιογραφία αὕτη ἄρχεται μὲν (ἐν φύλλῳ 14α) οὕτω: «Τὸ ἔαρ φιλοῦσιν ὡς ἥδιστον αἱ ᾠδικώτατοι ὄρνιθες, φιλοῦσι δὲ καὶ αἱ μέλισσαι»· καὶ λήγει (ἐν φύλλῳ 20β) «καὶ νέμοις τῇ ἀφθάρτῳ πόᾳ καὶ οὐρανίᾳ, ἧς καὶ οἱ τοῦ μεγάλου ποιμένος κριοὶ ἀπογεύονται, ἐν Χριστῷ Ἰησοῦ» κτλ. Γράφει δὲ τὰ καὶ ἐκ τῆς μεταφράσεως Ἀγαπίου τοῦ Λάνδου γινωσκόμενα, τὰ καὶ ἐν τῷ λεγομένῳ Βασιλειανῷ Μηνολογίῳ γραφόμενα, διότι τοσαύτας σελίδας ὁ βιογράφος ἠνάλωσεν εἰς ἐγκώμια· λέγει δὲ τὸν Αὐξεντίου βουνὸν (15α2) «λίαν δύσβατον ὄρος καὶ τραχὺ, καὶ πρὸς τὴν ἄνοδον δεινῶς ἀνωφερὲς εἰς ὀξύτητα, ἐνδεὲς μὲν πάντων τῶν εἰς βρῶσιν καὶ πόσιν ἐπιτηδείων, ἀνενδεὲς δὲ τῶν φρυγάνων καὶ λίθων εἰς πλησμονήν». *Ὀλίγος χρόνος* παρῆλθεν ἀπὸ τῆς ὑπ' Αὐξεντίου παραδοχῆς τοῦ Βενδεδιανοῦ καὶ ὁ μακάριος ἐκεῖνος ἀπεβίωσεν· ὁ Βενδεδιανὸς ἀσκήσας ἐν οἰκίσκῳ μικρῷ, κατωτέρω τοῦ κελλίου τοῦ Αὐξεντίου, πενταετίαν ὅλην, ὕστερον, κατὰ θείαν ὀπτασίαν, ἀνῆλθε τὸν βουνὸν, εἰς τὸ κελλίον τοῦ Αὐξεντίου τοῦ πάνυ κατοικήσας πρὸς ἄσκησιν· τεσσαρακοστὸν δὲ δεύτερον ἔτος διανύσας ἐν τῷ σπηλαίῳ τοῦ Αὐξεντίου καὶ πενταετίαν ἐν τῷ ἰδίῳ καὶ ἓν ἴσως ἢ δύο ὑπὸ τὸν γεραρὸν αὐτοῦ διδάσκαλον· ἤσκησεν ἄρα τὸ σύνολον ἐπὶ τοῦ βουνοῦ τεσσαράκοντα ὀκτὼ ἢ πεντήκοντα ἔτη, ἀπέθανε δ' ὑπέργηρως καὶ ἐτάφη ἐν αὐτῷ τῷ τόπῳ τῆς ἀσκήσεως, εἶτ' οὖν ἐπὶ τῆς κορυφῆς τοῦ βουνοῦ (20α1) «ὀλίγων εὐλαβῶν ἀνδρῶν καὶ θεοσεβῶν μοναστῶν ἀνιόντων τὸ ὄρος, ἐπὶ τῇ αὐτοῦ κηδείᾳ, τῷ καὶ τὰς κορυφὰς τῶν ὀρῶν κρύπτεσθαι τότε ὑπὸ χιόνος καὶ (20α2) τὰς πλείους λεωφόρους ἀστείπτους εἶναι καὶ δυσστιβεῖς, πρώτην ἄγοντος τοῦ φεβρουαρίου μηνός».

---

2. Προκοπίου, Περὶ κτισμάτων, σελ. 201.

3. Εὐθυμίου βίος· ἔκδ. C. De Boor· σελ. 6 καὶ 44. Καὶ κατὰ τὸν Θ΄ αἰῶνα ἡ ἑορτὴ ἤγετο τῇ 1 φεβρουαρίου.

4. Στουδίτου βιογραφίαι· παρὰ Migne, τόμ. ϒΘ΄, στ. 221, 320.

5. βλ. εἰς τὴν 24 ἰουλίου, καὶ τὴν κατωτέρω σημείωσιν.

6. Λίθοι καὶ Κεράμια· σελ. ρνή΄, ρνθ΄.

7. Esquisse· σελ. 66, στήλῃ β΄.

8. ταῦτα τὸ τοῦ Σταυρονικήτα Συναξάριον

9. Μηνολόγιον Βασιλείου. Στεφάνου τοῦ νέου βίος, ὑπὸ Στεφάνου διακόνου· Migne, Ρ΄, 1088. Βενδιμιανοῦ βίος, ἐν «Νέῳ Παραδείσῳ». Τυπικὸν μονῆς Αὐξεντίου, σ. 11-12.

§

2. **Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτε ἐδέξατο αὐτὸν Συμεὼν ὁ πρεσβύτης ἐν ταῖς ἀγκάλαις αὐτοῦ**[10]. Ἡ σύναξις ἐν τῷ ναῷ τῶν Βλαχερνῶν.

Ὁ καθορισμὸς τῆς ἑορτῆς τῇ 2 φεβρουαρίου μηνὸς ἐγένετο τῷ 542, διαταχθεὶς ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ[11]· λέγεται ὅτι πρότερον ἑωρτάζετο τῇ 14 τοῦ αὐτοῦ μηνός, οὐ συνηριθμεῖτο δὲ ταῖς δεσποτικαῖς ἑορταῖς[12].

Ἐν τῇ παννυχίδι τῆς Ὑπαπαντῆς ὁ βασιλεὺς συνήθως παρῆν ἐν τῷ ναῷ τῶν Βλαχερνῶν, αὐτοκρατορικῆς προελεύσεως γινομένης· τοῦτο δὲ καὶ μεχρι τοῦ ΙΕ′ αἰῶνος, διότι καὶ ἐν νεωτέραις διατάξεσιν εὑρίσκομεν ὅτι τῇ 2 φεβρουαρίου, λειτουργίας ὑπὸ τοῦ πατριάρχου γινομένης ἐν Βλαχέρναις, παρῆν ὁ αὐτοκράτωρ[13].

§

3. Τοῦ ἁγίου καὶ δικαίου Συμεών, τοῦ δεξαμένου τὸν Κύριον ἐν ταῖς ἀγκάλαις αὐτοῦ, καὶ Ἄννης τῆς προφήτιδος. Ἡ σύναξις ἐν τῷ ἀποστολείῳ τοῦ ἁγίου Ἰακώβου τοῦ ἀδελφοθέου, τῷ ὄντι ἐν τῷ σεβασμίῳ ναῷ τῆς ἁγίας Θεοτόκου, πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

Ἐν οἰκείῳ χώρῳ μέλλομεν ἰδεῖν[14] ὅτι ὁ ναὸς Ἰακώβου τοῦ ἀδελφοθέου ἦν παρεκκλήσιον οὐχὶ τοῦ τῶν Χαλκοπρατείων, ὡς ἐνόμισεν ὁ Δουκάγγιος[15], ἀλλὰ τοῦ ναοῦ τῆς Εὐουρανιωτίσσης.

§

4. Νικολάου ἡγουμένου τοῦ Στουδίου, τοῦ ὁμολογητοῦ.

Γεννηθεὶς ἐν Κυδωνίᾳ τῆς Κρήτης περὶ τὸ 792, καὶ τὰ πρῶτα γράμματα διδαχθείς, εἰς Κωνσταντινούπολιν ὑπὸ τῶν γονέων ἀπεστάλη πρὸς Θεοφάνη τὸν αὐτοῦ θεῖον, ἀσκούμενον ἐν τῇ μονῇ τοῦ Στουδίου, *τῷ περιφανεῖ τούτῳ καὶ περιδόξῳ τῆς ἀρετῆς παιδευτηρίῳ*, ὄντος ἡγουμένου τότε τοῦ περιφανοῦς Θεοδώρου. Συνεπλήρωσεν ἐν τῇ μονῇ τὰς σπουδὰς αὐτοῦ, καὶ, τὴν γραμματικὴν ἐκμαθών, ἐγένετο καὶ ταχυγράφος χρησιμώτατος. Ἐξωρίσθη σὺν τῷ πατριάρχῃ Νικηφόρῳ καὶ Θεοδώρῳ τῷ Στουδίτῃ τῷ 815 ὑπὸ Λέοντος Ε′ εἰς τὸ φρούριον Μέτωπα τῆς Ἀπολλωνιάδος λίμνης, ἐκεῖθεν εἰς τὰ Βόνιτα, κἀκεῖθεν εἰς Σμύρνην, εἴκοσι μῆνας διατρίψας· ὑπὸ δὲ Μιχαὴλ τοῦ Τραυλοῦ σὺν τοῖς λοιποῖς ἐλευθερωθεὶς ἦλθεν εἰς Προῦσαν μετὰ τοῦ Θεοδώρου, «κἀκεῖθεν ἐν Χαλκηδόνι γενόμενοι καὶ τὸν πατριάρχην (Νικηφόρον δηλδ. τῷ 821) καταθρήσαντες, ἐφ' ἱκανόν τε χρόνον μετὰ πολλῆς τῆς εὐφροσύνης τούτῳ συναυλιζόμενοι», μετὰ ταῦτα δὲ μείναντες ἔν τινι μέρει κατὰ τὸν Ἀστακηνὸν κόλπον, διέτριψαν ἐπί τινα καιρὸν καὶ ἐν τῇ κατὰ τὸν Ἀκρίταν χερσονήσῳ τοῦ ἁγίου Τρύφωνος. Ἐν Πριγκήπῳ μένων ἀκολούθως ἐπί τινα χρόνον παρὰ τὸν τοῦ διδασκάλου Θεοδώρου τάφον, ἐκλήθη εἰς Κωνσταντινούπολιν ὑπό τινος εὐλαβοῦς ὀρθοδόξου γυναικός, Εἰρήνης ὀνομαζομένης, ὅπως ἐγκατασταθῇ ἐν ἰδίῳ αὐτῆς κτήματι Φίρμου-πόλει[16] καλουμένῳ, ὅπερ αὕτη κατόπιν εἰς τὴν τοῦ Στουδίου μονὴν ἐδωρήσατο. Θανόντος δὲ τοῦ Θεορίλου, ὁ Νικόλαος, καίπερ ἄδειαν λαβών, βραδύτερον ἐπέστρεψεν εἰς τὴν τοῦ Στουδίου μονήν, καὶ τῇ 19 ἀπριλίου 847 ἐξελέγη ἡγούμενος· ἀλλὰ τῷ 850 παρητήσατο τὴν ἡγουμενίαν· ἐγκαταστήσας δ' ἀνθ' ἑαυτοῦ Σωφρόνιον τὸν πρεσβύτερον, αὐτὸς ἐξελθὼν ἡσύχαζεν εἰς τὸ *καταγώγιον*[17] *τῆς Φίρμου-πόλεως*. Ἰγνατίου δὲ τοῦ πατριάρχου παυθέντος (23 νοεμβρίου 857), καὶ ταράχου τὴν Ἐκκλησίαν καταλαβόντος, ὁ Νικόλαος ἀπελθὼν εἰς Ηραίνετον τῆς Νικομηδείας διέμενεν ἔν τινι μετοχίῳ τῆς τοῦ Στουδίου μονῆς· προσκληθεὶς ὑπὸ τῶν τῷ πατριάρχῃ Φωτίῳ προσκειμένων ὅπως παύσηται ἀντιφρονῶν τούτοις, καὶ μὴ δεξάμενος, διετάχθη ὑπ' αὐτῶν, ὡς ἦν ἐπόμενον, ἵνα μὴ διαμείνῃ τοὐντεῦθεν ἐν μετοχίοις τῆς μονῆς· ἧς τὸν ἡγούμενον ἐκεῖνοι παύσαντες ἀνέδειξαν τῷ 853 τὸν χρηστὸν ἐπίσης τοὺς τρόπους Ἀχιλλᾶν· τὸν δὲ Νικόλαον, τόπον ἐκ τόπου ἀμείβοντα, Σαμουήλτις, πλούσιος ἀνήρ, εἰς ἀγαθοεργίας δαπανῶν, ἐκάλεσεν ἐντὸς τῆς πόλεως, παρασχόμενος αὐτῷ *τόπον ἀπῳκισμένον καὶ ἥσυχον πρὸς τὰ τοῦ Λίβα μέρη*[18], ἐν ᾧ τόπῳ παρευθὺς (ἴσως τῷ 859) νέον ὁ Νικόλαος ἵδρυσε μονύδριον, ἐν βραχεῖ χρόνῳ περιφανὲς ἀναδειχθέν, αὐτὸ βεβαίως τὸ τοῦ Κοκοροβίου, διότι ἀναφέρεται μονάζων ἐν τούτῳ· μετὰ μικρὸν ὅμως, μὴ θέλων τῷ Φωτίῳ καὶ τοῖς φωτιανοῖς συγκοινωνῆσαι, ἀπῆλθεν εἰς Προκόννησον, εἶτα δ' εἰς Μιτυλήνην, καὶ κατόπιν εἰς Ἐξαμίλιον («ἐν τῷ Ξαμιλίῳ») τῆς Θρᾳκικῆς χερσονήσου. Ἐν τούτοις, τῷ 863 τοῦ Ἀχιλλᾶ χειροτονηθέντος ἀρχιεπισκόπου Νακωλίας, ἡγούμενος διωρίσθη Θεοδόσιος, οὗ θανόντος τῷ 864 διάδοχος τῆς ἡγουμενίας ἐγένετο Εὐγένιος, καὶ μετὰ τέσσαρας μῆνας ἐκλέγεται Θεόδωρος ὁ Σανταβαρηνός· ἐν ἔτος δὲ καὶ τούτου διευθύναντος τὴν μονήν, ἡγούμενος ἀναδείκνυται Σάβας ὁ ἐκ τῆς μονῆς τοῦ Καλλιστράτου, μαθητὴς τοῦ Φωτίου γενόμενος, ᾧ παραδίδουσιν ὁ Βάρδας μετὰ τοῦ Μιχαὴλ τὸν Νικόλαον ἔμφρουρον, ἐξ Ἐξαμιλίου μεταπεμψάμενοι τῷ 866. Βασίλειος ὁ Μακεδὼν καὶ ὁ πατριάρχης Ἰγνάτιος παρεκάλεσαν τὸν πολύτλαν Νικόλαον 'ν' ἀναλάβῃ τὴν ἡγουμενίαν τῆς τοῦ Στουδίου μονῆς, ἀλλ' ἠρνήσατο. Ἀπέθανε τῇ 4 φεβρουαρίου τοῦ ἔτους 868 ἐν τῇ μονῇ, οὐχὶ πλέον ἔμφρουρος, τὸ δὲ λείψανον αὐτοῦ κατετέθη πλησίον τῶν λειψάνων Ναυκρατίου καὶ Θεοδώρου τῶν στουδιτῶν «ἐν τῷ κατ' ἀνατολὰς τοῦ προδρομικοῦ τεμένους ἱερῷ καὶ πανενδόξῳ τῶν μαρτύρων σηκῷ»[19].

* * *

Νικήτα ὁσίου τοῦ ἐν Πυθίοις.

Ἄγνωστος ὁ χρόνος τῆς ἀκμῆς· ἴσως ἔζη πρὸ τῶν εἰκονομαχιῶν. Εἰς τὰ Πύθια, τὸ Κουρὶ τῆς σήμερον, τὴν πάλαι Σωτηρόπολιν, ὕδωρ ὁ Μ. Ἰουστινιανὸς διακομίσας. ᾠκοδόμησεν ἀνάκτορα καὶ λουτρῶνα δημόσιον ἐν ταῖς θερμαῖς πηγαῖς, ἀνήγειρε δ' ἐπιφανέστερον καὶ μείζονα τόν τε ναὸν τοῦ ἀρχαγγέλου (Μιχαὴλ) καὶ τὸ παρ' αὐτῷ νοσοκομεῖον[20].

§

5. Ἀγάθης μάρτυρος. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς τῷ ὄντι ἐν τῷ Τρικόγχῳ.

Βεβαίως ὁ ναὸς τῆς μάρτυρος εὑρίσκετο ἐν τῷ Ἑβδόμῳ, καθὼς εἴκασε καὶ ὁ Σκ. Βυζάντιος[21], διότι ὁ Συναξαριστὴς ἐννοεῖ βεβαίως οὐχὶ τὸ ἐν τῷ παλατίῳ Τρίκογχον· ἄλλως ἔστι γνωστὸν ὅτι καὶ λιτανεῖαι τοῦ λαοῦ καὶ δεήσεις ἐγίνοντο ἐν τῷ τόπῳ τούτῳ[22], αἵτινες ἦν ἀδύνατον 'να γίνωνται ἐν τῷ Τρικόγχῳ τοῦ παλατίου. Σπανίως ὡσαύτως ἀναφέρουσι τὰ Μηναῖα συνάξεις γινομένας ἐν τοῖς ἐν τῷ παλατίῳ ναοῖς.

* * *

5. Πολυεύκτου πατριάρχου Κωνσταντινουπόλεως.

Οἱ Συναξαρισταὶ προστιθέασι κατὰ τὴν ἡμέραν ταύτην τὰς λέξεις «ἐν εἰρήνῃ τελειοῦται», δῆλα δὴ παριστῶσι τὴν 5 τοῦ μηνὸς ὡς ἐπέτειον τοῦ θανάτου αὐτοῦ καὶ κατὰ τὴν τοιαύτην μαρτυρίαν ἔγραψε καί τις ἐν παλαιῷ χειρογράφῳ[23]· ἀλλ' ἴσως ἀντίκειται τῇ ἱστορίᾳ ἡ μαρτυρία αὕτη· διότι ὁ Τζιμισκῆς ἀνῆλθε τὸν θρόνον τῇ 11 δεκεμβρίου 969, ὁ δὲ Πολύευκτος ἀπεβίωσε τριάκοντα καὶ πέντε ἡμέρας μετὰ τὴν ἀναγόρευσιν[24], ἄρα τῇ 16 ἢ 15 ἰανουαρίου· ἂν λογισώμεθα δὲ τὰς ἡμέ-

---

10. τὴν μνήμην οὕτω γράφει τὸ Βασιλειανόν.

11. Θεοφ. Α′, σελ. 345, ὅτε παρὰ πάσαις ταῖς ἐκκλησίαις ἐπεβλήθη τῆς ἑορτῆς ὁ πανηγυρισμός.

12. Γεωργίου Ἁμαρτωλοῦ Χρονικόν· Migne, PI′, στ. 777, «ἥτις οὐκ ἐστιν ἐναριθμουμένη ταῖς δεσποτικαῖς ἑορταῖς . . . πρότερον τῇ ιδ′ τοῦ αὐτοῦ μηνός». Λέων Γραμματικός· σελ. 127.

13. Πορφυρογεν. Ἔκθ. Α′, σελ. 148, 759. Κωδινοῦ, Περὶ ὀφικίων· Βόννης, σελ. 72. Κατὰ Κωδινόν, τὴν 1 ἰανουαρίου παρῆν ὁ αὐτοκράτωρ κατὰ τὴν λειτουργίαν «εἰς τὴν ἐπ' ὀνόματι τοῦ Μ. Βασιλείου τιμωμένην σεβασμίαν μονήν» (σελ. 80)· ἐπειδὴ δ' ὅμως οὐχ ὁρίζει τὸν τόπον, ἐν ᾧ ἡ μονὴ ἔκειτο, παρέδραμον τὴν διάταξιν ἐν τῷ λόγῳ περὶ τῆς 1 ἰανουαρίου.

14. βλ. εἰς τὴν 9 δεκεμβρίου.

15. Const. Christ. σελ. 76 Δ′ μέρους· αὐτόθι δῆθεν ἀπέκειτο καὶ τὸ λείψανον τοῦ Θεοδόχου Συμεών.

16. ἐξ ὧν ἐν βιογραφίᾳ τοῦ Στουδίτου γράφονται δείκνυται σαφῶς ἡ Φίρμου πόλις ἔξω τῶν τειχῶν Κωνσταντινουπόλεως κειμένη· ἴσως δὲ κατ' ἐναλλαγὴν τοῦ Φ καὶ Θ ὠνομάσθη Θερμούπολις. Λίθοι καὶ Κεράμια· σελ. 87-88.

17. δείκνυται ἐκ τούτου ὅτι ὑπῆρχε καὶ μοναστήριον αὐτόθι.

18. οὐκ ἔστι βεβαίως τὸ μέρος τὸ κατόπιν ὀνομασθὲν τὰ Λιβός· ἡ φράσις *πρὸς* σημαίνει μᾶλλον διεύθυνσιν πρὸς σημεῖόν τι τοῦ ὁρίζοντος.

19. Νικολάου Στουδίτου βίος, ὑπὸ ἀνωνύμου· Migne, PE′, στ. 825-925.

20. Προκοπίου, Περὶ κτισμάτων· σ. 315-316. Πλείονα βλέπε ἐν Λίθοις καὶ Κεραμίοις ἐγγράφοις, σελ. 12-24, ὅπου καὶ σημείωσις τῶν αὐτόθι μονῶν.

21. «Κωνσταντινούπολις», τόμ. Α′, σελ. 357, ἔνθα μεταφράζονται τὰ παρὰ Δουκαγγίῳ γραφόμενα περὶ ἀνακομιδῆς τοῦ λειψάνου τῆς Ἁγάθης ἤ, καθ' ἑτέραν γνώμην, τῆς Λουκίας.

22. Πασχ. Χρονικόν· σελ. 586.

23. Ἱεροσλμ. Βιβλιοθ. τόμ. Α′, σελ. 92.

24. Κεδρηνός· Β′, σελ. 381-382. Ζωναρᾶς· βιβλ. ΙΖ′, κεφ. 1. Theoph. Continuati· σελ. 435.

ρας ἀπὸ τῆς στέψεως (25 δεκεμβρίου), ἀπεβίωσεν ἄρα τῇ 29 ἰανουαρίου. Ἦν δὲ μοναχὸς εὐλαβέστατος ὁ Πολύευκτος, ἐκ παίδων εὐνουχισθείς καὶ μονάζων, ἀπὸ πρώτης ἴσως ἀρχῆς, ἐν τῇ μονῇ τῆς νησίδος Πρώτης, τῆς πρὸ τῆς Κωνσταντινουπόλεως, συνών τε διηνεκῶς τῷ Ῥωμανῷ Λακαπηνῷ καὶ τοῦτον ἐν ταῖς συμφοραῖς παραμυθούμενος· πεπαιδευμένος τὴν ἱεράν τε καὶ τὴν θύραθεν παιδείαν ὠνομάζετο παρὰ τοῖς πολλοῖς διὰ τὴν ἀρετὴν νέος Χρυσόστομος [25]. Ἱεράτευσε δὲ ἀπὸ τοῦ 956-970 [26].

§

6. Τῶν ἁγίων μαρτύρων Φαύστου καὶ Βασιλείου τῶν ἐν τοῖς Δαρείου [27].

Φαίνεται ὅτι ὑπῆρχε ναὸς ἐπ' ὀνόματι τῶν ἁγίων τούτων ἐν τῇ τοποθεσίᾳ Δαρείου, οὕτως ὀνομασθείσῃ δῆθεν ἀπὸ Δαρείου τοῦ πατρικίου τῆς παλαιᾶς Ῥώμης, τοῦ μετεγκλιματισθέντος σὺν ἑτέροις εἰς Κωνσταντινούπολιν ὑπὸ Κωνσταντίνου τοῦ Μεγάλου καὶ κτίσαντος «τὸν οἶκον τῆς Κανατίσης τοῦ Σκληροῦ», κατὰ τοὺς παραδοξογράφους [28]. Ἐπειδὴ δὲ οὐ δυνάμεθα τὰ ἄγνωστα διὰ τῶν μύθων ὁρίζειν, ἐῶμεν εἰς τὸν χρόνον τὴν ἀνεύρεσιν τῶν οἴκων τῶν μυθολογουμένων πατρικίων.

Μέλλομεν ἰδεῖν ἐν τοῖς Δαρείου καὶ δεύτερον ναόν, ἐπ' ὀνόματι Κοσμᾶ καὶ Δαμιανοῦ τῶν Ἀναργύρων.

* * *

6. Μνήμη Φωτίου πατριάρχου Κωνσταντινουπόλεως.

Γνωστὸς ὁ βίος τοῦ πολυμαθεστάτου πατριάρχου, οὗ τὴν μνήμην εὗρον ἐν τῷ 426 Εὐαγγελίῳ καὶ ἐν ἑτέροις ἀνήκουσι προδήλως εἰς τὴν Ἐκκλησίαν Κωνσταντινουπόλεως. Ἐν τοῖς «Πατριαρχικοῖς πίναξί» μου, ὑπ' ὄψιν ἔχων ὅτι καὶ μετὰ τὸν θάνατον τοῦ Φωτίου πολλοὶ τῶν ἡμετέρων ἐξηκολούθησαν ἵνα γράφωσιν ἀνευλαβῶς περὶ αὐτοῦ, συνεπέρανα [29] ὅτι ἡ καθιέρωσις τῆς ἑορτῆς εἰς τὴν 6 φεβρουαρίου ἐστὶ μεταγενεστέρα. Μεθ' ὅσα δ' ἐλέχθησαν ἐν τοῖς «προλεγομένοις» τοῦ μετὰ χεῖρας Ἑορτολογίου, φρονῶ ὅτι ἡ μνήμη τοῦ πατριάρχου Φωτίου ὡς ἁγίου εἰσήχθη κατὰ πρῶτον ὑπὸ τῶν ἀφωσιωμένων αὐτῷ, καὶ ἴσως ἐν τῇ μονῇ τῆς Ἐρημίας ἐν τῷ Μαρδοσαγάρῃ [30] ἢ ἐν τῇ τοῦ Βόρδονος [31]. Ἐσχάτως ὅμως ἀναγινώσκων τὸν βίον Εὐθυμίου τοῦ νέου, τὸν ὑπὸ Βασιλείου μητροπολίτου Θεσσαλονίκης γραφέντα, ὀλίγιστα ἔτη μετὰ τὸν τοῦ Φωτίου θάνατον, εὗρον τὴν ἑξῆς μαρτυρίαν, διδάσκουσαν ὅτι καὶ ἔπαθεν ὁ Φώτιος ὑπὲρ τῶν ἁγίων Εἰκόνων καὶ σχεδὸν εὐθὺς μετὰ θάνατον ἐλογίζετο θαυματουργός. Τὸ τεμάχιόν ἐστι τοῦτο, μεταγραφὲν ἀπὸ τοῦ μεμβρανίνου εἰς φύλλον κώδηκος τῆς ἐν Ἄθῳ μεγίστης μο-

25. Πατριαρχικοὶ Πίνακες· σελ. 307-309.

26. Νικόδημος ὁ τοῦ Συναξαριστοῦ, εὑρὼν ἐν χειρογράφοις σημειούμενον «νέον» τὸν Πολύευκτον τοῦτον, ἔπλασεν ἐξ ἑνὸς δύο Πολυεύκτους, ἕνα τῷ 959 καὶ ἕνα τῷ 969, ἐνῷ ἁπλῶς ἠδύνατο ἵνα εἴπῃ ὅτι *πιθανῶς ὑπῆρξε καὶ ἀρχαιότερος*, χωρὶς ὁρισμοῦ τοῦ χρόνου· διότι δύο Πολυεύκτους ἤθελεν. Ὁ δὲ πολὺς Θεόκλητος Φαρμακίδης ἔδωκε διαμπερὲς ἐπιπολαιότητος τεκμήριον, νομίσας τὸν Πολύευκτον πρότερον ἐπίσκοπον, εὐρίπιστον ὄντα καὶ κόλακα τοῦ βασιλέως, ὡς παρεξήγησε καὶ τοὺς συγκέλλους, ἀμαθῶς γράψας περὶ τούτων καὶ ἔτι ἀμαθέστερον περὶ *Προμηθέως Θεσσαλονίκης*!!!!! Συνοδικὸς Τόμος, ἢ περὶ ἀληθείας· ἐν Ἀθήναις, 1852, σελ. 490, 491, 495.

27. οὕτω φέρεται ἐν τῷ Σταυρονικητηνῷ Συναξαριστῇ· παρὰ Νικοδήμῳ προστίθεται, «Σιλουανοῦ καὶ τῶν ἁγίων μαρτύρων τῶν ἐν τοῖς Δαρείου».

28. Banduri, Imper. Or. σελ. 6 βιβλίου Α'.

29. Πατριαρχικοὶ Πίνακες, σελ. 292. Ἱεράτευε δὲ ἀπὸ τῆς 25 δεκεμβρίου τοῦ 857—25 σεπτεμβρίου 867, καὶ πάλιν ἀπὸ τῆς 26 ὀκτωβρίου 878—φθινοπώρου τοῦ 886. Ἀπέθανε δὲ, καθὰ λέγεται, τῇ 6 φεβρουαρίου 891.

30. Μαρδοσαγάρη τόπος ἔκειτο πλησίον τῆς μονῆς τοῦ Λιβὸς, τῆς σήμερον, ὡς φρονεῖται, καλουμένης Δεμιρτζιλὰρ μεσζιτί, οὐ μακρὰν τοῦ μεγάλου τεμένους Σουλτὰν Μεχμέτ. Theoph. Contin. σελ. 371. Γεώργιος μοναχός· σελ. 866. Α. Γ. Παπάτη, Βυζαντιναὶ Μελέται· σελ. 325. Βυζαντίου «Κωνσταντινούπολις», Α', σελ. 376.

31. λαμπρὰν κριτικὴν σημείωσιν περὶ τῶν μονῶν Ἐρημίας καὶ Μαρδοσαγάρη καὶ Βόρδονος γραφεῖσαν ὑπὸ τοῦ ἀειμνήστου ποιητοῦ Ἰλίᾳ Ταντηλίδου, ἐξέδωκεν ὁ μακαρίτης Πέτρος Α. Ζάνος ἐν σελ. 56-58 τοῦ σπανιωτάτου καταστάντος φυλλαδίου αὐτοῦ «Περὶ Φωτίου»· ἐν Κωνσταντινουπόλει, τύποις «Βυζαντίδος», 1864. Εἰκάζει δ' ὁ Ταντηλίδης ὅτι μονή τις Βόρδονος ἔκειτο ἐν μεγάλῃ τινὶ ὑφάλῳ καὶ σήμερον μὲν παρατηρουμένῃ μεταξὺ Χάλκης καὶ Μάλτεπε, καλουμένῃ δὲ ὑπὸ τῶν ἠπειρωτῶν καὶ νησιωτῶν ΒΟΡΔΟΝΙΙ. Κατὰ δὲ τὴν (σελ. 58) γνώμην τοῦ Κωνσταντίνου Ἀνθοπούλου πασσᾶ, ἡ λέξις Μερδοσαγάρη σύνθετός ἐστιν ἐκ τῶν περσικῶν μερδ-ι-σαχρὰ = ἄνθρωπος τῆς ἐρημίας. Προστεθείσθω δ' ἐνταῦθα ἡ εἰκασία μου ὅτι τὴν τοῦ Φωτίου μνήμην εἰσήγαγε πιθανῶς εἰς τὸ ἑορτολόγιον τῆς μεγάλης ἐκκλησίας ὁ εἰς τὴν οἰκογένειαν τοῦ Φωτίου ἀνήκων ἐνάρετος καὶ πεπαιδευμένος πατριάρχης Σέργιος, ὁ κατὰ τὰς ἀρχὰς τοῦ ΙΑ' αἰῶνος κοσμήσας τὸν θρόνον τοῦ Χρυσοστόμου.

νῆς Λαύρας ὑπ' ἀριθμὸν Δ 78, κεῖται δ' ἐν φύλλῳ 14861-2:

«καὶ ταῦτα, ὀρθοδόξου ὄμτος καὶ πάσαις ταῖς ἀρεταῖς ἀπαστράπτομτος τοῦ μέου πατριάρχου. Φώτιος γὰρ ἦμ ὁ μακάριος, ὁ φωτὸς ἀκτῖσι, φερωμύμως τοῦ ὀμόματος, πλήθει διδασκαλιῶμ καταλάμψας τὰ πέρατα. Ὁ ἓξ αὐτῶμ σπαργάμῳ ἀφιερωθεὶς τῷ Χριστῷ, ὡς ὕπερ τῆς αὐτοῦ εἰκόμος δημεύσει καὶ ἐξορίᾳ τούτοις δὴ τοῖς ἀθλητικοῖς ἐκ προοιμίωμ ἀγῶσι συγκοιμωμήσας τῷ γεμμήτορι· οὗ καὶ ἡ ζωὴ θαυμαστή· καὶ τὸ τέλος ἐπέραστομ, ὑπὸ Θεοῦ τοῖς θαύμασι μαρτυρούμεμομ».

§

8. Θεοδώρου τοῦ στρατηλάτου.

Λείψανα τοῦ ἁγίου Θεοδώρου τοῦ στρατηλάτου ἐσώζοντο μέχρι τοῦ ΙΔ' αἰῶνος ἐν Κωνσταντινουπόλει, διότι τῷ 1347 Ἰωάννης ὁ Κατακουζηνὸς ἀπέστειλε μέρος ἐλάχιστον τῷ τῶν Ῥώσσων βασιλεῖ Συμεών [32].

* * *

8. Τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ζαχαρίου, ἑνὸς τῶν ιστ' προφητῶν.

Ναοὶ ἐπ' ὀνόματι Ζαχαρίου τοῦ προφήτου ἠγείροντο ἐν Κωνσταντινουπόλει καὶ τοῖς πέριξ 1) ὁ ἐν τῇ μονῇ τῆς ὁσίας Δομνίκης (8 ἰανουαρίου) κτισθεὶς ὑπὸ Θεοδοσίου τοῦ Μεγάλου, μικρὸν πρὸ τοῦ 388· 2) ὁ πλησίον τοῦ βουνοῦ τοῦ Αὐξεντίου ἐν τόπῳ λεγομένῳ *Θεάτρῳ*, ἀναφερόμενος ἐν τῷ Ε' αἰῶνι [33]. Ἄγνωστον μέχρι τίνος αἰῶνος ἐσῴζοντο οἱ ναοὶ οὗτοι.

§

10. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀναστασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως [34].

Ἤκμασεν ἐπὶ Λέοντος Ἰσαύρου καὶ Κωνσταντίνου τῶν εἰκονομάχων, ὁμοφρονῶν αὐτοῖς. Ἱδρυτὴς οἴκου τινὸς φιλανθρωπικοῦ, σῳζομένου ἐν τῇ νήσῳ τῆς Προποντίδος Ὀξείᾳ [35] (πρὸ τῆς Κωνσταντινουπόλεως), εἰκάζω ὅτι ἀπεθησαύρισεν ἐν τῷ οἴκῳ τούτῳ τὰ λείψανα τῶν ἁγίων μαρτύρων Λουκιλλιανοῦ, Παύλης καὶ τῶν σὺν αὐτοῖς· ἕνεκα δὲ τούτου κυρίως καὶ τοῦ οἰκτροῦ αὐτοῦ τέλους, ὡς καὶ τῆς πρὸς τοὺς εἰκονοφίλους καὶ τὸν Ἀρτάβασδον οἰκειώσεως, ὁ Ἀναστάσιος εἰσήχθη εἰς τὸ ἑορτολόγιον [36].

* * *

10. Μνήμη τῆς ὑπεραχράντου δεσποίνης ἡμῶν Θεοτόκου ἐν τοῖς Ἀρεοβίνδου [37].

Ὁ λόγος ἀναφέρεται εἰς ναὸν κτισθέντα ἐν τῷ σημερινῷ Χάσκιοϊ ἀπέναντι τῆς Βασιλικῆς πύλης (Μπαλατᾶ) τῷ 598 ὑπὸ Πέτρου ἀδελφοῦ τοῦ αὐτοκράτορος Μαυρικίου [38]. Ἀρεόβινδος ὕπατος Κωνσταντινουπόλεως ἀναφέρεται τῷ 434-435, προαχθεὶς εἰς τὴν περιωπὴν ταύτην ἕνεκεν ἀνδραγαθίας τῷ 433, ἀναφέρεται δὲ καὶ στρατηγὸς τῷ 450 ἐπὶ Θεοδοσίου τοῦ Μικροῦ [39]. Γνωστός ἐστι καὶ ἕτερος Ἀρεόβινδος κηδεστὴς μὲν Ὀλυβρίου τοῦ τῆς Ῥώμης ἄρξαντος, στρατηγὸς δ' Ἀνατολῆς ἐπὶ τοῦ Θρᾳκὸς Ἀναστασίου [40].— Ὁ ναὸς ἀναφέρεται σῳζόμενος καὶ κατὰ τὰ μέσα τῆς Θ' ἑκατονταετηρίδος καὶ κατόπιν, ἅτε μνείας αὐτοῦ γενομένης ἐν τῷ Βασιλειανῷ λεγομένῳ Μηνολογίῳ [41].

32. ἐπειδὴ δύσκολόν ἐστιν ἀνευρεῖν εἰς τίνα τῶν ἁγίων Θεοδώρων ἐπεγράφοντο οἱ ἐν Κωνσταντινουπόλει ναοὶ τῶν ἁγίων Θεοδώρων, ὁ περὶ τούτων λόγος εἰς τὴν 17 φεβρουαρίου γίνεται. Πατριαρχ. Πίνακες, σελ. 425.

33. τοῦτο κατὰ βιογραφίαν ἀνέκδοτον τοῦ ὁσίου Αὐξεντίου, γραφεῖσαν ὑπὸ Ψελλοῦ, ἧς ἐκδίδωμι περίληψιν ἐν οἰκείῳ τόπῳ.

34. ἡ μνήμη οὕτω γράφεται καὶ παρὰ Νικοδήμῳ καὶ παρὰ τῷ Συναξαριστῇ τοῦ Σταυρονικήτα.

35. βλ. περὶ τούτου τὸ ἐκδοθὲν ὑπ' ἐμοῦ «Τυπικὸν τῆς ἐπὶ τοῦ βουνοῦ τοῦ Αὐξεντίου μονῆς», σελ. 73-76.

36. ἀνάδραμε εἰς τὰ πρῶτα κεφάλαια τῶν προλεγομένων τοῦ μετὰ χεῖρας συγγράμματος.

37. αἱ λέξεις παρὰ τῷ Σταυρονικητηνῷ Συναξαριστῇ.

38. Θεοφ. Α', 427. Κεδρηνός· Α', 699.

39. Πασχ. Χρον. 582. Κεδρ. Α', 599. Θεοφ. Α', 157.

40. Προκοπίου Ἱστορία· Βόννης, τόμ. Α', σελ. 39.

41. Λέων Γραμματικός· σελ. 235. Μ. Ι. Γεδεὼν «Λίθοι καὶ κεράμια», σελ. ρλγ' καὶ ἑξῆς. Ἡ παρὰ Schlumberger, ἐν σελίσιν 141 τῆς Sigillographie de l'Empire Byzantin, φερομένη σφραγὶς φαίνεταί μοι παραδόξως ἀποδιδομένη εἰς τὴν Θεοτόκον τοῦ Ἀρεοβίνδου, διότι γράφει *Διακονίσης τοῦ Ῥεοβίντου*, κατὰ τὴν τοῦ πολυμαθοῦς βυζαντινολόγου συμπλήρωσιν. Εἰρήσθω δ' ὅτι καὶ ὁ φίλος Schlumberger ἐδήλωσε τὴν ἀπορίαν αὐτοῦ ἐπὶ τῷ συνδυασμῷ τῶν ὀνομάτων. Ἴσως ἀποδειχθῇ ποτε ὅτι κατὰ τὸν Θ' ἢ Ι' αἰῶνα αἱ μοναὶ αὗται ἢ ναοὶ ἦσαν ἡνωμένοι ὑπὸ ἕνα ἐπιστάτην ἢ ἡγούμενον, κατὰ τὰ ἐν τοῖς προλεγομένοις τοῦ μετὰ χεῖρας συγγράμματος γραφόμενα.

§

11. Ἄθλησις Βλασίου καὶ τῶν σὺν αὐτῷ ἁγίων γυναικῶν. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ τῷ πλησίον τοῦ ἀποστόλου Φιλίππου ἐν τοῖς Μελτιάδου.

Ὁ μάρτυς ἦν ἐπίσκοπος Σεβαστείας ἐπὶ Λικινίου. Ἄγνωστος ἡ τοποθεσία Μελτιάδων. Μνήμη ταύτης ἐν τοῖς Μηναίοις. Εἴ τι ἂν εἴπῃ τις περὶ αὐτῆς ἐστιν εἰκασία.

* * *

11. Ἡ εὕρεσις τοῦ τιμίου λειψάνου τοῦ ἁγίου προφήτου Ζαχαρίου (τοῦ πατρὸς τοῦ Προδρόμου, παρὰ Νικοδήμῳ).

Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ Ζαχαρίου τούτου ἐγένετο τῷ 415 σὺν τοῖς λειψάνοις Ἰωσὴφ τοῦ υἱοῦ Ἰακώβ, βασταζόντων τὰ λείψανα Ἀττικοῦ τοῦ πατριάρχου Κωνσταντινουπόλεως καὶ Μωσέως ἐπισκόπου Ἀνταράδου Φοινίκης, «ἄτινα ἀπέθεντο ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, προπέμποντος Οὔρσου ἐπάρχου πόλεως καὶ πάσης συγκλήτου»[42]. Εἰκάζω ἐκ τούτου ὅτι ἡ ἐπὶ τούτῳ σύναξις ἐτελεῖτο ἐν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας.

* * *

11. Θεοδώρας βασιλίσσης τῆς ποιησάσης τὴν Ὀρθοδοξίαν. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν τῷ κυρίῳ Πάσχα κυριακὴ τῆς Ὀρθοδοξίας, ὅτε ἡ μνήμη ἑορτάζεται τῆς ἀναστηλώσεως τῶν σεπτῶν καὶ ἁγίων εἰκόνων[43].

Τῷ φιλίστορι γνωστὸν ὅτι ἡ τὸ πρῶτον ἑορτασθεῖσα Κυριακὴ τῆς Ὀρθοδοξίας συνέπεσε τῇ 19 φεβρουαρίου 842. Θεοδώρα ἡ αὐγούστα πατρίδα μὲν εἶχε τὸ χωρίον Ἔβισσαν τῆς Παφλαγονίας, γονεῖς δ' ἐπιφανεῖς Μαρῖνον καὶ Θεοκτίστην· ἐγένετο σύζυγος Θεοφίλου τοῦ εἰκονομάχου, αὐτὴ προσκειμένη τῇ προσκυνήσει τῶν Εἰκόνων, ὧν ἐτέλεσε μεγαλοπρεπῆ τὴν ἀναστήλωσιν ἅμα Μεθοδίῳ τῷ πατριάρχῃ[44]. Ἡ μονὴ τῶν Γαστρίων, ἡ ἐν Ὑψωμαθείοις[45], ἣν πρότερον ἀνάκτορον τῆς Θεοκτίστης[46], ἡ τῆς τοῦ Θεοφίλου μητρὸς Εὐφροσύνης οἶκος, «ὃν ἐξωνήσατο παρὰ Νικήτα πατρικίου» καὶ κατέστησε γυναικείαν μονήν[47].

§

12. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀντωνίου πατριάρχου Κωνσταντινουπόλεως.

Αἱ λέξεις εἰσὶ τοῦ Σαυρονικητηνοῦ Συναξαριστοῦ, καθ' ὃν ὁ Ἀντώνιος ἐξεπαιδεύθη ἐν Κωνσταντινουπόλει· οὐδαμοῦ δὲ τοῦ συναξαρίου τούτου γράφεται ὅτι ἦν μοναχὸς τοῦ Στουδίου, ἀλλ' ἁπλῶς ὅτι «τὸν μοναστὴν ὑπέδυ . . . . καὶ τοῦ φροντιστηρίου ἡγούμενος γίνεται»· ἦν ἄρα Ἀντώνιος ὁ δεύτερος ὁ τοὐπίκλην Καυλέας[48], ἡ Βλαχέας, υἱὸς εὐσεβῶν καὶ πλουσίων γονέων[49]. Ἐγένετο σφόδρα ἐλεήμων, παρέχων πολλοῖς δυστυχοῦσι τὰ πρὸς ζωάρκειαν. Ὅτε ἐξελέγη πατριάρχης ἦν γέρων, ἀλλ' ἀκούραστος πάντοτε ἔτρεχεν εἰς πάντας τοὺς ναοὺς λειτουργῶν· κατώρθου δὲ ν' ἀνακτίζωνται οἱ ναοὶ οἱ τῷ χρόνῳ καταβληθέντες· «τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ αὐτοῦ μονῇ». Ἡ μονὴ αὕτη ἀναφέρεται ἐν τέλει τοῦ Θ' αἰῶνος, ὅτε ὁ Ἀντώνιος ἔζη, καὶ φαίνεται ὅτι ἔκειτο ἔξω τῶν τειχῶν[50], ἐλέγετο δὲ καὶ Καλλίου ἡ Καλέως[51], εἰ καὶ σύγχρονός τις[52] γράφει τὸ ἐπώνυμον οὐ Καυλέα, ἀλλὰ Καλέου. Ἡ μονὴ αὕτη, ἂν ᾖ ἡ «τοῦ κὺρ Ἀντωνίου», ἔκειτο ὅπου σήμερον ἐγείρεται τὸ Γενὶ-δζαμὶ τῆς πόλεως[53]. Τῷ 1384 ἀναφέρεται σωζομένη μονὴ Καλέος ἐν Κωνσταντινουπόλει[54], βεβαίως αὕτη.

Σπηλαιωτίσσης. Τὸ λείψανον τοῦτο καὶ τὸ τοῦ ἁγίου Σπυρίδωνος μετηνέχθησαν τὸ πρῶτον εἰς Παραμυθίαν τῆς Ἠπείρου τῷ 1456 ὑπὸ Γεωργίου Καλοχαιρέτου, κἀκεῖθεν εἰς Κέρκυραν. Ἴδε Συλλογὴν ἀκολουθιῶν καὶ συναξαρίων τοῦ ἁγίου Σπυρίδωνος κτλ Ἀθήνησι, 1883· προλεγόμενα Σπυρίδωνος Παπαγεωργίου, σελ. ιδ'.

45. σήμερον Σαντζακτὰρ-μεσδζιτί. Πασπάτη, Βυζαντ. Μελέται· σελ. 354-357.

46. Theoph. Continuati· σελ. 89-90.

47. Συμεὼν Μάγιστρος· σελ. 628.

48. Πατριαρχ. Πίνακες· σελ. 294-295.

49. Βασιλ. Μηνολόγ. εἰς τὴν 12 φεβρουαρίου.

50. Λέων Γραμματικός· σελ. 271. Γεώργιος μοναχός· σελ. 858.

51. σημειώσεις εἰς Ἄνναν Κομνηνήν· τόμ. Β', σ. 479.

52. Βίος Εὐθυμίου, ὑπὸ C. De Boor· σελ. 26.

53. Πασπάτη, Βυζαντ. Μελέται· σελ. 154, 157.

54. Acta Patriarch. τόμ. Β', σελ. 67.

42. Πασχάλ. Χρον. 572. Τὴν εὕρεσιν τῶν λειψάνων ὁ Θεοφάνης, Α', 133, τάττει τῷ 427.

43. αἱ λέξεις παρὰ τῷ Σταυρονικητηνῷ Συναξαριστῇ.

44. τὰς περὶ Θεοδώρας ὡς ὁσίας γυναικὸς παραδόσεις ἴδε παρὰ τῷ Συναξαριστῇ τοῦ φεβρουαρίου, τῆς ἐκδόσεως Κωνσταντίνου Δουκάκη ἐν Ἀθήναις, 1890, σελ. 202-204. Λέγεται ὅτι κατὰ τὰ μέσα τοῦ ΙΕ' αἰῶνος ἀνεκομίσθη τὸ λείψανον τῆς Θεοδώρας, ἀλώβητον εὑρεθὲν, εἰς Κέρκυραν, τοῦτο δὲ ϑησαυρίζει ὁ ἐν τῇ νήσῳ ταύτῃ ναὸς τῆς Θεοτόκου

§

13. Τοῦ ὁσίου Μαρτινιανοῦ. Ἡ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Ἤκμασε κατὰ τὰ τέλη τοῦ Δ' αἰῶνος πιθανῶς ἐν Παλαιστίνῃ. Ἐν τῷ συναξαρίῳ αὐτοῦ γίνεται μνεία καὶ δύο γυναικῶν ὁσίων, Φωτεινῆς καὶ Ζωῆς[55].

§

14. Αὐξεντίου τοῦ ὁσίου. Τελεῖται δ' ἡ αὐτοῦ σύναξις ἐν τῇ μονῇ τῶν Καλλιστράτου.

Ἤκμασεν ὁ Αὐξέντιος ἐπὶ Θεοδοσίου Β', ἐκ Συρίας ἐλθὼν εἰς Κωνσταντινούπολιν τῷ 442, καὶ ἐμόνασεν ἐν τοις βιθυνικοῖς ὄρεσιν Ὀξείᾳ καὶ Σκῶπα, ἀποθανὼν περὶ τὰ 470-472[56]. Τὴν σύναξιν ἐτέλει ἡ μονὴ τῶν Καλλιστράτου, ἥτις ἔκειτο ἐντὸς τῆς Κωνσταντινουπόλεως, ἄγνωστον ποῦ, καὶ ἐσῴζετο ἐπὶ Ἡρακλείου καὶ ἐπὶ Ἰουστινιανοῦ Β' τοῦ Ῥινοτμήτου, ὑπὸ δὲ Κωνσταντίνου τοῦ Κοπρωνύμου εἰς στρατῶνα μεταβληθεῖσα φαίνεται ὅτι ἀνῳκοδομήθη, διότι ἀναφέρεται ἐν τῇ Ζ' οἰκουμενικῇ Συνόδῳ[57].

Ὁ ῥῶσσος περιηγητὴς ἢ μᾶλλον μυθογράφος Ἀντώνιος λέγει ὅτι εἶδεν ἐν τῷ ναῷ τῆς Ἀναστάσεως τὸν τάφον *Αὐξεντίου τοῦ βιώσαντος ἐπὶ τοῦ βουνοῦ μετὰ Στεφάνου τοῦ νέου*, σῳζόμενον δῆθεν κατὰ τὰ τέλη τοῦ ΙΒ' αἰῶνος[58].

§

15. Ὀνησίμου τοῦ ἀποστόλου.

Ναὸς ἐπ' ὀνόματι τοῦ ἀποστόλου τούτου ἀναφέρεται σῳζόμενος ἐν Κωνσταντινουπόλει κατὰ τὸν Ι' αἰῶνα, κατὰ τὴν ἀπὸ τοῦ Ξηρολόφου πρὸς τὸ Ἐξωκιόνιον ὁδὸν κείμενος[59].

* * *

Σύναξις ἐν τοῖς Διακονίσσης τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου.

Ἡ μνήμη παρὰ τῷ Σταυρονικητηνῷ Συναξαριστῇ.

Τὸν ναὸν τῆς Θεοτόκου τὰ Διακονίσσης ὁ ἰατρὸς Mordtmann θέλει κείμενον ὅπου νῦν τὸ Καλενδερ-χανὲ-δζαμί[60]. Πιθανῶς εὐκτήριόν τι τοῦ ναοῦ τούτου ἦν ἀφιερωμένον εἰς Ἰωάννην τὸν Θεολόγον, ἢ ἡ σύναξις ἐτελεῖτο τῇ 15 τοῦ φεβρουαρίου μηνὸς ἕνεκα θαύματός τινος αὐτόσε γενομένου.

§

16. Παμφίλου (ἢ ΠαμφΙΟΥ), Οὐάλεντος καὶ τῶν σὺν αὐτοῖς. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Ἐν Εὐαγγελίῳ μεμβρανίνῳ τῆς μονῆς Σταυρονικήτα, γραφέντι κατὰ τὸν ΙΒ' αἰῶνα, σημειοῦται οὕτως ἡ μνήμη «Τοῦ ἁγίου ἱερομάρτυρος ΠαμφΥλου ἐπισκόπου Καισαρείας». Ἴσως ἐξ ἀπροσεξίας.

* * *

16. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Φλαβιανοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

Παρὰ τῷ Βασιλειανῷ λεγομένῳ Μηνολογίῳ ἡ μνήμη τῇ 17 τοῦ μηνός.

Παρὰ τῷ ὑπ' ἀριθ. 426 Εὐαγγελίῳ τῇ 18. Ἱεράτευσεν ὁ Φλαβιανὸς κατὰ τὰ ἔτη 447-449. Προσβληθεὶς ἀγρίως ὑπὸ τῶν τῇ αἱρέσει τοῦ Εὐτυχοῦς προσκειμένων, ἀπεβίωσεν ἐκ τῆς προσβολῆς τῇ 11 αὐγούστου 449. Κατ' αἴτησιν τῆς εὐσεβοῦς Πουλχερίας, τὸ τοῦ Φλαβιανοῦ λείψανον ἀνακομισθὲν ἐξ Ἐφέσου, τῷ 450 ἔτει[61], ἀπετέθη ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων. Ἴσως εἰσήχθη τὸ λείψανον εἰς Κωνσταντινούπολιν τῇ 17 φεβρουαρίου, τοῦ 451 μᾶλλον[62].

---

55. Nilles, Calendarium· τόμ. Α', σελ. 102.

56. Τυπικὸν τῆς μονῆς Αὐξεντίου· σελ. 7-9.

57. Νικηφόρος πατριάρχης· Βόννης, σελ. 43. Θεοφ. Α', 564, 685. Δουκαγγίου Const. Christ. σελ. 107, XIX. Δείκνυται δ' ὅμως ἡ μονὴ τῶν Καλλιστράτου σῳζομένη καὶ κατὰ τὸν Ι' αἰῶνα, εἰς ὃν ἀναφέρεται σφραγὶς *Νικολάου καθηγουμένου τῶν Καλλιστράτου*. Schlumberger, Sigillographie de l'Empire Byzantin. Paris, 1884, σελ. 135.

58. Ποικίλη Στοά· Ἡμερολόγιον τοῦ 1884, ἐν Ἀθήναις, σελ. 359, κατὰ τὴν κριτικὴν ἐν τῷ Ἡμερολογίῳ τούτῳ σημείωσιν τοῦ Α. Γ. Πασπάτη, παρατηροῦντος ὀρθῶς ὅτι ἐν ὅλῃ τῇ βίβλῳ τοῦ Ἀντωνίου καταφαίνεται λαμπρῶς ἡ ἐπιπολαιότης τοῦ ῥώσσου περιηγητοῦ. Ποικίλης Στοᾶς σ. 262.

59. Πορφυρογεννήτου, Ἔκθ. βασ. τάξεως· σελ. 100.

60. Esquisse topogr. σελ. 70, § 124· βλ. καὶ τὸν συνημμένον πίνακα τῆς Κων/πόλεως ὑπὸ J. Mordtmann. Περὶ δὲ τοῦ Καλενδερχανὲ δζαμὶ ὁ Πασπάτης ἀγνοεῖ· παρατίθησι δὲ ἐν σελ. 351 τὴν εἰκονογραφίαν τοῦ τεμένους.

61. Θεοφ. Α', σελ. 157.

62. βλ. περὶ Φλαβιανοῦ τοὺς Πατριαρχικούς μου Πίνα-

§

17. Τῶν ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένων βασιλέων Μαρκιανοῦ καὶ Πουλχερίας. Τελεῖται δ' ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Ὅτε ἐστέφθη ὁ Μαρκιανὸς (25 αὐγούστου 450) ἦν γέρων, ἐπ' εὐλαβείᾳ καὶ σωφροσύνῃ διαπρέπων, διὸ καὶ ἐξελέξατο αὐτὸν ὡς σύζυγον, κατὰ τὸ φαινόμενον, ἡ παρθένος Πουλχερία. Τὸν Μαρκιανὸν ὁ Εὐάγριος λέγει «φοβερὸν οὐκ ἐν τῷ τιμωρεῖσθαι, ἀλλ' ἐν τῷ τιμωρήσεσθαι»[63]. Τὰ ἔτη τῆς ἡγεμονίας αὐτοῦ λέγει ὁ Θεοφάνης «χρυσᾶ τῇ τοῦ βασιλέως χρηστότητι, γαλήνης [ἐπὶ] πάντα τὰ πράγματα ἐπικεχυμένης»[64]. Ἐκώλυε πᾶσαν δωροδοκίαν. Ἔγραψε σὺν ἅμα τῇ Πουλχερίᾳ «Λέοντι πάπᾳ Ῥώμης πᾶσαν αὐτῷ αὐθεντίαν παρέχοντες, (ὃς) ἔγραψε πρὸς τὴν ἐλπιζομένην ἐν Νικαίᾳ γενέσθαι Σύνοδον θαυμασίαν ἐπιστολήν»[65]. Ἀπεβίωσεν ὁ Μαρκιανὸς 26 ἰανουαρίου 457, ἢ κατὰ Θεοφάνη 30 ἀπριλίου, καὶ ἐτάφη ἐν Ἁγίοις Ἀποστόλοις[66].

* * *

17. Θεοδώρου τοῦ τήρωνος. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ τῷ ὄντι ἐν τοῖς Φωρακίου τῷ σαββάτῳ τῆς πρώτης τῶν νηστειῶν ἑβδομάδος.

Ἤθλησε τῇ 17 φεβρουαρίου 306.

Ἐκ τῶν περὶ «συνάξεως» γραφομένων μανθάνομεν ὅτι ἐν τοῖς Σφωρακίου ἦν καὶ ναός, οὐ μακρὰν τῆς ἁγίας Σοφίας, οὐχὶ δὲ κατὰ τὸ Βεφᾶ-μεϊδὰν τῆς σήμερον, τιμώμενος ἐπ' ὀνόματι τοῦ ἁγίου Θεοδώρου τοῦ τήρωνος. Ὁ ναὸς ἀναφέρεται τῷ 513[67]. Ἐπειδὴ δ' ὁ Σφωράκιος ἦν ὕπατος τῆς Νέας Ῥώμης τῷ 451-452[68], ὁ ναὸς ἠγέρθη μετὰ τὰ μέσα τοῦ Ε' αἰῶνος. Ἀμφίβολον ὅμως ἂν αὐτὸς ἦ ὁ ἅγιος Θεόδωρος ὁ Φανερωτής, ὡς νομίζει ὁ Πασπάτης[69], διότι ἡ μόνη καὶ ἀρχαιοτέρα μαρτυρία, ἣν γινώσκω, ἡ κατὰ τὸ συναξάριον Ἰωσὴφ τοῦ ὑμνογράφου ἥκιστα παραδείκνυσιν ἡμῖν τὸν τόπον τοῦ Φανερωτοῦ, εἰς ὃν οἱ ἀπολλύντες τι προσέφευγον ζητοῦντες τὴν φανέρωσιν αὐτοῦ[70].

Πλὴν τοῦ ναοῦ τούτου εἰσὶ γνωστοὶ ναοὶ ἐπ' ὀνόματι Θεοδώρου ἡ Θεοδώρων 2) ὁ ἐν τῷ παλατίῳ «ἐν τῷ πρὸς ἀνατολὴν ἀριστερῷ μέρει τοῦ Χρυσοτρικλίνου», ὅπου ἀπετίθετο ὁ τίμιος Σταυρὸς τῇ 13 αὐγούστου μένων μίαν νύκτα, μετὰ τὴν περὶ τὰ τείχη τῆς πόλεως πρόοδον[71]· 3) εὐκτήριον τὸ παρὰ τὴν πρώτην τοῦ πραιτωρίου πύλην, ἀναφερόμενον κατὰ τὰ μέσα τοῦ Η' αἰῶνος[72]· 4) ὁ παρὰ τοῖς Βυζαντινοῖς δημοτικὸς ναὸς τοῦ ἁγίου Θεοδώρου τοῦ Βαθέως Ῥάκος, κείμενος μὲν «πρὸ τῆς πόλεως ἐν χώρῳ καλουμένῳ Ῥησίῳ», ἀνεγερθεὶς δ' ἐκ βάθρων ὑπὸ τοῦ Ἰουστινιανοῦ Α' πρὸ τοῦ 527[73]. Πιθανῶς ἦν ὁ ναὸς οὗτος ὁ τῆς μονῆς, ἥτις ἔκειτο ἐν τῷ Ῥηγίῳ, ἢ καθ' ἑτέραν ἀφήγησιν «πλησίον τοῦ Ῥηγίου», ὅπου ἐνέκλεισαν Μάξιμον τὸν Ὁμολογητήν[74]. Ὁ ναὸς οὗτος τοῦ ἁγίου Θεοδώρου, ἐσῴζετο καὶ ἐν ἀρχαῖς τοῦ ΙΑ' αἰῶνος, ὅτε πολλοὶ τῶν τῆς πόλεως κατοίκων ἐφοίτων καθ' ἑκάστην, ἕνεκεν εὐλαβείας· «ὁπηνίκα δ' ἡ κυριακὴ παρῆν, πάνδημον οἱ εὐσεβεῖς ἐποιοῦντο τὴν πρὸς τὸ ἱερὸν τοῦτο τέμενος ἔλευσιν, παννύχιοι καὶ παννημέριοι κύκλῳ τε καὶ κατὰ τὸν πρόδομον καὶ ὀπισθόδομον τοῦ νεὼ προσμένοντες[75]. Πάντως ἐν τῇ μονῇ ταύτῃ πολὺν διέμεινε χρόνον Εὐθύμιος ὁ σύγκελλος περὶ τὰ τέλη τοῦ Θ' αἰῶνος· τοῦτο λέγω διότι τὸν Εὐθύμιον τοῦτον ὁ βιογράφος αὐτοῦ παρίστησιν εἰς τὸν Ἅγιον Θεόδωρον μεταπεμπόμενον «ἅπαντας τοὺς πλησιοχωροῦντας μοναχούς, τοὺς ἐν τῇ Πηγῇ τῆς Θεομήτορος καὶ τοὺς τῆς τοῦ Ἀβραμίου μονῆς», καὶ διότι, προκειμένου λόγου περὶ τῆς εἰς τὴν μονὴν ταύτην μεταβάσεως, *ἐξῆει* γράφει πάντοτε[76] διὰ τὸ κεῖσθαι ἔξω τῶν τειχῶν. Τὸν ναὸν τοῦτον ὁ Σκαρλᾶτος Βυζάντιος τίθησιν ὅπου νῦν τὸ αὐτοκρατορικὸν ὑφασματουργεῖον κατὰ τὸ Μακροχῶρι, τὰς δὲ πηγὰς τοῦ Βαθέως Ῥάκος νομίζει ὑπαρχούσας εἰς τὰς περὶ τὸ χωρίον Λύτρας δασυδένδρους κοιλάδας «τὰς ὁποίας φαίνεται ὅτι ὀνομάζει ἡ Ἄννα Βαθὺν Ῥάκα»[77]. Πολὺ πιθανῶς ἡ μονὴ τοῦ ἁγίου Θεοδώρου τοῦ Βαθέως Ῥάκος ἐπεῖχε τὸν τόπον, ὅπου κεῖται σήμερον τὸ ἁγίασμα τῆς ἁγίας Παρασκευῆς τὸ κοινῶς λεγόμενον Τσομπὰν-ἁγιασμασί[78]· 5) ὁ τῆς μονῆς τοῦ Κυπριανοῦ, ἣν ἐπ' ὀνόματι τῶν ἁγίων Θεοδώρων ἔκτισε Κυπριανὸς ὁ Θεσσαλονικεύς, ἐλθὼν εἰς Κωνσταντινούπολιν κατὰ τὰς ἀρχὰς τοῦ ΙΕ' αἰῶνος· «ἐπονομαζομένην τοῦ Κυπριανοῦ»[79]· 6) οἱ φερόμενοι παρὰ τοῖς παραδοξογράφοις ναοὶ τοῦ ἁγίου Θεοδώρου *τὰ Κλαυδίου* καὶ *τὰ Καρβουνάρια* χρήζουσι πολλῆς ἐρεύνης· τὸν μὲν πρῶτον ναὸν οἱ μυθολόγοι λέγουσιν ὅτι ἀνήγειρεν ἡ ἰσαπόστολος Ἑλένη εἰς τὰ Ψαμμαθεῖα, τοῦ Κλαυδίου πατρικίου γενομένου κατὰ τοὺς χρόνους Βασιλίσκου καὶ παλάτιον ἐκεῖ δῆθεν ἐγείραντος· τὸν δὲ δεύτερον, ὅτι κατὰ τὴν βασιλείαν Λέοντος τοῦ Θρᾳκὸς ἔκτισεν Ἰλαρίων ὁ πατρίκιος[80]. Πᾶσαν περὶ τοῦ καθορισμοῦ τῶν Καρβουναρίων γνώμην εἴπερ ἔκειτο παρὰ τὸ Βεφᾶ-μεϊδὰν τῆς σήμερον, ἢ ἀλλοῦ, νομίζω παρακεκινδυνευμένην.

Ναὸς ἁγίου Θεοδώρου ὁ ἐν τῷ Τενέτρῳ, ὁ κτισθεὶς ὑπὸ Μαρκιανοῦ τοῦ πρεσβυτέρου καὶ οἰκονόμου καὶ ἀναφερόμενος ἐν τῇ ἀνεκδότῳ αὐτοῦ βιογραφίᾳ, ἀγνοῶ εἴπερ ἔκειτο ἐν τοῖς πέριξ τῆς Κων/πόλεως χωρίοις ἢ μακρὰν αὐτῆς.

Οἱ ἐν τῇ ἐπὶ Μηνᾶ συνόδῳ καὶ ἐν τῷ λιβέλλῳ τῷ πρὸς Ὁρμίσδαν ὑπογραφόμενοι μοναχοὶ 1) *μονῆς τῶν Θεοδώρου ἐν τῇ Πέτρᾳ*, 2) μονῆς τῶν Θεοδώρου καὶ 3) τρίτης ἐπὶ τῷ αὐτῷ ὀνόματι γνωριζομένης, ἐπεγράφησαν ὑπὸ τοῦ Δουκαγγίου[81] εἰς ὄνομα τῶν ἁγίων Θεοδώρων (Τήρωνος; Στρατηλάτου;) — Ὁ ὑπὸ Νικηφόρου πατριάρχου (2 ἰουνίου) κτισθεὶς ἄγνωστον ποῦ ἔκειτο.

* * *

17. Ἡ εὕρεσις τῶν λειψάνων τοῦ ἁγίου Μηνᾶ τοῦ καλλικελάδου.

Εὑρέθησαν, ὡς φαίνεται, ἐν Κωνσταντινουπόλει, ἐπὶ Μαρκιανοῦ (450-457)[82].

§

18. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Λέοντος πάπα Ῥώμης. Ἡ δὲ τούτου σύναξις τελεῖται ἐν τῇ ἁγιωτάτῃ μεγ. ἐκκλησίᾳ[83].

Ἀνὴρ μεγάλης ἀρετῆς ὁ Λέων ὑπεστήριξε τοὺς ὀρθοδόξους ἐν τῇ Δ' οἰκουμενικῇ Συνόδῳ, ἥτις ὠνόμασε *στήλην ὀρθοδοξίας* τὴν θαυμασίαν ἐπιστολὴν τοῦ ἱεροῦ ἀνδρὸς περὶ τῶν ἐν Χριστῷ δύο φύσεων[84].

* * *

18. Μνήμη τῶν ὁσίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Κωνσταντινουπόλεως Θωμᾶ, καὶ Ἰωάννου τοῦ νηστευτοῦ.

Τὴν μνήμην ἀναφέρει ὁ τοῦ Σταυρονικήτα Συναξαριστής, ὅστις ὅμως ἀναγράφει μνήμην τοῦ Νηστευτοῦ καὶ τῇ 2 σεπτεμβρίου σὺν τῇ τοῦ Παύλου τοῦ νέου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

§

19. Ῥαβουλᾶ τοῦ ὁσίου.

Γεννηθεὶς ἐν Σαμοσάτοις, ἐγένετο μοναχὸς ἐν ἡλικίᾳ νεαρᾷ, μετέβη εἰς Φοινίκην, καὶ, συνδρομῇ τοῦ αὐτοκράτορος Ζήνωνος, ἵδρυσεν ἐκεῖσε μοναστήριον καὶ ἐκήρυττε τὸν χριστιανισμὸν ἅμα. Κατὰ τὰ τελευταῖα τοῦ Ζήνωνος ἔτη ἐλθὼν εἰς Κωνσταντινούπολιν, τῇ συνδρομῇ Ἀναστασίου τοῦ Θρᾳκὸς τοῦ αὐτοκράτορος, ἵδρυσε τὴν ἐπώνυμον αὐτῷ μονήν, τοῦ Ῥαβουλᾶ. Ἔζη καὶ ἐπὶ τοῦ Α' Ἰουστινιανοῦ, ἀπέθανε δ' ὀγδοηκοντούτης[85].

κας· σελ. 185-188. Κατὰ τὸ λεγόμενον Βασιλειανὸν Μηνολόγιον, ὁ Φλαβιανὸς ἀπέθανεν ἐν ὑπερορίᾳ.

63. Ἐκκλησ. Ἱστορ. βιβλ. Β', κεφ. α' καὶ η'.

64. Θεοφ. Α', σελ. 159, 163, 167, 169.

65. Θεοδ. Ἀναγνώστου Ἐκκλ. Ἱστορ. Α', 2, 3, 6, 7.

66. ὁ Θεόδωρος Ἀναγνώστης αὐτόθι ὁρίζει τὴν 26 ἰανουαρίου, ὡς καὶ τὸ Πασχάλιον Χρονικόν· σελ. 592.

67. Θεοφ. Α', σελ. 245.

68. Πασχάλιον Χρον. σελ. 590.

69. Βυζαντ. Μελέται· σελ. 316.

70. συναξάρ. Ἰωσήφ· Migne, τόμ. ΡΕ', στήλη 933.

71. Πορφυρογ. Ἔκθεσις· σελ. 522 καὶ 540.

72. Στεφάνου τοῦ νέου βίος, ὑπὸ Στεφάνου διακόνου· Migne. Ρ', 1176.

73. Προκοπίου, Περὶ κτισμάτων· σελ. 190.

74. Μαξίμου βίος· καὶ περὶ τῶν πραχθέντων ἐν Βιζύῃ κτλ. Migne, τόμ. γ', στ. 101 καὶ 161.

75. Ἄννα Κομνηνή· τόμ. Α', σελ. 393.

76. Εὐθυμίου βίος· σελ. 9, 11 (στίχῳ 19), 12 (στίχῳ 17), 14 (στίχῳ 30) καὶ 17 (στίχῳ 7-9).

77. «Κωνσταντινούπολις»· τόμ. Α', ἐν σελ. 320-321, ἔνθα τὰ περὶ Βαθέως Ῥάκος καὶ ναοῦ γράφονται ἐπιπολαίως. Ποῦ δὲ εὗρε παρὰ τὰς Λύτρας ὁ Βυζάντιος κοιλάδας δασυδένδρους, ἀπορῶ.

78. Αἴθοι καὶ Κεράμια, σελ. 62, σημ. 79.

79. Φραντζῆ Χρονικόν· σελ. 140.

80. Banduri, Imp. Or. σελ. 16, 42, 43.

81. Const. Christ. σελ. 112, στ. β'.

82. Ἴδε τὸν Συναξαριστὴν τοῦ Ξαυρασίου Νικοδήμου τοῦ τόσον εὐχερῶς ἐπιλανθανομένου ἑαυτοῦ· διότι γράφει μὲν εἰς τὴν 17 φεβρουαρίου ὅτι τῷ 450 εὑρέθησαν τὰ λείψανα καὶ ὅτι ἀφ' οὗ χρόνου ἐτέθησαν ὑπὸ γῆν «εἶχον παρέλθει 400 ἔτη», ἔγραψε δὲ εἰς τὴν 10 δεκεμβρίου μηνὸς ὅτι ὁ ἅγιος οὗτος Μηνᾶς ἦν ἐν ἔτει 235!!!

83. τοῦτο κατὰ τὸν τοῦ Σταυρονικήτα Συναξαριστήν.

84. ταῦτα παρὰ τῷ λεγομένῳ Βασιλειανῷ Μηνολογίῳ.

85. βιογραφία σύντομος παρὰ τῷ Συναξαριστῇ.

Ἡ μονὴ αὐτοῦ ἔκειτο πλησίον τῆς πύλης τοῦ ἁγίου Ῥωμανοῦ (τανῦν Τὸπ-καπού)[86].

ᵹ

21. Ὁ ἅγιος Ἰωάννης πατριάρχης Κωνσταντινουπόλεως ὁ ἀπὸ σχολαστικῶν ἐν εἰρήνῃ τελειοῦται.

Ἐχειροτονήθη τῇ 15 ἀπριλίου 565 καὶ ἀπέθανε τῇ 31 αὐγούστου 577 κατὰ Θεοφάνην. Γεννηθεὶς ἐν τῇ κώμῃ Σιρίμιος, ἔξω τῆς Ἀντιοχείας τῆς Συρίας, ἐγένετο δικηγόρος, εἶτα δὲ κληρικός, καὶ διέμενεν ἐν Κωνσταντινουπόλει ὡς ἐπίτροπος τοῦ πατριάρχου Ἀντιοχείας, ὅτε ἐψηφίσθη πατριάρχης[87].

ᵹ

22. Μνήμη τῶν εὑρεθέντων ἁγίων λειψάνων τῶν ἁγίων μαρτύρων τῶν ἐν τοῖς Εὐγενίου, ἅτινα εὑρέθησαν ἐν τοῖς χρόνοις Ἀρκαδίου.

Τὰ γραφόμενα περὶ τῶν λειψάνων τούτων ἔν τε χειρογράφοις Συναξαριστοῖς καὶ παρὰ τῷ Μαργουνίῳ, καὶ παρὰ τῷ Νικοδήμῳ, εἰσὶ σκοτεινά, συμφύροντα χρονολογίας, καθὸ ἀναφέροντα Θωμᾶν πατριάρχην ἐπὶ Ἀρκαδίου (γραπτέον Ἡρακλείου), καὶ μετὰ παρέλευσιν πολλῶν χρόνων ἀνακάλυψιν λειψάνων Ἀνδρονίκου καὶ Ἰουνίας ἐν τῷ αὐτῷ τόπῳ. Ἐν τούτοις ὁ Συναξαριστὴς τοῦ Σταυρονικήτα γράφει· «Θωμᾶ τοῦ ἁγιωτάτου τὸν θρόνον ἰθύνοντος Κωνσταντινουπόλεως, εὑρέθησαν τὰ ἅγια λείψανα κείμενα ὑπὸ τὴν γῆν· μετὰ δὲ παρολκὴν χρόνων πολλῶν, ἐκ θείας τινὸς ἐμφανείας ἀπεκαλύφθη ἀνδρί τινι Νικολάῳ κληρικῷ καὶ καλλιγράφῳ εἶναι τὰ λείψανά τινα ἐκ τῶν πολλῶν Ἀνδρονίκου καὶ Ἰουνίας, ὧν ὁ θεῖος ἀπόστολος μέμνηται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ». Ἴσως ἐπὶ Θωμᾶ μὲν εὑρέθησαν, ἀλλ' οὐκ ἦν γνωστὸν εἰς τίνα ἀνῆκον· χρόνου δὲ παρελθόντος ἐγνώσθη ἐκ θείας ἀποκαλύψεως ὅτι ἦσαν Ἀνδρονίκου καὶ Ἰουνίας.

* * *

22. Ἀθανασίου ὁμολογητοῦ τοῦ ἐν τῷ Παυλοπετρίῳ.

Ἤκμασε κατὰ τὰ πρῶτα ἔτη τοῦ Θ' αἰῶνος, ἀποθανὼν πρὸ τοῦ Μιχαὴλ ἐπισκόπου Συνάδων[88]. Ἐγένετο μοναχὸς τῆς ἐν τῷ Παυλοπετρίῳ μονῆς, ἐν τῷ κόλπῳ τῆς Νικομηδείας κειμένης μεταξὺ τῶν χωρίων Παντειχίου καὶ Τούζλων[89]. Φίλος Θεοδώρου τοῦ Στουδίτου καὶ Ἰωάννου ἡγουμένου τῆς τῶν Καθαρῶν μονῆς, ὑπερήσπισε σὺν ἐκείνοις τὸ δόγμα τῆς σχετικῆς τῶν ἁγίων Εἰκόνων προσκυνήσεως. Εὐχαριστοῦντες δὲ «Πασχαλίῳ ἀποστολικῷ πάπᾳ» τῷ 818 οἱ σύντρεις ἐφ' οἷς ὑπὲρ αὐτῶν πασχόντων εἶπεν, ἀνεκήρυττον αὐτὸν μετ' εὐλαβείας *πηγὴν ἐξ ἀρχῆς τῆς ὀρθοδοξίας ὡς ἀληθῶς ἀθόλωτον καὶ ἀκαπήλευτον, καὶ πάσης αἱρετικῆς ζάλης ἀνῳκισμένον εὔδιον λιμένα τῆς Ἐκκλησίας*[90].

* * *

22. Θωμᾶ πατριάρχου Κωνσταντινουπόλεως.

Φαίνεται ὢν ὁ πρῶτος Θωμᾶς ὁ τὴν 23 ἰανουαρίου 607 χειροτονηθείς, πρώην διάκονος τῆς μεγάλης Ἐκκλησίας καὶ σακελλάριος τοῦ πατριάρχου Κυριακοῦ[91]. Ἀπεβίωσε τῇ 20 μαρτίου 610 καὶ ἐκηδεύθη τῇ 22 τοῦ αὐτοῦ μηνὸς ἐν ἡμέρᾳ κυριακῇ[92]. Ὁ τοῦ Νικοδήμου Συναξαριστὴς τίθησι τὴν μνήμην τοῦ Θωμᾶ πρώτου τὴν 21 μαρτίου· τὸ Βασιλειανὸν Μηνολόγιον τὴν 20. Ἀρχαιότερα χειρόγραφα: τοῦ μὲν Θ' αἰῶνος ὁρίζει τὴν μνήμην τῇ 22 φεβρουαρίου, τοῦ δὲ ΙΑ' αἰῶνος ἀναφέρει αὐτὴν τῇ 15 μαρτίου[93].

ᵹ

23. Πολυκάρπου ἱερομάρτυρος ἐπισκόπου Σμύρνης. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ[94].

Ἤθλησε τῇ 23 φεβρουαρίου 167.

86. Ἐγκώμιον εἰς Βάραν. Μαυρογορδάτειος Βιβλιοθήκη: Ἀνέκδοτα ἑλληνικά· σελ. 42.

87. Πατριαρχ. Πίνακες· σελ. 230-231.

88. Θεοδώρου Στουδίτου ἐπιστολὴ Ἀντωνίῳ ἐπισκόπῳ· Migne, τόμ. γθ', στήλη 1629.

89. Μ. Ι. Γεδεών, Ἀκρίτας καὶ Τοῦζλα· σελ. 24.

90. Στουδίτου ἐπιστολαί· Migne, γθ', 1157. Ἀλλὰ καὶ τὸν Ἱεροσολύμων πατριάρχην *πρῶτον* γράφει καὶ κηρύττει *πατριαρχῶν* ὁ Στουδίτης, *κἂν πεντάζοι τὸν ἀριθμόν*. Migne, αὐτόθι, 1161.

91. Πατριαρχ. Πίνακες· σ. 237. Πασχ. Χρον. σ. 697.

92. Πασχαλ. Χρον. σελ. 699. Τῷ Χρονικῷ τούτῳ πιστεύομεν μᾶλλον ἢ τῷ Θεοφάνει, μεταφέροντι τὴν ἡμέραν τῆς ἐκλογῆς τοῦ πατριάρχου Θωμᾶ εἰς τὴν 11 ὀκτωβρίου 607. Θεοφ. Α', 454.

93. Ἱεροσλμ. Βιβλιοθήκη· τόμ. Β', σελ. 370, 472.

94. Ἴδε περὶ τοῦ βίου καὶ τῶν συγγραμμάτων αὐτοῦ ἐν τόμῳ Α' τῆς τοῦ Κοντογόνου Πατρολογίας, σελ. 116-131.

ᵹ

24. **Ἡ πρώτη καὶ δευτέρα εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ τῷ ὄντι ἐν τοῖς Φωρακίου.**

Περὶ τῶν λειψάνων τοῦ τιμίου Προδρόμου ἐγένετο λόγος τῇ 7 ἰανουαρίου ἐν τῷ ἱστορικῷ λόγῳ Θεοδώρου τοῦ Δαφνοπάτου· τὰ περὶ τῶν εὑρέσεων ὅμως τῆς κεφαλῆς γραφόμενα χρήζουσι πολλῆς μελέτης. Κατὰ τὸ Πασχάλιον Χρονικόν, τῷ 362 οἱ εἰδωλολάτραι, ἐπὶ Ἰουλιανοῦ Παραβάτου, τὰ λείψανα τοῦ τιμίου Προδρόμου «ἐν Σεβαστῇ τῇ πόλει κείμενα ἀνορύξαντες διεσκόρπισαν»[95]· τῷ 391 Θεοδόσιος ὁ μέγας μετεκόμισε τὴν τιμίαν κεφαλὴν ἐκ Κυζίκου εἰς Χαλκηδόνα, ἔνθα καὶ ἔμεινεν ἐπί τινα χρόνον ἄχρις οὗ συνετελέσθη ὁ ναός, ὃν ὁ Θεοδόσιος ἤγειρεν ἐν τῷ Ἑβδόμῳ ἐπ' ὀνόματι δῆθεν τοῦ τιμίου Προδρόμου, ἐν αὐτῷ δ' ἀπέθετο καὶ τὴν τιμίαν κεφαλὴν τῇ 16 ἢ 17 φεβρουαρίου 392. Κατὰ τὸν ἐν χρήσει Συναξαριστήν, ἐπὶ Οὐαλεντιανοῦ δῆθεν τῷ 431 εὑρεθεῖσα μετεκομίσθη εἰς Ἔμεσαν ὑπὸ τοῦ ταύτης ἐπισκόπου Οὐρανίου. Ἀλλ' ἀπὸ τοῦ Ἑρμείου μανθάνομεν ὅτι αὕτη σῳζομένη παρὰ μοναχοῖς, ὀπαδοῖς τῆς αἱρέσεως τοῦ Μακεδονίου, κατὰ διαταγὴν Οὐάλεντος τοῦ αὐτοκράτορος, ἐκομίσθη εἰς Κωνσταντινούπολιν ὑπὸ Μαρδονίου ἀρχιευνούχου· ἀλλ' αἱ σύρουσαι τὴν ἅμαξαν ἡμίονοι ἐστάθησαν ἐν Παντειχίῳ τῆς Βιθυνίας μὴ θελήσασαι 'να προχωρήσωσι· τότε δ' ἀπετέθη ἡ τιμία κεφαλὴ ἐν τῇ κώμῃ Κοσιλάου, οὖσῃ κτῆμα τοῦ Μαρδονίου, ἔνθα ἔμενεν ἡ μακεδονιανὴ τὴν αἵρεσιν μοναχὴ Ματρῶνα, γυνὴ σεμνή, ὑπηρετοῦσα τῷ τιμίῳ λειψάνῳ μέχρι τελευτῆς αὐτῆς καὶ προϊσταμένη μοναχῶν ὁμοφρονουσῶν αὐτῇ. Βικέντιος ὁ πρεσβύτερος, τὴν αἵρεσιν μακεδονιανός, προσῆλθε τῇ τῶν ὀρθοδόξων Ἐκκλησίᾳ ὑπηρετῶν καὶ αὐτὸς τῇ τιμίᾳ κεφαλῇ, ἣν ὁ μέγας Θεοδόσιος ἐκ Παντειχίου λαβὼν καὶ τῇ ἀλουργίδι περιβαλὼν ἀνεκόμισεν εἰς Κωνσταντινούπολιν ἐν τῷ Ἑβδόμῳ «μέγαν καὶ περικαλλέστατον ἐνθάδε *τῷ Θεῷ ναὸν ἐγείρας*»[96]. Ἐν τούτοις ἀναφέρεται ὅτι τῷ 458 «μηνὶ περιτίῳ πρὸ ιϐ' καλανδῶν μαρτίων τῇ μέσῃ ἑβδομάδι τῶν νηστειῶν» εὑρέθη ἡ τιμία κεφαλὴ ἐν τῇ Ἐμέσῃ[97]· γνωστὸν δ' ἐστὶν ὅτι τῷ 760 «μετετέθη ἡ κάρα τοῦ Προδρόμου ἐκ τῆς μονῆς τοῦ Σπηλαίου εἰς τὸν ναὸν αὐτοῦ κατὰ τὴν Ἐμεσηνῶν πόλιν»[98]· καὶ ὅτι ἐν τῇ πόλει ταύτῃ φυλαττομένη μέχρι τῶν μέσων τοῦ Θ' αἰῶνος ἀνεκομίσθη καὶ πάλιν εἰς Κωνσταντινούπολιν ἐπὶ Μιχαὴλ υἱοῦ Θεοφίλου καὶ Ἰγνατίου τοῦ πατριάρχου. Ἄγνωστον ποῦ κατετέθη τότε. Ἡ μετακομιδὴ αὕτη δῆθεν ἐστὶν ἡ κατὰ τὴν 24 τούτου τοῦ μηνὸς ἑορταζομένη, κατὰ τὸ Βασιλειανὸν λεγόμενον Μηνολόγιον.

Κατὰ τὸν Ἑρμείαν ἄρα, τὸν ἐν τῷ Ἑβδόμῳ ναὸν ἀφιέρωσεν ὁ Μ. Θεοδόσιος οὐχὶ εἰς τὸν Πρόδρομον, ἀλλ' εἰς τὴν θεότητα. Ὁ ἐμβρόντητος Κωδινὸς λέγει ὅτι Θεοδόσιος ὁ Μ. ἀπέθετο τὴν τιμίαν κεφαλὴν ἐν τῷ ναῷ Ἰωάννου τοῦ Θεολόγου ἐν τῷ Ἑβδόμῳ, ὕστερον δὲ διὰ Ῥουφίνου τοῦ μαγίστρου ἔκτισε ναὸν ἐπ' ὀνόματι τοῦ Προδρόμου[99]. Δέον ὅμως 'να πιστεύσωμεν ὅτι ἡ ἀληθὴς ἱστορία τοῦ ναοῦ τοῦ Βαπτιστοῦ ἄρχεται ἀπὸ Ἰουστινιανοῦ τοῦ Α', ὡς εἰς τὴν 7 ἰανουαρίου γράφεται.

Περί τινων **λειψάνων τοῦ Προδρόμου** εὑρίσκομεν εἰδήσεις παρά τισι τῶν χρονογράφων. Τῷ 968 Νικηφόρος ὁ Φωκᾶς εὑρὼν ἐν Ἐδέσσῃ τῆς Μεσοποταμίας «βόστρυχον τοῦ βαπτιστοῦ Ἰωάννου αἵματι πεφυρμένον» ἐκόμισεν εἰς Κωνσταντινούπολιν[100]· πέντε δὲ ἔτη πρότερον ἐκόμισεν ἐκ Βερροίας τῆς Συρίας (Χαλεπίου), περὶ τὸν ἀπρίλιον τοῦ 963, μέρος τοῦ ἱματίου τοῦ τιμίου Προδρόμου[101]· καθ' ἑτέραν δὲ μαρτυρίαν, ὁ Φωκᾶς εὗρεν ἐν Κρήτῃ παρά τινι ἱερεῖ «τὸ ἔνδυμα τοῦ προφήτου ἐκ τριχῶν καμήλου τυγχάνον καὶ περὶ τὸν τράχηλον ἠμαγμένον»[102].

ᵹ

25. Ταρασίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

95. Πασχαλ. Χρον. σελ. 546.

96. Πασχαλ. Χρον. σελ. 564. Σωζόμ. Ἐκκλησ. Ἱστ. Ζ', κα'.

97. Πασχαλ. Χρον. σελ. 591.

98. Θεοφ. Α', σελ. 665.

99. Banduri, Imp. Or. σελ. 49.

100. Ζωναρᾶς, βιϐλ. ΙΣ', κεφ. 25 (ἐκδόσ. Δινδορφίου, τόμ. Δ', σελ. 81). Πρϐλ. Λέοντα Διάκονον· σελ. 71.

101. Κεδρηνός· τόμ. Β', σελ. 345.

102. Δουκαγγίου σημειώσεις εἰς Ζωναρᾶν. Δινδορφίου τόμ. ΣΤ', σελ. 164. Μνεία τούτου τὸ πρῶτον ἐν βιογραφίᾳ γίνεται Νείλου τοῦ νέου (1005). Migne, τόμ. ΡΚ', στήλη 121.

Ἐχειροτονήθη πατριάρχης τῇ 25 δεκεμβρίου 784, καὶ ἀπέθανε τῇ 25 φεβρουαρίου 806 «τετάρτῃ τῆς πρώτης ἑβδομάδος τῶν Νηστειῶν»[103]. Προήδρευσε τῆς Ζ΄ ἐν Νικαίᾳ οἰκουμενικῆς Συνόδου· ἐπανέλαβε δὲ τὰς πρὸς τὴν Ἐκκλησίαν Ῥώμης ἀπό τινος διακεκομμένας σχέσεις τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, ἐπὶ τοῦ πάπα Ἀδριανοῦ, πέμψας αὐτῷ τὰς συνοδικὰς ἐπιστολὰς καὶ τὸν λίβελλον τῆς πίστεως[104]. Εὐσεβῶς ζήσας, ἐγένετο πᾶσι σεβαστός· ἦν ἀνὴρ ἐλεήμων, καὶ διώκτης τῆς σιμωνίας[105]. Ὁ νεκρὸς αὐτοῦ ἐτάφη ἐν τῇ μονῇ, ἣν αὐτὸς ᾠκοδόμησε· τὸν δὲ τάφον τοῦ Ταρασίου, κατὰ μάρτιον τοῦ 813, Μιχαὴλ Α΄ αὐτοκράτωρ ὁ Ῥαγγαβὲ «ἀργυρῷ πετάλῳ ἐνενήκοντα πέντε λιτρῶν ἠμφίεσεν», ἐπιδεικνύμενος αὐτός τε καὶ ἡ σύζυγος Προκοπία τὸν πρὸς τὴν μνήμην τοῦ Ταρασίου σεβασμόν[106]. Λέγεται ὅτι τῷ 1018 τὸ λείψανον αὐτοῦ μετεκομίσθη ὑπὸ τῶν Ἐνετῶν εἰς Βενετίαν[107].

Ἡ μονὴ τοῦ Ταρασίου, ἐὰν αὐτὴ ᾖ ἡ λεγομένη μονὴ «τοῦ πατριάρχου», ἐσώζετο κατὰ τὰ μέσα τῆς ΙΑ΄ ἑκατονταετηρίδος, ἐν τῷ Βοσπόρῳ κειμένη[108], ἐν αὐτῇ δ' ἀπέκειρε κληρικὸν Λέων ὁ Σοφὸς Βασίλειον μάγιστρον τὸν ἐπὶ τοῦ κανικλείου, διαβληθέντα ὅτι συγγίνεται τῇ βασιλίδι Ζωῇ[109].

ξ

27. Προκοπίου καὶ Βασιλείου τῶν ὁμολογητῶν.

Μοναχοὶ «ἐπὶ Λέοντος τοῦ εἰκονομάχου», βεβαίως τοῦ Ἰσαύρου, ὑφ' οὗ καὶ περιωρίσθησαν, καθὸ κηρύττοντες τὴν εὐσέβειαν· ἐκείνου δὲ θανόντος ἀρέθησαν ἐλεύθεροι. Τὸ Β. Μηνολόγιον λέγει τούτους *συνάθλους καὶ συμμαθητὰς*, τίθησι δ' εἰς τὴν 27 τὴν μνήμην αὐτῶν· ὁ Συναξαριστὴς τοῦ Νικοδήμου ἀναγράφει τὸν Προκόπιον τῇ 27, τὸν Βασίλειον τῇ 28, λέγει δὲ τούτους Δεκαπολίτας.

* * *

27. Ὁ ὅσιος Στέφανος ὁ συστησάμενος τὸ γηροκομεῖον τοῦ Ἀρματίου ἐν εἰρήνῃ τελειοῦται.

Οὔτ' ἐν τῷ Συναξαριστῇ τοῦ Σταυρονικήτα, οὔτ' ἐν τῷ Βασιλειανῷ λεγομένῳ Μηνολογίῳ εὑρηται βιογραφικὸν ὑπόμνημα τοῦ Στεφάνου τούτου· ἐπομένως ἀναγκαζόμεθα 'ν' ἀκούσωμεν τῶν παραδοξογράφων λεγόντων ὅτι τοῦτο Στέφανος ἤγειρεν ὁ Μαυρικίου τοῦ βασιλέως κοιτωνίτης μετὰ κινστέρνας «εἰς τὰ τοῦ Κριοῦ» καὶ λούματος, τὸν οἶκον αὐτοῦ μεταβαλὼν εἰς ναὸν[110], «μετὰ χρόνους ιβ΄», ἤτοι, ἢ τῷ 503, ἐὰν ὑποτεθῇ ὅτι ὁ μυθολόγος ἀριθμεῖ ἀπὸ τῆς ἀναγορεύσεως τοῦ Μαυρικίου, ἢ τῷ 613, ἐὰν ὑποτεθῇ ἀριθμῶν ἀπὸ τοῦ θανάτου τοῦ αὐτοκράτορος. Καὶ ἐν μὲν τοῖς Ἀρματίου ὑπῆρχεν εὐκτήριον τῆς Θεοτόκου (2 μαρτίου καὶ 21 ἰουλίου) ἴσως πλησίον τοῦ γηροκομείου τούτου· τὸ δὲ γηροκομεῖον ὡς νοσοκομεῖον ἐσῴζετο μέχρι τῶν μέσων τοῦ ΙΕ΄ αἰῶνος, διότι τὸ Τυπικὸν τοῦ ξενῶνος τούτου, ἐγράφη μὲν τῷ 1440, γνωστὸν δ' ὅτι σώζεται ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν Χάλκῃ μονῆς τῆς Θεοτόκου[111].

Τὰ Ἀρματίου ὑπῆρχον βεβαίως ἐν Κωνσταντινουπόλει· ἐπιστεύετο κοινῶς ἡ τοποθεσία αὕτη ὑπάρχουσα κατὰ τὸ Σαρμασίκι τῆς σήμερον, ὀνομασθεῖσα πιθανῶς ἀπὸ Ἀρματίου τοῦ μαγίστρου, ἀκμάσαντος ἐπὶ τοῦ αὐτοκράτορος Ζήνωνος. Ἐσχάτως οἱ διδάκτορες Α. καὶ J. Mordtmann ἐτοποθέτησαν αὐτὸν ἔνδοθεν τῆς πάλαι πύλης Οὖν-καπάν[112]. Ὁ διατυπῶν τοιαύτην γνώμην ἀρύεται βέβαια τὸ θάρρος ἀπὸ τῶν παραδοξογράφων, λεγόντων περὶ τῆς *σχηματογραφίας, ἣν συνέθηκεν ὁ Μ. Κωνσταντῖνος*, ὅτι τὸ παλαιὸν τεῖχος «διήρχετο μέχρι τοῦ Βώνου . . . . καὶ διήρχετο εἰς τὰ Ἀρματίου καὶ μέχρι τοῦ Ἁγίου Ἀντωνίου» καὶ ἀλλαχοῦ, περὶ τοῦ θεοδοσιακοῦ τείχους ὅτι Θεοδόσιος ὁ Β΄ «τὰ τείχη ἐξέβαλεν ἀπὸ τοῦ Ἐξωκιονίου μέχρι τῆς Χρυσείας . . . καὶ *ἀνεβίβασε* καὶ τὸ παράλιον τεῖχος, ἀπὸ τῆς Ῥάβδου μέχρι τῆς Χρυσείας»[113]. Ἐὰν παραλίπωμεν τὸν μῦθον τῶν παραδοξολόγων ὅτι Κωνσταντῖνος ὁ Μέγας «ἔκτισε καὶ τὰ Ἀρματίου, ἐν ᾧ . . . καὶ τὰ

103. Θεοφ. Α΄, σελ. 747.
104. Θεοφ. Α΄, σελ. 713-714.
105. Πατριαρχικοὶ Πίνακες· σελ. 265-267. Μηνολόγ. εἰς τὴν 25 φεβρουαρίου.
106. Θεοφ. Α΄, σελ. 780.
107. Δουκαγγίου, Const. Christ. σελ. 132, στήλη β΄.
108. Ἄννα Κομνηνή· Β΄, σελ. 55.
109. Λέων Γραμματικός· σελ. 283.
110. Banduri, σελ. 32 καὶ 490, στ. β΄.
111. Βαρθολομαίου Κουτλουμουσιανοῦ, Ὑπόμνημα περὶ τῆς ἐν Χάλκῃ μονῆς τῆς Θεοτόκου· σελ. 64, σημ. η΄.
112. A. Mordtmann, Esqu. topog. σ. 10, § 16.
113. Banduri, Imp. Or. σελ. 4, 7 καὶ 359.

ἅρματα τέθηκεν», ὅπερ ἥκιστα συντελεῖ τὴν γνῶσιν τῆς κωνσταντινιανῆς σχηματογραφίας, ἀναγκάζον τοὺς εὐνοοῦντας τῷ Κωδινῷ 'να λύωσι τὰ προβλήματα τῆς ἱστορίας καὶ τοπογραφίας διὰ μυθολογιῶν καὶ διὰ τῆς λέξεως *ἀναβιβάζειν*, προσέχομεν μᾶλλον εἰς τὴν μαρτυρίαν τοῦ Πασχαλίου Χρονικοῦ, καθ' ἣν «τὸ παλαιὸν τεῖχος τῆς Κωνσταντινουπόλεως ἐστὶν, ἀπὸ τοῦ καλουμένου Πετρίου ἕως τῆς πόρτας τοῦ ἁγίου Αἰμιλιανοῦ πλησίον τῆς καλουμένης Ῥάβδου»[114]. Ἀλλ' ἡ περιγραφὴ αὕτη, καθὼς καὶ αἱ μυθολογίαι τῶν παραδοξογράφων δυσχερῶς ὁρίζουσι τοποθεσίας[115], ἐὰν μάλιστα κατὰ μὲν τοὺς μυθολόγους τὸ παλαιὸν τεῖχος φθάνῃ μέχρι τοῦ Οὺν-καμπάν, κατὰ δὲ τοὺς ἱστορικοὺς ἄχρι τοῦ Πετρίου, δῆλά γε δὴ μέχρι τοῦ σήμερον Φαναρίου. Ἐπειδὴ δὲ γινώσκομεν ἀφ' ἑτέρου ὅτι ὁ μὲν ἐν τοῖς Ἀρματίου ξενὼν ἐσῴζετο μέχρι τῶν μέσων τοῦ ΙΕ΄ αἰῶνος, τὰ δὲ βυζαντινὰ ὀνόματα ἔμειναν ταὐτὰ σχεδὸν μετὰ τουρκικῶν καταλήξεων, *ὅσα ἐσῴζοντο τότε εἰς τὸ στόμα τοῦ λαοῦ*, πιστευτόν ἐστιν ὅτι τὰ Ἀρματίου μετεβλήθησαν εἰς Σαρμασίκ. Τὰ δὲ κατὰ τὸ θέρος τοῦ 1890 ἀνευρεθέντα κατὰ τὸ Σαρμασὶκ λείψανα βυζαντινῆς οἰκοδομῆς ἐν τῷ κήπῳ τοῦ παλαιστινοῦ ὀρθοδόξου Ἰβραὴμ Καζακία, παραδηλοῦντα δύο ἐποχὰς δομικῆς, ἀρχαίας καὶ νεωτέρας, μετὰ ἐρειπίων κινστέρνης, θρυσμάτων ἀγγείων καὶ λυχναρίων, ἐγγράφων πλίνθων βυζαντινῶν παλαιῶν τε καὶ νέων, καὶ πλήθους ὀστέων, καὶ κεραμίδων ἐπιτυμβίων παλαιοτάτων, δεικνύουσι τὴν ὕπαρξιν οἰκοδομήματος βυζαντινοῦ κοινῆς χρήσεως[116], πιθανῶς παρατείναντος τὸ ζῆν ἀπὸ τοῦ Ζ΄ αἰῶνος μέχρι τοῦ ΙΔ΄ καὶ πλέον, ὡς ἐκ τῆς χονδροειδοῦς τῶν ἀγγείων κατασκευῆς φαίνεται. Πρό τινος ὅμως, ἐν τῇ περιοχῇ ταύτῃ τρεῖς ἀνευρέθησαν ἐπιγραφαὶ βυζαντιναὶ, κατασκευῆς καὶ χαραγῆς ἀρχαιοπρεποῦς, ὧν ἡ μία φέρουσα τὸ ὄνομα *Στέφανος*, ὑποδεικνύει ἴσως ὅτι τὸ ὄνομα τοῦ κτίτορος τοῦ γηροκομείου τούτου ἦν δημοτικὸν ἐν τοῖς Ἀρματίου.

Ἡ μνήμη τοῦ Στεφάνου παρὰ τῷ Β. Μηνολογίῳ τὴν 26 φεβρουαρίου. Παρ' ἑτέραις ἐκκλησίαις ἑωρτάζετο τῇ 6 μαρτίου[117].

Ὁ ἀναγνώστης ἔχει μετὰ χεῖρας ἀκριβὲς ἔκτυπον τῶν ἐπιτυμβίων τούτων ἐπιγραφῶν[118]

114. Πασχαλ. Χρον. σελ. 494.
115. Σκ. Βυζαντίου «Κωνσταντινούπολις»· τόμ. Α΄, σελ. 101, 348.
116. ἀδυνατῶ 'να ἐκταθῶ εἰς τὴν περιγραφὴν τῶν λειψάνων τούτων τῆς βυζαντινῆς τέχνης, διότι ἡ ἔκθεσις, ἣν κατὰ τὸ θέρος τοῦ 1890 συνέταξα, ἀνήκει εἰς τὰς ἐργασίας τῆς ἐνταῦθα Μεσαιωνολογικῆς Ἑταιρίας, οὖσα κτῆμα αὐτῆς. Ὅταν ἐκδοθῶσι τὰ πρακτικὰ τῆς Ἑταιρίας (πιστεύω προσεχῶς) γενήσεται γνωστὸν τί εὑρέθη.
117. Ἱεροσλμ. Βιβλιοθήκη· τόμ. Β΄, σελ. 472.
118. τὰς ἐπιτυμβίους πλάκας ἐδωρησάμην εἰς τὸ μουσεῖον τοῦ καθ' ἡμᾶς Ἑλληνικοῦ Φιλολογικοῦ Συλλόγου. Ὕψος τῆς πρώτης 0,31 γαλλ. μέτρου, πλάτος ἄνω, 0,41, κάτω 0,35· ὕψος τῆς δευτέρας 0,39, πλάτος κατὰ τοὺς βραχίονας 0,25· ὕψος τῆς (συμπληρωθείσης) τρίτης 0,39, πλάτος δὲ κατὰ τοὺς βραχίονας 0,40.

ΜΑΡΤΙΟΣ

2. Θεοδότου ἱερομάρτυρος ἐπισκόπου Κυρηνίας. Ἡ σύναξις ἐν τῷ ναῷ τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Ἁρματίου. (Ἴδε περὶ τούτου εἰς τὴν 17 ἰανουαρίου).

Ἐν τοῖς Ἁρματίου γινώσκομεν οὕτως ὑπάρχοντα ναὸν τῆς Θεοτόκου. Ὁ δὲ ναὸς τοῦ γηροκομείου φαίνεται ὅτι ἦν ἀνατεθειμένος εἰς τὸν Σωτῆρα Χριστόν. Ἀλλ' ὁ παρὰ τοῖς παραδοξογράφοις ναὸς ἁγίου Ἀντωνίου ἐν τοῖς Ἁρματίου ἄγνωστόν ἐστι μοι τίνα τῶν ἁγίων Ἀντωνίων εἶχε πάτρωνα·

διὰ ταῦτα κατὰ τὴν 17 τοῦ ἰανουαρίου οὐκ ἐσημειώθη ναὸς τοῦ ὁσίου Ἀντωνίου.

ʃ

6. Κόνωνος ὁσιομάρτυρος τοῦ ἐν Ἰσαυρίᾳ.

Ἤθλησεν ἐν τέλει τοῦ Α' αἰῶνος. Κατὰ τὸν ἐν χρήσει Συναξαριστὴν ἡ μνήμη τοῦ Κόνωνος τῇ 5 τοῦ μηνός.

Ἴσως εἰς ὄνομα τοῦ ἁγίου τούτου Κόνωνος ἐσεμνύνετο ὁ ναός, ὅστις ἔκειτο *πέραν* τῆς Κωνσταντινουπόλεως καὶ μάλιστα ἐν Σύκαις· ἀναφέρεται ὡς μονὴ κατὰ τὴν βασιλείαν Ἰουστινιανοῦ τοῦ Α'[1]. Ἦν ἐπιθαλάσσιος, ὡς ἀναφέρεται τῷ 602 καὶ τῷ 626[2].

* * *

6. Ἡ εὕρεσις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ ὅτε εὑρέθη παρὰ τῆς μακαρίας Ἑλένης. Ἡ εὕρεσις τῶν τιμίων ἥλων, οἵ, μετὰ τὸ εὑρεθῆναι, οἱ μὲν τῷ κράνει τῆς κεφαλῆς τοῦ Κωνσταντίνου ἐνεμίγησαν, οἱ δὲ τῷ χαλινῷ τοῦ ἵππου αὐτοῦ, προστάξει τῆς ἁγίας Ἑλένης τῆς μητρὸς αὐτοῦ.

Ὁ τίτλος οὕτω κεῖται παρὰ τῷ Συναξαριστῇ τοῦ Νικοδήμου.

Ὁ περὶ τῶν σεπτῶν τούτων κειμηλίων λόγος εἰς τὴν 14 τοῦ σεπτεμβρίου μηνὸς ἀναβάλλεται, γινόμενος διὰ βραχέων.

* * *

6. Τῶν ἁγίων ΜΒ' μαρτύρων τῶν ἐν Ἀμορίῳ κρατηθέντων.

Ἐγένοντο σύγχρονοι Θεοφίλῳ τῷ εἰκονομάχῳ. Κατὰ τὸν Συναξαριστήν, εἰσὶ γνωστοὶ Θεόδωρος, Κωνσταντῖνος, Θεόφιλος καὶ Βασσώης· ἀλλ' ἐκ τῶν θύραθεν ἱστορικῶν γίνεται γνωστὸν ὅτι ἦσαν Θεόφιλος ὁ στρατηγὸς καὶ πατρίκιος· Ἀέτιος καὶ **Μελισσηνὸς** οἱ στρατηγοί· Θεόδωρος ὁ πρωτοσπαθάριος· **Κρατερὸς** ὁ εὐνοῦχος· Κάλλιστος ὁ τουρμάρχης· Κωνσταντῖνος ὁ δρουγγάριος· Βασσόης ὁ δρομεύς, καί τινες ἄρχοντες στρατιωτικοί[3].

Ναὸν ἐπ' ὀνόματι τῶν τεσσαράκοντα δύο τούτων μαρτύρων ἤγειρεν ἐν τῷ παλατίῳ τῶν Ηηγῶν Βασίλειος ὁ Μακεδών[4].

ʃ

7. Παύλου Προυσίας τοῦ ὁμολογητοῦ,

κατὰ τὸ λεγόμενον Βασιλειανόν· κατὰ τὸν ἐν χρήσει Συναξαριστὴν Πλουσιάδος. Γνωστὸν ὅτι βιθυνικὴ πόλις ἦν ἡ Προυσιάς, ἴσως ἡ καλουμένη πρὸν Κίερος[5]. Τὸ Μηνολόγιον λέγει ὅτι ἤκμασεν ἐπὶ εἰκονομάχων « οὓς ἰδὼν τὰ ἐκτυπώματα τῶν σεπτῶν εἰκόνων ἀφανίζον-

1. Μαλαλᾶς, σελ. 389, 431, 473.

2. Πασχαλ. Χρον. σελ. 694, 721.

3. Συμεὼν μάγιστρος· 639. Γεώργ. μοναχός· 805.

4. Theoph. Continuati· 337.

5. Βιθυνικὰ Μ. Κλεωνύμου καὶ Χ. Παπαδοπούλου· ἐν Κ/πόλει, 1867, σελ. 48, κατὰ τὴν τοῦ Perrot, Exploration Archéologique en Bithynie et Galatie, σελ. 22 καὶ ἑξῆς.

τας, ζωγραφοῦντας δὲ ἀντ' αὐτῶν εἴδη θηρίων καὶ ὀρνέων καὶ ἑρπετῶν », ἠγωνίσατο κατ' αὐτῶν. Ἐκοιμήθη ἐν εἰρήνῃ.

ʃ

8. Θεοφυλάκτου ἐπισκόπου Νικομηδείας.

Ἀνέκδοτος αὐτοῦ βιογραφία προσαρτᾶται τῷ μετὰ χεῖρας Ἑορτολογίῳ. Ἀπέθανεν ὁ ἱερὸς ἀνὴρ ὑπερόριος ἐν Στροβίλῳ[6], μετὰ τὸ 815 πάντως. Θεόδωρος ὁ Στουδίτης γράφων τῷ Θεοφυλάκτῳ καλεῖ τὸν ἄνδρα *στύλον ἀληθείας, ὀρθοδοξίας ἐδραίωμα, φύλακα τῆς εὐσεβείας, στήριγμα τῆς Ἐκκλησίας*[7].

Θεοφυλάκτου ναΐσκος ἀναφέρεται ὅτι ἠγείρετο ἐν τῷ παλατίῳ κατὰ τὸν Ι' αἰῶνα[8], ἴσως ἐπώνυμος τῷ τῆς Νικομηδείας μητροπολίτῃ τούτῳ. Τὰ δὲ «κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλία », ἀναφερόμενα κατὰ τὸν ΙΔ' αἰῶνα ὡς τόπος τῶν τῆς ἱερᾶς διαρκοῦς συνόδου συνεδριῶν, πείθουσιν ὅτι παρακείμενον εἶχον ναΐσκον ἁγίου Θεοφυλάκτου[9], αὐτὸν ἴσως τὸν ἐν τῷ παλατίῳ, ἴσως ἕτερον. Φρονῶ ὅτι τὸν ἐν τῷ παλατίῳ ναΐσκον τοῦτον ἤγειρε Ῥωμανὸς Α' ὁ Λακαπηνός, ὁ πατὴρ τοῦ πατριάρχου Θεοφυλάκτου.

ʃ

9. Τῶν ἐν Σεβαστείᾳ Μ' μαρτύρων. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ πλησίον τοῦ Χαλκοῦ Τετραπύλου.

Τὰ λείψανα αὐτῶν, ἀθλησάντων ἐν ἀρχαῖς τοῦ Δ' αἰῶνος, εὗρε κατ' ὀπτασίαν τῷ 451 ἡ Πουλχερία ἀποκεκρυμμένα « εἰς τὸν οἶκον τοῦ ἁγίου Θύρσου, ὄπισθεν τοῦ ἄμβωνος· καὶ ἀνεδρύσατο αὐτῶν οἶκον ἔξω τῶν τειχῶν τῶν Τρωαδησίων Καισάριος ὕπατος καὶ ὕπαρχος »[10].

Ναοὶ ἐπ' ὀνόματι τῶν τεσσαράκοντα μαρτύρων εἰσί μοι γνωστοὶ 1) ὁ « ἐν τῇ Μέσῃ », ὃν ἤρξατο κτίζειν ὁ Τιβέριος (μεταξὺ τῶν ἐτῶν 579-582), συνεπλήρωσε δὲ τῷ 590 ὁ Μαυρίκιος[11]. Ἀνδρόνικος ὁ Κομνηνὸς (1183-1185) ἐπεσκεύασε καὶ κατεκόσμησεν αὐτὸν ὄντα «κάλλει κάλλιστον καὶ μεγέθει μέγιστον, καὶ περὶ τὸ καίριον καὶ μέσον ἀνεγηγερμένον τῆς πόλεως »[12]. Ὁ ναὸς οὗτος ἐσῴζετο ὁπωσδήποτε τῷ 1322, ἔχων ἱστάμενον πρὸ αὐτοῦ κίονα, ὃν ἔρριψε κατὰ γῆς τῇ 12 φεβρουαρίου τοῦ αὐτοῦ ἔτους σφοδρότατος ἄνεμος[13]. Ἐν ἀρχαῖς τοῦ ΙΕ' αἰῶνος φαίνεται ὅτι ἦν ἐρείπιον· ὅθεν Ἰωάννης ὁ Παλαιολόγος ἐχρησιμοποίησε τὸ ὑλικὸν αὐτοῦ εἰς ἑτέρας οἰκοδομάς[14]. Ἐν τῷ ναῷ τούτῳ κατὰ τὴν μνήμην τῶν Μ' μαρτύρων ἐλειτουργοῦντο οἱ αὐτοκράτορες[15]. 2) ὁ ἐν τῷ Παλατίῳ, πανηγυρίζων τὴν 27 αὐγούστου[16]· 3) ὁ ἐν τῇ νήσῳ Πλάτῃ (ἢ Πλατείᾳ) τῇ πρὸ τῆς Κωνσταντινουπόλεως, περὶ τὰ μέσα τοῦ Θ' αἰῶνος σῳζόμενος «αὐτοῦ δ' ἐχόμενα τῆς Θεομήτορος εὐκτήριον»· ἐσυλήθη ὑπὸ πειρατῶν ἐπὶ Φωτίου τοῦ πατριάρχου κατὰ τὴν πρώτην ἐφημερίαν αὐτοῦ[17]· 4) τὸ εὐκτήριον τὸ παρὰ τὴν μονὴν τῆς Χώρας, οἰκοδομηθὲν ὑπὸ τοῦ πρώτου κτίτορος αὐτῆς Θεοδώρου κατὰ τοὺς χρόνους Ἰουστινιανοῦ Α', ὡς ἐν τῇ ἀνεκδότῳ βιογραφίᾳ τοῦ Θεοδώρου φαίνεται· 5) ὁ ὑπὸ τῆς Πουλχερίας ἐγερθεὶς ναὸς ἄγνωστον ἐπὶ πόσον χρόνον παρέτεινε τὸ ζῆν[18]. Τῷ 1401 ἀναφέ-

6. ἦν παράλιον φρούριον, ἴσως ἐπὶ χερσονήσου. Κατὰ τὰς σημειώσεις τοῦ πολυμαθοῦς τῶν μερῶν τούτων γνώστου Ἰωάννου Σακκελίωνος, κεῖται ἀπέναντι τῆς Κῶ καὶ καλεῖται ὑπὸ τῶν ἐγχωρίων Βρυόκαστρον. Ἀκολουθία τοῦ ὁσίου Χριστοδούλου κτλ. ἔκδ. γ', φροντίδι Κυρίλλου Βοΐνη, διακόνου· Ἀθήνῃσι, 1884, σελ. 70, σημ. 3.

7. Στουδίτου ἐπιστολαί· Migne, γΘ', 1121.

8. Πορφυρογ. Ἐκθ. τόμ. Α', σελ. 160.

9. Μ. Ι. Γεδεών, Χρονικὰ πατριαρχ. οἴκου καὶ ναοῦ· ἐν Κωνστ/πόλει, 1884, σελ. 20. Παπάτη, Βυζαντ. Ἀνάκτορα· σελ. 83.

10. Πασχάλ. Χρον. σελ. 590.

11. Θεοφ. Α', 412. Κεδρηνός· Α', 695.

12. Νικήτας Χωνιάτης· σελ. 431-432, καθ' ὃν αἱ πρὸς ἄρκτον (ἄρα τοῦ ἀριστεροῦ κλίτους) θύραι τοῦ ναοῦ ἦσαν τετραμμέναι πρὸς τὴν ἀγοράν. Ὁ ἰατρὸς Mordtmann φαίνεται τιθεὶς τὸν ναὸν ὅπου σήμερον ὁ Σαρατσχανές· ὁ δὲ Σκ. Βυζάντιος μεταξὺ τοῦ σήμερον Ταουκ-παζὰρ καὶ τοῦ Θεοδοσιανοῦ Φόρου («Κων/πολις», τόμ. Α', σ. 422-423). Ἕνεκα σεισμοῦ πεσόντα τὸν θόλον τοῦ ναοῦ, τῇ 11 ἰανουαρίου 1011, Βασίλειος ὁ Β' ἀνέκτισεν (αὐτόθι).

13. Νικηφ. Γρηγορᾶς· Α', σελ. 46).

14. Μιχαὴλ Δούκας· Βόννης, σελ. 47.

15. Πορφυρογ. Ἐκθ. τόμ. Α', σελ. 559.

16. Ἱεροσλμ. Βιβλιοθ. Β', σελ. 472.

17. Ἰγνατίου πατριάρχου βίος ὑπὸ Νικήτα Δαυΐδ· Migne, τόμ. ΡΕ', στ. 532.

18. οὐκ ὀρθὸς φαίνεταί μοι ὁ παρὰ τῷ Πασχαλίῳ Χρονικῷ (σημ. 10 ἄνω) φερόμενος χρόνος τῆς ἀνευρέσεως τῶν λειψάνων τῶν Μ' μαρτύρων, διότι παρ' Ἑρμείᾳ μανθάνομεν ὅτι τὴν ἀνακομιδὴν ἐποιήσατο Πρόκλος ὁ πατριάρχης. Σωζομ. Ἐκκλ. Ἱστορ. Θ', β'. Νικηφ. Καλλ. ΙΔ', ι'. Γνωστὸν ὅτι ὁ Πρόκλος ἱεράτευε κατὰ τὰ ἔτη 434-447. Ὥστε τὰ λείψανα εὑρέθησαν πρὸ τοῦ 447, ὁ δὲ ναὸς ἴσως ἠγέρθη τῷ 451.

ρεται σῳζόμενος ἐν Κωνσταντινουπόλει ναὸς ἐπ' ὀνόματι τῶν Μ' μαρτύρων[19], ἴσως ἐφ' οὗ τόπου ἠγείρετο ὁ κτισθεὶς ὑπὸ Μαυρικίου, ἴσως ἕτερος μετὰ ταῦτα κτισθείς.

ℓ

11. Γεωργίου τοῦ ἐν τῷ Διϊππείῳ.

Ἄγνωστος ὁ χρόνος τῆς ἀκμῆς· τὰς τελευταίας ἑπτὰ τῆς ζωῆς αὐτοῦ ἡμέρας διήνυσεν ἐν τῷ ναῷ Ἰωάννου τοῦ Θεολόγου τῷ ἐν τῷ Διϊππείῳ· ἐν αὐτῷ δὲ καὶ ἐτάφη·

ἄρα περὶ ναοῦ Γεωργίου μάρτυρος ἡ ὁσίου νεοφανοῦς οὐ πρόκειται.

* * *

11. Πιονίου ἱερομάρτυρος.

Πρεσβύτερος τῆς ἐκκλησίας Σμύρνης, ἤθλησε κατὰ τὰ μέσα τοῦ Γ' αἰῶνος.

Ναὸς ἐπ' ὀνόματι τοῦ Πιονίου τούτου ἠγείρετο ἐν τῷ Λιθοστρώτῳ, κατὰ τὰ Μηναῖα.

* * *

11. Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου.

Ἄγνωστος ὁ χρόνος τῆς ἀνακομιδῆς, ὡς καὶ ὁ ναός, ἐν ᾧ τὸ λείψανον ἀπετέθη.

ℓ

12. Θεοφάνους ὁμολογητοῦ τοῦ ἐν τῷ Μεγάλῳ Ἀγρῷ. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Υἱὸς εὐγενῶν καὶ πλουσίων γονέων, ἴσως ἐκαλεῖτο, λαϊκὸς ὤν, Ἰσάκιος· μέτοχος τῆς θείας καὶ τῆς θύραθεν παιδεύσεως «δωδεκαετὴς συνεζεύχθη γυναικί», ἣν μετά τινα χρόνον καταπείσας ἵνα μονάσῃ ἔκειρε μοναχὴν ἐν τῇ μονῇ τῆς Πριγκήπου. Γενόμενος στράτωρ ἐν τοῖς ἀνακτόροις (ἐπιμελητὴς τῶν βασιλικῶν ἵππων) ἴσως ἐπὶ Λέοντος Δ', σταλεὶς δι' ὑπηρεσίαν εἰς Κύζικον, ἐξαπατήσας ἐκεῖ τοὺς συναποσταλέντας αὐτῷ καὶ παρὰ τὰς ἐκβολὰς ἐλθὼν μεγάλου ποταμοῦ (τοῦ Ῥυνδάκου = Μιχαλήτζ-τσαγί)[20], εὗρεν ἀλσώδη λόχμην, ἀντρώδη καὶ βαθύκρημνον, εἰς τὰ παράλια τοῦ τῆς Σιγριανῆς ὄρους[21], ἣν ὡς κατοικίαν ἐξελέξατο. Τὴν ἐντολήν, ἣν ἔλαβε, πληρώσας, ἦλθεν εἰς Κωνσταντινούπολιν, καὶ δοὺς τῶν πεπραγμένων λόγον, προήχθη εἰς τὸν τοῦ σπαθαρίου βαθμόν· εὐθὺς δέ, θανόντος τοῦ πενθεροῦ αὐτοῦ, καὶ τοῦ αὐτοκράτορος, τὰ ὑπάρχοντα, συγκαταθέσει καὶ τῆς συζύγου, πωλήσας, ἐγένετο μοναχός, ὡς καὶ ἐκείνη, διαπρέψασα ἐν τῇ μοναδικῇ πολιτείᾳ μέχρι γήρως αὐτῆς ἔν τε Πριγκήπῳ καὶ Καλωνύμῳ· αὐτὸς δ' ἐλθὼν εἰς Σιγριανὴν ἐκάρη μοναχὸς ὑπό τινος ἀσκητοῦ Χριστοφόρου «τοῦ διαφανοῦς ἀστέρος». Οὐ μετὰ πολύ, κληθεὶς παρεκάθησεν εἰς τὴν Ζ' οἰκουμενικὴν ἐν Νικαίᾳ Σύνοδον, μετὰ Πλάτωνος ἡγουμένου Σακουδίωνος, Νικήτα καὶ Νικηφόρου τοῖς ἀπὸ τοῦ Μηδικίου, καὶ Χριστοφόρου τοῦ ἀπὸ τοῦ Μικροῦ Ἀγροῦ. Λέων ὁ Ε' ἤγαγε τὸν Θεοφάνην εἰς Κωνσταντινούπολιν· μὴ συμφρονοῦντα δ' αὐτῷ περιώρισεν ἐπὶ μικρόν, εἶτα δ' ὑπερόριον ἀπέστειλεν εἰς Σαμοθρᾴκην, ὅπου ἀπέθανεν[22]. Ὁ ὅσιος ἱστοριογράφος, εἰς οὗ τὸ σύγγραμμα συνεχῶς ὁ ἀναγνώστης τοῦ παρόντος παραπέμπεται, ζῶν καὶ τῷ 815, ἔγραψε ποίημα σατυρικὸν κατὰ Θεοδότου τοῦ πατριάρχου καὶ Λέοντος Ε', πομπεύων τὴν ἐπ' ἀνορθώσει τῆς εἰκονομαχίας συμπαιγνίαν αὐτῶν[23]. Ἔτη πολλὰ μετὰ τὸν θάνατον τοῦ Θεοφάνους ὑπῆρχε παράδοσις ὅτι, διερχομένου πρὸ τῆς Σιγριανῆς τοῦ μακαρίου πατριάρχου Νικηφόρου, Θεοφάνης ὁ τῆς μονῆς τοῦ Μεγάλου Ἀγροῦ ἡγούμενος, ἐννοήσας ἐκείνου τὴν διάβασιν «θυμιάματά τε καῦσαι καὶ μετ' εὐχῆς ἀποπέμψαι, τὰς χεῖρας αἴροντα, καὶ τῷ

19. Acta Patriarch. τόμ. Β', σελ. 525.

20. κατὰ τὸν ΙΕ' αἰῶνα τὸ Μιχαλῆτσι τῆς Βιθυνίας ὠνομάζετο χώρα τοῦ Μιχαληκίου. Χαλκοκονδύλης· Βόννης, σελ. 225.

21. περὶ τῆς τοποθεσίας τῆς μονῆς τῆς Σιγριανῆς ἔγραψεν ὁ πολυμαθέστατος μητροπολίτης Κυζίκου Νικόδημος ὁρίσας αὐτὴν κειμένην πλησίον τοῦ χριστιανικοῦ χωρίου Κουσουμλῆ. Ἀκολουθία τοῦ ἁγ. Αἰμιλιανοῦ κλπ. ἐν Κωνστ/πόλει, 1876, σελ. προλόγου λστ'. Εἰρήσθω ὅτι αὐτόθι, ἐν σελίδι κστ', λέγει ὁ γεραρὸς συγγραφεὺς ὅτι «τὸ Μιχαλήτσιον παρὰ πάντων ὁμολογεῖται ὡς γειτάτη πόλις». Ἀπατᾶται. Τὰ περὶ Σιγριανῆς γραφέντα τοῦ μητροπολίτου Κυζίκου πάντως ἠγνόει ὁ φίλος διδάκτωρ τῆς φιλοσοφίας Β. Μυστακίδης, γράψας τολμηρῶς· «λέγομεν ὅτι ἡ Σιγριανὴ εἶναι ἡ ἐν τῇ Μηδίᾳ τῇ ἀσιατικῇ χώρᾳ, τῇ πρὸς Δ τῆς Ἀσσυρίας καὶ Καρδουχίας, καὶ οὐχὶ ἡ ἐν τῇ Μηδείᾳ τῇ ἐν τῷ Εὐξείνῳ» («Ἐκκλησιαστικὴ Ἀλήθεια», ἀρ. 31, ἔτος ΙΔ', σελ. 244).

22. Μηνολόγιον Βασιλ. (λεγόμενον). Βίος Θεοφάνους· Migne, PIE', 9-29.

23. Γενέσιος· Βόννης, σελ. 15.

Θεῷ παραδιδόντα καὶ τὸν ἀσπασμὸν ἐπιτείνοντα»[24].

Τοῦ ὁσίου Θεοφάνους, πλὴν τῶν ἐκδεδομένων δύο βιογραφιῶν, ὑπάρχει καὶ τρίτη, προσεχῶς ὑπ' ἐμοῦ τὸ πρῶτον ἐκδιδομένη[25].

* * *

12. Συμεὼν ὁ νέος Θεολόγος ἐν εἰρήνῃ τελειοῦται.

Κατὰ τὴν βιογραφίαν τοῦ Συμεών, ὑπὸ Νικήτα Στηθάτου τοῦ μαθητοῦ αὐτοῦ γραφεῖσαν[26], ὁ ἀνὴρ ἦν ἐκ κώμης Γαλάτης τῆς Παφλαγονίας, υἱὸς πλουσίων γονέων Βασιλείου καὶ Θεοφανοῦς· ἐστάλη εἰς Κωνσταντινούπολιν· διδαχθεὶς αὐτόσε τὰ γραμματικὰ καὶ καλλιγράφος ἀναδειχθείς, ἦν γνώριμος Κωνσταντίνῳ καὶ Βασιλείῳ τοῖς πορφυρογεννήτοις, παρ' οἷς ἐγένετο καὶ κοιτωνίτης· θανόντος τοῦ θείου αὐτοῦ, προσῆλθεν ὁ Συμεὼν εἰς τὸν ἐν τῇ μονῇ τοῦ Στουδίου Συμεών, τὸν ἐπικαλούμενον Εὐλαβῆ, ζητῶν 'να καρῇ μοναχός· ἀπετράπη δ' ὅμως ὑπ' αὐτοῦ διότι ἦν δέκα καὶ τεσσάρων ἐτῶν· γενόμενος εἰκοσαετὴς ἦλθεν εἰς τὴν μονὴν τοῦ Στουδίου, ἧς ἦν ἡγούμενος Πέτρος, ἠσκεῖτο δ' ἐν τῇ μονῇ ὑπὸ τὰς ὁδηγίας τοῦ Συμεὼν Εὐλαβοῦς, καὶ διεκρίνετο μεταξὺ τῶν μοναχῶν ἐπὶ παιδείᾳ. Προσελήφθη κατόπιν εἰς τὴν μονὴν τοῦ ἁγίου Μάμαντος ὑπὸ τοῦ ἡγουμένου αὐτῆς Ἀντωνίου καὶ μετά τινα χρόνον, εἰς ὥριμον ἡλικίαν ἐλθὼν ἐχειροτονήθη μετὰ τὸν τοῦ Ἀντωνίου θάνατον ἡγούμενος τοῦ Ἁγίου Μάμαντος ὑπὸ τοῦ πατριάρχου Νικολάου τοῦ Χρυσοβέργη, συντελέσας ἀμέσως εἰς ἀνακαινισμὸν τῆς μονῆς, ἐνῷ συγχρόνως συνέγραφεν ἑρμηνευτικὰς καὶ κατηχητικὰς καὶ θεολογικὰς συγγραφὰς ἐν πεζῷ λόγῳ καὶ διὰ στίχων πολιτικῶν. Προστὰς τῆς μονῆς καὶ ἐπὶ τοῦ πατριάρχου Σισινίου, παρητήσατο τὴν προεδρείαν ταύτην, διορίσας ἡγούμενον τοῦ Ἁγίου Μάμαντος Ἀρσένιον τὸν εὐνοῦχον, πρώην ταχυγράφον, μεθ' ὃ ἤρξατο μονάζων κατ' ἰδίαν· τοῦτο δ' ἐγένετο, καθὼς εἰκάζει τις, ἐπὶ τοῦ πατριάρχου Σεργίου, ὅστις καὶ τὸν Συμεὼν ἐτίμα καὶ τὴν μνήμην τοῦ Συμεὼν Εὐλαβοῦς, ἣν ἦγεν ὁ ἡμέτερος Συμεών· ἔστελλε δὲ κατὰ τὴν ἑορτὴν ἐκείνου ἐπὶ δεκαεξαετίαν ὁ πατριάρχης Σέργιος θυμιάματα καὶ λαμπάδας. Ὑπὸ τοῦ μητροπολίτου Νικομηδείας Στεφάνου κατηγορηθείς, ὡς ἐγράφη δεόντως ἐν «προλεγομένοις», ἀπήχθη εἰς Χρυσόπολιν, καὶ ἐκεῖθεν «εἰς τὸ ἀντίπεραν ἐρημόκαστρον Παλουκητὸν» τὸ κείμενον, ὡς φαίνεται, ἐπὶ ὄρους, ὅπου καὶ ναΐσκος σεσαθρωμένος ἐπ' ὀνόματι τῆς ἁγίας Μαρίνης ἐσῴζετο τότε, κτῆμά τινος ἄρχοντος ὀνόματι Χριστοφόρου Φαγούρα· τὸ παρεκκλήσιον, παραχωρηθὲν εἰς τὸν νέον Θεολόγον Συμεών, μετεβλήθη ὑπ' αὐτοῦ εἰς μοναστήριον, χορηγούντων τὰς ἀπαιτουμένας χρηματικὰς συνδρομὰς πολλῶν τὰ πρῶτα τότε φερόντων[27]. ἴσως δ' οὐ μακρὰν αὐτοῦ ἦν καὶ ἡ γυναικεία μονὴ τῆς Βαρδαίνης· δέκα καὶ τρία ἔτη μείνας ἐν τῇ ὑπερορίᾳ ταύτῃ ἀπεβίωσε τῇ 12 μαρτίου 1021[28], λιπὼν ἐν τῇ μονῇ τῆς ἁγίας Μαρίνας ἡγούμενον Νικηφόρον.

Χρονολογίαν ἐκ τῆς βιογραφίας ταύτης δυσχερῶς συνάγει τις· ἀλλὰ κατὰ εἰκασίαν δυνάμεθα εἰπεῖν ὅτι· γεννηθεὶς μεταξὺ τῶν ἐτῶν 940-945 ἔζησεν ἐν τῇ μονῇ τοῦ Στουδίου ἀπὸ τοῦ 965-975 ἴσως, καὶ ἐν τῇ μονῇ τοῦ ἁγίου Μάμαντος ἔκτοτε μέχρι τοῦ 1008, χειροτονηθεὶς ἡγούμενος μεταξὺ τοῦ 990-95 καὶ προστὰς αὐτῆς μέχρι τοῦ 1000. Τὴν μονὴν τῆς ἁγίας Μαρίνης συνέστησε κατὰ τὸ 1008 ἢ 9 καὶ δεκατρία ἔτη ζήσας μακρὰν τοῦ Ἁγίου Μάμαντος ἀπεβίωσεν.

Ἡ σύναξις ἐπὶ τῇ ἑορτῇ ταύτῃ ἐτελεῖτο

24. Συμεὼν Μάγιστρος· σελ. 609.

25. βιογραφίαν τοῦ Θεοφάνους καὶ τῆς συζύγου αὐτοῦ ἔγραψε καὶ Μεθόδιος ὁ πατριάρχης. Migne, PIE', § ια'.

26. μεθ' ὅλας μου τὰς ἐρεύνας οὐχ εὗρον τὸ πρωτότυπον ἑλληνικὸν κείμενον τῆς βιογραφίας· ἠρκέσθην δὲ εἰς τὴν κοινολαΐτιδα παράφρασιν τὴν προτασσομένην τῶν ἐν Βενετίᾳ ἐκδοθέντων τῷ 1790 Ἁπάντων τοῦ νέου Θεολόγου Συμεών. Βλ. Συναξαριστὴν μαρτίου, ἐκδόσ. Κ. Δουκάκη, ἐν Ἀθήναις, 1891, σελ. 214-250.

27. ἀναφέρονται ἐν τῇ βιογραφίᾳ τοιοῦτοι: Γενέσιος ὁ πατρίκιος, Ἰωάννης ὁ πρωτονοτάριος τοῦ δρόμου, Ὀρέστης ὁ κατοικῶν παρὰ τὴν Χρυσόπολιν, καὶ Ἰωάννης καὶ Φιλόθεος, κτίτορες μονῆς τινος ἐν τῷ Βοσπόρῳ, εἰσαγαγόντες μάλιστα τὴν ἐπέτειον πανήγυριν τοῦ ἁγίου Συμεὼν εἰς τὴν μονὴν αὐτῶν.

28. ἀσαφῶς ἐκτίθεται ὁ χρόνος τοῦ Θανάτου· «τὴν Δ' ἰνδικτιῶνα μὲ ἐνταφιάζετε, καὶ τὴν Ε' θέλει μὲ ἰδῆτε νὰ εὑρίσκωμαι μαζῆ σας . . . . Τριάκοντα ἔτη μετὰ τὸν Θάνατόν του ἐφανερώθη ἡ ἀνακομιδὴ τῶν λειψάνων του . . . καὶ ἀφοῦ ἐτελειώθη ἡ Ε' ἰνδικτιών, εἰς τοὺς 1050 ἀπὸ Χριστοῦ, ἐφάνησαν ἀνελπίστως τὰ τίμιά του λείψανα». Ἀλλ' ἡ Ε' ἰνδικτιὼν ἄρχεται ἀπὸ πρώτης σεπτεμβρίου 1051 καὶ λήγει τῇ 31 αὐγούστου 1052, ἡ δὲ Δ', ἡ πρὸ τριάκοντα δηθεν ἐτῶν, ἀντιστοιχεῖ εἰς τὸ μεταξὺ σεπτεμβρίων 1020 καὶ 1021 διάστημα· διὰ τοῦτο ὥρισα τὸν Θάνατον αὐτοῦ τῇ 12 μαρτίου 1021.

βεβαίως ἐν ταῖς μοναῖς Στουδίου, ἁγίου Μάμαντος καὶ ἁγίας Μαρίνης.

ℵ

13. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως. Ἡ σύναξις ἐν τοῖς Ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις.

Ἡ ἀνακομιδὴ φαίνεται γενομένη μετὰ μεγαλοπρεπείας τῇ 13 τοῦ μαρτίου τοῦ 846, αἰτήσει Μεθοδίου τοῦ πατριάρχου, συγκατατεθέσει δὲ Μιχαὴλ καὶ Θεοδώρας· κατετέθη τὸ λείψανον ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων[29]. Πρὸ τοῦ τάφου τοῦ ἱεροῦ Νικηφόρου, τὴν δευτέραν τοῦ Πάσχα εἰς τὸν μέγαν τοῦτον ναὸν ἐρχόμενος ὁ αὐτοκράτωρ, ἐπ' ἀκροάσει τῆς θείας λειτουργίας, προσηύχετο καὶ ἥπτε κηροὺς, ὡς καὶ πρὸ τῶν τάφων Γρηγορίου τε καὶ Χρυσοστόμου[30].

* * *

13. Τῶν ἁγίων μαρτύρων Ἀφρικανοῦ, Πουπλίου καὶ Τερεντίου, ὧν ἡ σύναξις τελεῖται ἐν τῷ Παυλοπετρίῳ[31].

καθ' ἑτέραν γραφὴν[32]

Σαβίνου, Ποπλίου, Ἀφρικανοῦ καὶ Τερεντίου τῶν ἐν τῷ Πετρίῳ μαρτύρων.

Καὶ κατὰ τὴν ἐν χρήσει καὶ κατὰ τὴν ἄχρηστον γραφὴν οὐ πρόκειται περὶ ναοῦ. Παυλοπετρίον ἦν, ὡς εἴδομεν, βιθυνικὴ μονὴ παρὰ τὸ Παντείχιον· ἔν τινι ναῷ αὐτόθι πιθανῶς ἐτελεῖτο πάννυχος παννυχίς. Πετρία δ' ἦν ἡ μεγάλη ἔκτασις ἡ ἀπὸ τοῦ σήμερον Ἀγιὰκαπὶ μέχρι σχεδὸν τοῦ Μπαλατᾶ, ἥτις οὐδὲν εὐκτήριον εἶχεν ἐπ' ὀνόματι τῶν τεσσάρων μαρτύρων. Θεόδωρος ὁ Ἀναγνώστης, τῆς ἀνακομιδῆς τῶν λειψάνων Ἀφρικανοῦ καὶ Τερεντίου μιμνησκόμενος ὡς ἐπὶ Θεοδοσίου Α' γενομένης, γράφει ὅτι ταῦτα ἀπετέθησαν «εἰς τὴν Ἁγίαν Εὐφημίαν ἐν τῇ Πέτρᾳ»[33].

? ὑπῆρχον ἆρά γε λείψανα τῶν μαρτύρων τούτων ἐν τῇ μονῇ τοῦ Παυλοπετρίου; — ἢ αὕτη μετόχιον ἦν μονῆς τινος ἐκ τῶν ἐν Πετρίῳ;

ℵ

14. Εὐσχήμονος ἐπισκόπου Λαμψάκου.

Ἤκμασεν ἐπὶ τῶν εἰκονομάχων, ὑπέρμαχος τοῦ δόγματος τῆς τῶν ἁγίων Εἰκόνων προσκυνήσεως· ἦν οἰκεῖος τῷ Θεοδώρῳ Στουδίτῃ· καὶ λοιπὸν ἤκμασεν ἐπὶ Λέοντος Ε', κατὰ τὰ πρῶτα ἔτη τοῦ Θ' αἰῶνος· ἀπέθανεν ἐν ὑπερορίᾳ[34].

ℵ

15. Ἰωάννου ὁσίου τοῦ ἐν Ῥουφινιαναῖς, ἐν εἰρήνῃ τελειωθέντος.

Οὐ πρόκειται περὶ ναοῦ. Περὶ δὲ Ῥουφινιανῶν ἴδε εἰς τὴν 17 ἰουνίου.

ℵ

17. Μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ, κατὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ βασιλέως.

Ἀόριστος ὁ χρόνος, καθ' ὃν ἐγένετο ὁ σεισμὸς οὗτος. Ἐπὶ Κωνσταντίνου βασιλέως σεισμὸν γινώσκομεν ἐν ἀγνώστῳ μηνὶ συμβάντα, τὸν τῷ 790 ἐπὶ Κωνσταντίνου ΣΤ' τοῦ υἱοῦ τῆς ἀθηναίας Εἰρήνης· ὁ δὲ σεισμὸς οὗτος «δεκάτῳ ἔτει Κωνσταντίνου γέγονε φοβερώτατος[35]. Σεισμοὺς ἑτέρους, οἵτινες ἐγένοντο κατὰ μάρτιον, οὐ γινώσκω· ὁ τοῦ 1033 ἐγένετο τῇ 6 μαρτίου, ἀλλ' ἐπὶ Ῥωμανοῦ Γ' τοῦ Ἀργυροῦ.

* * *

17. Παύλου ὁσιομάρτυρος.

Ἤθλησεν ὑπὲρ τῶν ἁγίων Εἰκόνων.

* * *

17. Θεοστηρίκτου ὁσίου τοῦ ὁμολογητοῦ.

Φρονῶ ὅτι οὗτός ἐστιν ὁ ἐκ τῆς μονῆς Πελεκητῆς, εἰς φυλακὴν βληθεὶς ὑπὸ τοῦ Κωνσταντίνου Κοπρωνύμου, καταστρέψαντος τὴν μονὴν καὶ καταδικάσαντος τοὺς 38 μοναχοὺς αὐτῆς εἰς τὸν δι' ἀσφυξίας ἐντὸς λουτροῦ τινος ἐν Ἐφέσῳ θάνατον, ἴσως συγχρόνως τῇ καταστροφῇ τῆς ἐπὶ τοῦ βουνοῦ τοῦ Αὐξεντίου μονῆς, κατὰ τὰ 755[36].

ℵ

19. Παγχαρίου μάρτυρος.

Συγκλητικὸς ἐν Ῥώμῃ ἐπὶ Διοκλητιανοῦ, ἤθλησεν ἐν Νικομηδείᾳ. Ἕτερος Παγχάριος ἀναφέρεται τῇ 19 νοεμβρίου.

Ναὸς ἐπ' ὀνόματι Παγχαρίου τοῦ μάρτυρος ἐσῴζετο ἐν Κωνσταντινουπόλει πρὸ τοῦ Ι' αἰῶνος, ἄγνωστον ποῦ τῆς πόλεως[37].

Παρὰ τῷ Βασιλειανῷ τῇ 25 μαΐου.

ℵ

20. Νικήτα ἐπισκόπου Ἀπολλωνιάδος τοῦ ὁμολογητοῦ.

Ἤκμασεν ἐπὶ τῶν εἰκονομάχων· ἀπέθανε δ' ἐν ὑπερορίᾳ.

* * *

20. Φωτεινῆς τῆς Σαμαρείτιδος καὶ τῶν σὺν αὐτῇ.

Ναὸς ἐπ' ὀνόματι τῆς ἁγίας Φωτεινῆς, πιθανῶς τῆς Σαμαρείτιδος, ἔκειτο, καθὰ λέγεται, παρὰ τῷ σήμερον Τοπ-χανέ.

Ἴδε εἰς τὴν 20 αὐγούστου.

* * *

20. Θωμᾶ πατριάρχου Κωνσταντινουπόλεως.

Ἴδε εἰς τὴν 22 φεβρουαρίου.

ℵ

21. Ἰακώβου τοῦ νέου, ἐπισκόπου γενομένου.

Ἡ μνήμη γράφεται οὕτως ἐν τῷ Βασιλειανῷ λεγομένῳ Μηνολογίῳ. Παρὰ τῷ ἐν χρήσει Συναξαριστῇ προστίθεται *ὁμολογητοῦ*. Ὁ νέος Ἰάκωβος ἤκμασεν ἐπὶ τῶν εἰκονομάχων, ἀορίστου μένοντος παρὰ τῷ Βασιλειανῷ τοῦ χρόνου τῆς ἀκμῆς. Ἀναφέρεται παρὰ Θεοδώρῳ τῷ Στουδίτῃ Ἰάκωβός τις ὁμολογητὴς, ἀποθανὼν πρὸ τοῦ 818 ἢ γοῦν κατ' αὐτὸ τοῦτο τὸ ἔτος, ὅστις «ἐκ νεότητος ἤθλησεν ἀσκητικῶς, κατὰ παθῶν ἀνδρισάμενος, παρθένον τὸ σῶμα φυλάξας· . . . πτερῶν ἑαυτὸν πρὸς τὸν οὐράνιον ἔρωτα», πολλὰς ὑπέστη τυραννίας ἀπὸ μέρους τῶν εἰκονομάχων[38]. Ἀλλ' οὐ λέγεται περὶ αὐτοῦ ὅτι ἦν ἐπίσκοπος.

ℵ

25. **Ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Θεοτόκου.**

Πρώτη μνεία τῆς παρθενικῆς ταύτης πανηγύρεως γίνεται παρὰ Πρόκλῳ Κωνσταντινουπόλεως τῷ 430[39]. Πρῶτοι ἱστοριογράφοι μιμνήσκονται τῆς ἑορτῆς, οἱ συγγραφεῖς τοῦ Πασχαλίου Χρονικοῦ κατὰ τὸ ἔτος 622. Ἡ *σύναξις* ἐπὶ τῇ ἑορτῇ ταύτῃ ἦν πάγκοινος.

Τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ συμπιπτούσης πάντοτε σχεδὸν τῇ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ, ἐπετρέπετο κατάλυσις ἰχθύος. Νικηφόρος ὁ πατριάρχης Κωνσταντινουπόλεως ἐπιτρέπει τὴν ἰχθυοφαγίαν καὶ ἐν αὐτῇ τῇ Μεγάλῃ ἑβδομάδι, λέγων ὅτι οὐχ ἁμαρτάνομεν ἰχθυοφαγοῦντες[40]. Νικόδημος ὁ θαυμάσιος μέμφεται τῆς ἰχθυοφαγίας τῆς Μεγάλης ἑβδομάδος, λόγῳ ὅτι τὰ Τυπικὰ τοῦ ὁσίου Σάββα, τοῦ ὁσίου Χαρίτωνος καὶ λοιπῶν οὐκ ἐπιτρέπουσιν ἰχθυοφαγίαν ἀπὸ τῆς Μ. δευτέρας μέχρι τοῦ Μ. σαββάτου ἐπὶ τῇ ἑορτῇ τοῦ Εὐαγγελισμοῦ. Πρέπει 'ν' ἀναγνωσθῶσιν ὅμως πάντα τὰ ἀρχαιότερα χειρόγραφα Τυπικὰ τοῦ ἁγίου Σάββα πρὸς φωτισμὸν τῶν τῷ Νικοδήμῳ συμφρονούντων. Τὸ αὐστηρὸν τυπικὸν τῶν μονῶν τοῦ Γαλησίου ὄρους, οὗ περίληψιν ἐκδίδωμι προσεχῶς, ἐπιβάλλει τὴν ἰχθυοφαγίαν ἐὰν ἡ ἑορτὴ συμπέσῃ τῇ Μ. ἑβδομάδι.

Τῆς ἐπὶ τῇ ἑορτῇ ταύτῃ συνάξεως οὔσης, ὡς εἶπον, κοινῆς, ἡ μεγαλοπρεπεστέρα πανήγυρις ἐτελεῖτο παρὰ βυζαντινοῖς ἐν τῷ ναῷ τῶν Χαλκοπρατείων, γινομένης καὶ προελεύ-

29. ταῦτα τὸ Συναξάριον· ὁ δὲ παρὰ Θεοφίλῳ Ἰωάννου ἐν Ἁγιολογικοῖς Μνημείοις, σελ. 115-128, λόγος Θεοφάνους ἡγουμένου καὶ πρεσβυτέρου εἰς τὴν ἐξορίαν τοῦ Νικηφόρου καὶ εἰς τὴν μετακομιδὴν τοῦ τιμίου λειψάνου αὐτοῦ δαπανᾶται σχεδὸν ὅλος εἰς ἐγκώμια.

30. Πορφυρογ. Ἔκθ. Α', σελ. 77.

31. τοῦτο κατὰ τὸν ἐν χρήσει Συναξαριστήν.

32. Ἱεροσλμ. Βιβλιοθ. σελ. 472· αὐτόθι σημειοῦται μνήμη τῶν ἐν λόγῳ μαρτύρων καὶ τῇ 12 ἀπριλίου. Ἀμφότερα τὰ χειρόγραφα τοῦ Θ' εἰσὶν αἰῶνος, ἀλλὰ προδήλως τὸ ἕτερόν ἐστιν ἐσφαλμένον.

33. Θεόδ. Ἀναγν. Ἐκκλ. Ἱστ. ἐκλογαί· Β', 62· ἀλλ' ἡ μετακομιδὴ ἐγένετο πιθανῶς τῇ 21 σεπτεμβρίου.

34. Μηνολόγιον. Στουδίτου ἐπιστολαί· Migne, τόμ. ΥΘ', 1671 (ἀριθ. 289).

35. Κεδρ. Β', σελ. 23.

36. Στεφάνου τοῦ νέου βίος, ὑπὸ Στεφάνου διακόνου· Migne, Ρ', στήλη 1164-1165.

37. Πορφυρογ. Ἔκθ. Α', σελ. 802 καὶ 806.

38. Στουδίτου ἐπιστολαί· Migne, ΥΘ', 1353, 1356.

39. Φιλαρ. Βαφείδου Ἐκκλ. Ἱστορ. τόμ. Α', σ. 314. Μ. Ι. Γεδεών, Περὶ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ ἐν «Ἐκκλησ. Ἀληθείᾳ», τόμ. Δ', σελ. 262-265. Οἱ πρὸ τοῦ Πρόκλου λόγοι εἰς τὴν ἑορτὴν ταύτην ὑποβολιμαῖοι κρίνονται. Κοντογόνου Πατρολ. τόμ. Α', σελ. 538. Βλ. Martigny, Dictionnaire des Antiquités chrétiennes, ἐκδ. τοῦ 1877, σελ. 317.

40. Ῥάλλη καὶ Ποτλῆ, Σύνταγμα τῶν ἱερῶν κανόνων, τόμ. Δ', σελ. 427.

σεως αὐτοκρατορικῆς[41]. Κατὰ τὸν ΙΕ′ αἰῶνα ἡ παννυχὶς τῆς ἑορτῆς ἐτελεῖτο ἐν τῷ παλατίῳ[42]. Συμπεραίνομεν ὅτι ὁ ναὸς τῶν Χαλκοπρατείων ἐτιμᾶτο ἐπ' ὀνόματι τοῦ Εὐαγγελισμοῦ.

Ὁ ναὸς τῶν Χαλκοπρατείων ἐγένετό τισι τῶν ἡμετέρων καὶ ξένων ἀντικείμενον λόγου. Ἡ τοποθεσία αὐτοῦ οὐ καθορίζεται εὐχερῶς, εἰκασία δέ ἐστιν εἴ τι ἂν εἴπῃ τις περὶ αὐτοῦ. Τὰ παρὰ Κωδινῷ, μυθολογία. Τὰ παρὰ Πορφυρογεννήτῳ φερόμενα ὅτι ἡ πομπὴ διήρχετο διὰ τοῦ Φόρου καὶ τοῦ αὐτόθι ναοῦ τοῦ ἁγίου Κωνσταντίνου (Τσεμπερλῆ-τὰς) μεταβαίνουσα εἰς τὰ Λαύσου καὶ ἐκεῖθεν «ἀριστερὸν ἐκκλίνασα, εἰς τὰ Χαλκοπρατεῖα»[43] δυσχερῶς ὁδηγοῦσιν, ἐμὲ τοὐλάχιστον, εἰς ἀνεύρεσιν τοῦ τόπου ἐν ᾧ ἔκειτο ὁ ναός.

Λέγεται ὅτι ἐκτίσθη ὑπὸ Πουλχερίας τῷ 450, πρότερον ὢν ἰουδαϊκὴ συναγωγή[44]. Κατὰ τὸ Πασχάλιον Χρονικόν, ἔκτισαν τὸν ναὸν Πουλχερία καὶ Μαρκιανός, ἄρα μεταξὺ τῶν ἐτῶν 451-453. Ἀλλὰ παρὰ Δουκαγγίῳ κεῖται ἡ ὑπόμνησις ὅτι κατὰ τὴν Γ′ νεαρὰν τοῦ Ἰουστινιανοῦ[45] κτιτόρισσα τοῦ ναοῦ τῶν Χαλκοπρατείων ἀναγράφεται Βηρίνη ἡ σύζυγος Λέοντος τοῦ Θρᾳκός· ὥστε, κατὰ τὸ πρῶτον ἥμισυ τοῦ Ϛ′ αἰῶνος, ἠγνόουν οἱ κωνσταντινουπολῖται τίς ὁ πρῶτος τοῦ ναοῦ κτίτωρ. Ὁ δὲ Θεοφάνης, γράφων ὅτι τῷ 577 ἐκτίσθη ὑπὸ Ἰουστίνου Β′ τοῦ Θρᾳκὸς, ἐπαναλαμβάνει ὅτι μετεβλήθη τότε ἀπὸ ἰουδαϊκῆς συναγωγῆς[46], ὥστε δύναταί τις εἰκάσαι ὅτι ἢ ἐπισκευαί τινες ἐγένοντο ὑπὸ Βηρίνης καὶ Ἰουστίνου, ἢ οὗτοι προσέθηκαν τὰ παρὰ τὸν ναὸν εὐκτήρια. Βασίλειος ὁ Μακεδὼν μετεωρίσας τὴν τοῦ ναοῦ στέγην εἰσήγαγε περισσότερον φῶς[47]. Ἡ κατόπιν ἱστορία ἄγνωστος. Μεταξὺ τῶν ἐτῶν 1081-1084 ἀναφέρεται ὅτι αἱ πύλαι τοῦ ναοῦ τῶν Χαλκοπρατείων ἦσαν περιβεβλημέναι χρυσὸν καὶ ἄργυρον, ἢ ὡς λέγουσι, κατεσκευασμέναι[48]. Ἀπὸ τοῦ ΙΒ′ αἰῶνος καὶ ἐντεῦθεν οὐδεμία τοῦ ναοῦ μνεία, τὰ δὲ παρὰ Πασπάτῃ[49] φερόμενα ὅτι κατὰ τὸν ΙΔ′ αἰῶνα ὁ τῶν Χαλκοπρατείων ναὸς ἐκαλεῖτο πιθανῶς μονύδριον τῆς Θεοτόκου Βαραγγιωτίσσης ἐστὶν ἀδόκιμον. Ὁ Νικηφόρος Κάλλιστος περὶ τυπικῆς τινος διατάξεως ἰδιαζούσης τῇ μονῇ τῶν Ὁδηγῶν γράφων, ὡς γνωστόν, ἐν τῷ ΙΔ′ αἰῶνι, λέγει «*καὶ νῦν ὁρᾶται τηρούμενον*»[50], οὐ λέγει δὲ τοιοῦτό τι λαλῶν περὶ τυπικῆς διατάξεως τῆς τῶν Χαλκοπρατείων μονῆς· ἐντεῦθεν καὶ ἐκ τῆς παρὰ Κωδινῷ διατάξεως ὅτι κατὰ τὴν ἑορτὴν παννυχὶς ἐτελεῖτο ἐν τῷ παλατίῳ κατὰ τὸν ΙΕ′ αἰῶνα, συμπεραίνω ὅτι μετὰ τὸ 1204 ὁ ναὸς τῶν Χαλκοπρατείων ἀπέθανε.

Περὶ τῶν παρεκκλησίων καὶ τῶν ἐν τῷ ναῷ συνάξεων τῶν γινομένων δι' ὅλου τοῦ ἐνιαυτοῦ, γίνεται λόγος ἐν οἰκείοις τόποις.

Ἐν τῷ ναῷ τῶν Χαλκοπρατείων ἐγίνετο λιτὴ κατὰ παρασκευὴν, οὕτω διατάξαντος τοῦ κακοδόξου πατριάρχου Τιμοθέου Α′, περὶ τὰ 511-518 ἢ κατὰ τετράδα παννυχὶς καὶ λιτὴ, κατὰ τυπικὴν διάταξιν τῆς Πουλχερίας[51]. Ὁ δὲ Μαυρίκιος ὁ αὐτοκράτωρ ἐξέδωκε τυπικὴν διάταξιν τῷ 586 «τὴν λιτὴν καλουμένην πρεσβείαν κατὰ παρασκευὴν ἐν Βλαχέρναις τελεῖσθαι καὶ ἐν τοῖς Χαλκοπρατείοις πληροῦσθαι»[52]. Προελεύσεως δ' αὐτοκρατορικῆς γινομένης τῇ 25 μαρτίου, εἰ συνέπιπτεν ὁ Εὐαγγελισμὸς τῇ Μ. παρασκευῇ, ἢ τῷ Μ. σαββάτῳ, ἡ λιτὴ ἀρχομένη ἀπὸ τοῦ ναοῦ τῆς Θεοτόκου τοῦ Φόρου, συνεπληροῦτο ἐν τῷ τῶν Χαλκοπρατείων[53].

Ὁ ναὸς τῶν Χαλκοπρατείων ἀπελάμβανε τοῦ σεβασμοῦ τῶν χριστιανῶν διὰ τὴν ἐν χρυσῇ σορῷ ἀποτεθησαυρισμένην τιμίαν Ζώνην τῆς Θεομήτορος ἐν ἰδίῳ εὐκτηρίῳ ἀποτελοῦντι μέρος τοῦ ναοῦ[54]. Τὸ δὲ παρὰ Σκ. Βυζαντίῳ φερόμενον ὅτι «τὸ συναξάριον τῶν ἁγίων Θεοπατόρων τοποθετεῖ τὸ ἀποστολεῖον (Ἰακώβου τοῦ ἀδελφοθέου) ἔνδον τοῦ ναοῦ τῶν Χαλκοπρατείων»[55] ἐστὶ συμπέρασμα βεβιασμένης ἀντιλήψεως.

Ἡ δὲ γνώμη τῶν παραδοξογράφων ὅτι «ἐν

41. Πορφυρογ. Ἐκθ. Α′, σελ. 165, 762.
42. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 72.
43. Πορφυρογ. Ἐκθ. Α′, σελ. 164-165 καὶ 169.
44. Θεοδ. Ἀναγνώστης· Α′, 5. Θεοφ. Α′, σελ. 158.
45. Const. Christ. βιβλ. Δ′, σελ. 57, ἅτινα μετέγραψε καὶ ὁ Σκ. Βυζάντιος.
46. Θεοφ. Α′, σελ. 382.
47. Theoph. Contin. σελ. 339.
48. Πατριαρχ. Πίνακες· σελ. 336.
49. Τὰ Βυζαντινὰ ἀνάκτορα καὶ τὰ πέριξ αὐτῶν ἱδρύματα· ἐν Ἀθήναις, 1885, σελ. 87.
50. Καλλίστου, Ἐκκλ. Ἱστορ. ΙΕ′, ιδ′.
51. Θεοδ. Ἀναγν. Β′, 30. Καλλίστου, Ἐκκλησ. Ἱστορ. ΙΕ′, ιδ′.
52. Κεδρηνός· Α′, σελ. 694.
53. Ἱεροσλμ. Βιβλ. τόμ. Β′, σελ. 396.
54. Ἴδε εἰς τὴν 31 αὐγούστου.
55. «Κωνσταντινούπολις»· τόμ. Α′, σελ. 460.

τῇ ἀγρυπνίᾳ (τῆς λιτῆς, ὡς φαίνεται) ἀνεγίνωσκον μεγάλοι ἄνθρωποι, ὅ τε Μιχαὴλ ὁ Ῥαγγαβὲ ὁ κουροπαλάτης πρὸ τοῦ βασιλεῦσαι καὶ Βάρδας καῖσαρ ὁ θεῖος Μιχαὴλ τοῦ υἱοῦ Θεοφίλου καὶ πολλοὶ τῶν μαγίστρων[56], οὐδὲν εἰς·άγει πρὸς τὴν ἱστορίαν ἀντιπίπτον, δείκνυσι δὲ τὴν πολλὴν εὐλάβειαν πασῶν τῶν παρὰ τοῖς βυζαντινοῖς κοινωνικῶν τάξεων· τὰ λοιπὰ ὅμως τῶν παραδοξογράφων χρήζουσι μελέτης πολλῆς ἐπ' ἀκριβώσει τῆς ἀληθείας, ταῦτα: «τὸν ἅγιον Ἰάκωβον τὸν πλησίον αὐτῆς ὁ αὐτὸς βασιλεὺς ἀνήγειρεν, ἔνθα εἰσὶν ἐν σοροῖς λείψανα τῶν ἁγίων νηπίων καὶ τοῦ ἁγίου Συμεὼν τοῦ θεοδόχου, τοῦ προφήτου Ζαχαρίου καὶ Ἰακώβου τοῦ ἀδελφοθέου· ἐν δὲ τῷ δεξιῷ μέρει τῆς ἁγίας σοροῦ εἰσὶ κείμενα τῶν ἁγίων μυροφόρων γυναικῶν τὰ σώματα, ἐν δὲ τῷ εὐωνύμῳ αἱ τρίχες τοῦ τιμίου Προ·δρόμου»[57]. Τοῖς τῶν παραδοξογράφων ὡς καρύκευμα προστεθείσθωσαν καὶ τὰ τοῦ Νικοδήμου ὅτι «σημαντικοὶ ἄνδρες . . . . ἐκανονάρχουν καὶ πολλὰς ἄλλας ἰδιαιτέρας διακονίας ἔκαμνον»[58].

Ἕνεκα τῆς ἐν τῇ πολυτίμῳ σορῷ καταθέσεως τῆς τιμίας Ζώνης «ἐξ ἐκείνου Ἁγία Σορὸς ὁ τῆς Θεοτόκου οἶκος οὗτος ἐπώνυμον ἐκληρώσατο»[59]. Ἄγνωστον ὅμως ἂν ἡ τῆς Ἁγιοσορειτίσσης Θεοτόκου σφραγὶς ἀνήκῃ εἰς τὴν Θεοτόκον τῶν Χαλκοπρατείων[60]. Μονὴ ἐπ' ὀνόματι Θεοτόκου Ἁγιοσορειτίσσης ὑπῆρχεν ἐν Μεσημβρίᾳ περὶ τὰ τέλη τοῦ ΙΔ′ αἰῶνος[61].

ℰ

26. Σύναξιν ἐπιτελοῦμεν τοῦ ἀρχαγγέλου Γαβριὴλ, ἄνωθεν καὶ ἐξ ἀρχῆς παραδεδομένην, ὡς τῷ θείῳ καὶ ὑπερφυεῖ καὶ ἀπορρήτῳ μυστηρίῳ τῆς τοῦ Χριστοῦ οἰκονομίας καθυπουργήσαντος.

* * *

26. Στεφάνου ἡγουμένου Τριγλείας τοῦ ὁμολογητοῦ.

Ἐν τῷ Βασιλειανῷ λεγομένῳ Μηνολογίῳ τὴν 27 μαρτίου. Ἐν δυσὶ χειρογράφοις τοῦ ΙΓ′ αἰῶνος τῇ 3 σεπτεμβρίου[62].

Στέφανος ἡγούμενος Τριγλείας (οὐχὶ τῆς τοῦ Μηδικίου μονῆς, οὔτε τῆς Πελεκητῆς) ἤκμασεν ἐπὶ Λέοντος Ε′, ὑπερορισθεὶς ὑπ' αὐτοῦ καθὸ μὴ συμφρονῶν τοῖς εἰκονομάχοις.

ℰ

28. Ἰλαρίωνος ἡγουμένου μονῆς τῆς Πελεκητῆς.

Ἁπλῆ μνεία τοῦ ὀνόματος ἐν τῷ λεγομένῳ Βασιλειανῷ Μηνολογίῳ τὴν 28 μαρτίου. Κατὰ χειρόγραφον τοῦ ΙΑ′ αἰῶνος τὴν 29 τοῦ μηνὸς τούτου[63].

ℰ

29. Εὐσταθίου ἐπισκόπου Κίου τῆς Βιθυνίας.

Ἤκμασεν ἐπὶ τῶν εἰκονομάχων· ἀπέθανεν ἐν εἰρήνῃ.

ℰ

30. Ὁ ἅγιος Κυριακὸς πατριάρχης Κωνσταντινουπόλεως ἐν εἰρήνῃ τελειοῦται.

Ἴδε εἰς τὴν 30 ὀκτωβρίου[64].

ΑΠΡΙΛΙΟΣ

1. Μακαρίου ἡγουμένου μονῆς τῆς Πελεκητῆς.

Βυζάντιος τὴν πατρίδα, κατὰ κόσμον Χριστοφόρος καλούμενος, ἤκμασεν ἐπὶ τοῦ πατριάρχου Ταρασίου, ὑφ' οὗ καὶ ἐχειροτονήθη πρεσβύτερος, ὢν μοναχὸς τῆς ἐν Τριγλείᾳ μονῆς (Ἰωάννου τοῦ Θεολόγου) τῆς Πελεκητῆς. Εἰδήμων τῶν ἱερῶν Γραφῶν, προασπιστὴς ἔνθερμος τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων, κατεδιώχθη ὑπὸ Λέοντος Ε′ καὶ κατόπιν ὑπὸ Μιχαὴλ τοῦ Τραυλοῦ, ὑφ' οὗ καὶ ἐξωρίσθη εἰς Ἀφουσίαν[1], ὅπου καὶ ἀπέθανε, μετὰ τὸ 820.

56. Κωδινοῦ, Περὶ κτισμάτων· Βόννης, σελ. 113.
57. Κωδ. αὐτόθι· ταῦτα δὲ μετέγραψε καὶ Βυζάντιος ἐν τῇ «Κωνσταντινουπόλει»· τόμ. Α′, σελ. 460.
58. Συναξαριστής· ὑποσημ. 31 αὐγούστου.
59. Καλλιστος, Ἐκκλ. Ἱστορ. βιβλ. ΙΔ′, μθ′.
60. Schlumberger· σελ. 38.
61. Πατριαρχ. Πίνακες· σελ. 442.
62. Ἱεροσλμ. Βιβλ. Β′, σελ. 85, 247.
63. αὐτόθι, σελ. 371.
64. τὴν μνήμην αὐτοῦ εὑρίσκω ὁριζομένην τῇ 30 μαρτίου ἐν τῷ ὑπ' ἀριθ. Δ39 μεμβρανίνῳ χειρογράφῳ Συναξαριστῇ, κατὰ τὸν Π′ αἰῶνα γεγραμμένῳ, ἀποκειμένῳ δ' ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν Ἄθῳ Μεγίστης μονῆς Λαύρας.
1. βλ. περὶ τῆς Ἀφουσίας τὴν τοῦ Μ. Ι. Γεδεὼν «Προικόννησον», ἐν Κωνσταντινουπόλει, 1895, σελ. 71.

Ἴσως αὐτός ἐστιν ὁ Μακάριος ἡγούμενος, ᾧ γράφει Θεόδωρος ὁ Στουδίτης, καλῶν «ἐξάκουστον ἐν πατρᾶσι καὶ τὴν ἀρετὴν ὑψηλόν». Μετὰ τὴν ἀποβίωσιν αὐτοῦ, ἡγούμενον τῆς Πελεκητῆς ἀνέδειξαν οἱ μοναχοὶ Σέργιον τὸν ἔγκλειστον. Εἰρήσθω δὲ καὶ πάλιν ὅτι τὴν μονὴν ταύτην περὶ τὰ 755 κατέστρεψε Κωνσταντῖνος ὁ Κοπρώνυμος, ἀφανίσας τοὺς 38 μοναχοὺς αὐτῆς[2].

Κατά τι Μηναῖον ἱεροσολυμιτικόν, ἡ ἀκολουθία τοῦ ὁσίου Μακαρίου τῆς Πελεκητῆς ἐψάλλετο τῇ 19 αὐγούστου[3].

* * *

1. Γεροντίου καὶ Βασιλείδου μαρτύρων.

Ναὸς ἐπ' ὀνόματι τοῦ ἁγίου Γεροντίου ἐσῴζετο κατὰ τὰ τέλη τοῦ ΙΔ' αἰῶνος ἐν Κωνσταντινουπόλει, ἔχων καὶ κινστέρναν[4].

§

3. Νικήτα ἡγουμένου μονῆς τοῦ Μηδικίου, τοῦ ὁμολογητοῦ.

Γεννηθεὶς ἐν Καισαρείᾳ τῆς Βιθυνίας ἐδιδάχθη παρὰ τοῦ ἐπισκόπου αὐτῆς τὰ ἱερὰ γράμματα· ἤκμασεν ἐπὶ Ταρασίου τοῦ πατριάρχου, διορισθεὶς ὑπ' αὐτοῦ βοηθὸς τοῦ τῆς μονῆς ταύτης ἡγουμένου Νικηφόρου, οὗ τῆς ὑπηρεσίας διάδοχον διώρισεν ὁ πατριάρχης Νικηφόρος, μετὰ θάνατον ἐκείνου. Καθειρχθεὶς ὑπὸ Λέοντος τοῦ Ε' ἐν Κωνσταντινουπόλει, ἐξωρίσθη εἰς τὴν ἐν τῇ Μικρᾷ Ἀσίᾳ κώμην Μασαλεών, ὅθεν ἀνακληθεὶς καὶ μὴ πεισθεὶς 'ν' ἀρνηθῇ τὴν τῶν ἁγίων Εἰκόνων προσκύνησιν, περιωρίσθη ἐν τῇ πρὸ τοῦ Ἀκρίτα νήσῳ τῆς ἁγίας Γλυκερίας, ὁπόθεν ἐπιστρέψας εἰς Κωνσταντινούπολιν ἐπὶ Μιχαὴλ τοῦ Τραυλοῦ, διέμενεν «ἔν τινι μετοχίῳ κειμένῳ κατὰ τὸ βόρειον μέρος τῆς βασιλευούσης»· ἐν αὐτῷ δ' ἀπέθανε.

Πρὸς τὸν ὅσιον Νικήταν τοῦτον ἔγραφε συνεχῶς Θεόδωρος ὁ Στουδίτης. Τὸ ἐν τῇ βιογραφίᾳ αὐτοῦ ἀναφερόμενον μετόχιον ἀνῆκε πιθανῶς εἰς τὴν μονὴν Πελεκητῆς[5].

* * *

3. Ἰωσὴφ τοῦ ποιητοῦ τῶν κανόνων.

Γεννηθεὶς ἐν Σικελίᾳ, υἱὸς Πλουτίνου καὶ Ἀγάθης, ἀνεχώρησεν ἐκ τῆς νήσου ταύτης σὺν τοῖς γονεῦσιν, ἕνεκεν ἐπιδρομῆς τινος, καὶ ἦλθεν εἰς Πελοπόννησον· δεκαπενταετὴς τὴν ἡλικίαν κατέλαβε τὴν Θεσσαλονίκην ἀναζητῶν μονὰς καὶ μοναχοὺς ἀρίστους, διότι φαίνεται ὅτι ἐν Πελοποννήσῳ μονή τις οὐχ ὑπῆρχε τότε. Ἐκάρη μοναχὸς ἐν τῇ κατὰ τὴν Θεσσαλονίκην μονῇ τοῦ Λατόμου, βίον διάγων ἄριστον· καὶ, συμπληρῶν ἐν αὐτῇ τὰς σπουδὰς αὐτοῦ, ὧν ἐν Σικελίᾳ κατήρξατο, ἐσχόλαζε τῇ μελέτῃ τῶν θείων Γραφῶν, ἐκεῖ δ' ἐχειροτονήθη ἱερεὺς καὶ μετὰ Γρηγορίου τοῦ Δεκαπολίτου ἦλθεν εἰς Κωνσταντινούπολιν, κατά τινας μὲν ἐπὶ Θεοφίλου, ὅπερ καὶ πιστευτόν, κατὰ δ' ἑτέρους ἐπὶ Λέοντος Ἰσαύρου, διαμένων ἐν τῷ ναῷ τοῦ ἁγίου ἱερομάρτυρος Ἀντίπα. Σταλεὶς ὁ Δεκαπολίτης εἰς Ῥώμην μετὰ τοῦ ποιητοῦ τῶν κανόνων Ἰωσὴφ ὑπὸ τῶν τῷ δόγματι τῶν ἁγίων Εἰκόνων προσκειμένων, πρεσβευτὴς πρὸς τὸν πάπαν τῆς πρεσβυτέρας Ῥώμης «ἵνα τις ἐπικουρία γένηται τῇ Θεοῦ Ἐκκλησίᾳ» περιέπεσε σὺν τῷ ἀκολούθῳ πειραταῖς, οἵτινες ἤγαγον αὐτοὺς εἰς Κρήτην, ὅπου μείνας ἐφ' ἱκανὸν ὁ Ἰωσὴφ, εἰδε θνήσκοντα τὸν ἱερὸν Γρηγόριον. Ἀναχωρήσας ἐκ τῆς νήσου ταύτης ἐπὶ Θεοφίλου κατέλαβε τὴν Κωνσταντινούπολιν διελθὼν διὰ Θεσσαλονίκης, ὅπου, λείψανον κτησάμενος τοῦ ἁγίου ἀποστόλου Βαρθολομαίου, ἤγειρεν αὐτόθι ναὸν ἐπ' ὀνόματι τοῦ ἀποστόλου τούτου. Ἐξορισθεὶς εἰς Χερσῶνα ὑπὸ Θεοφίλου, ἀνεκλήθη κατόπιν ὑπὸ Θεοδώρας καὶ ἀφίκετο εἰς Κωνσταντινούπολιν, Ἰγνατίου τοῦ πατριάρχου ἄρτι ἀναγορευθέντος (τῷ 846), ὑφ' οὗ καὶ διωρίσθη σκευοφύλαξ τῆς Μ. Ἐκκλησίας, ἀπολαύων καὶ κατόπι παρὰ τῷ πατριάρχῃ Φωτίῳ πολλῆς τιμῆς. Ἐμελέτα τοὺς ἄθλους τῶν ἁγίων ἀποστόλων καὶ μαρτύρων «ἅσματά τε θεῖα τούτοις ἀξίως τῆς οἰκείας σοφίας καὶ γνώμης πλέξας». Ἀπεβίωσεν ἐπὶ Φωτίου[6], βεβαίως κατὰ τὴν δευτέραν ἐφημερίαν αὐτοῦ, διότι γινώσκομεν ὅτι «παρέτεινεν ἡ ζωὴ αὐτοῦ ἕως τῆς βασιλείας Λέοντος τοῦ Σοφοῦ»[7]. Πιθανῶς ἐγεννήθη κατὰ τὰ πρῶτα ἔτη τῆς Θ' ἑκατονταετηρίδος, ἀπέθανε δὲ μικρὸν μετὰ τὸ 886.

§

4. Πλάτωνος ἡγουμένου τοῦ Στουδίου.

Γεννηθεὶς ἐν τῇ Κωνσταντινουπόλει κατὰ τὸ 732, υἱὸς Σεργίου καὶ Εὐφημίας, εὐγενῶν, ἔμεινε γονέων ἔρημος τῷ 746. Ἐσπούδασε καὶ ἐγένετο νοτάριος ἐν τῷ βασιλικῷ ταμείῳ. Σεμνὸς τὸν βίον, ἀπῆλθεν εἰς τὴν ἐν Ὀλύμπῳ μονὴν τῶν Συμβόλων, προτροπῇ τοῦ ὁσίας μνήμης ἀρχιμανδρίτου αὐτῆς Θεοκτίστου, οὗ τῆς ἀρχῆς ἐγένετο διάδοχος· τότε δ' ἀπήλασε τῆς μονῆς ταύτης αὐτὸς πρῶτος τὰ θήλεα ζῶα. Ἠλθεν εἰς τὴν οἰκουμενικὴν Ζ' ἐν Νικαίᾳ Σύνοδον καὶ κατόπιν εἰς Κωνσταντινούπολιν[8], καὶ παραλαβὼν τοὺς ἀνεψιούς, ἐξελέξατο τὴν εἰς αὐτὸν ἀνήκουσαν τοποθεσίαν τοῦ Σακκουδίωνος πρὸς σύστασιν μονῆς[9]. Ἀποκηρύξας τὸν τοῦ Κωνσταντίου ΣΤ' (υἱοῦ τῆς Εἰρήνης) γάμον μετὰ τῆς Θεοδότης, καίπερ οὔσης ἀνεψιᾶς αὐτοῦ, περιωρίσθη ἐν τῇ μονῇ τοῦ ἁγίου Σεργίου, καὶ συγχωρηθεὶς ὕστερον ὑπὸ τῆς Εἰρήνης, μονοκρατορησάσης, ἦλθεν εἰς τὴν τοῦ Σακκουδίωνος[10]. Ἀπεβίωσεν ὀγδοηκοντούτης ἐπὶ Μιχαὴλ κουροπαλάτου τοῦ Ῥαγγαβέ, τῷ 812, μεγαλοπρεπῶς ὑπὸ τοῦ πατριάρχου Νικηφόρου κηδευθείς, καὶ ἐτάφη ἐν τῇ μονῇ τοῦ Στουδίου[11], ὅπου βεβαίως ἐτελεῖτο καὶ ἡ σύναξις αὐτοῦ.

§

6. Εὐτυχίου πατριάρχου Κωνσταντινουπόλεως.

Κατὰ τὸ Βασιλειανὸν λεγόμενον Μηνολόγιον, ἀνετράφη ὑπὸ τοῦ πάππου αὐτοῦ Ἡσυχίου τοῦ πρεσβυτέρου καὶ *θαυματουργοῦ*, μοναχὸς γενόμενος τῆς ἐν Ἀμασείᾳ μονῆς τοῦ ἁγίου Μελετίου καὶ τοποτηρητὴς τοῦ μητροπολίτου Ἀμασείας ἐν τῇ Ε' οἰκουμενικῇ Συνόδῳ, ὅτε ἠνοήθη ὑπὸ Μηνᾶ τοῦ πατριάρχου Κωνσταντινουπόλεως, εἰπόντος «οὗτός ἐστιν ὁ διάδοχός μου». Ἄλλοθεν[12] ὁ πάππος γνωστός ἐστιν ὑπὸ τὸ ὄνομα τοῦ Εὐτυχίου, τοῦ *χάριν λαβόντος παρὰ Θεοῦ δαίμονας ἐκβάλλειν καὶ νόσους θεραπεύειν*. Υἱὸς Ἀλεξάνδρου, σχολαρίου ὑπὸ τὸν στρατηγὸν Βελισάριον, καὶ Συνεσίας, ὁ Εὐτύχιος ἀνατραφεὶς ἐν Αὐγουστοπόλει, καίτοι ἐγεννήθη ἐν Θείᾳ-Κώμῃ τῆς Φρυγίας, τῷ 512, ἐδιδάχθη ὑπὸ τοῦ πάππου Εὐτυχίου τὰ πρῶτα γράμματα, τῷ δὲ 524, δωδεκαέτης, ἐπέμφθη «προφάσει παιδεύσεως τῆς ἔξω παιδείας» ὑπὸ τοῦ πάππου καὶ τῶν γονέων εἰς Κωνσταντινούπολιν, ὅπου ταύτην ἐσπούδασε, διακριθεὶς ἐπὶ μελέτῃ καὶ βίῳ χρηστῷ, καταμένων ἐν τῷ ναῷ τῆς Θεοτόκου ἐν τοῖς Οὐρβικίου, ὅπου καὶ εἰσήχθη ὑπὸ τοῦ τότε μητροπολίτου τῆς Ἀμασείας ἐν τῇ πρωτευούσῃ παρευρισκομένου, καὶ προορίζοντος αὐτὸν εἰς τὴν ἐπισκοπὴν τῆς Λαζιχηνῶν πόλεως· εἶτα χειροτονεῖται διάκονος, καὶ τριακονταετὴς (τῷ 542) πρεσβύτερος· ἑτέρου δὲ χειροτονηθέντος ἐπισκόπου *Λαζίκου* (οὕτω), ἀπῆλθεν εἰς Ἀμάσειαν τὴν πόλιν μονάσων ἐν τῷ ἐν αὐτῇ μοναστηρίῳ, ὅπερ ἱδρυσαν Μελέτιος καὶ Σέλευκος οἱ ἁγιώτατοι μητροπολῖται Ἀμασείας μετὰ καὶ Οὐρανίου τοῦ τῶν Ἰβώρων ἐπισκόπου[13], ὅπου καὶ μοναχὸς ἐκάρη. Τὸ μοναστήριον τοῦτο κατόπιν ἐμεγάλυνε, προσθεὶς καὶ εὐκτηρίους οἴκους καὶ προσόδους ἀφιερώσας πολλάς. Ἐκεῖ ἀνεδείχθη ἡγούμενος τῶν μοναστηρίων· μετὰ δὲ ταῦτα, τῆς Ε' οἰκουμενικῆς Συνόδου συγκροτουμένης, ὁ μητροπολίτης Ἀμασείας, ἀσθενῶν, ἀπέστειλεν ἀποκρισιάριον αὐτοῦ τὸν Εὐτύχιον, ὃν Μηνᾶς ὁ Κωνσταντινουπόλεως ἐκράτησε παρ' ἑαυτῷ, προορίζων αὐτὸν τοῦ θρόνου διάδοχον· ὃν ἀνέδειξε πατριάρχην ὁ Μ. Ἰουστινιανός, συγκαταθέσει καὶ τοῦ κλήρου· καὶ οὕτως ἔλαβε μέρος σὺν τρισὶ πατριάρχαις εἰς τὴν Ε' Σύνοδον κα[ὶ]

---

2. Συναξαριστής. Στουδίτου ἐπιστολαί· Migne, γΘ', 1177-1180 καὶ 1457-1460. Στεφάνου τοῦ νέου βίος, ὑπὸ Στεφάνου διακόνου· Migne, Ρ', 1165.

3. Ἱεροσολ. Βιβλ. τόμ. Β', σ. 129, στ. 13, ὅπου, οὐχὶ παραδόξως, ὁ συμπήκτης αὐτῆς γράφει «Ἀκολουθίαν *περὶ* τοῦ ὁσίου».

4. Acta Patriarch. τόμ. Β', σελ. 301.

5. Συναξαριστὴς ἀπριλίου· ἔκδ. Δουκάκη· ἐν Ἀθήναις, 1892, σελ. 36-51. Μηνολόγιον. Στουδίτου ἐπιστολαί· Migne, γΘ', 1317, 1487-1481.

6. Μηνολόγιον. Νικοδήμου Συναξαριστής, ὅπου γίνονταί τινες ἀναχρονισμοί. Ὑπόμνημα βιογραφικὸν εἰς Ἰωσήφ· Migne, ΡΕ', 932. Βιογραφία Ἰωσὴφ ὑπὸ Ἰωάννου διακόνου καὶ ῥήτορος τῆς Μ. Ἐκκλησίας· Migne, τόμ. ΡΕ', 940-976. Βιογραφίαν ὡσαύτως ἔγραψε πρὸ τοῦ Ἰωάννου Θεοφάνης ὁ πρεσβύτερος, ἐλλιπέστερόν πως.

7. Γεώργιος μοναχός· σελ. 808, καθ' ὃν ἐξώρισε τὸν Ἰωσὴφ ἡ αὐγούστα Θεοδώρα.

8. Θεοδ. Στουδίτου Ἐπιτάφιος εἰς Πλάτωνα· Migne, γΘ', 804-849.

9. Βιογρ. Θεοδ. Στουδίτου· Migne, γΘ', 241.

10. Βιογρ. Στουδίτου (ἑτέρα)· Migne, γΘ', 253, 257.

11. Βιογρ. Στουδίτου, ὑπὸ Μιχαὴλ μοναχοῦ· Migne, γΘ', 165 καὶ 232. Πρβλ. Δουκαγγίου σημειώσεις εἰς Ζωναρᾶν (ἐκδόσ. Δινδορφίου, τόμ. ΣΤ', σελ. 108).

12. τὰ ἐντεῦθεν ἀρύομαι ἐκ τῆς ὑπὸ Εὐστρατίου τοῦ πρεσβυτέρου γραφείσης ἐκτενεστάτης βιογραφίας τοῦ Εὐτυχίου. Migne, ΠΣΤ', 2274-2389.

13. Ἴδε τὰ προλεγόμενα τοῦ μετὰ χεῖρας Ἑορτολογίου. Σέλευκος δὲ ὁ μητροπολίτης Ἀμασείας ἐστὶ βεβαίως ὁ ἐν τῇ Δ' οἰκουμενικῇ Συνόδῳ καὶ ταῖς πρὸ ταύτης παρακαθίσας. Πρακτικὰ Συνόδων ὑπὸ Labbei, τόμ. Δ', στ. 1021, 1028, 1032, 1172, 1309, 1364, 1480 καὶ 1752. Προγενέστερος αὐτοῦ πιθανῶς ἦν ὁ Ἀμασείας Μελέτιος.

συνελειτούργησε Βιγιλίῳ τῷ Ῥώμης, Ἀπολιναρίῳ τῆς Ἀλεξανδρείας, καὶ Δομνίνῳ τῆς Ἀντιοχείας. Εἰς καινοτομίας τινὰς δογματικὰς τῷ Ἰουστινιανῷ μὴ συμφρονήσας, ἐπαύθη ὑπ' αὐτοῦ τῇ 22 ἰανουαρίου 565, ὅτε ἀπήχθη εἰς τὸ περὶ τὴν Κωνσταντινούπολιν μοναστήριον Χωρακοῦδιν, καὶ τῇ 23 «διὰ τὸ ἐν πολλῇ πτωχείᾳ ὑπάρχειν τὸ αὐτὸ μοναστήριον» μετηνέχθη εἰς τὴν ἐν Χαλκηδόνι μονὴν *τῆς ὁσίας*, καὶ τῇ 31 ἰανουαρίου ἐκλήθη εἰς σύνοδον πρὸς ἀπολογίαν ἐπὶ γελοίοις κατηγοριῶν ὅτι «συκοτόκοιλα ὀρνιθίων ἔφαγε, καὶ ὅτι πολλὰς ὥρας γονυκλισίας ποιῶν ηὔχετο» καὶ τινων ὁμοίων. Φαίνεται δ' ὅτι καθαιρεθεὶς τῇ 1 φεβρουαρίου 565, καίπερ ἐπιτιμίοις καὶ αὐτὸς τοὺς καθαιρέσαντας ὑποβαλών, μετηνέχθη εἰς Πρίγκηπον ἐν νυκτὶ βαθείᾳ καὶ χειμῶνος ὥρᾳ, διαμείνας κ' ἐκεῖ περιωρισμένος μέχρι τῆς 23 φεβρουαρίου, ὅτε ἀπεστάλη εἰς Ἀμάσειαν ὅπως οἰκήσῃ ἐν τῷ αὐτῷ μοναστηρίῳ, ἐν ᾧ καὶ νεανίας ὢν ἐμόναζεν· αὐτόσε δὲ πολλῶν ἐγένετο θαυμάτων ὑπηρέτης, ὡς καὶ ἐν τῇ πολίχνῃ Ζήλᾳ («γειτνιάζει δὲ τῇ μητροπόλει Ἀμασείας») καὶ ἐν τῇ γυναικείᾳ μονῇ τῶν Φλαβίας, οὔσῃ ἐν αὐτῇ τῇ πόλει τῆς Ἀμασείας, ἥτις εἶχε τότε καὶ ἕτερον μοναστήριον, τὸ τοῦ ἁγίου Ἰωάννου εἰς Ἀκρόπολιν· ὁ Εὐτύχιος διέμεινεν ἐν τῇ μονῇ τῶν Τριῶν Ἁγίων δωδεκαετίαν καὶ πλέον. Τῇ 31 αὐγούστου 577, θανόντος τοῦ Ἰωάννου Κωνσταντινουπόλεως, αἰτήσει τοῦ λαοῦ παντὸς, Ἰουστῖνος ὁ Β' ἀνεκάλεσεν αὐτὸν[14], πέμψας εἰς Ἀμάσειαν ἀνθρώπους, οἵτινες ἀφίκοντο πιθανῶς τῇ 11 σεπτεμβρίου εἰς τὴν πόλιν ταύτην· τῇ δὲ 12, κυριακῇ, λειτουργήσας, καὶ τῇ 14 εὐλογήσας τὸν ἐκεῖ λαόν, ἀνεχώρησεν εἰς Κωνσταντινούπολιν, ἐφεπόμενον καὶ συνοδὸν ἔχων τὸν τότε μητροπολίτην Ἀμασείας· διῆλθε πολλὰς, ὡς ἔοικε πόλεις, θαυμάτων ὄργανον γενόμενος, ὡς εἰς Εὐχάϊτα, καὶ μεγαλοπρεποῦς καὶ δημοτελοῦς τυγχάνων ὑποδοχῆς ἄχρι Νικομηδείας, ὅπου καὶ οἱ ἑβραῖοι κάτοικοι αὐτῆς ἠξίωσαν τὸν μακάριον τιμῆς· μείζονος δ' ἔτυχεν ὑποδοχῆς εἰς Κωνσταντινούπολιν, ὅπου ἀφικόμενος ἦλθεν εἰς τὰ Ὁρμίσδα τῇ 22 ἰανουαρίου 578, ἐν δὲ τῷ ναῷ τοῦ ἁγίου Τιμοθέου διανυκτερεύσας ἦλθε τῇ 23, ἔωθεν, εἰς τὸν μέγαν τῶν Βλαχερνῶν ναὸν, ἐν ᾧ διῆγον Ἰουστῖνος ὁ Β' καὶ Τιβέριος· καὶ τῇ 13, κυριακῇ, τῇ αὐτῇ δῆλον οὖν ἡμέρᾳ, εὐχαριστήσας τοῖς βασιλεῦσιν, ἀπῆλθεν εἰς τὸν ναὸν τῆς τοῦ Θεοῦ Σοφίας καὶ ἐτέλεσε τὴν λειτουργίαν. Ἐκόσμησεν εἰσέτι τὸν θρόνον ἔτη τέσσαρα καὶ μῆνας ἕξ, ζήσας μὲν ἔτη ἑβδομήκοντα, ἀποθανὼν δὲ τῇ 6 ἀπριλίου 582. Ἐτάφη ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων, παρὰ τὰ λείψανα τῶν ἁγίων ἀποστόλων Ἀνδρέου, Λουκᾶ καὶ Τιμοθέου.

14. ἀλλ' ἡ τὸ δεύτερον ἐκλογὴ ἐγένετο « ἐν ἡμέρᾳ κυριακῇ καὶ μηνὶ ὀκτωβρίου τρίτῃ ». Εὐστρατίου πρεσβυτέρου κτλ. Migne, ΠΣΤ', 2361.

§

7. Γεωργίου ἐπισκόπου Μιτυλήνης,

ἢ, καθ' ἑτέραν γραφὴν, Μελιτηνῆς[15]. Υἱὸς εὐγενῶν καὶ πλουσίων γονέων, ἐλεήμων εἰς ἄκρον, ἦν Μιτυλήνης ἐπίσκοπος καθ' ὃν καιρὸν ἀνέθρωσκεν ἡ τῶν εἰκονομάχων αἵρεσις, καθ' ἧς ἠγωνίσατο, πεπαιδευμένος ὤν. Ἐκοιμήθη ἐν εἰρήνῃ[16].

§

11. Ἀντίπα ἱερομάρτυρος ἐπισκόπου Περγάμου. Ἡ σύναξις ἐν τῷ πανσέπτῳ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Ἰωάννου τοῦ Θεολόγου, πλησίον τῆς μεγάλης ἐκκλησίας.

Ἤκμασεν ἐν τῷ Α' αἰῶνι, ἀθλήσας ἐπὶ Δομετιανοῦ.

Ναὸς ἐπ' ὀνόματι τοῦ ἁγίου Ἀντίπα ὑπῆρχεν ἐν Κωνσταντινουπόλει, σῳζόμενος, ὡς εἴδομεν ἐν τῇ βιογραφίᾳ Ἰωσὴφ τοῦ Ὑμνογράφου, κατὰ τὸν Θ' αἰῶνα. Τῷ 878 ἔπαθεν ὑπὸ σεισμοῦ[17], ὡς μέλλομεν ἰδεῖν ἐν βίῳ Στεφάνου τοῦ νεολαμπουδ[18]· νομίζω δὲ ὅτι τοῦτο λέγεται περὶ ἑτέρου ναοῦ τοῦ ἁγίου Ἀντίπα, κειμένου μεταξὺ τῶν χωρίων Ἁγίου Στεφάνου καὶ Ῥηγίου (Κιουτσοὺκ-Τσεκμετζέ)[19]· ὥστε ὁ ναὸς, ἐν ᾧ ἔμενεν Ἰωσὴφ ὁ Ὑμνογράφος, ἠγείρετο ἐντὸς τῆς πόλεως. Ἐπειδὴ δ' ἡ κατὰ τὴν ἑορτὴν γινομένη σύναξις ἐτελεῖτο ἐν τῷ ἀποστολείῳ τοῦ Θεολόγου, συμπεραίνω ὅτι, καθ' ὃν καιρὸν κατηρτίζετο ὑπὸ Μαυρικίου ὁ τῶν συνάξεων κατάλογος, οὐχ ὑπῆρχεν ὁ ναὸς τοῦ ἁγίου Ἀντίπα.

15. Ἱεροσλμ. Βιβλιοθ. Β', σελ. 296.
16. Μηνολόγιων· καὶ Μηναῖον ἀπριλίου.
17. « δωδεκάτῳ ἔτει τοῦ Βασιλείου ».
18. Ἴδε εἰς τὴν 9 δεκεμβρίου.
19. M. I. Γεδεών, « Δέρκος »· σελ. 24.

§

(12). Σεργίου πατριάρχου τοῦ ἀπὸ τῆς μονῆς τοῦ Μανουήλ.

Ἡ μνήμη παρὰ τῷ 426 Εὐαγγελίῳ. Ὁ πατριάρχης Σέργιος ἦν ἀνεψιὸς τοῦ πατριάρχου Φωτίου καὶ ἡγούμενος τῆς ὑπ' αὐτοῦ τοῦ Φωτίου κτισθείσης μονῆς τοῦ Μανουήλ, ὡς ἦν καὶ προστάτης τῆς ὑπὸ Ῥωμανοῦ Α' κτισθείσης μονῆς τοῦ ἁγίου Παντελεήμονος ἐν τόπῳ, «ᾧ ἐπώνυμον Ὀφροὺ-λιμήν». Ἀνὴρ εἰς ἄκρον ἀρετῆς ἐλάσας καὶ πεπαιδευμένος, ἀπήλαυε τοῦ σεβασμοῦ τοῦ Ῥωμανοῦ Α', πολλὰ παρακαλοῦντος αὐτὸν 'ν' ἀποδέξηται τὸν πατριαρχικὸν θρόνον μετὰ τὸν θάνατον τοῦ Θεοφυλάκτου (27 φεβρουαρίου 956)· ἀλλ' οὗτος τότε συνέστησε τῷ Ῥωμανῷ τὸν Πολύευκτον, ὕστερον δ' ἐδέξατο τὸν θρόνον, γέρων ἤδη, τῷ 998[20]. Ἀπέθανε τὸν ἰούλιον τοῦ 1019.

Ἡ μονὴ τοῦ Μανουὴλ ὠνομάσθη οὕτως ἀπὸ Μανουὴλ τοῦ πρωτομαγίστρου, θείου τῆς αὐτοκρατείρας Θεοδώρας ἐκ πατρός· τοῦτον ὁ Θεόφιλος ἐγκατέστησε τῷ 842 σὺν τῷ πατρικίῳ Θεοκτίστῳ κηδεμόνα τοῦ υἱοῦ αὐτοῦ Μιχαήλ· ὅτε δ' ὁ Θεόκτιστος ἀμφέβαλλεν ἔτι εἴπερ ἔδει 'ν' ἀναστηλωθῶσιν αἱ σεπταὶ Εἰκόνες, ὁ Μανουὴλ «οὐκ ἦν τῇ τῆς αἱρέσεως καθαιρέσει συγκάταινος», ἀλλὰ, κατὰ τὴν παράδοσιν, νόσῳ κατεργασθεὶς ὑπέσχετο τοῦτο τοῖς ἐπὶ τούτῳ προσελθοῦσι μοναχοῖς, καὶ ἐπέμενε πρὸς ἀναστήλωσιν. Ἐπειδὴ δὲ, κατὰ τὴν ἐπὶ τοῦ Μιχαὴλ ἐπιτροπείαν, ὁ Θεόκτιστος οὐκ ἠνείχετο τὸν Μανουὴλ ὡς ἐπίτροπον, ἀποσυρθεὶς οὗτος ἀπὸ τῆς διοικήσεως τῶν κοινῶν, ἐμόνασεν ἐν τῷ ἰδίῳ οἴκῳ «τοῖς κατὰ τὴν κινστέρναν χώροις τοῦ Ἄσπαρος.... ἀποκαταστήσας τὸν ἑαυτοῦ οἶκον μοναχῶν καταγώγιον, ἐν ᾧ καὶ κεκήδευτο»[21]. Τὴν μονὴν τοῦ Μανουὴλ ὁ Φώτιος ἤγειρε, κατὰ τὴν πρώτην πάντως ἐφημερίαν αὐτοῦ, «σχεδὸν ἐκ κρηπίδων», μεγεθύνας καὶ καλλωπίσας αὐτὴν[22], ἀνεκαίνισε δὲ πρὸ τῶν μέσων τῆς Ι' ἑκατονταετηρίδος Ῥωμανὸς Α' ὁ Λακαπηνός[23]. Κατὰ δὲ τὴν ἑπομένην ΙΑ' καὶ μικρὸν μετὰ τὰ μέσα αὐτῆς, ἔμενε διαρκῶς ἐν τῇ μονῇ τοῦ Μανουὴλ ὁ τὴν αὐτοκρατορικὴν ἀλουργίδα πρὸς τὴν κληρικὴν ἀνταλλάξας περιβολὴν καὶ μητροπολίτης Ἐφέσου γενόμενος Μιχαὴλ ὁ Παραπινάκης, ἅπαξ μόνον ἐπισκεψάμενος τὴν ἐπαρχίαν αὐτοῦ ταύτην[24]. Ἐπὶ τῆς Δ' οἰκουμενικῆς Συνόδου ἀναφέρεται μονή τις τοῦ Μανουηλίου συγχρόνου τινὸς, ὡς ἔοικεν, ἀρχιμανδρίτου[25].

20. Πατριαρχ. Πίνακες· σ. 315-317. Theoph. Contin. σ. 433 καὶ 435. Κεδρ. Β', σ. 320. Γεώργιος Ἁμαρτωλός· Migne, PI', 1213.
21. Γενέσιος· σελ. 78-80 καὶ 86. Theoph. Contin. σελ. 158, 168. Γεώργιος μοναχός· σελ. 803. Ζωναρᾶς· ΙΣΤ', 1 (Δινδόρφ. τόμ. Δ', σελ. 1).
22. Βαλσαμῶνος Ἑρμηνεία εἰς τὸν Ζ' κανόνα τῆς πρωτοδευτέρας Συνόδου.
23. Theoph. Contin. σελ. 433.
24. Σκυλίτζης· Βόννης, σελ. 739. Ἁμαρτωλός· παρὰ Migne, PI', 1253.
25. Labbei, τόμ. Δ', στ. 817, 981.

* * *

12. Βασιλείου ἐπισκόπου Παρίου τοῦ ὁμολογητοῦ.

Ἐπὶ τῶν εἰκονομάχων ἦν ἐπίσκοπος Παρίου, κατὰ τὸ λεγόμενον Βασιλειανὸν Μηνολόγιον, τάττον τὴν μνήμην αὐτοῦ τῇ 13 ἀπριλίου. Κατεδιώχθη ὑπ' αὐτῶν καθὸ μὴ θελήσας « ὑπογράψαι εἰς τὸν ἄδικον τόμον »· ὥστε φαίνεται τοιουτοτρόπως ἐπὶ Κωνσταντίνου τοῦ Κοπρωνύμου ζῶν. Ἐν τούτοις ἀναφέρεται κατὰ τοὺς χρόνους τοῦ Τραυλοῦ καὶ τοῦ Θεοφίλου μένων ἔν τινι νήσῳ μικρᾷ, τῶν πρὸ τῆς Κωνσταντινουπόλεως (Ὑάτρῳ, Πλάτῃ ἢ Τερεβίνθῳ). Αὐτὸς ἐχειροτόνησε διάκονον καὶ πρεσβύτερον τὸν μοναχὸν Ἰγνάτιον τὸν κατόπι πατριάρχην[26]. Ἐκοιμήθη ἐν εἰρήνῃ.

* * *

12. Ἀνθούσης τῆς ὁσίας.

Θυγάτηρ Κωνσταντίνου τοῦ Κοπρωνύμου, προσκειμένη τῇ προσκυνήσει τῶν ἁγίων Εἰκόνων, ἐλεήμων ἐγένετο καὶ διέπρεψεν ἐπὶ ἀγαθοεργίαις. Τὸν μοναχικὸν ἀσπασαμένη βίον, ἐκάρη μοναχὴ ὑπὸ τοῦ πατριάρχου Ταρασίου ἐν τῇ μονῇ τῆς Ὁμονοίας. Ἀπεβίωσεν ἐν ἡλικίᾳ πεντήκοντα δύο ἐτῶν[27].

Ὁ ναὸς τῆς Ὁμονοίας ἀναφέρεται τὸ πρῶτον ἐν τῷ γενομένῳ ἐπὶ Λέοντος τοῦ Θρακὸς ἐμπρησμῷ ἐν Κωνσταντινουπόλει τῷ 476: «μέχρις οἰκιῶν οὐ πολὺ κειμένων τοῦ εὐκτηρίου τῆς ἐπίκλην Ὁμονοίας ἐκκλησίας»[28]· ὅτι δ' ὁ τόπος ἐκαλεῖτο Ὁμόνοια, μανθάνομεν

26. Ἰγνατίου βίος ὑπὸ Νικήτα Δαυΐδ· Migne, PE', 497.
27. Μηναῖον εἰς τὴν 16' ἀπριλίου.
28. Εὐάγρ. Ἐκκλ. Ἱστορ. Β', ιγ'.

ἀπὸ τῶν ἀποσπασμάτων Θεοδώρου τοῦ Ἀναγνώστου, ὅστις γράφει περὶ τοῦ εὐαγοῦς εὐκτηρίου, «ἔνθα πεπίστευται ἀναπαύεσθαι μέρος ἱερῶν λειψάνων, τῶν θεσπεσίων Παντελέοντος καὶ Μαρίνου, ἐπικαλουμένου τοῦ τόπου Ὁμόνοια, ἐκ τοῦ, ἐκεῖ συνελθόντας τοὺς ἑκατὸν πεντήκοντα ἐπισκόπους, ἐπὶ Θεοδοσίου τοῦ μεγάλου βασιλέως, κοινήν τινα καὶ συμπεφωνημένην διδασκαλίαν τοῦ τε ὁμοουσίου τῆς ἁγίας Τριάδος ποιήσασθαι, καὶ τῆς ἐνανθρωπήσεως δὲ τοῦ Κυρίου τρανῶσαι τὴν ἐκ παρθένου πρόσληψιν, ταύτην τὴν ἐπωνυμίαν τεκτήνασθαι»[29]· ἐξ οὗ εἰκάζει τις ὅτι ὑπῆρχε τῷ 381, ἀλλὰ βεβαίως ἦν διάφορος τῆς Ἁγίας Εἰρήνης. Ὁ παρὰ Mordtmann[30] ὁρισμὸς παρέλκει λίαν, διότι πρόκειται οὐχὶ περὶ λειψάνων ἢ ναοῦ ἁγίου Παντελεήμονος, ἀλλὰ περὶ τῶν τοῦ ἁγίου Παντολέοντος, οὗ τὸ εὐκτήριον ἔκειτο ἐν τῷ Δευτέρῳ. Καὶ τότε λοιπὸν ἐκεῖ δέον 'να ζητήσωμεν τὸν ναὸν ἢ τὴν μονὴν ταυτην τῆς Ὁμονοίας, ἤτοι κατὰ τὰ περὶ τὸ σήμερον Τὸπ-καπὶ μέχρι τῆς πύλης Μυριάνδρου (Ἐδιρνὲ-καπί) μέρη[31].

* * *

12. Τῇ αὐτῇ ἡμέρᾳ, ἐν ἔτει ἑξακισχιλιοστῷ τετρακοσιοστῷ πεντηκοστῷ, ἀνεκομίσθη ἡ τιμία Ζώνη τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου ἀπὸ τῆς ἐπισκοπῆς Ζήλας ἐπὶ τὴν βασιλίδα τῶν πόλεων, ἐπὶ Κωνσταντίνου καὶ Ῥωμανοῦ τῶν πορφυρογεννήτων· μετὰ δὲ ταῦτα, ὕστερον μετετέθη ἐν τῇ ἁγίᾳ σορῷ τῶν Χαλκοπρατείων, κατὰ τὴν τριακοστὴν πρώτην τοῦ αὐγούστου μηνός.

Ἡ ὑπόθεσις ἀναφέρεται εἰς τὸ 942, τὰς δὲ λέξεις ταύτας ἀναγινώσκομεν ἐν τῷ Μηναίῳ.

Χειρόγραφον Μηναῖον τοῦ ΙΣ' αἰῶνος[32] φέρει τὸ ἑξῆς δίστιχον κατὰ τὴν ἡμέραν ταύτην:

> Ζώνην τιμίαν τῇ βασιλίδι δίδως
> βασίλισσα πάντιμε Θεογεννῆτορ[33].

29. τὸ ἀπόσπασμα παρὰ τῷ Δαμασκηνῷ· Θεοδωρήτου, Εὐαγρίου, Φιλοστοργίου καὶ Θεοδώρου Ἐκκλης. Ἱστορίαι· ἔκδοσις Reading, Κανταβριγία, 1720, σ. 590.

30. Esquisse topogr. § 105.

31. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Α', σελ. 341-343. Mordtmann, Esquisse, § 114.

32. τὸ χειρόγραφον, εὑρεθὲν ἐν Ἀφθόνῃ τῆς Προκονήσου καὶ δωρηθέν μοι ὑπὸ τῶν φίλων Β. καὶ Γ. Φραγκοπούλων, ἐδωρησάμην εἰς τὴν βιβλιοθήκην τοῦ Ἑλλ. Φιλ. Συλλόγου.

33. κατὰ τὸ αὐτὸ χειρόγραφον καὶ τὸ εἰς τὸν Μακάριον ἡγούμενον Πελεκητῆς δίστιχόν ἐστι διάφορον τοῦ παρὰ τῷ Συναξαριστῇ τοῦ Νικοδήμου, ἔχον οὕτω·

> Τὸν μέγαν Μακάριον ἐνταῦθα γράφω
> μονῆς ἀρχηγὸν Πελεκητῆς φανέντα.

Προστεθείσθω δ' ὅτι καὶ τὸ ἐπὶ Κυριακῷ πατριάρχῃ Κωνσταντινουπόλεως τῇ 30 μαρτίου φερόμενον ἐν τῷ Λαυριωτικῷ Συναξαριστῇ Δ39 δίστιχόν ἐστι τοῦτο·

> Σοῦ Κυριακὸς ποιμνίου ποιμὴν μέγας
> ποιμαίνεται νῦν μυστικῇ, Σῶτερ, χλόῃ.

Ἐπίσης εἰς τὸν ὁμολογητὴν Κοσμᾶν Χαλκηδόνος ἐσφαλμένως φέρεται παρὰ Νικοδήμῳ (18 ἀπριλίου) ὁ στίχος «Ϛραύσας Βέλη σὰ» ἀντὶ τοῦ παρὰ τῷ προκονησιακῷ Μηναίῳ «Ϛραύσας Μέλη σά»· ἐν τῷ χειρογράφῳ τούτῳ τῇ 21 ἀπριλίου φέρεται δίστιχον ἐπὶ Μαξιμιανῷ πατριάρχῃ Κωνσταντινουπόλεως τοῦτο·

> Χρισθεὶς ἐλαίῳ πνεύματος πρὸ τοῦ τέλους
> ἅληπτος ὤρθης πνεύμασι πλάνης πάτερ.

34. κατὰ Mordtmann· Esquisse, § 62.

35. ταῦτα κατὰ τὸ Βασιλειανόν, ὅπερ εἰς τὴν 17 ἀπριλίου τάττει καὶ τὴν μνήμην Ἀνθούσης τῆς Συγατρὸς τοῦ Κοπρωνύμου γράφων ἐσφαλμένως ὅτι ἀπεβίωσεν ἐν τῇ μονῇ τῆς Εὐμενείας.

Βυζάντιος τὴν πατρίδα, μοναχὸς ἐκ παίδων γενόμενος, ἐχειροτονήθη μητροπολίτης Χαλκηδόνος ἐπὶ εἰκονομάχων, καθ' ὧν ἠγωνίσατο μετὰ τοῦ ὁμόφρονος ὁσίου Αὐξεντίου, σὺν ᾧ καὶ κατεδιώχθη· ἐκοιμήθη ἐν εἰρήνῃ[36]. Ἐτάφη ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων[37], ἐν ᾧ βεβαίως ἐτελεῖτο καὶ ἡ σύναξις αὐτοῦ.

* * *

18. Ναυκρατίου τοῦ Στουδίτου.

Μοναχὸς ἐπιφανὴς τῆς διασήμου μονῆς ταύτης, ἔνθερμος ὑπερασπιστὴς τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων, ἐξωρίσθη ὑπὸ Λέοντος Ε', ὡς φαίνεται, εἰμὴ ὑπὸ τοῦ Μιχαὴλ Τραυλοῦ· τοῦ Θεοφίλου δ' ἀποθανόντος, ἐπανῆλθεν εἰς τὴν αὐτοῦ μονὴν, παραλελυμένην οὖσαν, ἣν ὁ ἀνώνυμος βιογράφος τοῦ Νικολάου Στουδίτου *πείμενιον νεοθαλὲς* λέγει· «ἦν περ ὁ μέγας Θεόδωρος πόνοις πολλοῖς πρώην ἐκθρέψας ἐπλήθυνε, καὶ τὸν χιλιοστὸν ἀριθμὸν ἐξισωθῆναι μικροῦ δεῖν τὴν πληθὺν κατεσκεύασε». Τῷ 842 ἐξελέγη ὑπὸ τῶν αὖθις συναθροισθέντων μοναχῶν ἡγούμενος, καὶ, μετὰ τὴν ἐκλογὴν Ἰγνατίου τοῦ πατριάρχου, τῇ 18 ἀπριλίου, πάντως τοῦ 847, ἀπεβίωσε. Μετὰ θάνατον αὐτοῦ ἐξελέγη Νικόλαος ὁ Στουδίτης, οὗ ἀποσυρθέντος οἱ μοναχοὶ ἐξελέξαντο Σωφρόνιον, ἀποθανόντα τῇ 3 νοεμβρίου 851[38]. Ἐτάφη ὁ ὁμολογητὴς Ναυκράτιος ἐν τῇ τοῦ Στουδίου μονῇ, ὅπου βεβαίως ἐτελεῖτο καὶ ἡ σύναξις αὐτοῦ.

19. Γεωργίου ἐπισκόπου Πισσιδείας τοῦ ὁμολογητοῦ·
παρὰ τῷ Βασιλειανῷ τῇ 18 τοῦ μηνός.

Ὑπέρμαχος τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων, κληθεὶς ὑπό τινος τῶν εἰκονομάχων αὐτοκρατόρων, ἦλθεν εἰς Κωνσταντινούπολιν, «εἰδὼς ὑποτάσσεσθαι κατὰ τὴν τοῦ ἁγίου Παύλου ἐντολήν .... μὴ πεισθεὶς δὲ συνθέσθαι τῇ αὐτῶν ἀσεβείᾳ» (ἄρα κατὰ τὴν ἐπὶ Κοπρωνύμου ψευδοσύνοδον) ὑπερόριος ἐστάλη, ἄγνωστον ποῦ. Ἐκοιμήθη δ' ἐν εἰρήνῃ[39].

* * *

19. Τρύφωνος πατριάρχου Κωνσταντινουπόλεως. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Μοναχὸς μονῆς τινος τοῦ θέματος Ὀψικίου, εὐλαβὴς καὶ ἐνάρετος, ἐξελέγη πατριάρχης τῇ 14 δεκεμβρίου 928, καὶ παρητήσατο τὸν θρόνον κατ' αὔγουστον τοῦ 931[40].

20. Θεοδώρου ὁσίου τοῦ τριχινᾶ.

Βυζάντιος τὴν πατρίδα, πλουσίων γονέων υἱός, ἐγένετο, νέος ἔτι τὴν ἡλικίαν, μοναχὸς ἐν τῇ μονῇ τῇ δι' αὐτὸν καλουμένῃ Τριχινᾶ, σκληραγωγῶν ἑαυτὸν καὶ φέρων «ἱμάτιον τρίχινον καὶ ἄδρόν· διὰ τοῦτο γὰρ καὶ τριχινᾶς ἐπωνομάσθη . . . παρέχει ἰάματα πᾶσι τοῖς προσερχομένοις αὐτῷ»[41]. Ἄγνωστος ὁ χρόνος τῆς ἀκμῆς. Πολὺ πιθανῶς τὰ τρίχινα ταῦτα φορέματα ἔχουσί τινα σχέσιν πρὸς τὸ τάγμα τῶν τριχιναρεῶν καλογραιῶν, περὶ ὧν γίνεται λόγος ἐν ταῖς βιογραφίαις τοῦ σύρου Αὐξεντίου τοῦ ἐν τῷ βουνῷ.

21. Μαξιμιανοῦ πατριάρχου Κωνσταντινουπόλεως.

Ἱεράτευσεν ἀπὸ τῆς 25 ὀκτωβρίου 431 μέχρι 12 ἀπριλίου 434, ὅτε ἀπεβίωσε[42].

Γεννηθεὶς ἐν Ῥώμῃ, λέγεται κατὰ τὴν παράδοσιν εὐφυὴς καὶ πολυμαθὴς ἀνήρ, χειροτονηθεὶς ἐν Κωνσταντινουπόλει πρεσβύτερος ὑπὸ τοῦ πατριάρχου Σισινίου, πολλὰς ἀρετὰς ἐπιδειξάμενος ἐπ' αὐτοῦ τε καὶ τοῦ πρὸ αὐτοῦ Νεστορίου· «ψήφῳ τοῦ βασιλέως, καὶ τοῦ κλήρου, καὶ τοῦ λαοῦ παντὸς, προεχειρίσθη πατριάρχης Κωνσταντινουπόλεως»[43].

36. Μηνολόγιον. Πάντως δ' ὁ Αὐξέντιος οὗτός ἐστιν ὁ μοναχὸς, εἰς ὃν ἀπευθύνεται ἡ ρπδ' ἐπιστολὴ τοῦ Β' βιβλίου τῶν ἐπιστολῶν τοῦ Στουδίτου, ὃς ἐπιγράφει τοῦτον *ἡγούμενον* καὶ *ἡγιασμένον πατέρα*· Migne, γθ', στ. 1565 καὶ 1568.

37. ἡ περὶ τῆς ταφῆς ἐν τοῖς Ἁγίοις Ἀποστόλοις εἴδησις παρὰ τοῖς Μηναίοις.

38. βιογραφ. Νικολάου Στουδίτου· Migne, ΡΕ', 901, 904, 905.

39. Μηνολόγιον τὸ λεγόμενον Βασιλειανόν· τάττον εἰς τὴν 18 ἀπριλίου· κατ' αὐτὸ δ' ὁ Γεώργιος ἦν ἐπίσκοπος Ἀντιοχείας τῆς Πισσιδείας.

40. Πατριαρχ. Πίνακες· σ. 300-303. Theoph. Contin. σελ. 417. Συμεὼν μάγιστρος· σελ. 742. Λέων γραμματικός· σελ. 318. Κεδρηνός· Β', σελ. 311.

41. Μηνολόγιον Βασιλειανόν.

42. Πατρ. Πίνακες· σελ. 179-181. Σωκράτης· Ἐκκλ. Ἱστορ. Ζ', λε', λζ', μ'. Κάλλιστος· Ἐκκλ. Ἱστ. ΙΔ', λζ'.

43. ταῦτα κατὰ τὸ Βασιλειανὸν καὶ τὸ Μηναῖον ἀπριλίου.

Τὸ ὄνομα αὐτοῦ γράφεται καὶ Μάξιμος[44]. Ὁ λαυριωτικὸς Συναξαριστὴς Δ39 τάττει τὴν μνήμην αὐτοῦ τῇ 19 ἀπριλίου.

ℰ

22. Θεοδώρου τοῦ Συκεώτου ἐπισκόπου Ἀναστασιοπόλεως. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Γεωργίου τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

Ἐγεννήθη ἐν τῷ χωρίῳ τῶν Συκέων τῆς Ἀναστασιοπόλεως, πρώτης πόλεως τῆς Ἀγκυρανῶν ἐπαρχίας, υἱὸς πόρνης τινὸς Μαρίας καὶ Κοσμᾶ ἀποκρισιαρίου τοῦ βασιλέως Ἰουστινιανοῦ· ὀκταετὴς εἰς σχολεῖον παραδοθεὶς προέκοπτεν ἐν τῇ διδασκαλίᾳ, καὶ δεκαέτης ἔδειξε κλίσιν εἰς τὸν μοναχικὸν βίον, ὃν ἠσπάσατο δεκατετραέτης, ἐπευλογοῦντος τοῦ τῆς Ἀναστασιοπόλεως ἐπισκόπου Θεοδοσίου, ὅστις τὴν ἐφηβικὴν ἡλικίαν παραμείψαντα ἐχειροτόνησε διάκονον καὶ πρεσβύτερον, ἤτοι δεκαοκταέτη. Εὐθὺς δ' ἐπισκεψάμενος ἐπὶ προσκυνήσει τὴν Ἱερουσαλὴμ καὶ τὸ σχῆμα τῶν μοναχῶν λαβὼν ἐν τῇ μονῇ τῆς Θεοτόκου τοῦ Χουζιβᾶ, ἐπέστρεψεν εἰς τὴν πατρίδα, μονάσας ἐναρέτως· ἀλλὰ μετά τινα ἔτη τὸ δεύτερον ἐπεσκέψατο τοὺς ἁγίους τόπους, μεθ' ὃ ἐπέστρεψεν εἰς τὴν μονὴν αὐτοῦ. Ἐν αὐτῇ δὲ προσῆλθεν αὐτῷ Μαυρίκιος ὁ στρατηλάτης σὺν τῷ ἀδελφῷ Πέτρῳ, οὗτος δὲ μετ' ὀλίγον αὐτοκράτωρ ἀναδειχθεὶς ἀπέλυσε χρυσόβουλλον ὑπὲρ τῆς τοῦ Συκεώτου μονῆς, καθορίζων ἐτησίαν χορηγίαν διακοσίων μοδίων σίτου. Μετὰ μικρὸν, ἴσως 584-85, Τιμοθέου τοῦ τῆς Ἀναστασιοπόλεως ἐπισκόπου τελευτήσαντος, ὁ τῆς Ἀγκύρας Παῦλος, αἰτήσει τῶν ἀναστασιοπολιτῶν, ἐχειροτόνησεν αὐτὸν ἐπίσκοπον, ἐγκαθιδρύσας εἰς τὴν ἐπισκοπὴν διὰ τοῦ τῆς πόλεως Κίννας ἐπισκόπου· μεθ' ὃ ἐποιήσατο αὐτὸς τὰ ἐγκαίνια τῆς ὑπ' αὐτοῦ κτισθείσης οὐ μακρὰν τῆς Ἀναστασιοπόλεως μονῆς τοῦ ἁγίου Γεωργίου. Μεθ' ὃ καὶ τρίτην ἐξετέλεσεν ἱερὰν πορείαν εἰς Ἱεροσόλυμα, θέλων ἵνα μονάσῃ παρὰ τὴν λαύραν τοῦ ἁγίου Σάββα, ἀλλὰ μαθὼν τὴν ὀλιγοψυχίαν τῶν τῆς μονῆς αὐτοῦ μοναχῶν ἐπανέζευξεν εἰς τὰ ἴδια· ἐπεσκέψατο πρὸς εὐλογίαν τὰς ἐν Γαλατίᾳ μονὰς τῶν Δρυΐνων, τοῦ ἁγίου Στεφάνου, τῆς Οὐετάπης, τὰς ἐκκλησίας: Κίννας, προσκλήσει τοῦ ἐπισκόπου αὐτῆς Ἀμιάντου, Γερμίων, αἰτήσει τοῦ ἐπισκόπου αὐτῶν Αἰμιλιανοῦ, καὶ τὴν Ἄγκυραν, παρακαλῶν Παῦλον τὸν μητροπολίτην ὅπως ἀποδέξηται τὴν ἀπὸ τῆς ἐπισκοπῆς παραίτησιν, ἣν οὐδαμῶς ἐκεῖνος ἀποδεξάμενος ἀνήνεγκε τὸ πρᾶγμα Κυριακῷ τῷ πατριάρχῃ Κωνσταντινουπόλεως: ὅστις ἀπεδέξατο τὴν παραίτησιν, προτραπεὶς καὶ ὑπὸ τοῦ Μαυρικίου, ᾧ ἔγραψεν ὁ Θεόδωρος· ὁ Παῦλος ὁ Ἀγκύρας ὅμως, διαταγῇ τοῦ πατριάρχου, (δηλ. μικρὸν μετὰ τὸ 595) ἐπέστρεψε τῷ Θεοδώρῳ τὸ ὠμοφόριον, δηλῶν ὅτι ἔχει τὸ τῆς ἱερωσύνης ἐνεργόν. Ἑτέρου χειροτονηθέντος Ἀναστασιοπόλεως, ὁ Θεόδωρος ἀπεσύρθη εἰς τὴν μονὴν αὐτοῦ· προσκληθεὶς δ' ὑπὸ Μαυρικίου καὶ Κυριακοῦ τοῦ πατριάρχου ἦλθεν εἰς Κωνσταντινούπολιν, ὅτε καὶ τὰ μοναστήρια αὐτοῦ (597 ἢ 98) προήγαγον εἰς σταυροπηγιακὰ «πρὸς τὸ μὴ ὑποκεῖσθαι ἑτέρᾳ ἐπισκοπῇ»· διέμεινε δὲ βραχὺν χρόνον, οἰκῶν «εἰς τὰ Οὐαρανᾶς, πλησίον τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας»[45], μεθ' ὃ ἐπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ, ἐπισκεψάμενος τὰ Γέρμια, τὴν παρ' αὐτὰ μονὴν τῆς Θεοτόκου Ἀλιγέτης σὺν Αἰμιλιανῷ τῷ ἐπισκόπῳ, τὴν Πεσινοῦντα, ἀσπασάμενος καὶ τὸν μητροπολίτην αὐτῆς Γεώργιον, τὸ Ἀμόριον, τὴν τῆς Φρυγίας Σωζόπολιν ἀσπασάμενος Ζωΐλον τὸν ἐπίσκοπον αὐτῆς καὶ κατόπι τῆς ἐπιπόνου περιοδείας ταύτης ὑπέστρεψεν εἰς τὸ μοναστήριον αὐτοῦ. Κατὰ τὸ ἔτος 603, καθὼς εἰκάζω, δαπάναις τοῦ εὐλαβουμένου αὐτὸν Δομεντζιόλου, ἀνεψιοῦ τοῦ τυράννου Φωκᾶ, κατεσκευάσθησαν μολύβδινοι κέραμοι τοῦ ναοῦ τοῦ ἁγίου Γεωργίου· καὶ χρήματα δ' οὗτος ἔδωκεν αὐτῷ πρὸς διανομὴν τοῖς πτωχοῖς· συγχρόνως καὶ Κυριακὸς ὁ πατριάρχης ἀπέστειλεν αὐτῷ τεμάχια ἐκ τοῦ τιμίου ξύλου, καὶ ἐκ τοῦ λίθου τοῦ ἁγίου Κρανίου (δῆλά γε δὴ τοῦ Γολγοθᾶ), καὶ ἐκ τοῦ ἁγίου μνήματος τοῦ Σωτῆρος ἡμῶν καὶ τεμάχιον ἐκ τοῦ μαφορίου τῆς Θεοτόκου. Τὸ δεύτερον ἐπεσκέψατο τὴν Κωνσταντινούπολιν ὁ Θεόδωρος ἐπὶ τοῦ πατριάρχου Θωμᾶ τῷ 610, οὗτινος εἰς τὸν θάνατον εὑρέθη καὶ αὐτός· τιμηθεὶς δὲ καὶ παρὰ Σεργίου τοῦ πατριάρχου ἐπανῆλθεν εἰς τὸ μοναστήριον αὐτοῦ. Πολλῆς δὲ πᾶσιν ὠφελείας ἐγένετο πρόξενος ῥυθμίζων ἤθη καὶ πρὸς τὴν κατὰ Χριστὸν ζωὴν χειραγωγῶν. Ἀπέβιωσε τῷ 613, ἀπριλίου 22, ἐξημέρωμα κυριακῆς «εἰς τὰ ἀπολούσια τοῦ Ἁγίου Πάσχα»[46].—Ἐκ τῆς βιογραφίας ταύτης μανθάνομεν ὅτι ὁ ὅσιος ἀνὴρ κατέκρινε τὸ μεταβαίνειν τοὺς χριστιανοὺς εἰς τὸν λουτρῶνα μετὰ τὴν μετάληψιν τῶν ἁγίων Μυστηρίων, «ὅπερ ποιοῦσι πολλοὶ μάλιστα τῶν ἐν ὑπεροχῇ ὄντων ἐν τῇ πόλει»· ἐρωτηθεὶς δὲ περὶ τούτου κατὰ τὴν ἐν Κωνσταντινουπόλει διαμονὴν, εἶπεν· «οὐδὲ γὰρ μύρῳ τις χριόμενος καὶ ἀρώμασιν ἀπολούεται τὴν εὐοσμίαν, οὐδὲ μετὰ βασιλέως τις ἀριστήσας εὐθέως τρέχει εἰς βαλανεῖον»[47]. — Ἐπίσης δ' ἐν τῇ βιογραφίᾳ βλέπομεν ὅτι λίαν ἀρχαῖόν ἐστι τὸ ἔθος τοῦ τοὺς χριστιανοὺς πόλεώς τινος καὶ τοὺς μοναχοὺς ὑποδέχεσθαι τὸν ἐπίσκοπον μετὰ κηρῶν. —Αὐτόθι βλέπομεν ὅτι τότε συνήθως ὁ ἡγούμενος ὥριζε τὸν μετ' αὐτόν[48].

ℰ

23. Γεωργίου τοῦ τροπαιοφόρου. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

Ἤθλησε τῷ 303. Κατήγετο ἐκ Καππαδοκίας.

Ἐκ τοῦ **λειψάνου** τοῦ ἁγίου Γεωργίου μέρος τι τῆς κεφαλῆς, καὶ τῆς χειρὸς ἕνα δάκτυλον, καὶ ἕνα τῶν ὀδόντων κεκτημένος Αἰμιλιανὸς ὁ περὶ τὰ τέλη τοῦ ϛ' αἰῶνος ἐπίσκοπος τῶν ἐν Γαλατείᾳ Γερμίων, ἐδωρήσατο ταῦτα Θεοδώρῳ τῷ Συκεώτῃ, ὅστις καὶ κατέθηκεν ἐν τῇ ἰδίᾳ μονῇ τοῦ ἁγίου Γεωργίου, οὐ μακρὰν τῆς Ἀναστασιοπόλεως κειμένῃ, παρὰ τῇ κώμῃ Συκέων[49].

Εἰκόνες ἁγίου Γεωργίου παρὰ βυζαντινοῖς ἀναφέρονται 1) ἐν τῷ ναῷ τῆς Νικοποιοῦ Θεοτόκου, ἣν ἔγραψε «Παῦλος ἐκεῖνος ὁ τῶν ζωγράφων ἄριστος», ὅστις, ὡς εἰκάζω, πρῶτος ἐζωγράφησεν ἐν τῷ ναῷ τούτῳ τὸν ἅγιον Γεώργιον ἔφιππον[50]· 2) ἐν τῷ ναῷ τοῦ ἁγίου Γεωργίου «ἐν τοῖς Χαρσίου», ἥτις ἀναφέρεται βλύζουσα αἷμα κατὰ τὰ πρῶτα ἔτη Ἀνδρονίκου τοῦ Παλαιολόγου, νομίσαντος τὸ θαῦμα τοῦτο προάγγελον ἐκκλησιαστικῶν ἐρίδων[51].

Ναοὶ δὲ τοῦ ἁγίου Γεωργίου ἀναφέρονται 1) ὁ περιβόητος ναὸς τῶν Μαγγάνων. Ἡ οἰκία τῶν Μαγγάνων ἀναφέρεται ἐν ἀνεκδότῳ βιογραφίᾳ τῆς ὁσίας Ὀλυμπιάδος, ἐσῴζετο δὲ αὕτη ἐπὶ Ἰουστινιανοῦ· γνωστὸν ὅτι ἐν τῷ πύργῳ τῶν Μαγγάνων ἐφυλάττοντο πολεμικαὶ μηχαναί, ἦσαν δ' αὐτόθι καὶ τὰ παλάτια τῶν Μαγγάνων, κτῆμα κατὰ τὰς ἀρχὰς τῆς Θ' ἑκατονταετηρίδος Μιχαὴλ τοῦ Ῥαγγαβέ[52]. Τὴν μονὴν καὶ τὸν ναὸν τῶν Μαγγάνων ᾠκοδόμησε Κωνσταντῖνος ὁ Μονομάχος (1042—1055), κοσμήσας οἰκοδομαῖς καὶ λειμῶσι πολλὴν τὴν τερπωλὴν παρεχομένοις, προσαρτήσας τῇ μονῇ καὶ νοσοκομεῖον, καὶ διατάξας ὅπως γίνηται τῇ 23 ἀπριλίου ἐν τῷ ναῷ αὐτῆς αὐτοκρατορικὴ προέλευσις[53]· τό τε παλάτιον καὶ τὴν μονὴν τῶν Μαγγάνων ἔλαβε διὰ χρυσοβούλου λόγου Νικηφόρου τοῦ Βοτανιάτου ἡ τοῦ Μιχαὴλ Παραπινάκη χήρα Μαρία[54]· τὸν ναὸν τοῦτον τῶν Μαγγάνων, παρ' ἡμέραν ἐρειπιούμενον κατέστρεψε (1185-1195) Ἰσαάκιος ὁ Ἄγγελος, τῇ ὕλῃ τούτου χρησάμενος πρὸς ἐπισκευὴν καὶ διακόσμησιν τοῦ ναοῦ τοῦ ταξιάρχου Μιχαὴλ ἐν τῷ Ἀνάπλῳ[55]· φαίνεται δ' ὅμως ὅτι καὶ πάλιν ἐπεσκευάσθη, διότι μετὰ τὸ 1204 ἐγένετο ναὸς τοῦ δυτικοῦ δόγματος[56]. Μοναχοὶ μαγγανιῶται ἀναφέρονται μέχρι τοῦ 1401[57], διότι ἡ μονὴ ἐσῴζετο μέχρι τῶν μέσων τοῦ ΙΕ' αἰῶνος[58]· ἐν αὐτῇ δ' ἀπέκειτο κατὰ τὰ μέσα τῆς ΙΔ' ἑκατονταετηρίδος «τὰ τῶν Χριστοῦ σωτηρίων παθῶν σύμβολα»[59]. Τῷ 1086 ἦν ἡγούμενος τῆς τῶν Μαγγάνων μονῆς Ἰωάννης[60]. Ὁ τῆς μονῆς ἡγούμενος ἦν δεύτερος τῇ τάξει κατὰ τὰς συνοδικὰς συνελεύσεις καὶ τὰς ἱερὰς τελετὰς τὰς

---

44. Ἰδὲ εἰς τὴν 20 νοεμβρίου.

45. φρονῶ ὅτι τὸ Συναξάριον ἐννοεῖ τὸν ναὸν τῆς Θεοτόκου τῆς Εὐουρανιωτίσσης.

46. βίος Θεοδώρου Συκεώτου γραφεὶς ὑπὸ Γεωργίου μαθητοῦ αὐτοῦ· παρὰ Θεοφίλῳ Ἰωάννου, Ἁγιολ. μνημεῖα.

47. βιογρ. Συκεώτου· αὐτόθι, σελ. 485.

48. αὐτόθι, σελ. 420, 421, 480.

49. αὐτόθι, σελ. 449. Ἴδε καὶ 2 ἰουλίου.

50. Νικηφ. Γρηγορᾶς· Α', σελ. 304. Τὸ δὲ *πάλαι* λεγόμενον ἐν τῷ ΙΔ' αἰῶνι δείκνυσι, νομίζω, τὸν *Παῦλον ἐκεῖνον* ἀκμάζοντα πρὸ δύο ἴσως αἰώνων.

51. Παχυμέρης· Β', σελ. 82.

52. Σκ. Βυζαντίου «Κωνσταντινούπολις»· τόμ. Α', σελ. 177-179. Ἰγνατίου βίος ὑπὸ Νικήτα Δαυΐδ· Migne, PE', 540. Ἔκειντο πιθανῶς ἐν τῷ σήμερον Σιρκετζῇ.

53. Μιχαὴλ Ἀτταλειάτης· Βόννης, σελ. 48 καὶ 71. Κωδινοῦ, Περὶ ὀφικίων· σ. 81. Τὴν εὐρυχωρίαν, τὰ περὶ τὴν μονὴν ἄλση, τοὺς παραδείσους καὶ λειμῶνας ὁ Ψελλὸς ἐπαινῶν ὡς καὶ τὸν ἐν τῇ ὀροφῇ χρυσὸν, μέμφεται τῆς περὶ τὴν οἰκοδομὴν ἀλογίστου σπατάλης τοῦ Μονομάχου. Σάθα, Μεσαιων. Βιβλιοθ. τόμ. Δ', σελ. 191-193.

54. Ζωναρᾶς· ΙΗ', 21 (Δινδορφ. Δ', 236).

55. Χωνιάτης· σελ. 581. Νομίζω ὅτι ὁ Δουκάγγιος παρεξήγησε τὸν Χωνιάτην. Const. Christ. σελ. 85, β',

56. Πασπάτη, Μελέται· σελ. 194.

57. Acta Patriarch. τόμ. Β', σελ. 562.

58. Μιχαὴλ Δούκας· σελ. 318.

59. Κατακουζηνός· Α', σελ. 305.

60. Migne, τόμ. PKZ', στ. 973.

τελουμένας ἐν Ἁγίᾳ Σοφίᾳ κατὰ τὰς μεγίστας τῶν δεσποτικῶν ἑορτῶν[61]. Τοσοῦτον δ' ἐγένετο περιβόητος ἡ μονὴ τῶν Μαγγάνων, ὥστε καὶ ἐν Κύπρῳ ὑπῆρχε μονὴ γνωριζομένη διὰ τούτου τοῦ ὀνόματος[62]· — 2) ὁ Ἅγιος Γεώργιος εἰς τὸ Δεύτερον, ὃν νομίζω τὸν ἀρχαιότερον τῶν ἐν Κωνσταντινουπόλει ναῶν τοῦ ἁγίου Γεωργίου, ὡς ἦν τοιοῦτος καὶ — 3) ὁ τοῦ ἁγίου Γεωργίου ἐν τῷ Ξηροκέρκῳ, οὗ τινος δύο μοναχοί, Εὐγένιος καὶ Κυριακός, ἀναφέρονται κατὰ τὰ πρῶτα ἔτη τοῦ Μ. Ἰουστινιανοῦ[63]· — 4) ὁ ἐν τῷ Κυπαρισσίῳ, παλαιότερος τοῦ τῶν Μαγγάνων ὤν, περὶ οὗ ἴδε εἰς τὴν 9 μαΐου· ὁ ἐν τῷ Κυπαρισσίῳ ναὸς ἴσως ἀνῆκεν εἰς τὸν Ἀτταλειάτην Μιχαὴλ (1077), διότι αὐτόθι εἶχε τὸ οἰκογενειακὸν αὐτοῦ ταφεῖον[64]· — 5) ὁ κατὰ τὴν τοποθεσίαν τῶν Μεσαμπέλων, οὐ μακρὰν τοῦ Πελεκάνου, τοποθεσίας κειμένης ἀπέναντι τῆς πόλεως[65], ἔνθα κατὰ τὸν Ι' ἴσως αἰῶνα ἦν ἡ μονὴ Πελεκάνου[66]· — 6) ὁ Ἅγιος Γεώργιος τὰ Χαλκίδου, ἢ, καθ' ἑτέραν γραφήν, ἐν Χαλκηδόνι, κτισθεὶς δῆθεν ὑπὸ Σεργίου πατριάρχου (610—638) ἀναφέρεται παρὰ τοῖς παραδοξογράφοις[67]· εἰς τὴν αὐτὴν κατηγορίαν κατατάττω καὶ τὸν Ἅγιον Γεώργιον τὰ Κοντάρια[68].

Σημ. — Λίαν ἐμβριθῶς ὁ ἰατρὸς Mordtmann ἀπέδειξεν ὅτι 1) ὁ ἐν τοῖς Χαρσίου ναός, 2) ὁ ἐν τῷ Δευτέρῳ, ἐν ᾧ καὶ τὸ λείψανον ἀπέκειτο Θεοδώρου τοῦ Συκεώτου καὶ 3) τὸ μονάδιον Γεωργίου τοῦ Συκεώτου, εἷς ἐστι ναὸς κείμενος ἔσωθεν τῆς πύλης Ἐδιρνὲ-καπί, οὐχὶ δὲ τρεῖς[69].—Ὁ ῥῶσσος μυθογράφος Ἀντώνιος εἶδεν ἐν ἀρχαῖς τῆς ΙΓ' ἑκατονταετηρίδος ἐν τῇ μονῇ τῶν Μαγγάνων τὴν κάραν τοῦ ἁγίου Γεωργίου[70].

ⲝ

25. Μάρκου τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ. Ἡ σύναξις ἐν τῷ πανσέπτῳ αὐτοῦ ἀποστολείῳ τῷ ὄντι πλησίον τοῦ Ταύρου[71].

* * *

25. Ἡ ἀνάμνησις τῶν ἐγκαινίων τοῦ σεπτοῦ ἀποστολείου τοῦ ἁγίου καὶ πανευφήμου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου, τοῦ συγκειμένου τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Ἔκειτο βεβαίως ὁ ναὸς οὗτος πλησιέστατα τῷ τῆς Ἁγίας Σοφίας, διότι παρὰ τοῖς Μηναίοις γράφεται πάντοτε *συγκείμενον* τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας τὸ ἀποστολεῖον τοῦτο.

* * *

25. Μακεδονίου πατριάρχου Κωνσταντινουπόλεως.

Ἱεράτευσεν ἀπὸ τοῦ 486-511. Ἀνεψιὸς τοῦ πατριάρχου Γενναδίου Α', ἦν πρεσβύτερος καὶ σκευοφύλαξ τῆς Μ. ἐκκλησίας, ἀγαπώμενος ὑπὸ τοῦ λαοῦ διὰ τὴν ἀρετὴν αὐτοῦ καὶ τὴν εὐσέβειαν, καὶ ὑπὸ τοῦ Πομπηίου, ἀνεψιοῦ Ἀναστασίου τοῦ Θρᾳκός. Ἀπεβίωσεν ἐν Γάγγραις μικρὸν μετὰ τὸ 515[72].

ⲝ

26. Βασιλέως ἱερομάρτυρος ἐπισκόπου Ἀμασείας. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Ἤθλησε τῷ 322 ἐν Νικομηδείᾳ, ἐπὶ Λικινίου, τὸ δὲ λείψανον αὐτοῦ ἀπεστάλη εἰς Ἀμάσειαν· ἴσως ἐξ αὐτοῦ μέρος ἀπεθησαύριζεν ὁ ναὸς τῆς τοῦ Θεοῦ Σοφίας.

ⲝ

27. Ἰωάννου ἡγουμένου μονῆς τῶν Καθαρῶν.

Ἐγεννήθη ἐν Εἰρηνουπόλει τῆς Κοίλης Συρίας, υἱὸς Θεοδώρου καὶ Γρηγορίας, τῷ 778. Ἦλθεν εἰς Νίκαιαν μετὰ τοῦ γέροντος αὐτοῦ καὶ διδασκάλου τῷ 787, ἐν τῇ Ζ' οἰκουμενικῇ Συνόδῳ, κἀκεῖθεν εἰς Κωνσταντινούπολιν, μοναχὸς ἀποκαρεὶς πιθανῶς ἐν τῇ μονῇ τῶν Δαλμάτων, ἧς ἡγούμενος ἐγένετο ὁ διδάσκαλος αὐτοῦ, ἐν ἀρχαῖς δὲ τοῦ Θ' αἰῶνος ἀπεστάλη ὑπὸ Νικηφόρου τοῦ αὐτοκράτορος ἡγούμενος εἰς τὴν μονὴν τῶν Καθαρῶν, ἧς προέστη δεκαετίαν ἀπὸ τοῦ 804-813, κληθεὶς εἰς Κωνσταντινούπολιν ὑπὸ Λέοντος Ε', μεθ' οὗ μὴ συμφρονήσας ἐν τῷ δόγματι περὶ τῶν ἁγίων Εἰκόνων, περιωρίσθη ἔν τινι μετοχίῳ τῆς μονῆς ταύτης ἐν Κωνσταντινουπόλει κειμένῳ ἐπὶ μῆνας τρεῖς, εἶτα δ' ἐξώρισαν αὐτὸν εἰς τὸ φρούριον Πενταδάκτυλον· αὐτόθι μεῖνας ἓν καὶ ἥμισυ ἔτος, ἐκλήθη καὶ πάλιν εἰς Κωνσταντινούπολιν, ἀλλ' ἀπεστάλη αὖθις εἰς ἕτερον φρούριον, καὶ μικρὸν μετὰ τὸ 820 ἐπανελθὼν ἔμεινεν ἐν Χαλκηδόνι, πιθανῶς μέχρι τοῦ 836, ὅτε ἐστάλη ὑπερόριος εἰς Ἀφρουσίαν· ἀπεβίωσεν ἐν τῇ νήσῳ ταύτῃ ἴσως τῷ 839[73].

Ἡ μονὴ τῶν Καθαρῶν ἔκειτο βεβαίως ἔξω τῆς Κωνσταντινουπόλεως, καὶ οὐ μακρὰν τοῦ ἐμπορείου Πυλῶν ἐν Βιθυνίᾳ[74], ἐθεωρεῖτο δὲ κατὰ τὸν ΙΑ' αἰῶνα μονὴ τοῦ τῆς Βιθυνίας Ὀλύμπου, σὺν τῷ Μηδικίῳ καὶ τῇ λαύρᾳ τῶν Μεγάλων Κελλίων[75]. Τὴν μονὴν τῶν Καθαρῶν ἔκτισε τῷ 571 «Ναρσῆς ὁ κουβικουλάριος καὶ σπαθάριος ὁ ἀγαπητὸς τοῦ βασιλέως Ἰουστινιανοῦ»[76]. Ἐν τῷ μετοχίῳ τῆς μονῆς ταύτης τῷ ἐν Κωνσταντινουπόλει διέμενε βεβαίως ὁ ἀββᾶς Ἰωσήφ, ὁ τὸν ἔκνομον γάμον εὐλογήσας τοῦ Κωνσταντίνου ΣΤ' μετὰ τῆς Θεοδότης, διότι φαίνεταί μοι παράδοξος ἡ ἐκ Πυλῶν τῆς Βιθυνίας πρόσκλησις τοῦ Ἰωσὴφ πρὸς εὐλογίαν τοῦ γάμου τούτου[77].

ⲝ

30. Μνήμη τῆς εὑρέσεως τῶν λειψάνων Βασιλέως ἐπισκόπου Ἀμασείας.

Βεβαίως ὁ ναός, ὅστις ἦγε σύναξιν τὴν 26 ἀπριλίου, ἑώρταζε καὶ τὴν 30 ἀπριλίου.

---

61. Acta Patriarch. τόμ. Β', σελ. 22.
62. Ἱεροσλμ. Βιβλιοθ. Β', σελ. 112.
63. Δουκαγγίου, Const. Christ. σ. 85, β', XLVI.
64. Σάθα, Μεσ. Βιβλιοθ. τόμ. Α', σελ. 20.
65. Ἄννα Κομνηνή· Β', σελ. 55 καὶ 75.
66. Πορφυρογ. Ἐκθ. Α', σελ. 806.
67. Κωδινοῦ, Περὶ κτισμάτων· σελ. 106.
68. Banduri, Imp. Or. σελ. 39.
69. Mordtmann, Esquisse· § 33 κ. ἑξ.
70. Ποικίλη Στοά, Ἡμερολόγ. 1884, σελ. 357.
71. βλ. περὶ τοῦ ναοῦ τούτου εἰς τὴν 11 ἰανουαρίου.
72. Πατριαρχ. Πίνακες· σελ. 209-215· βλέπε καὶ τὰς αὐτόθι παραπομπάς.
73. Συναξαριστὴς καὶ Μηναῖον, εἰς τὴν 27 ἀπριλίου. «Προικόννησος»· σελ. 72. Τὸ λεγόμενον ἐν τῷ Συναξαρίῳ «Πενταδάκτυλον ἐν τῇ χώρᾳ τῆς Λάμπης» νομίζω τὸ πρὸς τῇ Μιλήτῳ ὄρος Λάτμον, ὃ καλεῖται σήμερον τουρκιστὶ Μπὲς-παρμὰκ = Πενταδάκτυλον. Εἰρήσθω δ' ὅτι τὸ προκονησιακὸν χειρόγραφον τοῦ ἀπριλίου Μηναῖον φέρει δίστιχον διάφορον τοῦ παρὰ τοῖς ἐντύποις Μηναίοις καὶ τῷ Συναξαριστῇ, τοῦτο·

Καθαρῶν ὡς πρόεδρος ποίμνης ἡγήσω,
καθαρὸς παρέστηκας Χριστῷ, θεόφρον.

Ὡσαύτως καὶ τῇ 25 ἀπριλίου φέρει δίστιχον ἐπὶ τοῖς ἐγκαινίοις τοῦ ναοῦ τοῦ ἀποστόλου Πέτρου τοῦτο, μὴ φερόμενον ἐν τοῖς ἐντύποις·

Τελοῦμεν, Πέτρε, τῶν ἐγκαινίων μνήμην
οἴκου σου σεπτοῦ πᾶς πιστῶς εὐφροσύνως.

74. βιογραφ. Συκεώτου, παρὰ Θεοφίλῳ Ἰωάννου· σ. 479.
75. Μιχ. Ψελλοῦ ἐπιστολαί, παρὰ Σάθᾳ· Μεσ. Βιβλιοθ. τόμ. Ε', σελ. 311.
76. Θεοφ. Α', σελ. 376.
77. αὐτόθι, σελ. 729.

ΜΑΪΟΣ

1. Ἱερεμίου τοῦ προφήτου. Ἡ σύναξις ἐν τῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Πέτρου τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Ἴδε περὶ τοῦ ναοῦ εἰς τὴν 25 ἀπριλίου.

* * *

1. Ἐγκαίνια τῆς Νέας Ἐκκλησίας.

Τὸν ναὸν τοῦτον ἔκτισεν ἐν τῷ παλατίῳ κατὰ τὸ ἔννατον ἔτος αὐτοῦ (876) Βασίλειος ὁ Μακεδών, πολλαχόθεν ἐξ ἠρειπιωμένων ναῶν ἀθροίσας μάρμαρα καὶ κίονας καὶ ψηφίδας· φαίνεται δ' ὅτι ἤρξατο τῆς οἰκοδομῆς τῷ 876, διότι «τῷ δεκάτῳ τετάρτῳ αὐτοῦ ἔτει, μηνὶ μαΐῳ πρώτῃ, ἐγκαινίζεται καὶ ἐνθρονίζεται ἡ Νέα Ἐκκλησία παρὰ Φωτίου πατριάρχου»[1]· ὥστε τὰ ἐγκαίνια ἐγένοντο τῇ 1 μαΐου 881. Ὁ ναός, ἐν τῷ περιβόλῳ τοῦ παλατίου κείμενος, ἐτιμᾶτο ἐπ' ὀνόματι τοῦ Σωτῆρος, τοῦ Μιχαὴλ ἀρχαγγέλου καὶ τοῦ προφήτου Ἠλιού[2].

Αὐτοκρατορικὴ προέλευσις ἐγίνετο τῇ 1 μαΐου κατὰ τὸν Ι' αἰῶνα καὶ μετὰ ταῦτα[3]. Κατὰ τὸν ΙΕ' αἰῶνα τοιαύτη προέλευσις οὐ γινώσκεται[4]· «καὶ ἀνέρχεται ὁ πατριάρχης ἐν τῷ παλατίῳ, κἀκεῖθεν κατέρχεται μετὰ λιτῆς εἰς τὴν Νέαν Ἐκκλησίαν, καὶ λειτουργεῖ ἐκεῖσε τὴν κατὰ τύπον λειτουργίαν»[5].

ⲝ

2. Ἑσπέρου καὶ Ζωῆς μαρτύρων. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

1. Συμεὼν μάγιστρος· σελ. 691. Γεώργιος μοναχός· σ. 843. Λέων γραμματικός· σελ. 258.
2. Theoph. Contin. σελ. 319, ὅπου ὁ ἀναγνώστης σχηματίζει ἰδέαν τοῦ διαχυθέντος ἐν τῷ ναῷ ἀπείρου πλούτου. Πρόσθες ὅτι ὁ μακαρίτης Πασπάτης (Βυζαντινὰ Ἀνάκτορα, σελ. 305-309) ὀλίγους ἐνόησε συγγραφεῖς ἐξ ὧν ἀνέγνω· ἐνῷ γράφει ὅτι ἐτιμᾶτο ἐπ' ὀνόματι ταῦ Σωτῆρος καὶ ὅτι ὑπῆρχον ἐν τῷ ναῷ δύο εὐκτήρια, Μιχαὴλ ἀρχαγγέλου καὶ Ἠλιοὺ τοῦ προφήτου, κατωτέρω γράφει ὅτι τὸ εὐκτήριον Ἠλιοὺ τοῦ προφήτου «ἦτο ἐκτὸς τῆς Νέας ἐκκλησίας»· καὶ περαιτέρω· «ἂν τὸ εὐκτήριον τοῦτο (ἀρχαγγέλου) καὶ τοῦ προφήτου Ἠλιοὺ συνείχοντο μετὰ τῆς Νέας ἐκκλησίας, ἀγνοῶ». Φαίνεται ὅτι μικρά τινα εὐκτήρια παρέκειντο τῷ ἱερῷ βήματι τῆς Νέας ἐκκλησίας.
3. Πορφυρογεν. Ἐκθ. Α', σελ. 775.
4. παρὰ Κωδινῷ ἐν τῷ «Περὶ ὀφφικίων» οὐ σημειοῦται τοιαύτη ἐπὶ τοῖς ἐγκαινίοις.
5. ταῦτα κατὰ τὸ προκονησιακὸν χειρόγραφον Μηναῖον.

Ἤθλησαν ἐν ἀρχαῖς τοῦ Β′ αἰῶνος.

Ναὸν εἰς τὴν μάρτυρα Ζωὴν ἤγειρεν ὁ Μ. Ἰουστινιανὸς « ἐπιεικῶς σεμνόν », οὐ μακρὰν τοῦ ναοῦ τῆς ἁγίας Ἄννης ἐν τῷ Δευτέρῳ [6]. Βασίλειος ὁ Μακεδὼν ἤγειρεν ἐκ βάθρων αὐτόν, πεπτωκότα [7].

* * *

2. Μνήμη τῆς ἀνακομιδῆς τοῦ λειψάνου Ἀθανασίου πατριάρχου Ἀλεξανδρείας.

Ἡ τῆς 18 ἰανουαρίου σύναξις ἐτελεῖτο ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ· φρονῶ δ' ὅτι ὁ ναὸς οὗτος ἐώρταζε καὶ τὴν 2 μαΐου.

§

3. Τιμοθέου καὶ Μαύρας μαρτύρων. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ τῷ ὄντι πέραν ἐν Ἰουστινιαναῖς.

Ναὸς ἐπ' ὀνόματι τῶν ἁγίων τούτων ἀναφέρεται τῷ 532 τὸ πρῶτον [8]· ὁ δὲ ἐν Ἰουστινιαναῖς οὗτός ἐστι βεβαίως **ὁ πέραν τοῦ ἄστεος** ὑπὸ Κωνσταντίνου τοῦ Κοπρωνύμου καταστραφεὶς ἕως ἐδάφους [9].

§

4. Τῶν ἁγίων μαρτύρων Ἀφροδισίου, Λεοντίου, Ἀντωνίου, Μελδᾶ, Οὐαλεριανοῦ, Μακροβίου καὶ τοῦ πλήθους τῶν σὺν αὐτοῖς ἐν Σκυθοπόλει μαρτυρησάντων. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου τῷ ὄντι ἔνδον τοῦ σεβασμίου οἴκου τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις [10].

* * *

4. Νικηφόρου ἡγουμένου Μηδικίου.

Ἤκμασεν ἐπὶ Ταρασίου, ὡς εἴδομεν ἐν βίῳ Νικήτα (3 ἀπριλίου). Τῷ δόγματι τῶν ἁγίων Εἰκόνων προσκείμενος, ἀπέθανεν ἐπὶ Λέοντος Ε′ ὑπερόριος (813-820).

* * *

4. Ἡ ἀνάμνησις τῆς ἀνακομιδῆς τῶν λειψάνων Λαζάρου τοῦ φίλου τοῦ Χριστοῦ καὶ τῆς μυροφόρου Μαρίας τῆς Μαγδαληνῆς, γενομένης ἐπὶ Λέοντος τοῦ φιλοσόφου καὶ φιλοχρίστου. Ἡ σύναξις ἐν τῇ εὐαγεστάτῃ μονῇ τῇ παρὰ τοῦ αὐτοῦ βασιλέως ἐπ' ὀνόματι τοῦ ἁγίου Λαζάρου συστάσῃ. Συνεορτάζονται καὶ τὰ ἐγκαίνια τῆς ἐν τῇ μονῇ ἁγίας ἐκκλησίας.

Ἡ μαρτυρία αὕτη κεῖται παρὰ Νικοδήμῳ. Τὸ λείψανον τῆς ὁσίας Μαγδαληνῆς ἀνακομίσας ἐξ Ἐφέσου Λέων ὁ Σοφὸς, ἀπεθησαύρισεν ἐν τῇ μονῇ τοῦ ὁσίου Λαζάρου, ἀριστερᾷ τῷ εἰς τὸν ναὸν εἰσιόντι, ἐγκλείσας ἐν καταργύρῳ θήκῃ· τὸ δὲ τοῦ ὁσίου Λαζάρου λείψανον ἀνεκομίσθη τῷ 898 ἐκ Κύπρου [11].

Τὴν ἐπ' ὀνόματι τοῦ ὁσίου Λαζάρου μονὴν ᾠκοδόμησε Λέων ὁ Σοφὸς ἐν τοῖς λεγομένοις Τόποις καὶ καθιέρωσεν εἰς μονὴν εὐνούχων, δῆλον οὖν ἀνδρείαν· ὁ ναὸς οὗτος τοῦ δικαίου Λαζάρου διεκρίνετο ἐπὶ εὐρυχωρίᾳ, κάλλει καὶ μεγαλοπρεπείᾳ μέχρις, ὡς ἔοικε, τοῦ ΙΔ′ αἰῶνος, διότι γινώσκομεν ὅτι κατὰ τὸν ΙΓ′ ἐσῴζετο [12]· αὕτη δ' ἡ μονὴ βεβαίως ἦν ἡ *Λέοντος Σοφοῦ*, ἧς ἡγούμενος ἐπὶ τοῦ Λέοντος ἀναφέρεται Εὐθύμιος ὁ κεκοσμημένος ἀρεταῖς [13]. Ἡγούμενον αὐτῆς ἐπίσης γινώσκομεν τὸν φήμην ἁγιότητος κτησάμενον Ἱερόθεον, ὅστις ἐκώλυσε τὸν Λέοντα τὸν Σοφὸν ἐνταφιάσαι τὴν τρίτην αὐτοῦ σύζυγον Εὐδοκίαν ἐν αὐτῇ, τοῦ Ἱεροθέου « ἐξ αὐτῆς τῆς πόρτης (τῆς μονῆς) τὸ λείψανον πρὸς τὰ βασίλεια ἀντιστρέψαντος » [14]. Ἐν τῇ μονῇ ταύτῃ ἠκροᾶτο τῆς θείας λειτουργίας ὁ αὐτοκράτωρ κατὰ τὸ σάββατον τοῦ Λαζάρου [15].

* * *

Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου τῶν πλησίον τῆς Πηγῆς μαρτύρων [16].

Ναὸν εἰς τοὺς ἁγίους τούτους ἔκτισε κατὰ τὰ τέλη βεβαίως τοῦ Ϛ′ αἰῶνος Ναρσῆς ὁ τοῦ Μαυρικίου στρατηγὸς [17], ἄγνωστον ποῦ τῆς πόλεως, ἀλλ' ὡς μανθάνομεν νῦν, πλησίον τῆς Ζωοδόχου Πηγῆς. Μονῆς τῶν ἁγίων Ἀνδρονίκου, Πρόβου καὶ Ταράχου ἡγούμενος ἀναφέρεται τῷ 1086 Κύριλλος [18].

§

5. Εἰρήνης μάρτυρος.

Ἤθλησεν ἐπὶ τοῦ πέρσου Σαβωρίου, ζῶσα κατὰ τοὺς χρόνους τοῦ Μ. Κωνσταντίνου, Πηνελόπη πρὸ τοῦ βαπτίσματος ὀνομαζομένη.

Ναοὶ ἐπ' ὀνόματι τῆς ἁγίας Εἰρήνης γινώσκονται 1) ὁ πρὸς τὴν θάλασσαν, ὁ λεγόμενος τοῦ Περάματος, μεταξὺ Βαλουκ-παζάρ καὶ Ἐμὶν-όνοῦ τῆς σήμερον, κτισθεὶς ὑπὸ Μαρκιανοῦ ἐν ᾧ τόπῳ καὶ πρότερον ὑπῆρχε ναὸς, ὑπὸ τῆς θαλάσσης, χωρούσης ἄχρι τῶν θυρῶν αὐτοῦ, κατακλυζόμενος· ὁ Μαρκιανὸς ἀνήγειρεν αὐτὸν μείζονα καὶ κομψὸν μετὰ φαιδρότητος πολλῆς, ἀλλὰ μετὰ ξυλίνης ὀροφῆς, καὶ κατεσκεύασε πρὸ αὐτοῦ προκυμαίαν, ἤγειρε δὲ καὶ τὸ φωτιστήριον αὐτοῦ μεγαλοπρεπὲς, στοαῖς πέντε διαλαμβανόμενον, μετὰ θόλων, ἐν οἷς χρυσαῖς ψηφῖσιν ἐζωγράφησε τὰ ἐν τῷ ναῷ τελεσθέντα θαύματα καὶ τὸν ἰώμενον τὰς νόσους Σωτῆρα Χριστόν· τοῦ δὲ Μαρκιανοῦ πρὸ τῶν ἐγκαινίων θανόντος, ἡ βασιλὶς Βηρίνα συνετέλεσε τὴν οἰκοδομὴν χρυσίῳ λαμπρύνασα τὴν ὀροφὴν τοῦ ναοῦ [19]. Τοῦ ναοῦ τῆς ἁγίας Εἰρήνης ἔν τινι πυρκαϊᾷ βλαβέντος μέρη τινὰ Μανουὴλ ὁ Κομνηνὸς ἀνήγειρε [20]· 2) ὁ ἐν Γαλατᾷ, οὗ τὰ ἐγκαίνια ἐγένοντο τῷ 561 ὑπὸ τῶν πατριαρχῶν Κωνσταντινουπόλεως Μηνᾶ καὶ τοῦ Ἀλεξάνδρειας Ἀπολιναρίου [21]· τοῦτον κατεσκεύασεν ὁ Μ. Ἰουστινιανὸς τοιοῦτον, ὥστε ὁ Προκόπιος οὐκ ἠδυνήθη ἱκανῶς εἰπεῖν ὅσον « μεγαλοπρεπῶς ἐξείργασται τῷ βασιλεῖ »· ἴσως αὐτός ἐστιν ὁ ἐν ἐγγράφῳ τοῦ 1303 ἀναφερόμενος ὡς ὑπάρχων ἐν Γαλατᾷ [22]. 3) ἴσως ὑπῆρχε καὶ ναὸς τῆς ἁγίας Εἰρήνης εἰς τὸ Δεύτερον, ὡς φαίνεται εἰς τὴν 6 σεπτεμβρίου· πλὴν ἂν ὑποτεθῇ ὅτι ἐν ναῷ τινι τῆς ἁγίας Εἰρήνης ἐτελεῖτο σύναξις ἐπὶ τοῖς ἐγκαινίοις τοῦ ἐν τῷ Δευτέρῳ ναοῦ τῆς Θεοτόκου μὴ ὑπάρχοντος καθ' ὃν καιρὸν ἐγράφετο ὁ κατάλογος τῶν συνάξεων.

* * *

5. Νεοφύτου, Γαΐου καὶ Γαϊανοῦ μαρτύρων. Ἡ σύναξις ἐν τῷ σεπτῷ καὶ σεβασμίῳ ναῷ τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ τῷ ὄντι ἐν τοῖς Δαρείου.

§

6. Δημητρίωνος, Δάνακτος, Θηριανοῦ, Μεσίρου, Δονάτου καὶ Βαρβάρου τῶν μαρτύρων. Τελεῖται δὲ ἡ τῶν ῥηθέντων ἁγίων σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι ἐν τῷ Δευτέρῳ [23].

* * *

Μνήμη τῶν ἐγκαινίων τοῦ ναοῦ τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ ἐν τῇ μονῇ τοῦ Ψαμαθία.

Ὁ ναὸς ἐσῴζετο πρὸ τοῦ Θ′ αἰῶνος, ὡς ἔοικεν, ἦγε δὲ τὴν μνήμην τῶν ἐγκαινίων αὐτοῦ καὶ τότε καὶ μετὰ τὸν Θ′ αἰῶνα τῇ 6 μαΐου μηνός, ὡς ἐκτίθεται εἰς τὴν 1 ἰουλίου, ἐν τῷ μετὰ χεῖρας βιβλίῳ.

§

7. Μνήμη τοῦ ἐν οὐρανῷ φανέντος σημείου τοῦ τιμίου Σταυροῦ, ὥρᾳ τρίτῃ τῆς ἡμέρας, ἐπὶ Κωνσταντίνου, υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου.

Τῷ 351 « ὤφθη ἐν Ἱεροσολύμοις τὸ σημεῖον τοῦ Σταυροῦ τοῦ Χριστοῦ, ὥρα ἦν ὡς τρίτη, ἐν ἡμέρᾳ πεντηκοστῇ, φωτοειδῶς τεταμένον, νώναις μαΐαις, ἐν τῷ οὐρανῷ, ἀπὸ τοῦ ὄρους τῶν ἐλαιῶν ἕως τοῦ Γολγοθᾶ..... κύκλῳ τοῦ φανέντος τιμίου Σταυροῦ στέφανος ὡς ἡ ἶρις τὸ εἶδος ἔχων· καὶ τῇ αὐτῇ ὥρᾳ ὤφθη ἐν Παννωνίᾳ Κωνσταντίνῳ τῷ αὐγούστῳ» δηλ. τῷ ἰσαποστόλῳ [24].

* * *

7. Ἀκακίου μάρτυρος. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἐν τῷ Πασχάλῳ, ἢ, ὡς ἐν ἄλλοις γράφεται, Ἑπτασκάλῳ.

---

6. Προκοπίου, Περὶ κτισμάτων· σελ. 185.
7. Theoph. Contin. σελ. 324.
8. Πασχάλ. Χρον. σελ. 628.
9. Στεφάνου τοῦ νέου βιογραφία· Migne, P′, 1169.
10. ταῦτα κατὰ τὸν λαυριωτικὸν Δ39 Συναξαριστήν.
11. Theoph. Contin. σελ. 365. Συμεὼν μάγιστρος· σελ. 704. Γεώργιος μοναχός· σ. 860. Ζωναρᾶς, ΙΣΤ′, 13· (Δινδορφ. Δ′, σελ. 42). Νικηφ. Καλλίστου, Λόγος εἰς τὴν ἁγ. Μαγδαληνήν· Migne, PMZ′, 573. Τῆς ἐξ Ἐφέσου εἰς Κωνσταντινούπολιν ἀνακομιδῆς μιμνήσκεται τὸ λεγόμενον Βασιλειανὸν Μηνολόγιον εἰς τὴν 22 ἰουλίου.
12. αἱ παραπομπαὶ κατὰ τὴν 11 σημείωσιν. Παχυμέρης· Β′, σελ. 238.
13. Ἱεροσλμ. Βιβλιοθ. Α′, σελ. 147.
14. Vita Euthymii, σελ. 33.
15. Κωδινοῦ, Περὶ ὀφφικίων, σελ. 82.
16. Ἱεροσλμ. Βιβλιοθ. Β′, σελ. 472.
17. Ζωναρᾶς· ΙΔ′, 14 (Δινδορφ. Γ′, σελ. 301).
18. Migne, PKZ′, 976.
19. Βιογραφ. Μαρκιανοῦ· Migne, PIΔ′, στ. 441-445. Acta Monasteriorum κλπ., ἔκδ. Miklosich καὶ Müller, τόμ. Γ′, σελ. 93.
20. Χωνιάτης· σελ. 270.
21. Μαλαλᾶς· σελ. 486. Θεοφ. Α′, σελ. 353.
22. Προκοπίου, Περὶ κτισμάτων, σελ. 195. Πασπάτη, Βυζ. Μελέται· σελ. 208.
23. ταῦτα κατὰ τὸν λαυριωτικὸν Δ39 Συναξαριστήν. Παρὰ Νικοδήμῳ, Θερινὸς ἀντὶ Θηριανός.
24. Πασχάλ. Χρον. σελ. 540· κατὰ τὸ Βασιλειανὸν λεγόμενον Μηνολόγιον τὴν 7 μαΐου· τὰ λοιπὰ καθὼς ἐν Πασχαλ. Χρονικῷ, Βλ. καὶ Ἑρμ. Σωζομ. Ἐκκλ. Ἱστορ. Δ′, ε′.

Καππαδόκης τὴν πατρίδα, ὁ Ἀκάκιος ἦθλησεν ἐπὶ Μαξιμιανοῦ ἐν Βυζαντίῳ «καὶ κατετέθη τὸ λείψανον αὐτοῦ ἐν τόπῳ ἐπιλεγομένῳ Σταυρίῳ»[25].

Ὁ ναὸς Ἀκακίου τοῦ μάρτυρος ὁ ἐν τῷ Ἑπτασκάλῳ, ἠγέρθη τὸ πρῶτον ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ, βασιλεύοντος τοῦ θείου αὐτοῦ· ἦν δὲ ἐκ λευκῶν μαρμάρων κατεσκευασμένος καὶ κιόνων λευκῶν πλήρης ἅπας[26]· ἴσως αὐτός ἐστιν ὁ κατὰ τὰ τέλη τοῦ Ε΄ αἰῶνος ἀναφερόμενος, ἐν βιογραφίᾳ Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ[27]· ἐκ βάθρων ἤγειρεν αὐτὸν, πεπτωκότα, Βασίλειος ὁ Μακεδών[28]. Εἰς τὸν ναὸν Ἀκακίου τοῦ μάρτυρος τῷ 360 μετεκόμισε Μακεδόνιος ὁ κακόδοξος πατριάρχης τὸ λείψανον τοῦ Μ. Κωνσταντίνου ἀπὸ τοῦ ναοῦ τῶν Ἁγίων Ἀποστόλων, ἀπειλοῦντος δῆθεν πτῶσιν[29]. Ἐν τῷ ναῷ τούτῳ ὁ ῥῶσσος μυθογράφος Ἀντώνιος εἶδεν, ὡς λέγει, σῳζόμενα κατ' ἀρχὰς τοῦ ΙΓ΄ αἰῶνος λείψανα τοῦ ἁγίου Ἀκακίου[30].

§

8. Ἰωάννου τοῦ Θεολόγου·

κατὰ τὸ Βασιλειανὸν λεγόμενον

Μνήμη τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου ἐπὶ τῆς ἁγίας κόνεως.

Κατὰ τὴν παράδοσιν «ὁ τάφος, ἐν ᾧ ὁ μέγας ἀπόστολος καὶ εὐαγγελιστὴς Ἰωάννης μέλλων μετατεθῆναι ἐτάφη, κόνιν ἁγίαν, ἣν οἱ ἐγχώριοι μάννα προσαγορεύουσιν, ἐπινεύσει Πνεύματος ἁγίου, κατὰ τὴν ὀγδόην ἡμέραν τοῦ μαΐου μηνὸς ἐτησίως ἐξαίφνης ἀναβρύει καὶ ἀναδίδωσιν»[31].

Ἡ ἐπὶ τῇ ἑορτῇ ταύτῃ πομπικὴ προέλευσις ἐγίνετο εἰς τὸ Ἕβδομον[32], ὅπου ναὸς ἐπιφανὴς ἠγείρετο τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, κατὰ τὸ σήμερον Μακροχώριον, ὡς ἀπέδειξεν ἐμβριθῶς ὁ Dr Alexandre Van Millingen[33]· αὐτόσε πρὸ ἑπταετίας ἀνευρέθησαν ἐρείπια μεγάλου ναοῦ.

Τὸν ναὸν τοῦτον τὸν ἐν τῷ Ἑβδόμῳ γινώσκομεν ὑπάρχοντα κατὰ τὰ τέλη τοῦ Δ΄ αἰῶνος· ὁ Σωκράτης ὁ Σχολαστικὸς ἀναφέρει «τὸ μαρτύριον τοῦ ἀποστόλου Ἰωάννου· ἑπτὰ δὲ σημείοις ἀπέχει τοῦτο τῆς πόλεως»[34]· ὑπῆρχον δὲ ἐν τῷ Ἑβδόμῳ οὐ μακρὰν αὐτοῦ κατὰ τὰ τελευταῖα ἔτη Θεοδοσίου τοῦ Β΄ καὶ ἀσκητήρια, ὅπου τῷ 443 ἀναφέρεται μοναχός τις Ἰωάννης ἀσκούμενος «ἐν κλουβῷ»[35]. Πιθανῶς ἐν τῷ ναῷ τούτῳ «εἰς τὸ Ἕβδομον ἐξελθοῦσα ἡσύχαζεν» ἡ αὐγοῦστα Πουλχερία περὶ τὰ ἔτη 447-450, τοῦ πολυμηχάνου Χρυσαφίου ψυχρότητα μεταξὺ Θεοδοσίου καὶ Πουλχερίας ἐμβαλόντος[36]. Κατὰ τὸν Θ΄ αἰῶνα ὁ τοῦ Θεολόγου ναὸς ἦν καταβεβλημένος, ἴσως ἕνεκα σεισμῶν ἢ καιρικῶν ἐπηρειῶν, διὸ Βασίλειος ὁ Μακεδὼν ἤγειρεν αὐτὸν ἐκ βάθρων[37]. Τὴν τοῦ Ἑβδόμου μονὴν ἔλαβε πρὸς κατοικίαν μεταξὺ τῶν ἐτῶν 1078-1081, διὰ χρυσοβούλλου λόγου Νικηφόρου τοῦ Βοτανιάτου, Μαρία ἡ βασιλὶς ἡ χήρα Μιχαὴλ τοῦ Παραπινάκη[38], ὅστις προηγουμένως (1073-1074) ἦν παραχωρήσας αὐτὴν εἰς τὸν φιλοχρήματον λογοθέτην Νικηφόρον, ὃς διαρκῶς παρεκάλει τὸν Παραπινάκην ἵνα προσηλώσῃ τῇ μονῇ νέα

25. ταῦτα τὸ λεγόμενον Βασιλειανὸν Μηνολόγιον.

26. Προκοπίου, Περὶ κτισμάτων· σελ. 190.

27. Migne, PIA΄, 841, § ργζ΄.

28. Theoph. Contin. σελ. 324. Περίεργον ὅτι ἐπὶ Ἀρκαδίου «μέγιστος οἶκος ἐν Κωνσταντινουπόλει Καρύαν εἶχεν ἐπώνυμον· ἔστι γὰρ ἐν τῇ αὐλῇ τοῦ οἴκου δένδρον καροία, ἐφ' ἧς λόγος τὸν μάρτυρα Ἀκάκιον τελειωθῆναι». Ἐν ἀρχαῖς τοῦ Ε΄ αἰῶνος ὁ μέγιστος οἶκος ὁ περικείμενος τῷ εὐκτηρίῳ κατέπεσε. Σωκρ. Ἐκκλ. Ἱστ. ΣΤ΄, κγ΄. — ? ἦν ἆρά γε ἕτερος ὁ ἐν Ἑπτασκάλῳ τοῦ ἐν Καρύᾳ ναοῦ; εἰς τὴν ἐρώτησιν ταύτην ὁ χρόνος ἀπαντήσει. Βλ. καὶ τὴν τοῦ Συμεὼν μεταφραστοῦ, Ἄθλησιν Ἀκακίου. Migne, PIE΄, 217-240.

29. Σωζόμ. Ἐκκλ. Ἱστ. Δ΄, κα΄.

30. Mordtmann· Esquisse, § 103, σελ. 57· ἐν δὲ τῷ αὐτῷ § σελ. 58 τίθησι τὸν ναὸν τοῦ ἁγίου Ἀκακίου ἐν Κοντοσκαλίῳ κατὰ τὸν ναὸν τῶν γρηγοριανῶν ἀρμενίων· ἀλλ' ἐν § 76 δέχεται καὶ ἕτερον ναὸν ἁγίου Ἀκακίου ἐν τῇ Καρύᾳ, κείμενον ἐντὸς τῶν πρὸς τὸν Κεράτιον τειχῶν κατὰ τὸ σήμερον Ἀγιάσμα-καπί· § 12, σελ. 8. Ἐν τούτοις ὀρθότερα νομίζω τὰ παρὰ Σκ. Βυζαντίῳ ἐν τῇ «Κωνσταντινουπόλει», τόμ. Α΄, σελ. 426, ἐπὶ τῇ βάσει παλαιῶν κειμένων λεγόμενα περὶ τοῦ Σταυρίου ἢ Φιλαδελφίου, ὡς κειμένου πλησίον τοῦ ναοῦ τῶν Μ΄ μαρτύρων «πρὸς τὸ τῆς βασιλικῆς δημοσίας λεωφόρου πρανὲς», ἐκείνου δῆλον οὖν, ὃν ἔκτισεν ὁ Μαυρίκιος «ἐν τῇ Μέσῃ». Ἴδε 9 μαρτίου.

31. Morcelli, Calendarium· τόμ. Β΄, σελ. 98· ταῦτα τὸ λεγόμενον Βασιλειανόν.

32. Πορφυρογ. Ἐκθ. Α΄, 776.

33. βλ. τὴν διατριβὴν ἐν Ἀρχαιολ. παραρτήματι τόμου Κ΄-ΚΒ΄ Ἑλλην. Φιλολ. Συλλόγου, σελ. 33-37.

34. Ἐκκλ. Ἱστορ. βιβλ. ΣΤ΄, κεφ. στ΄.

35. βίος Αὐξεντίου· Migne, τόμ. PIΔ΄, 1380, § β΄.

36. Θεοφ. Α΄, σελ. 152-154.

37. Theoph. Contin. σελ. 340.

38. Ζωναρᾶς, ΙΙΙ΄, 21 (Δινδορφ. Δ΄, 236).

κτήματα[39]. Ἐπὶ τῶν χρόνων τοῦ Κομνηνοῦ Μανουὴλ ὁ ναὸς οὗτος ἀναφέρεται σῳζόμενος[40], ἀλλ' ἐπὶ τῆς φραγκοκρατίας ἡ μονὴ τοῦ Ἑβδόμου ἔσῳζε μόνον ὄνομα μονῆς, οὐ σχῆμα, θρεμμάτων δ' ἔπαυλις ἀπέβησαν αὐτή τε καὶ ὁ ναός[41]. Βασίλειος ὁ Β΄ ἐτάφη «ἐν τῷ παρ' αὐτοῦ οἰκοδομηθέντι ναῷ Ἰωάννου τοῦ Θεολόγου»[42]· τούτῳ βεβαίως.

Πλὴν τοῦ ναοῦ τούτου, γνωστοί εἰσιν ὡρισμένως ναοὶ Ἰωάννου τοῦ Θεολόγου 2) ὁ εἰς τὸ Τετρακάμαρον, ὡς φαίνεται ἐξ ἐπιγράμματος ὀκταστίχου συντεθέντος ὑπὸ Θεοδώρου τοῦ Στουδίτου[43]· 3) ὁ ἐν τῷ παλατίῳ· εὐκτήριον ἀνεγερθὲν ὑπὸ Βασιλείου τοῦ Μακεδόνος[44]· 4) ὁ ἐν τῷ Διϊππείῳ, αὐτὸς πιθανῶς ὁ ἐν τῷ Μιλίῳ, κτισθεὶς ἴσως ὑπὸ τοῦ τυράννου Φωκᾶ κατὰ τὰ τέλη τοῦ ΣΤ΄ αἰῶνος ἐπ' ὀνόματι ἑτέρου ἁγίου καὶ ὑπὸ Ῥωμανοῦ Α΄ τοῦ Λακαπηνοῦ ἀναπληρωθεὶς καὶ τιμηθεὶς εἰς ὄνομα Ἰωάννου τοῦ Θεολόγου, κείμενος πλησίον τῆς Ἁγίας Σοφίας καὶ τοῦ πατριαρχικοῦ παρὰ βυζαντινοῖς οἴκου[45]· 5) ἕτερος ἦν φρονῶ ὁ ναὸς *ὁ πλησίον τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας*, ὁ ἀναφερόμενος ἐν τῷ Συναξαριστῇ καὶ τοῖς Μηναίοις, ὧν οἱ συγγραφεῖς ἐγίνωσκον τὸ Διΐππειον· ἄλλως, φαίνεταί μοι παράδοξος ἡ συνύπαρξις τριῶν ναῶν ἐπ' ὀνόματι τοῦ αὐτοῦ ἁγίου καὶ ἐν τῷ αὐτῷ τόπῳ· 6) ὁ ἐν τοῖς Βεάτου, ἀναφερόμενος τῇ 10 τοῦ ἰουλίου· 7) οἱ παραδοξογράφοι ἀναφέρουσι τὸν εἰς τοὺς Ἀρκαδιανοὺς καὶ τὸν εἰς τὰ Σῳρακίου συγχέοντες, ὡς νομίζω, τῷ ναῷ τοῦ Προδρόμου τῷ ἐν τοῖς Σῳρακίου.

Πλησίον τοῦ Ἑβδόμου ὑπῆρχον, ὡς ἔοικεν, Ὀρφανοτροφεῖόν τι, καὶ αἱ κτήσεις τοῦ μετὰ τὰ μέσα τῆς ΣΤ΄ ἑκατονταετηρίδος ἀκμάσαντος Αἰθερίου τοῦ ἐνδοξοτάτου κουράτορος[46].

Ἔξω τοῦ Ἑβδόμου ὑπῆρχον ἀπὸ τοῦ Ζ΄ καὶ κατόπιν αἰῶνος βυζαντινὰ νεκροταφεῖα, ἐντὸς κείμενα τοῦ σημερινοῦ Μακροχωρίου, ὡς δεικνύουσιν αἱ πρὸ τριετίας ἀνευρεθεῖσαι ἐπιτύμβιοι πλᾶκες, ὧν τῆς πρώτης ἔλαβον σημείωσιν τῶν διαστάσεων· ὕψος 0,75 γαλ. μ. πλάτος 0,23, ὕψος γραμμάτων 00,4. Τὸ ἔτος τὸ ἀναφερόμενον ἐν τῇ πρώτῃ καὶ τῇ τετάρτῃ τῶν ἐπιγραφῶν δυσχερῶς ἐξηγεῖται. Ἐντὸς δὲ τοῦ χωρίου, κατὰ τὴν τοποθεσίαν Ἐλαιώνων, πρὸ ὀλίγων ἐτῶν εὑρέθη, καθὼς ἤκουσα, πλινθόκτιστος τάφος, οὗ ἐντὸς ὀστέα χρυσοῖς ἐπικεκαλυμμένα σύρμασιν· ἐλέχθη δ' ὅτι πλίνθοι τινὲς τοῦ τάφου ἔφερον γράμματα ΘΕΟΔΟΣ, ἀλλ' οὐδὲν λείψανον παλαιᾶς οἰκοδομῆς εὑρέθη παρὰ τὸν τάφον τοῦτον ἕως σήμερον·

αἱ ὑπ' ἐμοῦ ἀναγνωσθεῖσαι ἐπιγραφαί εἰσιν αἱ τέσσαρες αὗται:

ἀριθμ. 1.



39. Μιχαὴλ Ἀτταλειάτης· σελ. 201.

40. Ἰωάννης Κίνναμος· Βόννης, σελ. 177.

41. Παχυμέρης· τόμ. Α΄, σελ. 124.

42. Γεώργιος Ἀμαρτωλός· Migne, PI΄ 1220. Ὁ Σκ. Βυζάντιος ὀλίγιστα λέγει περὶ τοῦ ναοῦ· «Κωνσταντινούπολις», τόμ. Α΄, σελ. 361, διότι καὶ ὁ Δουκάγγιος ὀλίγα λέγει· Const. Crist. σελ. 77, ἀριθ. Χ· καὶ ὁ δόκτωρ Α. Mordtmann οὐχὶ πολλά· Esquisse, σελ. 29-33, λαλῶν περὶ τοῦ Ἑβδόμου.

43. Στουδίτου, Τὰ εὑρισκόμενα· Migne, γΘ΄, 1801.

44. Theoph. Contin. σελ. 336.

45. Δουκαγγίου, Const. Christ. σελ. 77, XII. Ὁ ῥῶσσος μυθογράφος Ἀντώνιος γράφει ὅτι εἶδε πλησίον τῆς Ἁγίας Σοφίας ναὸν Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, ἄγνωστον ἂν τὸν ἐν τῷ Διϊππείῳ ἢ ἕτερον κείμενον πλησιέστερον τῆς μεγάλης ἐκκλησίας. Ποικίλη Στοά, τοῦ 1884, σελ. 360.

46. Αἴθοι καὶ Κεράμια· σελ. ρξστ΄, ἔνθα ἐξέδωκα τὴν ὁροθετικὴν ἐπιγραφήν.

ἀριθμ. 2.



ἀριθμ. 3.



ἀριθμ. 4.



ᾗ

9. Ἡσαΐου τοῦ προφήτου. Ἡ σύναξις ἐν τῷ προφητείῳ αὐτοῦ τῷ πλησίον τοῦ ἁγίου μάρτυρος Λαυρεντίου.

Τὸ λείψανον Ἡσαίου τοῦ προφήτου «μετακομισθὲν ἐν Κωνσταντινουπόλει κατετέθη πλησίον Βλαχερνῶν ἐν τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Λαυρεντίου»[47]. Ἡ ὁδηγία φαίνεταί μοι σαφής· ὁ δὲ ναὸς τοῦ ἁγίου Λαυρεντίου οὗτος ἔκειτο κατέναντι τῶν Βλαχερνῶν «ἐν ἀριστερᾷ τοῦ κόλπου»[48].

* * *

9. Χριστοφόρου μάρτυρος. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ Ἁγίου μεγαλομάρτυρος Γεωργίου ἐν τῷ Κυπαρισίῳ·

παρὰ τῷ Συναξαριστῇ ἡ σύναξις

καὶ παρὰ τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Πολυεύκτου.

Ἐν τούτοις Ἀκυλίνης καὶ Χριστοφόρου, συγχρόνως ἀθλησάντων ἐν Ἀντιοχείᾳ ἐπὶ Δεκίου, ναὸς ἐσῴζετο τῷ 1401, ἔχων ἀπέναντι αὐτοῦ τὸ τῇ μονῇ τοῦ Σαμψὼν ἴσως ἀνῆκον κάθισμα τοῦ Θεολογίτου[49].

Ναοὶ λοιπὸν ἐπ' ὀνόματι ἁγίου Χριστοφόρου ὑπῆρχον μέχρι τοῦ ΙΒ' ἢ ΙΓ' αἰῶνος, ὡς

47. Μηνολόγιον Βασιλειανόν.
48. Προκοπίου, Περὶ κτισμάτων· σελ. 193.
49. Acta patriarch. τόμ. Β', σελ. 551.

φαίνεται, δύο· 1) ὁ πλησίον τοῦ Ἁγίου Γεωργίου ἐν τῷ Κυπαρισίῳ· καὶ 2) ὁ πλησίον τοῦ Ἁγίου Πολυεύκτου[50], κείμενος οὐ μακρὰν τῆς ἁγίας Εὐφημίας τῶν Ὀλυβρίου[51].

* * *

9. Ἐπιμάχου καὶ Γορδιανοῦ. Ἡ σύναξις ἐν τῷ ναῷ τοῦ ἁγίου Στρατονίκου.

Ἡ τῆς συνάξεως διάταξις εὑρηται παρὰ τῷ Συναξαριστῇ, οὐχὶ παρὰ τοῖς Μηναίοις.

Ὁ ναὸς τοῦ ἁγίου Στρατονίκου, καθὼς εἴδομεν εἰς τὴν 13 ἰανουαρίου, ἔκειτο ἔξω τῆς πόλεως, ἐν τῷ Ῥηγίῳ.

ᾗ

11. Τὸ γενέθλιον τῆς πόλεως[52].

Ἡ ἑορτὴ καθιερώθη ὑπ' αὐτοῦ τοῦ τῆς πόλεως κτίτορος, ὅστις μετὰ τὴν τοῦ τείχους συμπλήρωσιν καὶ τὴν τοῦ Βυζαντίου μετονομασίαν «ἅμα τῷ ἁγιωτάτῳ πατριάρχῃ λιτανεύσας ἀνῆλθεν ἐν τῷ Φόρῳ, ἐν ᾧ τὴν αὐτοῦ στήλην οἱ πολῖται ἀνέστησαν»[53]· τοῦτο δέ, καθὰ λέγεται, τῇ 11 μαΐου 330, ὅτε καὶ μεγάλην ἑορτὴν ἐπετέλεσε, καθὼς ἐν τοῖς προλεγομένοις ἐγράφη τοῦ παρόντος συγγράμματος. Γινώσκω δ' ὅτι, κατὰ περίστασιν, τῷ 559 τὸ Γενέθλιον οὐχ ἑωρτάσθη τὴν 11, ἀλλὰ τὴν 13 τοῦ μαΐου[54]. Κατὰ δὲ τὸ ἔτος 583, σεισμοῦ μεγίστου συμβάντος τῇ 10 μαΐου, «τὸ γενέθλιον ἱππικὸν οὐκ ἐπετελέσθη»[55] διὰ τὸν πάγκοινον φόβον.

Ἡ ἐπὶ τῷ Γενεθλίῳ λιτὴ ἀρχομένη ἀπὸ τοῦ Φόρου συνεπληροῦτο ἐν τῇ Μ. ἐκκλησίᾳ.

* * *

11. Μωκίου ἱερομάρτυρος. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ.

Ἐκ Ῥώμης ὁρμώμενος ὁ Μώκιος, ἐγεννήθη ἐν Κωνσταντινουπόλει· πρεσβύτερος τῆς Ἐκκλησίας Ἀμφιπόλεως, ἦλθησεν (ἀπὸ τῆς Ἡρακλείας τῆς Θράκης ἐλθὼν) ἐν Βυζαντίῳ ἐπὶ Διοκλητιανοῦ.

Ναὸν ἐπ' ὀνόματι τοῦ ἁγίου Μωκίου ἔκτισε, κατὰ τὴν παράδοσιν, ὁ Μ. Κωνσταντῖνος[56] μέγιστον καὶ πολυτελῆ[57] ἐπὶ τῶν ἐρειπίων ἀρχαίου ναοῦ τοῦ Ἡρακλέους, ὡς ἔσῳζεν ἡ παράδοσις μέχρι τοῦ Ι' αἰῶνος[58], οὗ πλησίον, ὡς ἔοικεν, ἐτάφη τὸ σῶμα τοῦ μάρτυρος. Ἐπὶ Θεοδοσίου Α', τὸν μέγαν τοῦτον ναὸν λαβόντες οἱ ἀρειανοὶ ἐπεσκεύασαν, ἐν αὐτῷ λειτουργούμενοι. Πεσὼν τότε, κατὰ μὲν τοὺς παραδοξογράφους ἀνηγέρθη ὑπὸ Πουλχερίας καὶ Μαρκιανοῦ[59], κατὰ δὲ τὴν ἱστορίαν ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ πρὸ τοῦ 527, ἱκανῶς εὐρύχωρος[60]. Κατὰ Μάρκελλον τὸν ἀναγνώστην, ὁ ναὸς ἐκρημνίσθη τῷ 718[61], ἀνηγέρθη δ' ὑπὸ Βασιλείου τοῦ Μακεδόνος, πρὶν αὐτοῦ κατὰ τὸ πλεῖστον κατεστραμμένος ὤν· ὁ Βασίλειος συνεπλήρωσεν ἐπιμελῶς τὴν ὅλην οἰκοδομὴν τοῦ μεγίστου τούτου ναοῦ[62]. Ἐπὶ τοῦ πατριάρχου Μιχαὴλ Κηρουλαρίου ἐσῴζετο ἡ μονὴ τοῦ ἁγίου Μωκίου, ἧς ἡγούμενος ἦν Θεόδουλος, ὁ κατόπι Βουλγαρίας ἀρχιεπίσκοπος[63]. Ἀλλ' ἐπὶ Ἰωάννου τοῦ Παλαιολόγου πλέον ἀναφέρονται μόνον «τὰ περιλειπόμενα τοῦ ναοῦ τοῦ ἁγίου Μωκίου»[64], δῆλον οὖν ἐσῴζοντο λείψανά τινα τοῦ μεγαλοπρεποῦς ἐκείνου ναοῦ.

Ἀγνοῶ ἂν εἰς τὴν μονὴν τοῦ ἁγίου Μωκίου ταύτην, ἢ εἰς ἑτέραν ὁμώνυμον παρὰ τῇ Κωνσταντινουπόλει κειμένην, ἀναφέρηται ἡ παρὰ Βαλσαμῶνι φερομένη διάταξις, καθ' ἣν «καθηγούμενός τις τῆς σεβασμίας μονῆς τοῦ ἁγίου Μωκίου χωρὶς ἐπιτροπῆς τοιαύτης (ἐπισκοπικῆς ἢ βασιλικῆς δηλ.) λείψανα μεταθέμενος ἐξεβλήθη συνοδικῶς ἀπὸ τῆς ἡγουμενείας καὶ καθῃρέθη»[65].

Αὐτοκρατορικὴ προέλευσις ἐν τῷ ναῷ τούτῳ ἐγίνετο κατὰ τὴν Μεσοπεντηκοστήν, ἥτις

50. ἰδὲ εἰς τὴν 16 δεκεμβρίου.
51. Πορφυρογεν. Ἔκθ. σελ. 83.
52. οὕτω γράφεται ἐν Εὐαγγελίῳ μεμβρανίνῳ τοῦ ΙΒ' αἰῶνος ἐν τῇ μονῇ τοῦ Σταυρονικήτα σῳζομένῳ. Ἐν τῷ παρὰ Morcelli, Calendarium, τόμ. Α', σελ. 54, «τὸ γενέσιον τῆς πόλεως»· ἐν τῷ Μηναίῳ «ἀνάμνησιν πνευματικῶς ἐπιτελοῦμεν τοῦ γενεθλίου, ἤτοι τῶν ἐγκαινίων» κτλ.
53. ταῦτα κατὰ τὸ Βασιλειανόν.
54. Μαλαλᾶς· σελ. 490.
55. Θεοφ. Α', σελ. 389.
56. αὐτόθι, σελ. 34.
57. ἡ μαρτυρία περὶ τούτου ἐν τῷ Μηναίῳ.
58. Συμεὼν μάγιστρος· σελ. 704.
59. Κωδινοῦ, Περὶ κτισμάτων· σελ. 72.
60. Προκοπίου, Περὶ κτισμάτων· σελ. 190.
61. ἡ μαρτυρία τοῦ Μαρκέλλου παρὰ Κωδινῷ· Περὶ κτισμάτων, σελ. 73.
62 Theoph. Contin. σελ. 323. Δουκαγγ. Const. Christ. σελ. 89. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Α', σελ. 296-298.
63. Κεδρηνός· τόμ. Β', σελ. 611.
64. Μιχαὴλ Δούκας· σελ. 47.
65. Ἑρμ. εἰς κεφ. κζ' τίτλου Θ' Νομοκάνονος τοῦ Φωτίου· Σύνταγμα Ῥάλλη καὶ Ποτλῆ· τόμ. Α', σελ. 209.

ἀπὸ τῶν ἀρχῶν τοῦ Ι′ αἰῶνος ἐπὶ τοῦ σοφοῦ Λέοντος ἐπαύσατο ἐπί τινα καιρὸν τελουμένη, καίτοι ἀναφέρεται παρὰ Πορφυρογεννήτῳ, ἤτοι κατὰ τὰ μέσα τοῦ αἰῶνος τούτου [66].

Ἐν τῇ μονῇ τοῦ ἁγίου Μωκίου ἀπέκειτο τὸ λείψανον Σαμψὼν ὁσίου τοῦ ξενοδόχου.

Ἐπὶ Εὐθυμίου τοῦ πατριάρχου (ἴδε εἰς τὴν 5 αὐγούστου) ἀναφέρεται γνωριζόμενος Μάρκος ὁ πολυμαθὴς μοναχός, οἰκονόμος τῆς μονῆς τοῦ ἁγίου Μωκίου ταύτης, ὁ τὸ κατὰ τὸ Μ. σάββατον τετραῴδιον τοῦ ἱεροῦ Κοσμᾶ ἀναπληρώσας [67].

ℓ

12. Ἐπιφανίου ἐπισκόπου Κύπρου. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ οἴκῳ, τῷ ὄντι ἔνδον τοῦ Ἁγίου Φιλήμονος.

Ὁ ναίσκος ἦν, ὡς φαίνεται, παρεκκλήσιον τοῦ ναοῦ τοῦ ἁγίου Φιλήμονος ἐν τῷ Στρατηγείῳ [68].

* * *

12. Γερμανοῦ πατριάρχου Κωνσταντινουπόλεως. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Βυζάντιος τὴν πατρίδα, υἱὸς τοῦ πατρικίου Ἰουστινιανοῦ, ἐγεννήθη περὶ τὰ μέσα τοῦ Ζ′ αἰῶνος· ἐχειροτονήθη μητροπολίτης Κυζίκου, καὶ μετατεθεὶς εἰς τὸν πατριαρχικὸν θρόνον τῇ 9 αὐγούστου 715, ἐκόσμησεν αὐτὸν ἄχρις ἰανουαρίου 730, ὅτε ἀποσυρθεὶς εἰς τὸν πατρικὸν αὐτοῦ οἶκον ἀπεβίωσε τῇ 11 μαίου 740, ταφεὶς ἐν τῇ μονῇ τῆς Χώρας, ἥτις ἐτέλει βεβαίως τὴν τῆς 12 μαίου σύναξιν [69]. Ἠγωνίσατο κατὰ τῆς αἱρέσεως τῶν εἰκονομάχων, ἥτις ἀνέθορεν ἐπ' αὐτοῦ. Ἐκκλησίαι τινὲς ἐγέραιρον τὴν μνήμην τοῦ Γερμανοῦ τῇ 4 μαίου [70].

ℓ

13. Σεργίου τοῦ ὁμολογητοῦ.

Βυζάντιος τὴν πατρίδα, υἱὸς εὐγενῶν καὶ πλουσίων γονέων, ἤκμασεν ἐπὶ τῶν εἰκονομάχων, ἴσως ἐπὶ Λέοντος τοῦ Ἰσαύρου, πρὸς ὃν μὴ συμφρονήσας, ἀπῆλθεν ἐκ Κωνσταντινουπόλεως σὺν τῇ συζύγῳ Εἰρήνῃ καὶ τοῖς τέκνοις, ἀποθανὼν ὑπερόριος [71].

* * *

13. Τῇ αὐτῇ ἡμέρᾳ τελοῦνται τὰ ἐγκαίνια τοῦ ἐν τῇ νήσῳ τῆς ἁγίας Γλυκερίας σεβασμίου ναοῦ τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου τῆς Παντανάσσης [72].

Ἡ μικρὰ νῆσος τῆς ἁγίας Γλυκερίας κεῖται πρὸ τοῦ Νικητιάτου, δῆλα δὴ πρὸ τῆς σήμερον καλουμένης κώμης Τούζλων. Ἡ μονὴ ἐσῴζετο τῷ 1158 καὶ ὑπὲρ αὐτῆς, ὡς καὶ ὑπὲρ ἑτέρων τινων μονῶν ἐξέδωκε χρυσόβουλλον Μανουὴλ ὁ Κομνηνός [73].

Ναὸς δὲ τῆς ἁγίας Γλυκερίας, ἀθλησάσης ἐν Ἡρακλείᾳ Θρᾴκης ἐπὶ Ἀντωνίνου, ἠγείρετο ἐν τῇ θρᾳκικῇ ταύτῃ πόλει. Περὶ τοῦ ναοῦ τούτου μυθολογεῖ τινα Θεοφύλακτος ὁ Σιμοκάττης ὡς ἐν ἔτει 583 γενόμενα· τὸν ναὸν τοῦτον, ἐν μέρει πυροποληθέντα, δαπάναις ἰδίαις ἀνήγειρεν ὁ Μαυρίκιος τῷ 591 [74].

ℓ

14. Ἰσιδώρου μάρτυρος τοῦ ἐν Χίῳ.

Ἴσως ἐπ' ὀνόματι τοῦ Ἰσιδώρου τούτου, τοῦ ἐπὶ Δεκίου ἀθλήσαντος, ἐτιμᾶτο ὁ ὑπὸ Μαρκιανοῦ οἰκοδομηθεὶς ναὸς ἢ *πλησίον* ἢ *ὑπὸ* τὸν τῆς ἁγίας Εἰρήνης τὸν ἐν τῷ Περάματι [75].

66. Theoph. Contin. σελ. 365. Συμεὼν μάγιστρος· σ. 704, ὃς γράφει *Πεντηκοστῆς*.

67. Γεώργιος μοναχός· σελ. 862. Κεδρηνός· τόμ. Β′, σελ. 261.

68. Ἰδὲ εἰς τὴν 22 ἰανουαρίου. Ὁ Ἐπιφάνιος γεννηθεὶς τῷ 310 ἐπεσκέψατο τὴν Κωνσταντινούπολιν ἐν ἡλικίᾳ 93 ἐτῶν, καὶ ἀπέθανε κατὰ τὸν πλοῦν τῇ 12 μαίου 403 ἐπιστρέφων εἰς Κύπρον. Περὶ βίου καὶ συγγραμμάτων Ἐπιφανίου βλέπε Κ. Κοντογόνου Ἱστορίαν τῶν ἁγίων Πατέρων· τόμ. Β′, σελ. 324-350, καὶ Ἀποστ. Χριστοδούλου Πατρολογίαν· τόμ. Α′, σελ. 500-509.

69. Πατριαρχ. Πίνακες· σελ. 255-258. Νικηφόρος πατριάρχης· σ. 54, 65. Θεοφάνης, Α′, σ. 586, 589-590, 626 κ. ἑξ. Κεδρηνός· τόμ. Α′, σελ. 786, 797-800.

70. Ἱεροσλμ. Βιβλιοθ. Β′, σελ. 472.

71. ταῦτα κατὰ τὸ Βασιλειανὸν λεγόμενον· ὁ τοῦ Νικοδήμου Συναξαριστὴς καὶ τὰ Μηναῖα λέγουσιν ὅτι ἤκμασεν ὁ Σέργιος ἐπὶ Θεοφίλου.

72. ταῦτα φέρονται παρὰ τῷ Συναξαριστῇ τοῦ Νικοδήμου, οὐχὶ δ' ἐν τοῖς Μηναίοις.

73. βλ. τὸ μικρόν μου βιβλίον «Ἀκρίτας καὶ Τοῦζλα», σελ. 18, 19· τὸ δὲ χρυσόβουλλον ἀνάγνωθι ἐν τῷ βιβλίῳ μου Λίθοις καὶ Κεραμίοις· σελ. 37-41.

74. Σιμοκάττης· σελ. 54 καὶ 241.

75. τὰ Μηναῖα γράφουσιν: *ἐπισυνάψας* ναὸν Ἰσιδώρου τοῦ μάρτυρος· ἀλλὰ περὶ ναῶν ἐπαλλήλων βλέπε τὰ γραφέντα τῇ 7 ἰανουαρίου ἐν σημ. 41. Σημειωτέον ὅτι Ἰσίδωρος μάρτυς ἀναφέρεται καὶ τῇ 7 δεκεμβρίου, εἰς ὃν ὑπόμνημα οὐ σῴζεται. Ἴδε βιογρ. Μαρκιανοῦ ἐν τῷ μετὰ χεῖρας συγγράμματι εἰς τὴν 10 ἰανουαρίου.

* * *

14. Θεράποντος ἱερομάρτυρος.

Ἄγνωστα τὰ κατ' αὐτόν· παράδοσις ὑπῆρχε παρὰ τοῖς βυζαντινοῖς ὅτι ἐχρημάτισεν ἐπίσκοπος ἐν Κύπρῳ καὶ ὅτι τὸ λείψανον αὐτοῦ μετεκομίσθη εἰς Κωνσταντινούπολιν.

* * *

14. Ἀλεξάνδρου μάρτυρος. Ἡ σύναξις ἐν τόπῳ καλουμένῳ Κεντούκελλαι.

Ἤθλησεν ἐν Δριζιπάροις τῆς Θρᾴκης ἐπὶ Μαξιμιανοῦ.

Ἡ τοποθεσία Κεντούκελλαι φέρεται μόνον ἐν τῷ Συναξαριστῇ, οὐχὶ δὲ ἐν τοῖς Μηναίοις.

* * *

14. Ἀλεξάνδρου, Βαρβάρου καὶ Ἀκολούθου μαρτύρων. Ἡ σύναξις ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς ἁγίας Εἰρήνης τῷ πρὸς τὴν θάλασσαν.

Ἡ μνήμη παρὰ τοῖς Συναξαρισταῖς· ἴδιος ἐπ' ὀνόματι τῶν μαρτύρων τούτων ναὸς οὐκ ἠγείρετο.

ℓ

15. Μνήμη τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου ἐν τῷ Περιτειχίσματι. Καὶ ἡ τῆς ἀχειροποιήτου εἰκόνος ἐν Καμουλιανοῖς ἀνάδειξις, φανερωθείσης ἐν τοῖς χρόνοις Θεοδοσίου τοῦ βασιλέως.

Ἡ μνήμη φέρεται παρὰ τῷ Λαυριωτικῷ Δ39 Συναξαριστῇ· παρὰ Νικοδήμῳ τῇ 9 αὐγούστου φέρεται μόνον τὸ περὶ τῆς ἐν Καμουλιανοῖς εἰκόνος, οὐχὶ τὸ περὶ τῆς Θεοτόκου τοῦ Περιτειχίσματος. Τὸ περὶ τῆς εἰκόνος τῶν Καμουλιανῶν ὑπόμνημα ψευδεπίγραφόν ἐστι Γρηγορίου τοῦ Νύσσης [76].

Ἰδὲ καὶ εἰς τὴν 13 ἰουνίου.

* * *

15. Νικολάου πατριάρχου Κωνσταντινουπόλεως τοῦ ἐν Γαλακρίναις.

Ἡ μνήμη τίθεται τῇ 15 μαίου κατὰ τὸ 426 Εὐαγγέλιον· παρὰ τῷ Συναξαριστῇ τῇ 16.

Νικόλαος ὁ μυστικός, σοφὸς καὶ συνετὸς ἀνὴρ καταγόμενος ἐξ Ἰταλῶν, κατεσπάσθη τοῦ θρόνου ὑπὸ Λέοντος τοῦ Σοφοῦ τῇ 1 φεβρουαρίου 906, ἢ κατὰ De Boor 907, ἐπανῆλθε κατὰ μάϊον ἢ ἰούνιον τοῦ 911 καὶ διῴκησε τὴν Ἐκκλησίαν μέχρι τῆς 15 μαίου 925, ὅτε ἀπέθανε, ταφεὶς βεβαίως ἐν τῇ μονῇ αὐτοῦ τῇ τῶν Γαλακρηνῶν, ἥτις ἦγε τὴν ἐπὶ τὴν μνήμῃ σύναξιν [77]. Τῷ 1140 ἀναφέρονται μοναχοὶ ἐνασχολούμενοι «τῇ κατὰ τὸ ἱερὸν τοῦ κυρίου Νικολάου λεγομένῃ μονῇ» [78]. Βεβαίως διὰ τῆς λέξεως ἱερὸν ἐννοεῖται τὸ Ἡραῖον, τὸ Φενὲρ-μπαγτζὲ τῆς σήμερον.

Ἡ μονὴ τῶν Γαλακρηνῶν (ἢ Γαλακρίνων) ἔκειτο, κατὰ τὰς παρατηρήσεις τοῦ ζηλωτοῦ τῶν πατρίων Ἰωάννου Π. Μηλιοπούλου, πλησίον τοῦ χωρίου Μπακάλ-κιοϊ (τοῦ μικροῦ, διότι ὑπάρχει καὶ μέγα, ὡς γνωστόν).

ℓ

16. Μνήμη τῆς Ἁγίας Εὐφημίας πλησίον τοῦ νεωρίου λιμένος εἰς τὴν Ἁγίαν Δύναμιν.

Ἤγετο κατὰ τὴν ἡμέραν ταύτην ἡ γενεθλιακὴ ἑορτὴ τοῦ ναοῦ τούτου, κειμένου κατὰ τὸ Μπαγτζὲ-καπὶ τῆς σήμερον.

* * *

16 Πέτρου μάρτυρος τοῦ ἐν Βλαχέρναις.

Ἤθλησεν ὑπὲρ τῶν ἁγίων Εἰκόνων τῇ 16 μαίου 761, ἤγουν ἔτη τινα πρὸ τοῦ Στεφάνου τοῦ νέου [79]. Φαίνεταί μοι ὅτι οὗτός ἐστιν ὁ παρὰ Θεοφάνει *ἀοίδιμος στυλίτης ἀπὸ πέτρας* [80], ὅπου ἡ λέξις *πέτρα* προδήλως ἀναφέρει ἡμᾶς εἰς τὸν ἐν τῇ Πέτρᾳ ναὸν τῆς Θεομήτορος ἢ Ἰωάννου τοῦ Προδρόμου, ὅπου ἐμόναζεν ὁ ὅσιος Πέτρος. Καθ' ἃ παρὰ τῷ Συναξαριστῇ φέρεται γεγραμμένον «Πέτρος ὁ ἐν Βλαχέρναις»,

76. καὶ ὁ Νικόδημος ἐν 2 σημειώσει εἰς τὴν 9 αὐγούστου τολμᾷ 'να σημειώσῃ ὅτι «ἡ φράσις τοῦ διηγήματος δὲν ὁμοιάζει μὲ τὴν φράσιν τοῦ Θείου Γρηγορίου τοῦ Νύσσης». Ἡ διήγησις ἀνέθορε προδήλως ἐπὶ τῶν εἰκονομάχων. Ἡ δὲ εἰκὼν εὑρέθη ἐν Καμουλιαναῖς (Καππαδοκίας;) ἐντὸς κιβωτίου ἐπὶ μανδηλίου λευκοῦ γεγραμμένη, θεόθεν καταπεμφθέντος εἰς Ἀκυλίναν τινά.

77. Πατριαρχ. Πίνακες· σελ. 295 καὶ 298-300. Βίος Εὐθυμίου· ἔκδ De Boor· σελ. 44 καὶ 46. Λέων γραμματικός· σελ. 314.

78. Ῥάλλη καὶ Ποτλῆ, Σύνταγμα τῶν ἱερῶν Κανόνων· τόμ. Ε′, σελ. 77.

79. Λέων διάκονος· annotat. Hasii· σελ. XXIV. ἀναγράφεται δ' ἡ τούτων μνήμη τῇ 20 σεπτεμβρίου, σὺν Ἀνδρέᾳ καὶ Παύλῳ καὶ Στεφάνῳ· Migne, PIE′, 1084 καὶ 1100. Στεφάνου βίος ὑπὸ Στεφάνου διακόνου· Migne, τόμ. Ρ′, 1165.

80. Θεοφ. Α′, σελ. 683.

συμπεραίνομεν ὅτι ἐτάφη ἐν τῷ ναῷ τῶν Βλαχερνῶν, ἢ παρὰ τῷ ναῷ.

ℓ

17. Ἀνδρονίκου καὶ Ἰουνίας τῶν ἀποστόλων.

Ὁ ἀναγνώστης παραπέμπεται εἰς τὴν 22 φεβρουαρίου· διότι βεβαίως ἐτέλει σύναξιν ἐπὶ τῇ μνήμῃ τῶν ἀποστόλων τούτων τῶν ἐκ τῶν ἑβδομήκοντα ὁ ναὸς ἐκεῖνος, εἰς ὃν εὑρέθησαν τὰ λείψανα αὐτῶν.

ℓ

18. Ἀναστασὼ ἡ ἐν τοῖς Λευκαδίου ἐν εἰρήνῃ τελειοῦται.

Ἄγνωστος ὁ χρόνος, καθ' ὃν ἔζησε· τὸ Λευκάδιον, ἢ Λευκάτιον, καὶ Λευκάτης, καὶ Λευκάκτης, ἔκειτο κατὰ τὴν βιθυνικὴν παραλίαν οὐ μακρὰν τοῦ Ἀκρίτα, πολὺ πιθανῶς πλησίον τῆς Δακιβύζης[81].

* * *

18. Μαρτινιανοῦ τοῦ ἐν τοῖς Ἀρεοβίνδου.

Ἄγνωστος ὁ χρόνος, καθ' ὃν ἔζησεν ὁ ἀνὴρ, ἀσκούμενος βεβαίως ἐν τῷ ναῷ τῆς Θεοτόκου τῶν Ἀρεοβίνδου[82].

* * *

18. Στεφάνου πατριάρχου Κωνσταντινουπόλεως. (? Ἡ σύναξις ἐν τῇ μονῇ τῶν Σικελῶν;)

Βασιλείου τοῦ Μακεδόνος υἱὸς καὶ τῆς Εὐδοκίας, ἐξελέγη πατριάρχης μετὰ τὴν 26 ὀκτωβρίου 878 καὶ ἐπεσκόπησεν ἄχρι τῆς 17 μαΐου 893, ὅτε ἀπέθανε ταφεὶς ἐν τῇ μονῇ τῶν Σικελῶν ἢ Σικέλλων[83]. Ἐχρημάτισε μαθητὴς καὶ σύγκελλος τοῦ πατριάρχου Φωτίου[84], πατριάρχης ἐκλεγεὶς διὰ τὴν ἀρετὴν αὐτοῦ καὶ σύνεσιν καὶ τὴν ἁπλότητα τοῦ ἤθους «νέος ἔτι ὤν, ψήφῳ τοῦ βασιλέως καὶ τῆς ἱερᾶς συνόδου καὶ παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ», προστάτης ὀρφανῶν καὶ πενομένων ἀναδειχθείς· «τὴν σάρκα τήκων τῇ ἐγκρατείᾳ, ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας πρὸς Κύριον ἐξεδήμησε»[85].

ℓ

19. Πατρικίου ἱερομάρτυρος ἐπισκόπου Προύσης. Ἡ σύναξις ἐν τῷ οἴκῳ τῆς ὑπεραγίας Θεοτόκου· (παρὰ Νικοδήμῳ τῶν Κύρου).

Ἄγνωστός μοι τῆς ἀκμῆς ὁ χρόνος.

ℓ

20. Θαλελαίου μάρτυρος.

Ἤθλησεν ἐπὶ Νουμεριανοῦ ἐν Ἐδέσσῃ τῆς Αἰγαίων πόλεως (ἐν Βοδενᾷ τῆς Μακεδονίας), ἰατρὸς ὢν ἐν Ἀναζάρβῳ τῆς Κιλικίας.

Κατὰ τὸ χειρόγραφον, ὅπερ εἶχεν ὑπ' ὄψιν ὁ Νικόδημος, ἡ σύναξις ἐτελεῖτο ἐν τῷ μαρτυρείῳ τῷ ἐντὸς τοῦ Ἁγίου Ἀγαθονίκου. Πλὴν τοῦ ναΐσκου τούτου γινώσκομεν 2) καὶ τὸν ὑπὸ τὸν βουνὸν τοῦ Αὐξεντίου ναόν, ἀναφερόμενον ἐν βιογραφίᾳ τοῦ ὁσίου τούτου.

Φαίνεται ὅτι μοναί τινες ἑώρταζον κατὰ τὸν Θ' καὶ Ι' αἰῶνα τὴν τοῦ Θαλελαίου μνήμην τῇ 3 σεπτεμβρίου μηνός, ὅτε τὸ μαρτύριον ὑπέστη[86].

ℓ

21. Κωνσταντίνου καὶ Ἑλένης τῶν ἐνδόξων μεγάλων θεοστέπτων καὶ ἰσαποστόλων βασιλέων. Τελεῖται δ' ἡ αὐτοῦ[87] σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν τοῖς Ἁγίοις Ἀποστόλοις, καὶ ἐν τῷ θείῳ αὐτοῦ ναῷ, τῷ ἐν τῇ κιστέρνῃ τοῦ Βώνου[88], τοῦ πατριάρχου, ἅμα τῷ βασιλεῖ καὶ τῇ συγκλήτῳ, μετὰ λιτῆς ἐκεῖσε παραγινομένου καὶ τὴν θείαν μυσταγωγίαν ἐπιτελοῦντος.

Τὸ Πασχάλιον Χρονικὸν τίθησι τὸν θάνατον τοῦ Κωνσταντίνου τῇ 22 τοῦ μαΐου, «ἐν αὐτῇ τῇ ἁγίᾳ Πεντηκοστῇ», 337, ἐν ὑπατείᾳ Φηλικιανοῦ καὶ Τατιανοῦ, ὁ δὲ Σωκράτης «δευτέρᾳ καὶ εἰκάδι μαΐου μηνός»[89].

Ἐγεννήθη τῷ 274. Περὶ γνωστοῦ ἐπιφανοῦς ἀνδρὸς κρίνω περιττὸν τὸν μακρὸν λόγον,

81. Μ. Ι. Γεδεών, Ἀκρίτας καὶ Τοῦζλα· σελ. 31, 32.

82. βλέπε εἰς τὴν 10 φεβρουαρίου καὶ σημ. 41 ἐν τῷ μετὰ χεῖρας συγγράμματι.

83. Πατρ. Πίνακες· σ. 293. Λέων γραμματικός· σ. 263.

84. Συμεὼν μάγιστρος· σελ. 700. Γεώργιος μοναχός· σελ. 849. Κεδρηνός· τόμ. Β', σελ. 249.

85. ταῦτα τὸ Βασιλειανὸν λεγόμενον Μηνολόγιον.

86. Ἱεροσλμ. Βιβλιοθ. Α', σελ. 27.

87. ἔντυποί τε καὶ χειρόγραφοι Συναξαρισταὶ καὶ Μηναῖα γράφουσιν *αὐτοῦ*, οὐχὶ δ' *αὐτῶν*.

88. ὁ λαυριωτικὸς Συναξαριστὴς Δ39 γράφει, «ἐν τῷ θείῳ αὐτοῦ ναῷ *ἐν τῇ μονῇ τῆς κιστέρνης*».

89. Πασχ. Χρον. σ. 533. Σωκρ. Ἐκκλ. Ἱστ. Α', μ'.

ἐκδιδοὺς μάλιστα προσεχῶς δύο βιογραφίας αὐτοῦ. Ἑλένη ἡ μήτηρ αὐτοῦ ἀπεβίωσε τῷ 328 ὀγδοηκοντοῦτις.

Ναοὶ ἐπ' ὀνόματι Κωνσταντίνου γινώσκονται 1) ὁ ἐν τῇ κιστέρνῃ τοῦ Βώνου, ἢ, καθὼς ἐξέλαβεν ὁ Δουκάγγιος, ὁ ἐν τῇ Μωκησίᾳ παρὰ τὸ Ἐξωκιόνιον[90] (Τσικοὺρ-μποστὰν τῶν Ἓξ μαρμάρων)· 2) ὁ ἐν τῷ παλατίῳ τῶν Πηγῶν κτισθεὶς ὑπὸ Βασιλείου τοῦ Μακεδόνος[91]· 3) ὁ ἐν τῷ Φόρῳ τοῦ Μ. Κωνσταντίνου παρὰ τὴν βάσιν τοῦ μεγάλου κίονος, τοῦ γνωστοῦ σήμερον Τσεμπερλῆ-τάς[92]· 4) ὁ ἔξω τῆς Κωνσταντινουπόλεως οὐ μακρὰν αὐτῆς ἔν τινι λόχμῃ κτισθεὶς ὑπὸ Βασιλείου τοῦ Μακεδόνος καθὸ κατ' ἔκστασιν ἰδόντος αὐτόθι (διὰ μαγγανειῶν δῆθεν Λέοντος τοῦ Σαλιβαρᾶ) τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον τὸν πρὸ πολλοῦ θανόντα, ὃν καὶ περιεπτύξατο· «μονὴν ἐκεῖσε κτίσας ἐπωνόμασεν αὐτὴν τοῦ Ἁγίου Κωνσταντίνου»[93]· 5) τὸ μετόχιον Ἁγίου Κωνσταντίνου εἰς Ἀρκαδιανούς, ὅπερ βεβαίως ὑπῆρχε πρὸ τοῦ Θ' αἰῶνος, διότι «τελευτήσαντος Νικολάου τοῦ συγκέλλου θάπτουσιν αὐτὸν εἰς Ἀρκαδιανούς, εἰς τὸν ἑαυτοῦ οἶκον, ἔνθα ἐστὶ τὸ μετόχιον ταῦ Ἁγίου Κωνσταντίνου»· ἦν δ' ὁ Νικόλαος οὗτος πρότερον νεωκόρος τοῦ Ἁγίου Διομήδους, ἤτοι τοῦ ναοῦ, ἐν ᾧ μίαν νύκτα, ὅτε πρῶτον ἦλθεν εἰς Κωνσταντινούπολιν, ἐκοιμήθη Βασίλειος ὁ Μακεδών, ὅστις βασιλεύσας ἀνέδειξε σύγκελλον τὸν Νικόλαον, ἤτοι συνοδικὸν, ὡς εἰπεῖν, τοῦ πατριάρχου τῷ 874[94]· 6) τολμῶ 'να τάξω ἐνταῦθα τὸν ἐν Ὑψωμαθείοις ναὸν τοῦ ἁγίου Κωνσταντίνου, περὶ οὗ σῴζεται γράμμα Μητροφάνους Γ' τοῦ πατριάρχου, ἀπολελυμένον τῷ 7077 (1568 ἢ 1569) ἄνευ δηλώσεως τοῦ μηνὸς, ὅπερ ἐξέδωκεν ἠρειπιωμένον ὁ γνωστὸς Ἀθ. Κεραμεὺς[95], καὶ δι' οὗ ὁ πατριάρχης ἀποφαίνεται περὶ τῆς ἐν τῷ ναῷ τάξεως τῶν ἱερέων ὡς διαρκούσης ἀπὸ τῶν μέσων τοῦ ΙΕ' αἰῶνος·

7) μονὴν ἐπ' ὀνόματι τῆς ἁγίας Ἑλένης ἀναφέρει, κατὰ τὸ χρονικὸν Ἀνδρέου τοῦ Δανδόλου, ὁ Δουκάγγιος, σῳζομένην ἐν ἀρχαῖς τοῦ ΙΓ' αἰῶνος[96].

Τὸ στέμμα τοῦ Μ. Κωνσταντίνου μέχρι τοῦ τέλους τῆς ΙΒ' ἑκατονταετηρίδος ἐσῴζετο ἐν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας ἀπηωρημένον ἄνωθεν τῆς ἁγίας Τραπέζης[97]. Ἡ νενομισμένη παννυχὶς ἐπὶ τῇ ἑορτῇ ἐτελεῖτο τὴν 20 πρὸς τὴν 21 «ἐν τῷ νέῳ παλατίῳ τῷ τοῦ Βόνου οἰκιακῶς εἰς τοὺς τιμίους καὶ ἁγίους Σταυρούς»· τῆς δὲ προελεύσεως γινομένης ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων τὴν 21, ὁ αὐτοκράτωρ ἐθυμία τοὺς τάφους «Βασιλείου τοῦ ὀρθοδόξου καὶ ἀγαθοῦ βασιλέως», εἶτα τοὺς τάφους Λέοντος καὶ Θεοφανοῦς, «εἶθ' οὕτω τοῦ ἁγίου καὶ μεγάλου Κωνσταντίνου»[98].

* * *

21. Ὁ ἅγ. Μαξιμιανὸς πατριάρχης Κωνσταντινουπόλεως ἐν εἰρήνῃ τελειοῦται[99].

* * *

22. Μνήμη τῆς ἁγίας καὶ οἰκουμενικῆς Β' Συνόδου τῆς καθελούσης τὸν Μακεδόνιον λέγοντα μὴ εἶναι Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον[100].

ℓ

23. Μιχαὴλ ἐπισκόπου Συνάδων τοῦ ὁμολογητοῦ.

Χειροτονηθεὶς ὑπὸ τοῦ πατριάρχου Ταρασίου μητροπολίτης Συνάδων, ἠγωνίσατο κατὰ τῶν εἰκονομάχων καταδιωχθεὶς ὑπ' αὐτῶν. Ἀπέθανε πιθανῶς ἐπὶ Λέοντος Ε'. Πέτρῳ τῷ μητροπολίτῃ Νικαίας γράφων ὁ Στουδίτης ἱστορεῖ τὰς τελευταίας τοῦ βίου στιγμὰς καὶ τὸν θάνατον τοῦ Μιχαὴλ Συνάδων, οὗ τὰς ἀρετὰς ἐπαινεῖ, τὴν ἀγνείαν, τὴν φιλοξενίαν, τὴν μετριοφροσύνην[101].

90. Const. Christ. σελ. 83, β'.

91. Theoph. Contin. σελ. 337.

92. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Α', σ. 427, 430, 433. Πορφυρογ. Ἔκθ. τόμ. Α', σελ. 74.

93. Συμεὼν Μάγιστρος· σελ. 693. Γεώργιος μοναχός· σελ. 845. Λέων γραμματικός· σελ. 259.

94. Λέων γραμματικός· σελ. 256. Συμεὼν μάγιστρος· σελ. 691. Γεώργιος μοναχός· σελ. 843, ὅστις γράφει *Ἀρκαδιανάς*.

95. ἐν Ἀρχαιολ. παραρτήματι τόμου Κ'-ΚΒ' τοῦ Ἑλλ. Φιλολ. Συλλόγου, οὗ ἐν τῇ βιβλιοθήκῃ ἀπόκειτο συνοδικῶν πράξεων χειρόγραφον ὑπ' ἀριθ. 11. Παραρτ. ἀρχαιολογικοῦ σελ. 95, ἀριθ. 5.

96. Const. Christ. σελ. 102, ἀριθ. XVII.

97. Νικήτας Χωνιάτης· σελ. 450.

98. Πορφυρογ. Ἔκθ. τόμ. Α', σελ. 532, 533. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 81.

99. ἡ μνήμη τῇ 21 κατὰ τὸν λαυριωτικὸν Δ39 Συναξαριστήν. Ἰδὲ περὶ Μαξιμιανοῦ εἰς τὴν 20 νοεμβρίου ἐν τῷ μετὰ χεῖρας συγγράμματι.

100. ἡ μνήμη παρὰ τῷ Συναξαριστῇ τοῦ Νικοδήμου.

101. Μηνολ. Βασιλειανὸν τῇ 8 μαρτίου καὶ 23 μαΐου. Στουδίτου ἐπιστολαί· Migne, γΘ', 1612-1613.

Ἐκ τοῦ λειψάνου τοῦ ὁσίου Μιχαὴλ Συνάδων τὴν κάραν ἐδωρήσαντο εἰς τὴν ἐν Ἁγίῳ Ὄρει μονὴν Μεγίστην Λαύραν «οἱ μετὰ τὸν Τζιμισχῆν αὐτάδελφοι Βασίλειος καὶ Κωνσταντῖνος, καθὼς τὸ θεῖον αὐτῶν χρυσόβουλλον διαβεβαιοῖ» [102].

ꝟ

24. Μελετίου στρατηλάτου· Ἰωάννου, Στεφάνου, Θεραπίωνος, Καλλινίκου τοῦ μάγου, Μαρκιανῆς, Παλλαδίας, Σωσάννης καὶ τῶν σὺν αὐτοῖς. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Πλάτωνος ἐν τοῖς Δομνίνου ἐμβόλοις·

ὁ Νικόδημος μόνος γράφει περὶ συνάξεως καὶ λέγει τὸν ναὸν τοῦ ἁγίου Πλάτωνος «εὑρισκόμενον εἰς τὰ προαύλια τὰ ὀνομαζόμενα τοῦ Δομνίνου», ὅπερ διώρθωσα οὕτω [103].

ꝟ

25. Μνήμη τῆς τρίτης φανερώσεως τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου.

Ἡ μετακόμισις ἐγένετο ἐκ Κομάνων εἰς Κωνσταντινούπολιν. Ἴδε εἰς τὴν 24 φεβρουαρίου· ἀλλὰ τὰ περὶ τῶν ἐπανειλημμένων εὑρέσεων τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου εἰσίν, ἐμοὶ τοὐλάχιστον, ἀκατάληπτα.

ꝟ

26. Στεφάνου πατριάρχου Κωνσταντινουπόλεως.

Ἡ μνήμη κατὰ τὸ 426 Εὐαγγέλιον, ὅπερ ἅπαξ ἀναφέρει Στεφάνου μνήμην· ἴσως πρόκειται περὶ τοῦ τῇ 18 μαΐου ἑορταζομένου.

ꝟ

28. Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ.

Ἤκμασεν ἐπὶ Λέοντος Θρᾳκός, σύγχρονος γενόμενος τῷ Στυλίτῃ Δανιήλ [104].

* * *

28. Νικήτα ἐπισκόπου Χαλκηδόνος τοῦ ὁμολογητοῦ.

Ἤκμασε προδήλως ἐπὶ τῶν εἰκονομάχων [105].

ꝟ

29. Μνήμη τῶν ἐν Νικαίᾳ τὸ πρῶτον κατὰ Ἀρείου συνελθόντων ἁγίων Πατέρων.

Ἡ μνήμη κατὰ τὸ Βασιλειανὸν λεγόμενον· παρὰ Νικοδήμῳ οὐδαμοῦ.

Εἰς τὸ Μίλιον, «κτίριον ἱστάμενον ἀντικρὺ τῆς μεσημβρινῆς πύλης τῆς Ἁγίας Σοφίας» [106] ἐσῴζοντο μέχρι τοῦ 766 ἢ 767 αἱ εἰκόνες τῶν ἁγίων οἰκουμενικῶν ἓξ Συνόδων, ἃς τότε Κωνσταντῖνος ὁ Κοπρώνυμος ἐξηφάνισε ζωγραφήσας ἀντ' αὐτῶν ἡνιόχους καὶ ἱπποδρομικὰ θεάματα [107]. Ἀλλὰ τὴν εἰκόνα τῆς ΣΤ' Συνόδου ἠφάνισεν ὁ Φιλιππικός, ἴσως τῷ 712, ζωγραφήσας ἀντ' αὐτῆς ἑαυτὸν καὶ τὸν κακόδοξον πατριάρχην Ἰωάννην ΣΤ', οὓς ἀποξέσας ὁ τοῦ θρόνου διάδοχος Ἀρτέμιος ὁ καὶ Ἀναστάσιος Β' (713-716) ἀποκατέστησε τὴν εἰκόνα τῆς ΣΤ' Συνόδου [108]. Καὶ εἴδομεν μὲν ἀνωτέρω [109] ὅτι ἐπὶ τῶν εἰκονομάχων ἀπεξέοντο αἱ τῶν ἁγίων εἰκόνες, ἐζωγραφοῦντο δ' ἀντ' αὐτῶν ὀρνέων καὶ ἑρπετῶν καὶ θηρίων εἴδη. Ἐν τούτοις ἐν ἀρχαῖς τῆς ΙΑ' ἑκατονταετηρίδος βλέπομεν ἐν τοῖς ναοῖς εἰκόνας κυνηγίων καὶ ζώων,

102. Προσκυνητάριον τῆς βασιλικῆς καὶ σεβασμίας μονῆς μεγίστης ἁγίας Λαύρας τοῦ ἁγίου Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ, συντεθὲν παρὰ τοῦ σκευοφύλακος Σάββα, ἐκδοθὲν παρὰ τοῦ προηγουμένου Κυρίλλου· ,αψπ'. Ἐνετίησι· σ. 33.

103. τῇ 22 τοῦ δεκεμβρίου γράφει τοὺς ἐμβόλους τούτους *εἴσοδον τοῦ Δομνίνου*.

104. Ἀνδρέου βίος, ὑπὸ Νικηφόρου πρεσβυτέρου· Migne, PIA', 629-888. Νικηφόρος ὁ πρεσβύτερος τῆς Ἁγίας Σοφίας ἦν, ὡς φαίνεται (στ. 888 § σμε'), μικρῷ μεταγενέστερος τοῦ Ἀνδρέου· παρὰ Migne, τάττεται τῷ 930.

105. βλ. τὴν ἀκολουθίαν αὐτοῦ ἐν σελ. 40-42 τοῦ ΚΣ' τόμου τοῦ Ἑλλ. Φιλολ. Συλλόγου. Τὴν τοῦ Νικήτα μνήμην εὗρον πρὸ πενταετίας ἐν τῷ 426 Εὐαγγελίῳ, καὶ ταύτην ἐγκαίρως ἀνεκοίνωσα μεθ' ἑτέρων εἰδήσεων τῇ Ἑταιρίᾳ τῶν Μεσαιωνικῶν Ἐρευνῶν· τὸν δὲ χαρακτηρισμὸν ὁμολογητοῦ εὗρον ἐσχάτως ἐν τῷ Λαυριωτικῷ Δ39 Συναξαριστῇ, ὅπου καὶ τὸ δίστιχον:

Νίκης βραβεῖον, ἱεράρχα Νικήτα,
ἄνωθεν ἦρας ὡς νικητὴς κακίας.

106. Πασπάτη, Βυζαντ. Ἀνάκτορα· σ. 102, 134· ὁ δὲ Σκ. Βυζάντιος τοποθετεῖ ἐν τῷ Αὐγουστεῶνι ἀορίστως· ἰδὲ «Κωνσταντινούπολιν», τόμ. Α', σελ. 441.

107. Στεφάνου τοῦ νέου βίος, ὑπὸ Στεφάνου διακόνου· Migne, P', 1172.

108. Δουκαγγίου, Const. Christ. βιβλ. Α', σελ. 62, στ. β'· ταῦτα δὲ καὶ μετέγραψε κατ' ἔθος ἄνευ παραπομπῆς ὁ μακαρίτης Σ. Βυζάντιος («Κωνσταντινούπολις», τόμ. Α', σ. 443), ὑποσημειώσας: «τὸ κείμενον τοῦ ἱστορικοῦ ('Αγάθωνος διακόνου), τὸν ὁποῖον ἔχομεν ὑπ' ὄψιν»: καὶ διορθώσας τὸ ὄνομα τοῦ κακοδόξου πατριάρχου, ὅπερ Ἰωάννης γράφεται παρὰ τῷ Ἀγάθωνι (παρὰ Δουκαγγίῳ).

109. Ἴδε εἰς τὴν 7 μαρτίου τὴν περὶ Παύλου Προυσιάδος ὑπόμνησιν.

ἄτινα, τῶν εἰκονομάχων πρὸ πάλλου λιπόντων τὴν τοῦ κόσμου σκηνήν, ἐνομίζοντο «τέρψις καὶ στολισμὸς εἰς μερικὰς ἐκκλησίας» [110].

* * *

29. Θεοδοσίας ὁσιομάρτυρος τῆς κωνσταντινουπολιτίσσης. Ἡ σύναξις ἐν τῇ μονῇ τῶν Δεξιοκράτους, ὅπου καὶ τὸ ἅγιον αὐτῆς εὑρίσκεται λείψανον.

Ἡ μνήμη τῆς συνάξεως παρὰ Νικοδήμῳ, μετὰ τοῦ ὑπομνήματος, διότι παρὰ Μαργουνίῳ οὐκ ἔστιν ὑπόμνημα. Ἡ παρὰ τῷ Βασιλειανῷ Θεοδοσία μάρτυς ἡ παρθένος οὐκ ἔστιν ἡ κωνσταντινουπολῖτις. Ταύτης ἡ μνήμη παρὰ τοῖς βυζαντινοῖς ἦγετο τῇ 18 ἰουλίου — ἴδε ἐκεῖ.

* * *

Τοῦ ὁσίου πατρὸς ἡμῶν Ὑπατίου τοῦ ἐν Ῥουφινιαναῖς.

Τοῦτο κατὰ τὸν Λαυριωτικὸν Δ39 Συναξαριστήν· παρὰ Νικοδήμῳ τῇ 17 ἰουνίου, εἰς ἣν ὁ εὑμενὴς ἀναγνώστης παραπέμπεται.

ꝟ

30. Ἰσαακίου ἡγουμένου τῆς μονῆς τῶν Δαλμάτων.

Κατὰ τὴν ἀνέκδοτον αὐτοῦ βιογραφίαν, ἦλθεν εἰς Κωνσταντινούπολιν τῷ 374, καὶ ἀπέθανε τῷ 396. Κτίτωρ τῆς περιωνύμου μονῆς τῶν Δαλμάτων [111].

ꝟ

Εὐσταθίου πατριάρχου Κωνσταντινουπόλεως.

Ἡ μνήμη τάττεται τῇ 31 μαΐου κατὰ τὸ 426 Εὐαγγέλιον· ἦν δὲ ὁ Εὐστάθιος πρωτοπρεσβύτερος τοῦ παλατίου, κατὰ τὸν ἰούλιον ἐκλεγεὶς τοῦ 1019 γέρων ἤδη καὶ φιλάσθενος, ἀποθανὼν δὲ κατὰ νοέμβριον ἢ δεκέμβριον τοῦ 1025 [112].

110. βιογραφία τοῦ νέου Θεολόγου Συμεὼν ὑπὸ Νικήτα Στηθάτου· Δουκάκη, Συναξαριστὴς μαρτίου, σελ. 235.

111. τὸ Βασιλειανὸν Μηνολόγιον λέγει ὅτι ἦλθεν «ἐξ ἀνατολῶν»· παρὰ Θεοδωρήτῳ Κύρου βλέπομεν γραφόμενον «Ἰσαάκην, σκηνὴν αὐτόθι μοναχικὴν ἔχοντα», δῆλον οὖν ἐν Κωνσταντινουπόλει. Ἐκκλησ. Ἱστ. Δ', λδ'.

112. Πατριαρχικοὶ Πίνακες· σελ. 317. Παρὰ Κεδρηνῷ, τόμου Β' σελ. 479, σημ., διεσώθη ἐπαγωγόν τι περὶ τοῦ Εὐσταθίου διηγημάτιον.

ΙΟΥΝΙΟΣ

2. Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ. Ἡ σύναξις ἐν τοῖς Ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις, ὅπου καὶ τὸ ἅγιον αὐτοῦ λείψανον.

Βυζάντιος τὴν πατρίδα, γεννηθεὶς τῷ 758, υἱὸς Θεοδώρου καὶ Εὐδοκίας, ὑπηρέτει ἐν τοῖς ἀνακτόροις ὡς γραμματεύς· ὁ πατὴρ αὐτοῦ, τὴν αὐτὴν κοσμῶν θέσιν, ἐστάλη, τῷ 787 ὑπὸ Κωνσταντίνου καὶ Εἰρήνης εἰς Νίκαιαν τῆς Βιθυνίας, κομίζων τὸ βασιλικὸν ἐπιφώνημα πρὸς τὴν τότε συγκροτουμένην Ζ' οἰκουμενικὴν ἐν Νικαίᾳ Σύνοδον. Φαίνεται ὅτι ἐπὶ Κωνσταντίνου τοῦ Κοπρωνύμου, ἢ Λέοντος τοῦ ἐκ τῆς Χαζάρας, ὁ πατὴρ τοῦ Νικηφόρου Θεόδωρος διὰ τὸν ὑπὲρ τῶν ἁγίων Εἰκόνων ζῆλον αὐτοῦ ὑπερόριος ἐστάλη εἰς Μύλασσαν τῆς Καρίας καὶ εἶτα εἰς Πημολίνην, ἀκολούθως εἰς Νίκαιαν, ὅπου διατρίψας ἓξ ἔτη ἀπέθανε. Νικηφόρος δ' ὁ υἱὸς αὐτοῦ ὑπηρετήσας ἐν τοῖς ἀνακτόροις ἐπί τινα καιρόν, ἐγένετο μοναχός, καὶ ἀποσυρθεὶς *ἐπί τινα λοφίαν ἀντικρὺ τοῦ θρᾳκικοῦ Βοσπόρου* ἐν ἐρημητηρίῳ, κατέστησεν αὐτὸ καταγώγιον μοναχῶν· οὐ μετὰ πολὺ δὲ διωρίσθη διευθυντὴς τοῦ ἐν Κωνσταντινουπόλει *μεγίστου πτωχείου* (ἄγνωστον τίνος) καὶ θανόντος τοῦ Ταρασίου προεβλήθη πατριάρχης, ψηφισθεὶς μὲν τῇ 5 ἀπριλίου 806 (κυριακῇ τῶν Βαΐων), χειροτονηθεὶς δὲ τῇ 12 τοῦ αὐτοῦ μηνός, κυριακῇ τοῦ Μ. Πάσχα. Ἐπηρεαζόμενος ὑπὸ τοῦ Λέοντος Ε', ἠναγκάσθη 'να παραιτήσηται τὸν θρόνον τῇ 13 μαρτίου 815 καὶ ἀπήχθη τὸ πρῶτον εἰς Χρυσόπολιν, ὁπόθεν, κατὰ τὴν παράδοσιν, εἰς Προκόννησον· βέβαιον ὅμως ὅτι κατῴκησεν ἐπὶ μικρὸν τὴν ὑπ' αὐτοῦ κτισθεῖσαν μονὴν τοῦ Ἀγαθοῦ, μεθ' ὃ ἀπεστάλη εἰς *τὴν πορρωτάτω κειμένην καὶ ὑπ' αὐτοῦ ἱδρυθεῖσαν μονὴν τοῦ μεγάλου μάρτυρος Θεοδώρου* [1]. Ἐξέδωκε τόμον συνοδικὸν κατὰ Μανιχαίων, ἀπεμάκρυνεν ἀπὸ τῶν ἀνδρείων τὰ γυναικεῖα μοναστήρια, συνίστα πᾶσι τοῖς χριστιανοῖς τήρησιν τῶν χριστιανικῶν ἠθῶν, καὶ ἐτήρησε πρὸς τὸν πάπαν Ῥώμης Λέοντα σχέσεις ἀδελφικάς. Ἦν ὑπέρμαχος

1. Πατριαρχ. Πίνακες· σελ. 267-273. Μηνολόγιον. Νικηφόρου βίος ὑπὸ Ἰγνατίου διακόνου καὶ σκευοφύλακος· Migne, P', 42-158. Θεοφάνους πρεσβυτέρου λόγος εἰς τὴν ἀνακομιδὴν Νικηφόρου· Ἁγιολογικὰ μνημεῖα Θεοφίλου Ἰωάννου· σελ. 124-127.

τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων, εὐνοούμενος ὑπὸ τοῦ αὐτοκράτορος Μιχαὴλ τοῦ Ῥαγγαβέ, ἐπιτρέψαντος 'ν' ἀποσταλῶσι μὲν αἱ συνοδικαὶ πρὸς τὸν πάπαν ἐπιστολαί, ἐπαναγαγόντος δ' ἀπὸ τῆς ἐξορίας τοὺς ὁσίους ὁμολογητὰς καὶ στουδίτας Πλάτωνα, Θεόδωρον καὶ Ἰωσὴφ τὸν Θεσσαλονίκης [2]· ὁ Νικηφόρος ἀπέθανε τῷ 826 ἢ 828 ἑβδομηκοντούτης [3].

Ἀναφέρεται λοιπὸν οὕτως ὁ Νικηφόρος ἱδρυτὴς δύο μονῶν 1) τῆς μονῆς τοῦ Ἀγαθοῦ, ἥτις ἔκειτο ἐν τῷ Στενῷ, καὶ 2) τῆς *πορρωτάτω* κειμένης. Τὰ περὶ τῶν μονῶν τούτων γραφόμενά εἰσιν ἀσαφῆ· ἀλλ' ἐν τῇ βιογραφίᾳ τοῦ πατριάρχου Εὐθυμίου, προκειμένου λόγου περὶ τῆς εἰς τὴν μονὴν τοῦ Ἀγαθοῦ μεταβάσεως, ὁ βιογράφος χρῆται τῇ λέξει *ἐξῆει* [4], ὅπερ οὐδέποτε ἤθελεν εἰπεῖ εἴπερ ἡ μονὴ ἔκειτο κατέναντι τῆς Κωνσταντινουπόλεως ἢ ἐν τῇ ἀνατολικῇ παραλίᾳ· ἀλλὰ καὶ περὶ τῶν μοναχῶν αὐτῆς γράφων «τοὺς μοναχοὺς ἅπαντας ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν ἐν τῇ τοῦ Ἀγαθοῦ προσκαλεῖται μονῇ, ὁμοίως δὲ καὶ τοὺς ἐκεῖσε (ἐν τῇ τοῦ Ψαμαθίᾳ μονῇ) πρὸς ἑαυτὸν ἀγαγὼν» φαίνεται τιθεὶς αὐτὴν ἔξω τῆς Κωνσταντινουπόλεως ἐν θρᾳκικῷ χώρῳ, καίτοι ἀλλαχοῦ λέγει «πρὸς τὴν τοῦ Ἀγαθοῦ μονὴν ἀνήεσαν καὶ κατήεσαν» [5]. Τὴν μονὴν ταύτην μετὰ ἕνα σχεδὸν αἰῶνα ἀνῳκοδόμησεν Εὐθύμιος ὁ πατριάρχης [6]· 2) ὁ δὲ τοῦ Νικηφόρου βιογράφος Ἰγνάτιος ὁ σκευοφύλαξ, ἐνῷ γινώσκει τὴν τοῦ Ἀγαθοῦ μονήν, λαλεῖ καὶ περὶ τῆς *πορρωτάτω τοῦ ἄστεος* κειμένης ὡς περὶ μονῆς ἑτέρας, καὶ μάλιστα, *πορρωτάτω* γράφων, δείκνυσιν ὅτι ἡ τοῦ Ἀγαθοῦ μονὴ ἔκειτο τοὐναντίον *οὐ πορρωτάτω τοῦ ἄστεος*. Αὕτη βεβαίως ἔκειτο ἔν τινι τῶν βιθυνικῶν χωρίων, διότι Θεόδωρος ὁ Στουδίτης ἐλθὼν εἰς Χαλκηδόνα πρὸς ἐπίσκεψιν Θεοκτίστου τοῦ μαγίστρου, τοῦ κατόπι μοναχοῦ ἐπεσκέψατο καὶ τὸν ἰδιάζοντα πατριάρχην Νικηφόρον «ἐν ἰδίῳ σεμνείῳ, ὃ ἐχόμενα παράκειται τοῦ Στενοῦ»· ἀλλὰ καὶ ἀπὸ τῆς χερσονήσου τοῦ ἁγίου Τρύφωνος, μεταξὺ τῶν σημερινῶν χωρίων Παντειχίου καὶ Τούζλων κειμένης, ἀπήρχετο «τῷ πατριάρχῃ συχνὰ παρουσιάζων». Ἔκειτο δὲ ἡ μονὴ εἰς ὕψος, διότι παρ' ἑτέρῳ ὑπομνηματογράφῳ γράφεται ὅτι ὁ Στουδίτης «ἀνέρχεται πρὸς τὸν πατριάρχην Νικηφόρον» μόνος, καὶ ἄλλοτε μετὰ τῶν ἐξεχόντων μητροπολιτῶν «πρὸς τὸν ἁγιώτατον ἀνῆλθε Νικηφόρον» [7].

* * *

Ἀλεξάνδρου πατριάρχου Κωνσταντινουπόλεως [8].

* * *

Μαρίνου ὁσίου τοῦ κατὰ κόσμον Βαάνη.

Ἦν τὴν ἀξίαν δρουγγάριος, υἱὸς Νικηφόρου δρουγγαρίου καὶ Μαρίας, ἐπιφανοῦς γυναικός· ἐν τῇ Κωνσταντινουπόλει γεννηθείς, ἐν Βιζύῃ δὲ τῆς Θρᾴκης ἀνατραφείς, ἦν ἐλεήμων καὶ εὐσεβὴς ἀνήρ· «ἑκάστην ἡμέραν μετὰ καὶ ἀκολουθίας ὡρῶν δώδεκα τὸ ἅπαν ἐστιχολόγει Ψαλτήριον, καὶ ἑσπέρας ἀεί, πρὸ τῶν ὕπνων... παράκλησιν πρὸς τὴν ἀειπάρθενον τοῦ Θεοῦ μητέρα διὰ κανόνων τεσσαράκοντα ἐποιεῖτο»· τοῦτον ἔκειρε μοναχόν, κατελθὼν ἐκ Κυμινᾶ, ὅπου ἐμόναζε, Συμεὼν ὁ ἀδελφὸς αὐτοῦ· «καὶ εἰς τὰς θείας σκηνὰς μετοικίζεται, δευτέραν τοῦ ἰουνίου μηνὸς ἄγοντος. Κατατίθεται δὲ τὸ σεβάσμιον αὐτοῦ καὶ τίμιον λείψανον εἰς τὴν μονὴν τῆς Θεοτόκου τὴν Τὰ Κορώνης ἐπονομαζομένην».

Ταῦτα κατ' ἀνέκδοτον βιογραφίαν Μαρίας ὁσίας τῆς νέας, σῳζομένην ἐν χειρογράφῳ χαρτίνῳ τοῦ ΙΔ' αἰῶνος ὑπ' ἀριθμ. Κ81 τῆς ἐν Ἁγίῳ Ὄρει Μεγίστης Λαύρας, ἀπὸ φύλλου 89α—105α. Ἐν φύλλῳ 1036—104α, ἔνθα περὶ Μαρίνου γράφει, προστίθησι καὶ περὶ τούτου τοῦ Συμεών, «εἰ καὶ ὁ ῥηθεὶς ἐκ τῶν πολλαχοῦ τοῦ λόγου περὶ αὐτοῦ λεχθέντων τοῖς ἁγίοις συντάττοιτο, τοῖς θείοις ἀνδράσιν ὁ λόγος σκοπεῖν ἀρίησιν».

§

3. Λουκιλλιανοῦ, Παύλης καὶ τῶν σὺν αὐτοῖς νηπίων. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ

2. Θεοφάνης· Α', σελ. 767-770.

3. τῷ 826 παρὰ Nilles, Kalendarium· τόμ. Α', σελ. 121. Τὴν χρονολογίαν 828 συνάγω μετὰ τὴν ἀντιβολὴν τῶν βιογραφικῶν ὑπομνημάτων καὶ τοῦ εἰς τὴν ἀνακομιδὴν ἐγκωμίου.

4. Εὐθυμίου πατριάρχου βίος· σελ. 15, 58, 69.

5. αὐτόθι, σελ. 34, 58, 75 καὶ 77.

6. αὐτόθι, σελ. 69· «ἐν τῇ παρ' αὐτοῦ κατασκευασθείσῃ τοῦ Ἀγαθοῦ μονῇ».

7. Στουδίτου βίος ὑπὸ Μιχαὴλ μοναχοῦ· Migne, γθ', 220, 221· ἑτέρα βιογραφία αὐτόθι, στήλη 316 καὶ 320. Περὶ δὲ τῆς χερσονήσου τοῦ ἁγίου Τρύφωνος βλ. «Ἀκρίταν καὶ Τοῦζλα», σελ. 26.

8. τὴν μνήμην αὐτοῦ τάττει ἐνταῦθα ὁ Δαυριωτικὸς Δ39 Συναξαριστής.

αὐτῶν μαρτυρείῳ τῷ ὄντι πλησίον τοῦ Ἀρχαγγέλου Μιχαὴλ ἐν τῇ Ὀξείᾳ.

Ἱερεὺς τῶν εἰδώλων ὁ Λουκιλλιανὸς ἐν Νικομηδείᾳ, προσῆλθεν εἰς τὸν χριστιανισμὸν καὶ ἤθλησεν ἐν Βυζαντίῳ ἐπὶ Αὐρηλιανοῦ, μετὰ τὰ μέσα τοῦ Γ' αἰῶνος. Ὡσαύτως ἤθλησεν αὐτόθι καὶ ἡ Παῦλα, χριστιανὴ ἐκ προγόνων οὖσα· ἦν δὲ φιλόπτωχος ἡ γυνή [9].

Ἐπειδὴ τῇ 19 ἰανουαρίου ἀναφέρεται σύναξις αὐτῶν γινομένη ἐν τῷ οἴκῳ Ἀναστασίου πατριάρχου ἐν τῇ Ὀξείᾳ, τῇ δὲ 3 τοῦ μηνὸς ἰουνίου τὰ Μηναῖα σὺν τῷ Συναξαριστῇ γράφουσι γινομένην ἐν τῷ μαρτυρείῳ αὐτῶν, εἰκάζω λοιπὸν ἐκ τούτων ὅτι, πλησίον τῆς μονῆς τοῦ ἀρχαγγέλου Μιχαὴλ ἐπὶ τῆς νησίδος Ὀξείας, ἐντὸς τοῦ οἴκου Ἀναστασίου τοῦ πατριάρχου, περὶ οὗ εἶπον τῇ 10 φεβρουαρίου, ναὸς εἰς τιμὴν ἡγείρετο τῶν μαρτύρων τούτων, ὃν ᾠκοδόμησεν ἴσως ὁ Ἀναστάσιος, ἢ ἐν αὐτῷ, πρὸ αὐτοῦ οἰκοδομηθέντι, κατέθηκε τὰ λείψανα τῶν μαρτύρων.

§

4. Μητροφάνους πατριάρχου Κωνσταντινουπόλεως. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν τῷ σεβασμίῳ αὐτοῦ οἴκῳ, τῷ ὄντι πλησίον τοῦ Ἁγίου μάρτυρος Ἀκακίου ἐν τῷ Ἑπτασκάλῳ.

Ἤκμασεν ἐπὶ τοῦ Μ. Κωνσταντίνου καὶ ἐπὶ τῆς Α' οἰκουμενικῆς Συνόδου, τέταρτος ἐπίσκοπος Βυζαντίου κατὰ Κεδρηνόν. Διαρκούσης τῆς Συνόδου ἦν ὑπέργηρως, ἀποθανὼν μικρῷ μετὰ τὸ τέλος τῶν ἐργασιῶν αὐτῆς ἐν ἡλικίᾳ 117 ἐτῶν. Δυσχερὴς ὁ καθορισμὸς τῶν ἐτῶν τῆς γεννήσεως, τοῦ θανάτου καὶ τῆς ἐφημερίας αὐτοῦ [10]. Τὸ Βασιλειανὸν λεγόμενον Μηνολόγιον γράφει· «μετὰ τὸ ἐπικτίσαι τὸ Βυζάντιον... προεβιβάσθη πατριάρχης, δεύτερος ταχθεὶς τοῦ Ῥώμης».

Ναὸν ἐπ' ὀνόματι τοῦ ἱεροῦ Μητροφάνους ᾠκοδόμησε, κατὰ τοὺς παραδοξογράφους, ὁ Μ. Κωνσταντῖνος· ὅ ἐστι ψεῦδος· «συμπτωθέντα δ' ὕστερον ὁ Μ. Ἰουστινιανὸς ἔκτισε» [11].

* * *

4. Ἰωάννου ὁσιομάρτυρος ἡγουμένου τῆς Μοναγρίας.

9. Βασιλ. Μηνολόγιον.

10. Πατριαρχ. Πίνακες· σελ. 105-107. Πολιτεία Ἀλεξάνδρου καὶ Μητροφάνους ἐκδοθεῖσα ὑπ' ἐμοῦ ἐν τῇ «Ἐκκλησιαστικῇ Ἀληθείᾳ»· Ἴδε ἰδίως τόμ. Δ', σελ. 309, β'.

11. Κωδινοῦ, Περὶ κτισμάτων, σελ. 126.

Ἤθλησεν ἐπὶ τοῦ Κοπρωνύμου μικρῷ πρὸ τοῦ ὁμολογητοῦ Στεφάνου τοῦ νέου [12].

§

5. Ἤγετο κατὰ τὴν ἡμέραν ταύτην λιτὴ ἐν τῷ Κάμπῳ,

ἤτοι εἰς τὴν πεδιάδα τὴν ἐκτεινομένην ὕπερθεν τοῦ Ἑβδόμου [13], πρὸς ἀνάμνησιν ἀποτυχούσης τινὸς ἐπιδρομῆς ἐπὶ τὴν τότε πρωτεύουσαν τοῦ κράτους. Ἐκ τῶν ἐν τοῖς χειρογράφοις Εὐαγγελίοις φερομένων εἰκάζω ὅτι ἡ ἐκκλησιαστικὴ πανήγυρις αὕτη ἐτελεῖτο ἐν τῷ Τριβουναλίῳ καὶ ἐν τῷ ναῷ τοῦ ἁγίου Βαβύλα.

§

6. Ἱλαρίωνος τοῦ νέου ἡγουμένου τῆς μονῆς τῶν Δαλμάτων.

Καππαδόκης τὴν πατρίδα, υἱὸς Πέτρου, θεράποντος ἀνακτορικοῦ, καὶ Θεοδοσίας, ἐγεννήθη τῷ 775· σπουδάσας τὰ ἱερὰ γράμματα ἐγένετο μοναχὸς τῆς ἐν Κωνσταντινουπόλει μονῆς τοῦ Ξηροκηπίου τὴν ἡλικίαν εἰκοσαέτης, καὶ κατόπι τῆς τῶν Δαλμάτων, ἧς ἐξελέγη ἡγούμενος περὶ τὰ ἔτη 806-811· Λέοντι δὲ τῷ Ε' μὴ συμφρονῶν περιωρίσθη ὑπ' αὐτοῦ εἰς τὴν ἐν τῷ Στενῷ μονὴν τοῦ Φονέως, εἶτα δ' ἐν τῇ μονῇ τοῦ Κυκλοβίου καὶ κατόπι ἐν τῇ φυλακῇ τῶν Νουμέρων, ἀφ' ἧς ἐξαχθεὶς ἐστάλη εἰς τὸ φρούριον Προτίλιον. Ἀνακληθεὶς τῷ 820, ἀπεστάλη πάλιν ὑπὸ Θεοφίλου ὑπερόριος εἰς Ἀφουσίαν τῷ 834 μείνας ἐκεῖ μέχρι τοῦ 842, ὅτε μετακληθεὶς ὑπὸ Θεοδώρας ἐπανέλαβε τὴν διοίκησιν τῆς τῶν Δαλμάτων μονῆς, καὶ ἀπεβίωσε τῷ 845 [14].

Ἡ μνήμη τοῦ Ἱλαρίωνος, ὡς ἀνδρὸς ὁσίου, ἤρξατο τιμωμένη, ὡς ἔοικεν, ἔτη τινα μετὰ τὸν θάνατον αὐτοῦ [15].

* * *

6. Μάρθας καὶ Μαρίας καὶ τῆς συνοδίας αὐτῶν, Κυρίας, Βαρερίας καὶ Μαρκίας. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν οἴκῳ τῷ ὄντι ἐν τοῖς Βασιλίσκου.

Ἄγνωστος ὁ χρόνος τῆς ἀθλήσεως. Ἡ τοποθεσία Βασιλίσκου ἄγνωστος, εἰ καὶ ὁ ἰατρὸς

12. Στεφάνου βίος ὑπὸ Στεφάνου διακόνου· Migne, Ρ', στ. 1165.

13. βλ. σημείωσιν 148 τοῦ μηνὸς ἰανουαρίου.

14. ἡ βιογραφία παρὰ τῷ Συναξαριστῇ.

15. Συμεὼν μάγιστρος· σελ. 669.

Mordtmann τείνει 'να όρίση ταύτην ὡς κειμένην πρὸς βορρᾶν τοῦ ναοῦ 'Ιωάννου τοῦ Θεολόγου τοῦ ἐν τῷ Διϊππείῳ [16].

ℓ

8. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Θεοδώρου τοῦ Στρατηλάτου.

Ἐκ τοῦ λειψάνου αὐτοῦ τὴν σιαγόνα Κωνσταντῖνος ὁ Μονομάχος ἐδωρήσατο «διὰ θείου αὐτοῦ χρυσοβούλλου» τῇ μονῇ τῆς ἐν Ἁγίῳ Ὄρει μεγίστης Λαύρας [17].

* * *

8. Ἡ σύναξις τῆς Ὑπεραγίας Θεοτόκου καὶ τοῦ 'Αρχαγγέλου Μιχαὴλ ἐν τῷ Σωσθενείῳ.

Ἡ σύμπτωσις τῶν δύο συνάξεων δείκνυσι πιθανῶς ὅτι ὁ ναὸς τοῦ ἀρχαγγέλου Μιχαὴλ ἐν τῷ Σωσθενείῳ εἶχεν εὐκτήριον ἐπ' ὀνόματι τῆς Θεοτόκου παρ' αὐτῷ.

Ἡ μνήμη τῆς συνάξεως παρὰ τῷ Συναξαριστῇ· παρὰ τοῖς Μηναίοις ὅμως γράφεται σύναξις τῆς Ὑπεραγίας Θεοτόκου ἐν τῷ Σωσθενείῳ.

Οὐδαμοῦ μέχρι σήμερον ἀλλοῦ εὗρον μνείαν ναοῦ Θεοτόκου ἐν τῷ Σωσθενείῳ, ἤτοι τῇ γνωστῇ βοσπορείᾳ Στένῃ.

* * *

Παύλου τοῦ ὁσίου καὶ ὁμολογητοῦ τοῦ Καϊουμᾶ.

Ἴσως ἤκμασεν ἐπὶ τῶν εἰκονομάχων· ἀγνοῶ τὸν χρόνον τῆς ἀκμῆς αὐτοῦ. Προδήλως δέον 'να γραφῇ Παύλου τοῦ ἐν τοῖς Καϊουμᾶ, μονῆς, ἥτις ὑπῆρχεν ἐπὶ 'Ιουστινιανοῦ [18].

ℓ

10. 'Αλεξάνδρου καὶ 'Αντωνίνης μαρτύρων. Ἡ σύναξις ἐν τῇ μονῇ τοῦ Μαξιμίνου διακειμένη ἐν Κωνσταντινουπόλει, ἔνθα κατάκεινται τὰ τίμια αὐτῶν λείψανα [19].

Ἄγνωστος ὁ χρόνος τῆς ἀθλήσεως. Τῆς μονῆς τοῦ Μαξιμίνου γίνεται μνεία τὸ πρῶτον ἐπὶ 'Ιουστινιανοῦ, ἡγουμένου αὐτῆς ὄντος τότε Ζωσίμου [20]. Τῷ 768 Κωνσταντῖνος ὁ Κοπρώνυμος εἰς στρατῶνα μετεποίησεν αὐτὴν [21], ἀλλ' ἐσῴζετο καὶ πάλιν ἐπὶ Λέοντος Ε' [22], ὡς καὶ ἐπὶ Μιχαὴλ υἱοῦ Θεοφίλου, ἐὰν εἰς αὐτὴν ἀνήκῃ ὁ τῶν Μαξιμίνης ἡγούμενος 'Ιάκωβος [23].

* * *

10. Τιμοθέου ἱερομάρτυρος ἐπισκόπου Προύσης. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἔνδον τοῦ εὐαγοῦς ξενῶνος ἐν τῷ Δευτέρῳ.

Ἤθλησεν ἐπὶ 'Ιουλιανοῦ τοῦ Παραβάτου ἐν Προύσῃ. Ναὸς αὐτοῦ, καθὼς βλέπομεν, ἔκειτο ἐντὸς τοῦ νοσοκομείου τοῦ ἐν τῷ Δευτέρῳ. Περὶ τοῦ νοσοκομείου τούτου οὐδὲν ἐμοὶ γνωστὸν ἄλλοθεν.

ℓ

11. Βαρθολομαίου καὶ Βαρνάβα τῶν ἀποστόλων. Ἡ σύναξις ἐν τῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου Πέτρου τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Περὶ τοῦ ναοῦ τούτου εἴδομεν καὶ ἄλλοτε, ἐξ ὧν φαίνεται ὅτι συνηνωμένος ὢν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας ἐλογίζετο ὡς ἔνδον ἐκείνου κείμενος [24].

Τὸ λείψανον τοῦ ἀποστόλου Βαρνάβα ἀνεκομίσθη τῷ 478 εἰς Κωνσταντινούπολιν ἐκ Κύπρου ὑπὸ Ζήνωνος [25].

ℓ

12. 'Ονουφρίου τοῦ ὁσίου. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ εὐκτηρίῳ τῷ ὄντι ἐν τῇ μονῇ τοῦ ἁγίου 'Αλυπίου.

Ἡ περὶ τῆς μονῆς 'Αλυπίου καὶ τοῦ ναοῦ τοῦ ὁσίου 'Ονουφρίου μαρτυρία παρὰ τῷ Συναξαριστῇ καὶ τοῖς Μηναίοις εὑρίσκεται μόνον.

---

16. Esquisse topogr. σελ. 66, β'.

17. Σάββα σκευοφύλακος, Προσκυνητάριον Λαύρας, σ. 33.

18. Δουκαγγίου, Const. Christ. σ. 106, ἀριθ. XVI. Τὴν μνήμην αὐτοῦ ὡς ὁμολογητοῦ εὑρίσκω ἐν τῷ 426 Εὐαγγελίῳ. Ἐν τῷ 17 χειρογράφῳ τῆς πατριαρχικῆς βιβλιοθήκης τῶν Ἱεροσολύμων εὕρηται βίος αὐτοῦ· Ἱεροσλμ. Βιβλ. Α', σελ. 70.

19. τὰς λέξεις περὶ συνάξεως παραλαμβάνω ἐκ τοῦ Βασιλειανοῦ λεγομένου Μηνολογίου.

20. Δουκαγγίου, Const. Christ. σ. 111, ἀρ. LXI.

21. Θεοφ. Α', σελ. 685.

22. Στουδίτου ἐπιστολαί· Migne, γθ', 1477.

23. Συμεὼν μάγιστρος· σελ. 669.

24. Ἰδὲ εἰς τὴν 16 Ἰανουαρίου.

25. τοῦτο κατὰ Κεδρηνόν, Α', σελ. 618, τάττοντα τὴν ἀνακομιδὴν εἰς τὸ τέταρτον ἔτος τῆς αὐταρχίας Ζήνωνος· ὁ δὲ συγγραφεὺς τῶν «Κυπριακῶν» Α. Σακελλάριος, ἐπὶ τῇ βάσει τοῦ Κεδρηνοῦ, τάττει τῷ 474, ἐν 393 σελ. τοῦ Α' τόμου τοῦ βιβλίου τούτου, β' ἐκδόσεως ('Αθήνησι, 1890)· τὰ δὲ περὶ ἀρχιεπισκοπῆς Κύπρου βλέπε ἐν Πατριαρχ. Πίνακι, σελ. 203-204.

* * *

12. 'Ιουλιανοῦ ὁσίου τοῦ ἐν τοῖς Δαγάτου (ἢ Δαγάζου).

Πιθανῶς πρόκειται λόγος περὶ ναΐσκου τινὸς ἀνατεθειμένου εἰς ὅσιον, ἐξ ὀνόματος γινωσκόμενον. 'Αόριστος καὶ ἡ τοποθεσία Δαγάτου, ἣν ὁ Δουκάγγιος διώρθωσε Δαγισταίου· κατὰ τὴν διόρθωσιν ταύτην δέον 'να καθορίσωμεν τὸν ναὸν κείμενον πλησίον τῆς 'Αγίας 'Αναστασίας παρὰ τὸν 'Ιππόδρομον [26].

ℓ

13. 'Ακυλίνης μάρτυρος. Ἡ αὐτῆς σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῆς μαρτυρείῳ τῷ ὄντι ἐν τοῖς Φιλοξένου, πλησίον τοῦ Φόρου, ἐν τῷ Περιτειχίσματι.

Προετίμησα τῆς ἐν τῷ Συναξαριστῇ καὶ τοῖς Μηναίοις γραφῆς τὴν οὕτω φερομένην ἐν τῷ Λαυριωτικῷ Δ 39 Συναξαριστῇ ταύτην.

Ἡ μάρτυς ἤθλησεν ἐπὶ Διοκλητιανοῦ. Ναὸς ἐπ' ὀνόματι αὐτῆς ἠγείρετο ἀπὸ τοῦ Σ' αἰῶνος πλησίον τῆς κινστέρνης τοῦ Φιλοξένου (σήμερον Μπὶν-μπίρ-διρὲκ) καὶ τῆς κωνσταντινιανῆς πλατείας (Τσεμπερλῆ-τάς). Τὸ Περιτείχισμα τοῦτο ἢ προτείχισμα, ἀναφερόμενον ἀορίστως πως καὶ ἀλλαχοῦ, εἶχε καὶ ναὸν τῆς Θεοτόκου καὶ ναὸν τῶν ἁγίων 'Αποστόλων [27].

ℓ

14. 'Ελισσαίου τοῦ προφήτου. Ἡ σύναξις εἰς τὸν ἁγιώτατον καὶ προφητικὸν αὐτοῦ ναόν.

Ἡ μνήμη τῆς συνάξεως παρὰ Νικοδήμῳ μόνον. Ναὸν δ' ἐπ' ὀνόματι τοῦ προφήτου 'Ελισσαιὲ Βασίλειος ὁ Μακεδὼν ἤγειρεν ἐν τῷ παλατίῳ τῶν Πηγῶν [28].

* * *

14. Μεθοδίου πατριάρχου Κωνσταντινουπόλεως. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ οἴκῳ, ἐν ᾧ τὸ τίμιον αὐτοῦ κατάκειται λείψανον, τῷ ὄντι ἔνδον τῶν 'Αγίων καὶ πανευφήμων 'Αποστόλων τῶν μεγάλων [29].

---

26. Const. Christ. σελ. 87, LV. Κατὰ Μηναῖον, ὅπερ εἶχεν ὑπ' ὄψιν ὁ Δουκάγγιος, ἔγραφεν «'Ιουλιανοῦ τοῦ εἰς τὰ Λίβα, ἐν τοῖς Δαγάτου».

27. Ἴδε εἰς τὴν 15 μαΐου καὶ 30 ἰουνίου.

28. Theoph. Cont. σελ. 337.

29. τό τε ἔντυπον Μηναῖον καὶ ὁ Λαυριωτικὸς Δ39 Συναξαριστὴς ἀναφέρουσιν οἶκον Μεθοδίου τοῦ πατριάρχου ἔνδον τῶν 'Αγίων 'Αποστόλων· εἰκάζω λοιπὸν ὅτι ἐν τῷ νάρθηκι τοῦ μεγάλου τούτου ναοῦ κατεσκεύασέ τις εὐκτήριον ἀφιερώσας εἰς τὴν μνήμην τοῦ Μεθοδίου.

Γεννηθεὶς ἐν Συρακούσαις ἐσπούδασεν ἐν τῇ πόλει τῆς γεννήσεως ἐπαρκῶς, μεθ' ὃ ἦλθεν εἰς Κωνσταντινούπολιν, ἐπὶ εὑρέσει δημοσίας ὑπηρεσίας, ἅτε καὶ πλούσιος ὤν· ἀλλὰ μεταπεισθεὶς ὑπὸ μοναχοῦ τινος, ἐκάρη μοναχὸς ἐν τῇ μονῇ τοῦ Χηνολάκκου, κατὰ δὲ τὸ λεγόμενον Βασιλειανὸν, «ἐν τῇ τοποθεσίᾳ τοῦ ὄρους τῆς ἐπισκοπῆς Χίου μοναστήριον κτίσας, ἐκεῖ προσεκαθέζετο» [30]. Περὶ τὰ 815-816 ἀπῆλθεν εἰς Ῥώμην, ὁπόθεν ὑπὸ τοῦ πάπα σταλεὶς ἦλθε φέρων ἐπιστολὴν τῷ 821 πρὸς τὸν Μιχαὴλ Τραυλὸν ὑπὲρ τῶν ἁγίων Εἰκόνων, ἀλλ' ἐνεκλείσθη ὑπ' αὐτοῦ «κατὰ τὴν νῆσον 'Ανδρέου τοῦ ἀποστόλου, καθ' ἣν ὁ 'Ακρίτας ἐγγειτονεῖ» [31], ἤ, κατά τινα παράδοσιν, εἰς τὴν νῆσον 'Αντιγόνου ἐντὸς μνήματος, μετὰ δύο ληστῶν [32]· τοῦτο μεταξὺ τῶν ἐτῶν 821-840· κατὰ τὰ τελευταῖα τῆς τοῦ Θεοδότου ἱερατείας ἔτη, τὸν Μεθόδιον ἐλευθερώσας ὁ Θεόφιλος εἶχε σὺν αὐτῷ, συχνὰ ζητῶν λύσιν ἀπορίων ἀπὸ τοῦ πολυμαθοῦς μοναχοῦ [33]. 'Εκόσμησε τὸν θρόνον ἀπὸ φεβρουαρίου 842 μέχρι μαΐου ἢ ἰουνίου 846, ὑποδειχθεὶς ὡς ἄξιος τοῦ πατριαρχικοῦ θρόνου Κωνσταντινουπόλεως ὑπό τε 'Ιωαννικίου τοῦ ἐν 'Ολύμπῳ διασήμου τότε μοναχοῦ καὶ Μιχαὴλ τοῦ συγκέλλου [34], καὶ συνετέλεσε τὴν ἐπάνοδον τῆς εἰρήνης ἐν τῇ 'Εκκλησίᾳ, διότι, καθὼς εἰκάζω, μέχρι Μεθοδίου οἱ στουδῖται μοναχοὶ εἶχον ἐν τοῖς διπτύχοις ἄγραφα τὰ ὀνόματα τῶν πατριαρχῶν Ταρασίου καὶ Νικηφόρου [35]. Ὁ ἱερὸς Μεθόδιος, καλλιγράφος ὤν, πολλὰ μετέγραψε Ψαλτήρια [36].

Πρὸ τοῦ τάφου τοῦ Μεθοδίου, ἐν τῷ ναῷ τῶν 'Αγίων 'Αποστόλων, ὁ αὐτοκράτωρ ἐρχόμενος τῇ δευτέρᾳ τοῦ Πάσχα προσηύχετο καὶ ἥπτε κηρούς [37].

---

30. ἡ εἴδησις οἱονεὶ παράξενος φαίνεταί μοι· ἀλλὰ ? μήτοι δέον γραφῆναι Κίου;

31. Theoph. Contin. σελ. 48. Γενέσιος· σελ. 50.

32. Συμεὼν μάγιστρος· σελ. 642. Ζωναρᾶς· ΙΕ', 28.

33. Γενέσιος· σελ. 76. Κεδρηνός· Β', σελ. 125.

34. ταῦτα κατὰ τὴν ἀνέκδ. τοῦ συγκέλλου βιογραφίαν.

35. βίος Μεθοδίου· Migne, Ρ', 1294-1296. Ὁ βίος ἐκτείνεται ἀπὸ στήλης 1244-1261.

36. αὐτόθι. Μηνολόγιον. Πατρ. Πίνακες· σελ. 277-278.

37. Πορφυρογ. Ἐκθ. Α', σελ. 77.

§

15. Σύναξις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου πέραν ἐν τοῖς Μαρανακίου·

τὸν τόπον τοῦτον μανθάνομεν ἀπὸ τῶν Μηναίων· ἐν τούτοις, παρὰ τῷ Λαυριωτικῷ Δ39 Συναξαριστῇ, φέρεται τῇ

§

16. Σύναξις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου πέραν ἐν Δοκιαναῖς,

τοῦθ' ὅπερ νομίζω παραφθορὰν τοῦ Ἰουκουνδιαναῖς· ἀλλὰ τὰς Ἰουκουνδιανὰς ὁ μὲν ἰατρὸς Mordtmann [38] τίθησιν ἐν τῷ Τριβουναλίῳ τοῦ Ἑβδόμου, ὁ δὲ Δουκάγγιος διορθῶν τὴν γραφὴν Ἰουκαρδιανῶν, τίθησιν ἐν τῇ βιθυνικῇ παραλίᾳ οὐ μακρὰν τοῦ Ἡραίου [39] (Φενὲρ-μπαγτζὲ), ὅπου παλάτιον ἤγειρεν ὁ Ἰουστινιανός [40]. Ἐπειδὴ δὲ πιθανόν ἐστιν ὅτι ἡ μνήμη πολλάκις ἁγίου τινὸς ἢ ναοῦ εὑρίσκεται ἔν τισι χειρογράφοις διαφέρουσα κατὰ μίαν ἡμέραν, εἰκάζω ὅτι ἡ κατὰ τὸν Λαυριωτικὸν Δ39 Συναξαριστὴν Θεοτόκος ἐν Δοκιαναῖς ἢ Ἰουκουνδιαναῖς ἢ Ἰουκαρδιαναῖς, ἐστὶν ἡ αὐτὴ τῇ Θεοτόκῳ τῶν Μαρνακίου, ἢ Μαρανακίου. Παρὰ τοῖς παραδοξογράφοις φέρεται ὅτι τὸν Ἅγιον Γεώργιον τὰ Χαλκίδου Σέργιος ἔκτισεν ὁ πατριάρχης, τοῦθ' ὅπερ διορθοῦσι *τὸν ἐν Χαλκηδόνι*, προστίθεται δὲ ὅτι « ὁμοίως καὶ τὴν Θεοτόκον τὰ Μαρνακίου, ἐν ᾧ καὶ τὸ σῶμα αὐτοῦ κεῖται » [41].

* * *

Ἡ ἀνακομιδὴ τοῦ λειψάνου Θεοδώρου τοῦ Συκεώτου.

Τὴν ἑορτὴν ταύτην ἦγον ἐν Κωνσταντινουπόλει, ὅπου, ὡς φαίνεται, μετηνέχθη τὸ λείψανον αὐτοῦ [42].

§

17. Μανουὴλ, Σαβὴλ καὶ Ἰσμαὴλ μαρτύρων. Ἡ σύναξις εἰς τὸν ἁγιώτατον αὐτῶν ναὸν πλησίον εἰς τὸν Προφήτην Ἠλίαν [43].

Ἤθλησαν ἐν Κωνσταντινουπόλει ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου [44].

Τὸν ναὸν αὐτῶν ἀνήγειρε, κατὰ τοὺς παραδοξογράφους, ὁ Μ. Θεοδόσιος «ἐπὶ τοῦ χερσαίου τείχους, καὶ τὰ σώματα αὐτῶν ἐκεῖ ἔθετο» [45], ἐπὶ τοῦ τόπου τῆς ἀθλήσεως. Ὁ παρὰ τῷ Νικοδήμῳ ὁρισμὸς ἴσως ἠδύνατο 'να εὐκολύνῃ ἡμᾶς εἰς εὕρεσιν τοῦ τόπου, ἐν ᾧ ὁ ναὸς ἠγείρετο· ἀλλ' ἐκ τῶν ναῶν τῶν ἐπ' ὀνόματι τοῦ προφήτου Ἠλιοὺ σῳζομένων, ἀρχαιότερος ἦν ὁ ἐν τῷ Πετρίῳ· κατὰ συνέπειαν φρονῶ ὅτι ὁ ναὸς τῶν μαρτύρων Μανουὴλ, Σαβὴλ καὶ Ἰσμαὴλ ἔκειτο ἐν τῷ Πετρίῳ·

τοὐλάχιστον θεωρηθήτω κείμενος μέχρι νεωτέρων ἐρευνῶν.

* * *

17. Ὑπατίου ὁσίου τοῦ ἐν Ῥουφινιαναῖς.

Ἤκμασεν ἐπὶ Ἀρκαδίου καὶ Ὀνωρίου. Φρυξ τὴν πατρίδα, πεπαιδευμένος ἀνὴρ, ἐγένετο μοναχὸς ἐν ἡλικίᾳ δεκαοκτὼ ἐτῶν, εἶτα δ' εἰσῆλθεν εἰς τὴν ἐν Ῥουφινιαναῖς μονὴν, ἣν ἀνήγειρε· μεθ' ὃ ἀνεχώρησεν εἰς ἐπαρχίαν τινα θρακικὴν, ἀλλὰ κατὰ ζήτησιν τῶν τριάκοντα μοναχῶν τῆς τῶν Ῥουφινιανῶν μονῆς, ἐδέξατο τὴν προστασίαν αὐτῆς, ἧς ἡγούμενος ἐγένετο ἐπὶ τεσσαράκοντα ἔτη. Ἀπεβίωσεν ὀγδοηκοντούτης.

Ἡ μονὴ τῶν Ῥουφινιανῶν, κατὰ τὰς ἀκριβεστάτας παρατηρήσεις τοῦ μακαρίτου Α. Γ. Παπάτη, ἔκειτο ἐν τῇ βιθυνικῇ παραλίᾳ κατὰ τὸ σήμερον Μποσταντζῆ-κιοπρού [46]. Τὸ προάστειον ὠνομάσθη ἀπὸ Ῥουφίνου ὑπάτου τῆς νέας Ῥώμης, πολὺ πιθανῶς τοῦ κελτοῦ, μαγίστρου μὲν τῷ 390, ὑπάτου δὲ τῷ 391, μέγα ἰσχύσαντος μέχρι τοῦ 395, ὅτε ἐφονεύθη [47]. Κατὰ Θεοφάνην, τὸ προάστειον Ῥουφινιαναὶ πρότερον ἐκαλεῖτο Δρυῦς, ὃ φαίνεταί μοι παράξενον, διότι ἐν ἀρχαῖς τοῦ Ε΄ αἰῶνος ἀναφέρεται τὸ ὄνομα Δρυός, ἐνῷ βεβαίως ἦν γνωστὸν καὶ τὸ ὄνομα Ῥουφινιαναί [48]· ὥστε συμπεραίνομεν ὅτι ἡ τοποθεσία Δρυῦς ἔκειτο παρὰ ταῖς Ῥουφινιαναῖς. Τῷ 532, τὸ *προάστειον τῶν Ῥουφινιανῶν* (ἔπαυλις ὡς σήμερον λέγομεν) ἀνῆκε τῷ στρατηγῷ Βελισσαρίῳ ὡς ἴδιον αὐτοῦ κτῆμα [49]. Τὰ παλάτια τῶν Ῥουφινιανῶν ἠγείροντο παρὰ τὴν παραλίαν [50]· τὸ δὲ αὐτόθι *πολύχνιον* ἐθεωρεῖτο κατὰ τὸν ΙΑ΄ αἰῶνα «καρτερώτατον καὶ δυσμαχώτατον καὶ στόμα τῆς μεγαλοπόλεως κείμενον» [51]· ὥστε πλησίον τῆς μονῆς ὑπῆρχε τὸ πολύχνιον Ῥουφινιαναὶ καὶ τὸ παλάτιον. — Ἡ παρὰ τοῖς συναξαρίοις παράδοσις περὶ μοναστηρίου κτισθέντος ὑπὸ Ῥουφίνου παραπέμπεται εἰς τὸν Καιάδαν· ἱστορικῶς ἐστι γνωστὸν ὅτι κατὰ τὰ μέσα τοῦ Ε΄ αἰῶνος, εἰς τὰς Ῥουφινιανὰς, «Καλχηδόνος δὲ τοῦτο προάστειον, Ῥουφίνου τοῦ ὑπατικοῦ νῦν ἐπώνυμον, βασίλειά ἐστι, καὶ μεγάλη ἐκκλησία, ἣν αὐτὸς Ῥουφῖνος, ἐπὶ τιμῇ Πέτρου καὶ Παύλου τῶν ἀποστόλων ἐδείματο καὶ Ἀποστολεῖον ἐξ αὐτῶν ὠνόμασε» [52]. Παρὰ τὸν ναὸν τοῦτον ὁ ἐν ἀρχαῖς τοῦ Ε΄ αἰῶνος ἀκμάσας Ὑπάτιος ἵδρυσε τὴν μονὴν αὐτοῦ μεταξὺ τῶν ἐτῶν 395-400. Μικρῷ μετὰ τὸ 451, ὅτε ὁ Ὑπάτιος οὐκ ἦν ἐν τοῖς ζῶσι, μοναχοὶ τῆς τῶν Ῥουφινιανῶν μονῆς προσήρχοντο χάριν εὐχῆς εἰς τὸν Αὐξέντιον, θανόντος δὲ ἐζήτουν 'να παραλάβωσιν αὐτοὶ τὸ λείψανον τοῦ σύρου μοναχοῦ [53]. Ἡ μονὴ, καθὼς καὶ τὸ πολίχνιον, κατεστράφη προδήλως ἐν τοῖς χρόνοις τοῦ Ἡρακλείου, ἄγνωστον δ' ἐπὶ πόσον χρόνον ἔμεινε κατεστραμμένη. Θεόδωρος ὁ Βαλσαμὼν λέγει ὅτι *τὴν περιβάητον μονὴν τῶν Ῥουφινιανῶν* ἀνήγειρε περὶ τὰ 933-956 Θεοφύλακτος ὁ πατριάρχης [54]· σῳζομένη δὲ καὶ κατὰ τὰ μέσα τῆς ΙΓ΄ ἑκατονταετηρίδος ἐκέκτητο (πρὸ τοῦ 1234) ὡς μετόχιον τὸ προάστειον τὰ Σφούρνου, ἴσως ἔξω τῆς Σμύρνης, περιελθὸν ὕστερον εἰς τὴν κυριότητα τῆς μονῆς τῶν Λέμβων [55], ἀλλ' ἦν, ὡς φαίνεται, παρημελημένη τότε· διὸ καὶ συνηνώθη τῇ μονῇ τοῦ ἁγίου Παύλου τοῦ ἐν τῷ Λάτρῳ, διοικουμένη τῷ 1236 ὑπὸ τοῦ ἐκείνης ἡγουμένου Γερμανοῦ· κατὰ τὸ ἔτος δὲ τοῦτο ὁ πατριάρχης Γερμανὸς προσήρτησε τῇ μονῇ τῶν Ῥουφινιανῶν, ὡς μετόχιον, τὴν ἐν Πιλοπυθίοις (Κουρὶ τῆς σήμερον ἐν τῇ Βιθυνίᾳ) μονὴν Ζιγρίτζαν μετὰ τῶν ἐν Ἁγίῳ Ἐλευθερίῳ καὶ Παντειχίῳ κτημάτων αὐτῆς, καὶ τῶν μετοχίων αὐτῆς Ἀξύλου καὶ Δαφναίας «μετὰ τῶν ἐν αὐτοῖς προσκαθημένων πτωχῶν»· τοῦτο κατὰ μάρτιον τοῦ 1236, ὡς εἶπον [56].

Ἡ μονὴ τῶν Ῥουφινιανῶν, ὡς καὶ τὸ πολύχνιον, ἦσαν ἐπιθαλάσσια, διότι παρὰ μὲν Πορφυρογεννήτῳ βλέπομεν ὅτι, ἀπὸ τῆς Ἱερείας (Φενὲρ-μπαγτζὲ) μέχρι τῶν Σατύρου (περὶ τὸ Μάλτεπε) ἔκειντο αἱ Ῥουφινιαναὶ καὶ μετ' αὐτὰς τὸ Πολεατικόν [57]· ἐν δὲ ταῖς ἀνεκδότοις βιογραφίαις τοῦ Αὐξεντίου ἀναφέρεται ὅτι «τῇ θαλάσσῃ προσνένευκε» καὶ «οὐ πόρρω τοῦ ὄρους καθίδρυται», καὶ «κεῖται παράλιος» καὶ «κεῖσθαι τὴν μονὴν αὐτῶν περὶ τὰ παράκτια».

Ἡ γνώμη τοῦ ἀρχαιολόγου ἀπὸ μηχανῆς ὅτι ἡ μονὴ ἔκειτο ἄνω τοῦ σημερινοῦ Μπαγλὰρ-μπασὶ τῆς Χρυσοπόλεως ἐν τοῖς κτήμασι Τοπχανελόγλου πρέπει 'να ριφθῇ εἰς τοὺς Ἀποθέτας. Ἐπιγραφὴ δέ τις ἐκδοθεῖσα ὑπὸ τοῦ φίλου Ξ. Σιδερίδου, τοῦ περὶ τὴν βυζαντινὴν τοπογραφίαν ἤδέως ἀσχολουμένου, ὁμοιότυπος [58], δεικνύει μέν τινα τῆς μονῆς ὅρια, ἀλλ' οὐδὲν εἰς γνῶσιν τῆς τοποθεσίας αὐτῆς συμβάλλεται, διότι μόλις ἐπιτρέπει 'να συμπεράνωμεν ὅτι τὰ κτήματα αὐτῆς ἐξετείνοντο μέχρι τοῦ τουρκικοῦ χωρίου Σαμάνδρα, ἐν ᾧ ἡ ἐπιγραφὴ εὑρέθη, καίπερ ἀγνώστου τέως τυγχάνοντος εἴπερ ἐκεῖ ἐξ ἀρχῆς ἔκειτο, ἢ μετηνέχθη ἀλλαχόθεν.

§

18. Λεοντίου μάρτυρος καὶ τῶν σὺν αὐτῷ. Ἡ σύναξις πέραν ἐν τῷ Καμαριδίῳ, καὶ ἐν τῷ εὐκτηρίῳ οἴκῳ αὐτοῦ, τῷ ὄντι ἔμπροσθεν τῆς πόρτης τῆς Πηγῆς [59].

Ἤθλησεν ἐπὶ Οὐεσπασιανοῦ [60].

---

38. Esquisse· § 15.
39. Const. Christ. σελ. 123, β΄.
40. Προκοπίου, Περὶ κτισμάτων· σελ. 207.
41. Banduri, Imper. Or. σελ. 52. Κωδηνοῦ, Περὶ κτισμάτων· σελ. 126. Κατ' αὐτοὺς ἡ Θεοτόκος τοῦ Μαρνακίου ἐκτίσθη μεταξὺ τῶν ἐτῶν 610-638.
42. ἡ μαρτυρία παρὰ Μηναίῳ τινὶ τῆς ἐν Κων/πόλει, μονῆς τοῦ Ἀκαταλήπτου. Ἱεροσλμ. Βιβλιοθ. Β΄, σ. 123.
43. ἡ μνήμη τῆς συναξεως παρὰ Νικοδήμῳ.
44. ἐλεεινὴ μνεία παρὰ Ζωναρᾷ.
45. Banduri, Imp. Or. σελ. 46 καὶ 526.
46. Παπάτη, Τὰ ἀνατολικὰ προάστεια τοῦ Βυζαντίου· σελ. 50 τόμου ΙΒ΄ Ἑλλ. Φιλολ. Συλλόγου.
47. Ζώσιμος, σελ. 235, 236, 243, 246, 250 καὶ 255. Νομίζω ὅτι ὁ τῷ 346-347 ὕπατος Ῥουφῖνος ἦν ἕτερος. Πασχάλ. Χρον. σελ. 535 καὶ 564.
48. Θεοφ. Α΄, σελ. 122.
49. Προκοπίου, Ἱστορία· τόμ. Α΄, σελ. 133.
50. Νικηφόρος Βρυέννιος· Βόννης· σελ. 124.
51. Μιχαὴλ Ἀτταλειάτης· σελ. 268.
52. Σωζομ. Ἐκκλ. Ἱστορ. Ζ΄, ιζ΄.
53. Αὐξεντίου βίος ὑπὸ Συμεὼν μεταφραστοῦ· Migne, ἐν τόμῳ ΡΙΔ΄, § λστ΄, λθ΄, μδ΄.
54. ἑρμηνεία εἰς τὸν Ζ΄ κανόνα τῆς Πρωτοδευτέρας.
55. Miklosich καὶ Müller, Acta monasteriorum· τόμ. Α΄, σελ. 33.
56. Αἴθοι καὶ Κεράμια· σελ. 21-23.
57. Ἐκθ. βασιλ. τάξεως· Α΄, σελ. 497.
58. Ἀρχαιολογ. παραρτ. τόμου ΙΖ΄ τοῦ Ἑλλ. Φιλολ. Συλλόγου· σελ. 123. Προεξεδόθη ἐλλιπῶς ἐν σελ. 237 τοῦ Ζ΄ τόμου ὑπὸ Ν. Τσιγαρᾶ.
59. κατὰ τὸν Λαυριωτικὸν Δ39 Συναξαριστήν.
60. Nilles, Kalendarium· τόμ. Α΄, σελ. 184.

Ἐκ τῶν ἐπ' ὀνόματι Λεοντίου τοῦ μάρτυρος ἐγειρομένων ναῶν ἐστι γνωστὸς οὗτος 1) ὁ πρὸ τῆς πύλης τῆς Πηγῆς, ἤτοι τῆς σήμερον Σηλύβρι-καπί· 2) ὁ ἐν τῷ Καμαριδίῳ ἀόριστος, διότι δύναταί τις εἰπεῖν ὅτι ἔκειτο ἐν Γαλατᾷ, ἴσως καὶ ἐν τῇ ἀνατολικῇ παραλίᾳ[61].

* * *

18. Λεοντίου ὁσίου τοῦ ποιμένος τοῦ κειμένου πέραν τοῦ ἄστεος.

Ἡ μνεία κεῖται μόνον παρὰ τοῖς Συναξαριταῖς ἄνευ ὑπομνήματος βιογραφικοῦ.

Οὐ πρόκειται περὶ ναοῦ.

* * *

18. Ἡ σύναξις τοῦ Ἀρχιστρατήγου Μιχαὴλ πλησίον τοῦ Ἁγίου Ἰουλιανοῦ ἐν τῷ Φόρῳ.

Ὁ ναὸς ἔκειτο οὐ μακρὰν τοῦ Τσεμπερλῆτας, ἠγέρθη δὲ κατὰ τοὺς παραδοξογράφους ὑπὸ τοῦ θρακὸς Ἀναστασίου[62].

ꕥ

19. Ἀσυγκρίτου ἱερομάρτυρος. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ Ἁγίου Ἰσιδώρου τῷ ἔνδον τῆς Ἁγίας Εἰρήνης τῆς πρὸς τὴν θάλασσαν.

Ἄγνωστος ὁ χρόνος τῆς ἀθλήσεως.

ꕥ

20. Ἡ κατάθεσις τῶν λειψάνων καὶ περιβολαίων τῶν ἁγίων ἀποστόλων Ἀνδρέου, Θωμᾶ καὶ Λουκᾶ, τοῦ προφήτου Ἐλισσαίου καὶ Λαζάρου τοῦ μάρτυρος ἐν τῷ ναῷ τῶν Ἁγίων Ἀποστόλων τῶν μεγάλων[63].

Κατὰ τὰ τελευταῖα ἔτη Κωνσταντίνου τοῦ Πορφυρογεννήτου ἐδηλώθη αὐτῷ ὅτι «ἔν τινι γωνίᾳ τῆς πόλεως» ἐσθῆτες κρύπτονται τῶν ἁγίων ἀποστόλων· ταύτας ἀναλαβὼν ἀπεθησαύρισεν ἐν τῷ μεγάλῳ αὐτῶν ναῷ[64].

* * *

20. Καλλίστου πατριάρχου Κωνσταντινουπόλεως.

Προέστη τῆς Ἐκκλησίας ἀπὸ τῆς 10 ἰουνίου 1350-1354 καὶ ἀπὸ τοῦ 1355 μέχρι τῶν μέσων τοῦ 1363, ὅτε ἀπεβίωσεν εἰς Σέρρας. Πρὸ τῆς ἐκλογῆς ἐπὶ δεκαετίαν ἠσκεῖτο ἐν τῇ κατὰ τὸ Ἅγιον Ὄρος μονῇ τῶν Ἰβήρων. Μετὰ τὸν θάνατον αὐτοῦ πρεσβείαν οἱ ἁγιορεῖται πέμψαντες πρὸς Ἐλισάβετ τὴν ἡγεμονίδα τῆς Σερβίας παρεκάλεσαν αὐτὴν ὅπως ἐπιτρέψῃ ἵνα παραλάβωσι τὸ τοῦ Καλλίστου λείψανον, ἀλλ' αὕτη ἠρνήσατο[65].

ꕥ

21. Ἰουλιανοῦ μάρτυρος τοῦ αἰγυπτίου. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ ἐν τῷ Φόρῳ.

Ἤθλησεν ἐπὶ Διοκλητιανοῦ. Τὸν ναὸν αὐτοῦ εἴδομεν τῇ 8 ἰανουαρίου τελοῦντα σύναξιν ἐπὶ τῇ μνήμῃ τοῦ τε Ἰουλιανοῦ καὶ τῆς συζύγου Βασιλίσσης· οἱ παραδοξογράφοι μυθολογοῦσιν ὅτι τὸν ναὸν ἢ μονὴν τοῦ ἁγίου Ἰουλιανοῦ σὺν τοῖς μονάζουσιν ἔκαψε Κωνσταντῖνος ὁ Κοπρώνυμος[66].

ꕥ

22. Ζήνωνος καὶ Ζηνᾶ μαρτύρων. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Γεωργίου ἐν τῷ Κυπαρίσσῳ.

Ἤθλησαν ἐπὶ Μαξιμιανοῦ.
Ναὸς ἴδιος εἰς ὄνομα αὐτῶν οὐκ ἠγείρετο.

* * *

22. Ἰουλιανῆς καὶ Σατορνίνου υἱοῦ αὐτῆς τῶν μαρτύρων. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν, τῷ ὄντι πλησίον τῆς Ἁγίας Εὐφημίας ἐν τῷ Πετρίῳ.

Ἴδε εἰς τὴν 21 δεκεμβρίου.

ꕥ

24. Τὸ γενέθλιον τοῦ βαπτιστοῦ Ἰωάννου. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ εὐκτηρίῳ, τῷ ὄντι ἐν τοῖς Φωρακίου.

Ἴδε περὶ τοῦ ναοῦ τούτου εἰς τὴν 7 ἰανουαρίου, ἐν καταλόγῳ τῶν ναῶν τὸν πρῶτον.

Κατὰ τοὺς τελευταίους τῶν βυζαντινῶν χρόνους, ἡ κατὰ τὴν ἑορτὴν ταύτην αὐτοκρατορικὴ προέλευσις ἐτελεῖτο ἐν τῷ ναῷ τοῦ Προδρόμου τῆς Πέτρας, ὅστις οὕτω δείκνυται ἑορτάζων τὴν 24 ἰουνίου[67].

ꕥ

25. Φεβρωνίας μάρτυρος. Ἡ σύναξις ἐν τῷ ναῷ τοῦ ἁγίου προφήτου καὶ βαπτιστοῦ Ἰωάννου τῷ εὑρισκομένῳ εἰς τὴν Ὀξεῖαν.

Ἤθλησεν ἐπὶ Διοκλητιανοῦ. Τὸν εἰς τὴν Ὀξεῖαν ναὸν εἴδομεν τὴν 7 ἰανουαρίου (ἐν ἀριθμῷ ιε').

* * *

25. Τῇ αὐτῇ ἡμέρᾳ τελεῖται ἡ ἀνάμνησις τῆς ὑπὲρ λόγον καὶ πᾶσαν ἐλπίδα δωρηθείσης ἡμῖν βοηθείας παρὰ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τῶν πρεσβειῶν τῆς ἀσπόρως αὐτὸν τεκούσης παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, κατὰ τῶν διά τε γῆς καὶ θαλάσσης κυκλωσάντων τὴν καθ' ἡμᾶς βασιλίδα πόλιν,

(«καὶ πανολεθρίᾳ παραδοθέντων καὶ τελείῳ ἀφανισμῷ»), παρὰ τῷ Συναξαριστῇ καὶ τοῖς Μηναίοις).

Ἄγνωστον εἰς τίνα χρόνον ἀναφέρεται τὸ θαῦμα τῆς Θεοτόκου.

ꕥ

27. Σαμψὼν ὁσίου τοῦ ξενοδόχου. Ἡ σύναξις εἰς τὸ παρ' αὐτοῦ κτισθὲν καὶ συσταθὲν εὐαγὲς ξενοδοχεῖον.

Καταγόμενος ὁ Σαμψὼν ἐκ Ῥώμης, καὶ δὴ τὸ γένος ἕλκων ἐκ τῆς οἰκογενείας τοῦ Μ. Κωνσταντίνου, διένειμε τὸν πλοῦτον αὐτοῦ τοῖς πτωχοῖς καὶ ἐλθὼν εἰς Κωνσταντινούπολιν, γνωστὸς ἐγένετο διά τε τὴν ἀρετὴν καὶ τὴν γνῶσιν τῶν θείων Γραφῶν τῷ πατριάρχῃ Μηνᾷ, ὅστις (536-552) ἐχειροτόνησεν αὐτὸν πρεσβύτερον. Κατοικῶν ἐν οἴκῳ μικρῷ, μετέβαλεν αὐτὸν εἰς νοσοκομεῖον, ὅπερ ἐκάη, ἢ μᾶλλον ὁ ὄροφος μόνον, τῇ 17 ἰανουαρίου 532. Ἰατρὸς ὢν ὁ Σαμψὼν ἐθεράπευσε τὸν Μ. Ἰουστινιανὸν ἀπὸ νόσου τῆς κύστεως, οὗτος δὲ εὐχαριστῶν ᾠκοδόμησε, κατ' ἐπιθυμίαν τοῦ Σαμψών, ὑπὸ τὴν προστασίαν ἐκείνου θεῖς, τὸν γνωστὸν ἐν τῇ ἱστορίᾳ ξενῶνα τοῦ Σαμψών, εἰς ὃν ἐχαρίσατο πολλὰς προσόδους πρὸς συντήρησιν τοῦ τε ξενῶνος καὶ τῶν ὑπηρετῶν καὶ πρὸς ἀμοιβὴν τῶν ἰατρῶν· τοῦτον δὲ διευθύνας ὁ Σαμψὼν ἐπί τινα ἔτη, ἀπέθανε γέρων, καὶ τὸ λείψανον αὐτοῦ κατετέθη ἐν τῷ ναῷ τοῦ ἁγίου Μωκίου[69].

Ὁ ξενὼν τοῦ Σαμψών, μέγα νοσοκομεῖον κείμενον μεταξὺ τῆς Ἁγίας Εἰρήνης καὶ τῆς Ἁγίας Σοφίας[70], «ἐκαύθη τελείως τὸν δεκέμβριον τοῦ 563»[71]. Ἐν ἀρχαῖς τοῦ ΙΓ' αἰῶνος ἀναφέρονται ὁ ἡγούμενος καὶ μοναχοὶ τοῦ ξενῶνος, ὅπερ ὁ Πασπάτης ἐγίνωσκεν ἐκ τῶν παρὰ Δουκαγγίῳ, ἀλλ' ἐσφαλμένως εἶπεν ὅτι κατὰ τοὺς τελευταίους τῶν βυζαντινῶν χρόνους ὁ ξενὼν οὐδέποτε μνημονεύεται. Ἀκριβῶς ἡ μονὴ τοῦ Σαμψὼν ἀναφέρεται κατὰ τὰ τέλη τοῦ ΙΔ' αἰῶνος, ἔχουσα καὶ κάθισμα τοῦ Θεολόγου[72].

Ὁ ξενὼν εἶχε μικρὸν εὐκτήριον ἴσως ἐπ' ὀνόματι τοῦ ἁγίου Σαμψών· πιστεύω δ' ὅτι ἡ σύναξις ἐτελεῖτο καὶ ἐν αὐτῷ, διότι ἐτελεῖτο καὶ ἐν τῷ ναῷ τοῦ ἁγίου Μωκίου[73].

Τρεῖς τύπους σφραγίδων τοῦ ξενῶνος τοῦ Σαμψών, οὔσας ἐν χρήσει κατὰ τοὺς αἰῶνας Η' καὶ Θ', γινώσκομεν[74].

ꕥ

28. Ἡ εὕρεσις τῶν λειψάνων Κύρου καὶ Ἰωάννου τῶν ἁγίων μαρτύρων ἀναργύρων. Ἡ σύναξις ἐν τοῖς Φωρακίου καὶ ἐν ταῖς Ἀρκαδιαναῖς.

---

61. ὄπισθεν τοῦ ἐν Γαλατᾷ Χαβιαροχάνου καὶ κυρίως ὄπισθεν τοῦ Ὑγιονομείου, ὑπάρχει Ϛολοστέγαστον μέγα βυζαντινὸν οἰκοδόμημα, τούτου δ' ἐχόμενα, κατὰ τὴν κοινολαΐτιδα παράδοσιν, ὑπῆρχε πρὸ χρόνων πολλοτάτων ναός. Ἴσως ἦν οὗτος ὁ ἐν ἐγγράφῳ τοῦ 1303 ἀναφερόμενος ἐπ' ὀνόματι τοῦ ἁγίου Θεοδούλου ναός, ἐν Γαλατᾷ κείμενος· εἷς δὲ τῶν τῷ Λεοντίῳ συμμαρτυρησάντων ἦν ὁ Θεόδουλος· βλ. Πασπάτη Μελέτας· σελ. 208.

62. Banduri, Imper. Or. σελ. 42. Ὁ Θεοφάνης μιμνήσκεται τοῦ ναοῦ τῷ 569.

63. ἡ μνήμη παρὰ Νικοδήμῳ, ὅστις σημειοῖ ὅτι οὗτος ὁ Λάζαρός ἐστιν ὁ τὴν 29 μαρτίου τιμώμενος. Ἴσως ἀνακαλυφθήσονται καὶ ἕτεροι Λάζαροι ἄγνωστοι τῷ Νικοδήμῳ.

64. Συμεὼν μάγιστρος· σ 755· Ἀμαρτωλός· Migne. PI', 1193. Τὸ Βασιλειανὸν λεγόμενον οὐ μιμνήσκεται τῆς τῶν λειψάνων καταθέσεως, καθὸ συνταχθὲν πρὸ τῶν τελευταίων ἐτῶν τῆς ἀρχῆς τοῦ Πορφυρογεννήτου· βλ. σημ. 25 τοῦ ἰανουαρίου μηνὸς ἐν τῷ μετὰ χεῖρας συγγράμματι.

65. Πατριαρχ. Πίνακες· σελ. 426-428 καὶ 429-431. Κατακουζηνός· τόμ. Γ', σελ. 270-272, 275 καὶ 362. Γρηγορᾶς· τόμ. Β', σελ. 871, Γ', 257-259, 540.

66. Banduri, Imp. Or. σελ. 42 καὶ 508.

67. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 81.

68. ὁ τῆς συνάξεως ὁρισμὸς παρὰ τῷ Νικοδήμῳ.

69. Συμεὼν Μεταφραστοῦ (δῆθεν, πράγματι δ' ἑτέρου), βίος Σαμψών· Migne, τόμ. PIE', στ. 277-308.

70. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Α', σελ. 520. Πασπάτη, Βυζαντιναὶ ἀνάκτορα· σελ. 66, 67 καὶ 98. Προκοπίου, Περὶ κτισμάτων· σελ. 183.

71. Θεοφ. Α', σελ. 371.

72. Acta patriarch. Β', σελ. 407-408 καὶ 467.

73. Μηνολόγιον. Μηναῖον ἀπριλίου.

74. Schlumberger, Sigillographie· σελ. 154.

Ἀμφότεροι οἱ μάρτυρες ὄντες ἰατροὶ ἤθλησαν ἐπὶ Διοκλητιανοῦ.

Καίπερ ἀσαφῶς ἀναφέροντος τοῦ Συναξαριστοῦ τόπον μόνον, ἐν ᾧ ἐτελεῖτο ἡ σύναξις, οὐχὶ δὲ ναόν, ἐπιτρέπεται 'να πιστεύωμεν ὅτι ἡ σύναξις ἐπὶ τῇ μνήμῃ τῆς εὑρέσεως τῶν λειψάνων Ἰωάννου καὶ Κύρου ἐτελεῖτο εἰς δύο ναοὺς ἀνατεθειμένους εἰς αὐτούς, τοσούτῳ μᾶλλον καθ' ὅσον ἡ τῆς 31 ἰανουαρίου σύναξις ἀναφέρεται ῥητῶς γινομένη ἐν τῷ ναῷ εἰς τὰ Σφωρακίου· 2) ὥστε ὑπῆρχε καὶ ναὸς ἕτερος ἐν Ἀρκαδιαναῖς ἢ Ἀρκαδιανοῖς.

* * *

28. Σεργίου μαγίστρου τοῦ συστησαμένου τὴν μονὴν τῆς Ὑπεραγίας Θεοτόκου τὴν ἐν τῷ κόλπῳ τῆς Νικομηδείας καὶ λεγομένην τοῦ Νικητιάτου [75].

Ἐν τῇ κώμῃ Νικήτια τῆς Παφλαγονίας [76] γεννηθεὶς ὁ Σέργιος, συγγενὴς ὢν Θεοδώρας τῆς αὐγούστας, μετὰ τὸν Θεοφίλου θάνατον, ἔλαβε μέρος εἰς τὴν ἀναστήλωσιν τῶν ἁγίων Εἰκόνων, εἶτα δὲ στελλόμενος ἐπὶ στρατείαν ἀπεβίωσε. Τὸ λείψανον αὐτοῦ ἀνακομισθὲν ἀπετέθη εἰς τὴν ὑπ' αὐτοῦ κτισθεῖσαν μονήν [77].

ℰ

29. **Πέτρου καὶ Παύλου τῶν ἐνδόξων καὶ πανευφήμων καὶ πρωτοκορυφαίων ἀποστόλων.** Ἡ σύναξις αὐτῶν ἐν τοῖς Ἁγίοις Ἀποστόλοις, καὶ ἐν τῷ Ὀρφανοτροφείῳ, ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου ἀποστόλου Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν πάσαις ταῖς κατὰ τόπον ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις.

Ἡ ἑορτὴ τῶν ἁγίων ἀποστόλων τούτων ἦν ἐκ τῶν ἀρχαίων· ἤρξατο δὲ τελουμένη πανηγυρικῶς ἐν Κωνσταντινουπόλει ἀπὸ τοῦ 501. Ἤδη τῷ 547 ἀναφέρεται τελουμένη τῇ 29 ἰουνίου, ὅτε Βιγίλιος ὁ πάπας Ῥώμης «παρακληθεὶς ὑπὸ Θεοδώρας ἐδέξατο Μηνᾶν τὸν Κωνσταντινουπόλεως» [78].

Ναοὶ τῶν ἀποστόλων Πέτρου καὶ Παύλου ὑπῆρχον ἐν Κωνσταντινουπόλει 1) ὁ ἐν τοῖς Ὁρμίσδου, παρὰ τὸν ναὸν τῶν ἁγίων Σεργίου καὶ Βάκχου, κτισθεὶς ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ κατὰ τὸ σήμερον Κάτεργα λιμὰν πρὸ τοῦ 536 βεβαίως, ὅτε γινώσκομεν Παῦλον ἡγούμενον τῶν ἁγίων Πέτρου καὶ Παύλου καὶ τῶν ἁγίων μαρτύρων Σεργίου καὶ Βάκχου [79]· — 2) ὁ ἐν τῷ Ὀρφανοτροφείῳ, ὁ λεγόμενος, ὡς φαίνεται, κοινότερον καὶ Παύλου, κτισθεὶς ὑπὸ Ἰουστίνου τοῦ Β' τῷ 572, σῳζόμενος δὲ σὺν τῷ παρ' αὐτῷ Ὀρφανοτροφείῳ τῷ 815 [80]· τὸ δὲ Ὀρφανοτροφεῖον τοῦτο ἀνασυνέστησεν ἑκατέρωθεν τοῦ ἐν τῇ ἀκροπόλει ναοῦ τούτου, περὶ τὰς ἀρχὰς ἴσως τοῦ ΙΒ' αἰῶνος, Ἀλέξιος ὁ Κομνηνός, ἐγείρας κύκλῳ τούτου πενητοτροφεῖα καὶ λωβοκομεῖον καὶ τυφλῶν ἄσυλον· ἦν δὲ πρὸ αὐτοῦ τὸ Ὀρφανοτροφεῖον, ὡς ἔοικε, παρημελημένον ἢ κατεστραμμένον· ἔκειτο ἐν τῇ ἀκροπόλει, ἡ σχεδὸν ὅπου κεῖται σήμερον ἡ αὐτοκρατορικὴ Ἰατρικὴ σχολὴ τοῦ Γκιουλχανέ, καὶ ἦν μεταπεποιημένον ἐπὶ Ῥωμανοῦ Γ' τοῦ Ἀργυροῦ εἰς γηροκομεῖον καὶ μοναστήριον [81]· — 3) ὁ τῷ παλατίῳ, πρὸ τοῦ Βασιλείου τοῦ Μακεδόνος ὑπάρχων, ὑπ' αὐτοῦ δὲ ἀνεγερθεὶς καὶ κοσμηθείς [82]· ὑπονοῶ ὅτι αὐτός ἐστιν ὁ παρὰ Θεοφάνει Παύλου γραφόμενος, ἐν χειρογράφῳ δὲ τῆς Θ' ἑκατονταετηρίδος ἐπ' ὀνόματι Πέτρου καὶ Παύλου σημειούμενος [83]· — 4) Πέτρου καὶ Παύλου ἐν Ῥουφινιαναῖς, περὶ οὗ ἴδε εἰς τὴν 17 ἰουνίου· παρ' αὐτῷ ὁ Ῥουφῖνος «μοναχοὺς συνῴκισεν, οἳ τῆς ἐκκλησίας τὸν κλῆρον ἐπλήρουν» [84]· — 5) φρονῶ ὅτι τὸ Παυλοπετρίον ὠνομάσθη οὕτως ἀπὸ ναοῦ τιμωμένου ἐπ' ὀνόματι τῶν ἁγίων ἀποστόλων τούτων.

6) Ἐπ' ὀνόματι Παύλου γινώσκεται ὁ κείμενος «περὶ τὰς πύλας Εὐγενίου» (ἐκτὸς ἂν οἱ γράφοντες συγχέωσιν αὐτὸν τῷ τοῦ Ὀρφανοτροφείου)· τοῦτον βεβλαμμένον ἐν ἀρχαῖς τοῦ ΙΔ' αἰῶνος ἐπεσκεύασε περὶ τὰ ἔτη 1316-1318 Ἀνδρόνικος Β' ὁ Παλαιολόγος [85]· — 7)

75. ἡ μνήμη παρὰ τῷ Νικοδήμῳ· ὀλίγα τῶν ἐρευνηθέντων ὑπ' ἐμοῦ συναξαρίων ἀναφέρουσιν αὐτόν.

76. τὸ συναξάριον λέγει κειμένην τὴν κώμην παρὰ τὴν Ἄμαστριν ἐν Εὐξείνῳ.

77. Μ. Ι. Γεδεών, Ἀκρίτας καὶ Τοῦζλα, σελ. 15-18.

78. Θεοφ. Α', σελ. 220 καὶ 350.

79. Προκοπίου, Περὶ κτισμάτων· σελ. 186. Δουκαγγίου, Const. Christ. σελ. 78, ἀριθ. XXVI, καὶ σ. 79. Κεδρηνός· Α', σελ. 642.

80. Θεοφ. Α', σελ. 376. Γενέσιος· σελ. 11. Theoph. Cont. σελ. 23. Κεδρηνός· Α', σελ. 684. Ζωναρᾶς· ΙΔ', 10 (Δινδορφ. Γ', σελ. 285).

81. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Α', σ. 150.

82. Theoph. Contin. σελ. 331.

83. Ἱεροσλ. Βιβλιοθ. Β', σελ. 472.

84. Ἑρμείας Σῳζόμενος· Η', ιζ'.

85. Νικηφ. Γρηγορᾶς· τόμ. Α', σελ. 275.

ἄγνωστον ἂν πρέπῃ 'ν' ἀποδεξώμεθα τούτου τοῦ ναοῦ διάφορον τὸν ὑπὸ Βασιλείου τοῦ Μακεδόνος ἐν τῷ παλατίῳ ἐγερθέντα, οὗ «τὸ ἔδαφος ἄργυρον εἶχε τοὺς κύκλους τῶν μαρμάρων ἐμπεριεκλείοντα καὶ πολυτελείᾳ καὶ κάλλει τῶν ἄλλων κατ' οὐδὲν ὁρᾶται λειπόμενον» [86].

8) Ἐπ' ὀνόματι Πέτρου γινώσκομεν τὸν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας συγκείμενον, ἤτοι προσκεκολλημένον, οὗ μνεία γίνεται συνεχῶς ἐν τῷ μετὰ χεῖρας Ἑορτολογίῳ, καὶ οὐ τὴν ἱστορίαν ἀγνοοῦμεν· 9) τὸν τὸ πρῶτον ὑπὸ Βασιλείου τοῦ Μακεδόνος ἐγερθέντα ἐν τῷ παλατίῳ «κατὰ τὸ ἄκρον τῶν τοῦ Μαρκιανοῦ περιδρόμων» ἔχοντα παρ' αὐτῷ εὐκτήριον τοῦ ἀρχαγγέλου Μιχαήλ [87]· — 10) τὸν ἐν τῷ Ῥηγίῳ (Κιουτσοὺκ-Τσεκμετζὲ τῆς σήμερον), ὄν, πεσόντα καὶ μηδενὶ βατὸν ὄντα, Βασίλειος ὁ Μακεδὼν ἐκ βάθρων ἀνήγειρε [88]·—11) τὸν ἐν τῷ Ἀθύρᾳ (Μπουγιοὺκ-Τσεκμετζὲ), σῳζόμενον κατὰ τὸν ΣΤ' αἰῶνα· ἐν αὐτῷ νύκτα τινὰ πρὸ τοῦ 552 κοιμηθεὶς ὁ Μ. Ἰουστινιανὸς «καὶ γὰρ ἦν ἔχων ἐκεῖ πρόκενσον» εἶδεν ὅραμα θεῖον ὅτι δέον γενέσθαι πατριάρχην Κωνσταντινουπόλεως τὸν Εὐτύχιον [89]· ὁ ναὸς οὗτος ἔπαθε βεβαίως ὑπὸ τοῦ σεισμοῦ τῆς 14 δεκεμβρίου τοῦ 558·—12) τὸν ἐν Γαλατᾷ, ἀναφερόμενον παρὰ Κορουσίῳ, κτισθέντα κατὰ τὸν ΙΔ' ἴσως αἰῶνα [90]· καὶ 13) τὸν Ἅγιον Πέτρον τῶν Πισατῶν, ἀναφερόμενον τῷ 1192 ἔτει [91], κείμενον δ' ἐν τῷ σημερινῷ Μπαγτζὲ-καπί.

Σημ. Ὁ ὑπὸ Πέτρου πατρικίου, τοὐπίκλην Βαρσιμιανοῦ, τοῦ σύρου ἐπὶ τοῦ Μ. Ἰουστινιανοῦ κτισθεὶς ναὸς τοῦ ἁγίου Πέτρου ὁ παρὰ Δουκαγγίῳ, κατὰ τὰ λεγόμενα τῶν παραδοξογράφων, ἀναφερόμενος, οὐ λέγεται ἀκριβῶς ὅτι ἦν ἀνατεθειμένος εἰς τὸν ἀπόστολον Πέτρον [92].

Εἰκόνες τῶν ἀποστόλων παρὰ τοῖς ἱστοριογράφοις ἀρχαιότεραι ἀναφέρονται 1) Πέτρου καὶ Παύλου· ταύτας ἔστησεν ἑκατέρωθεν τῆς θεομητορικῆς εἰκόνος ἐν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας Βασίλειος ὁ Μακεδών [93]· — 2) «Παύλου τοῦ ἀποστόλου εἰκονίσματα διάφορα ἐξετύπωσε» Κωνσταντῖνος ὁ Πορφυρογέννητος ἐν τῷ Τετρακόγχῳ (τοῦ παλατίου) [94]· — 3) ἀρχαιοτάτην εἰκόνα τοῦ Παύλου Ἀνδρόνικος ὁ Κομνηνὸς εὑρὼν καὶ χρυσῷ καταστολίσας ἀνέθηκεν ἐν τῷ ναῷ τῶν Μ' μαρτύρων ὑψοῦ ἀναρτήσας· τῷ 1185 οἱ ὀφθαλμοὶ τῆς ἱερᾶς ἀποστολικῆς μορφῆς ἀπεστάλαττον δάκρυα· τοῦτο δὲ κακῶν ἑαυτῷ προάγγελον ἐπίστευεν ὁ Ἀνδρόνικος [95].

ℰ

30. Ἡ σύναξις τῶν ἁγίων ΙΒ' Ἀποστόλων.

Ἡ ἑορτὴ ἦν κοινὴ πᾶσι τοῖς χριστιανοῖς, διὸ οὐδ' ἀναφέρονται ναοί, ἐν οἷς ἡ σύναξις ἐγίνετο. Κατὰ τοὺς τελευταίους τῶν βυζαντινῶν χρόνους, ἡ προέλευσις ἐγίνετο ἐν τοῖς Ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις [96].

Οἱ Ἅγιοι Ἀπόστολοι οἱ μεγάλοι ἐκτίσθησαν ὑπὸ τοῦ Μ. Κωνσταντίνου, κτίσαντος δύο μόνον ναούς, τοῦτον καὶ τὸν τῆς ἁγίας Εἰρήνης [97]· «αὐτὸν μὲν τὸν νεὼν εἰς ὕψος ἄφατον ἐπάρας, λίθων τε ποικιλίαις παντοίων ἐξαστράπτοντα εἰς αὐτὸν ὄροφον ἐξ ἐδάφους πλακώσας, διαλαβὼν δὲ λεπτοῖς φατνώμασι τὴν στέγην, χρυσῷ τὴν πᾶσαν ἐκάλυπτεν. Ἄνω δὲ χαλκὸς μὲν ἀντὶ κεράμου φυλακὴν τῷ ἔργῳ πρὸς ὑετὸν καὶ ἀσφάλειαν παρεῖχε, καὶ τοῦτον δὲ πολὺς περιέλαμπε χρυσός· δικτυωτὰ δὲ πέριξ ἐκύκλουν τὸ δωμάτιον ἀνάγλυφα, χαλκῷ καὶ χρυσῷ κατειργασμένα. Ἀμφὶ δὲ τὸν ναὸν αἴθριος ἦν αὐλὴ παμμεγέθης, εἰς ἀέρα καθαρὸν ἀναπεπταμένη· ἐν τετραπλεύρῳ δὲ ταύτῃ στοαὶ διέτρεχον, μέσον αὐτῷ νεῷ τὸ αἴθριον ἀπολαμβάνουσαι· οἷκοί τε βασίλειοι ταῖς στοαῖς, λουτρά τε καὶ ἀνακαμπτήρια παρεξετείνετο, ἄλλα τε πλεῖστα καταγώγια τοῖς τοῦ τόπου φρουροῖς ἐπιτηδείως εἰργασμένα» [98]. Ἦν δὲ, κατὰ τὴν μαρτυρίαν Γρηγορίου τοῦ Θεο-

86. Theoph. Contin. σελ. 147, 331, 335.

87. αὐτόθι· σελ. 331.

88. αὐτόθι· σελ. 341.

89. Εὐτυχίου βίος ὑπὸ Εὐστρατίου πρεσβυτέρου· Migne, τόμ. ΠΣΤ', στήλη 2301. Εἰρήσθω ὅτι κατὰ παραδρομὴν ἐν «Ἐγγράφοις Λίθοις καὶ Κεραμίοις», σελ. ρξα', στ. 17-18, ἔγραψα ἀντὶ τοῦ ὀνόματος Ἰουστινιανοῦ τὸ τοῦ Εὐτυχίου ὄνομα.

90. Δουκαγγίου, Const. Christ. σ. 79, XXX. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Β', σελ. 52.

91. Πασπάτη, Βυζαντιναὶ Μελέται· σελ. 154.

92. Δουκαγγ. Const. Christ. σ. 79, ἀρ. XXVIII. Banduri· σελ. 35 καὶ 494.

93. Theoph. Cont. σελ. 322.

94. αὐτόθι· σελ. 459.

95. Νικήτας Χωνιάτης· σελ. 451. Ἐφραίμιος· στίχ. 5600-5625.

96. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 81.

97. τοῦτο κατὰ Σωκράτη· Ἐκκλ. Ἱστορ. Α', στ'.

98. Εὐσεβ. Παμφίλου, εἰς τὸν βίον τοῦ μακαρίου Κωνσταντίνου· βιβλ. Δ', κεφ. νη', νθ', ξ'.

λόγου, τὸ σχῆμα σταυροειδὴς[99] καὶ ἐκτίσθη ὅπως χρησιμεύσῃ ὡς κοιμητήριον[100] αὐτοκρατορικόν. Παρὰ τοῖς βυζαντινοῖς ἱστοριογράφοις γίνεται μνεία τοῦ ναοῦ τούτου πολλάκις, ὥστε λόγος μακρὸς ἐνταῦθα περιττός, ἀρκουμένων τῶν ἀναγνωστῶν εἰς ὀλίγας περὶ τοῦ ναοῦ γνώσεις. Τῆς πρώτης οἰκοδομῆς ἤρξατο, κατὰ τὰς τοῦ Valesii παρατηρήσεις, ὁ Μ. Κωνσταντῖνος τῷ 337, ἀλλ' ἀκολούθως ἐπισκευασθέντος ἐγκαίνια αὐτοῦ ἀναφέρονται γενόμενα τῷ 370[101]. Νέα δὲ ἐγκαίνια ἀναφέρονται γενόμενα τῇ 28 ἰουνίου τοῦ 547 ὑπὸ Μηνᾶ πατριάρχου Κωνσταντινουπόλεως ἐπὶ τῆ ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ, κατὰ τὸν Προκόπιον, ἢ, κατὰ τὴν παράδοσιν, ὑπὸ Θεοδώρας τῆς αὐγούστης, ἀνεγέρσει τοῦ ναοῦ· «καὶ διῆλθεν ὁ ἐπίσκοπος Μηνᾶς μετὰ τῶν ἁγίων λειψάνων, καθήμενος ἐν ὀχήματι βασιλικῷ χρυσῷ διαλίθῳ, κρατῶν τὰς τρεῖς θήκας τῶν ἁγίων Ἀποστόλων εἰς τὰ γόνατα αὐτοῦ, καὶ ἐποίησε τὰ ἐγκαίνια»[102]. Ἡ νέα οἰκοδομὴ ἦν μείζων τῆς προτέρας, χαλκόστεγος, τεσσαράκοντα δ' ἐκλεκτοὶ μαρμάρινοι κίονες ὑπεκράτουν τὸν θόλον, ἐπὶ δέκα τόξων μετεωριζόμενον[103]. Τὸν ναὸν ἐπεκόσμησεν Ἰουστῖνος ὁ Β', μεθ' ὃ Βασίλειος ὁ Μακελδὼν ἀνεκαίνισε καὶ μετὰ τοῦτον ἴσως Ἀνδρόνικος ὁ Παλαιολόγος. Τῷ 1454-55, διέμεινεν ἐν αὐτῷ Γεννάδιος Σχολάριος ὁ πατριάρχης, εἰς ναὸν πατριαρχικὸν μεταβαλών, πιθανῶς δ' ὁ ναὸς ἦν πεπαλαιωμένος τότε, δι' ὃ καὶ κατεβλήθη[104]. 2) ὁ ἐν τῷ Τρικόγχῳ (τοῦ παλατίου πιθανῶς) ἐγερθεὶς μὲν πρὸ τοῦ Ε' αἰῶνος, πυρποληθεὶς δ' ἐπὶ Ζήνωνος τῷ 476 καὶ ἀνακτισθεὶς τῷ 572 ὑπὸ Ἰουστίνου τοῦ Β'[105]. 3) ὁ ἐν τῷ *Περιτειχίσματι*· ἀρχαία μαρτυρία λέγει ὅτι, τῷ 547 Μηνᾶς ὁ πατριάρχης Κωνσταντινουπόλεως «ἐδέχθη εἰς τὴν ἐπισκοπὴν αὐτοῦ· καὶ ἀπῆλθεν εἰς τὴν ἄθλησιν τῶν ἁγίων Ἀποστόλων ἐν τῷ Περιτειχίσματι»[106]· διὰ τὸν λόγον τοῦτον ἠδύνατο ἵνα ἐννοήσῃ τις ὅτι ἐν τοῖς Ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις εἶχεν ὁ Μηνᾶς οἶκον ἐν τῷ περιβόλῳ τοῦ ναοῦ, διότι ἐκ τούτων οὐδὲν ἐξάγεται θετικὸν περὶ τοποθεσίας περιτειχίσματος· εὐτυχῶς δὲ, παρὰ τῷ λαυριωτικῷ Δ39 Συναξαριστῇ ἀναφέρεται ναὸς τῆς ἁγίας Ἀκυλίνης *ἐν τοῖς Φιλοξένου πλησίον τοῦ Φόρου ἐν τῷ Περιτειχίσματι*· καὶ ἐν μὲν τῇ 13 ἰουνίου ἐδηλώθη ὅτι ὁ ναὸς ἔκειτο μεταξὺ τῶν γνωστῶν ἡμῖν τοποθεσιῶν Μπὶν-πὶρ-διρὲκ καὶ Τσεμπερλῆ-τὰς, ἐκ δὲ τῶν πατριαρχικῶν ἐγγράφων γινώσκομεν ὅτι τῷ 1401 μέγας ἠγείρετο ναὸς ἐπ' ὀνόματι τῶν ἁγίων Ἀκυλίνης καὶ Χριστοφόρου ἐν τῷ κτήματι τοῦ Καβάδη ἀπέναντι τοῦ καθίσματος τοῦ Θεολογίτου[107]. εἴδομεν δὲ προηγουμένως ὅτι τὸ Κάθισμα ἀνῆκε τῇ μονῇ τοῦ Σαμψών[108]. 4) ὁ ἐν τῇ μονῇ τοῦ Αὐξεντίου ὑπεράνω τοῦ Βρύαντος ἐπὶ τοῦ φερωνύμου ὄρους τοῦ σήμερον Καϊσ-δὰγ, ὃν Μιχαὴλ ὁ Παλαιολόγος ἐπεφήμισεν εἰς ὄνομα τοῦ ταξιάρχου τῶν Ἄνω Δυνάμεων Μιχαήλ, μετὰ τῷ 1280· ἀλλὰ καὶ μετὰ ταῦτα ὁ ναὸς οὗτος ἐπανηγύριζε τὴν 30 ἰουνίου[109]. 5) ὁ ἔν τινι κτήματι τῆς μονῆς τοῦ Βαθέως Ῥύακος, οἰκοδομηθεὶς μικρῷ πρὸ τῶν μέσων τοῦ Ι' αἰῶνος, ὡς μέλλομεν ἰδεῖν εἰς τὴν 27 σεπτεμβρίου.

Λείψανα τῶν ἁγίων ἀποστόλων ἀπέκειντο ἐν τῷ μεγάλῳ αὐτῶν ναῷ, καὶ πολλαχοῦ δὲ τοῦ μετὰ χεῖρας συγγράμματος γίνεται συναφὴς τούτων μνεία. Παραδόξως ὁ Προκόπιος γράφει ὅτι, κατὰ τὴν ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ κτίσιν τοῦ ναοῦ, τὰ λείψανα τῶν ἀποστόλων Ἀνδρέου, Λουκᾶ καὶ Τιμοθέου, κείμενα χωρὶς τινος ἐπιμελείας, ἐγνωρίσθησαν ἐκ τῶν ἐπ' αὐτῶν γραμμάτων, ἐνῷ γινώσκομεν ἀφ' ἑτέρου ὅτι τότε συμπληρώσας τὴν τοῦ ναοῦ οἰκοδομὴν ὁ Μ. Ἰουστινιανὸς καὶ τὴν ἁγίαν Τράπεζαν ἐξ ἀργύρου κατασκευάσας, οὐ μετεκίνησεν αὐτὴν (βεβαίως τὸν ὑπ' αὐτὴν κίονα) «διὰ τὴν τῶν ἱερῶν λειψάνων κατάθεσιν»[110].

---

99. βλ. Henrici Valesii Annotationes εἰς τὸ σχετικὸν βιβλίον τοῦ βίου Κωνσταντίνου.

100. Θεοφ. Α', σελ. 34 καὶ 40.

101. Πασχάλ. Χρον. σελ. 559.

102. Προκοπίου, Περὶ κτισμάτων· σελ. 189. Μαλαλᾶς· σελ. 484. Θεοφ. Α', σελ. 352, καθ' ὃν τὰ ἐγκαίνια ἐγένοντο τῷ 550.

103. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Α', σελ. 392-394 κ. ἑξ. Δουκαγγίου Const. Christ. σελ. 71 β'—75 β', παρ' ᾧ βλ. τὰς σχετικὰς μαρτυρίας.

104. Ἔκειτο ἐπὶ τοῦ λόφου, ἐφ' οὗ σήμερον ἐγείρεται τὸ μεγαλοπρεπὲς τέμενος Σουλτὰν-Μεχμέτ.

105. Θεοφ. Α', σελ. 376.

106. Μαλαλᾶς· σελ. 483. Ὁ ναὸς ἀναφέρεται καὶ κατὰ τὸν Ε' αἰῶνα· Ἐκκλ. Ἱστορικοὶ (Reading) σελ. 590.

107. Acta patriarch. Β', σελ. 551.

108. Ἴδε εἰς τὴν 27 ἰουνίου.

109. Τυπικὸν τῆς μονῆς Αὐξεντίου· σελ. 14-15

110. Τιμοθέου ἀποστόλου βίος, ὑπὸ Συμεὼν Μεταφραστοῦ· Migne, τόμ. ΡΙΔ', στ. 772. Προκοπίου, Περὶ κτισμάτων· σελ. 189.

ΙΟΥΛΙΟΣ

1. Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἀναργύρων. Ἡ σύναξις εἰς τὸν ἁγιώτατον αὐτῶν ναὸν εἰς τόπον καλούμενον τοῦ Παυλίνου[1].

Ἤθλησαν κατὰ τὸ τέλος τοῦ Γ' αἰῶνος, ἤσκουν δὲ τὴν ἰατρικήν. Αὐτοκρατορικὴ προέλευσις ἐτελεῖτο ἐν τῷ ναῷ αὐτῶν εἰς τὰ Παυλίνου[2]. Ὁ ναὸς οὗτος ὑπάρχων πρὸ τοῦ ΣΤ' αἰῶνος, ηὐξήθη πλεῖον ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ, καὶ φῶς περισσότερον εἰσαγαγόντος καὶ πολλοῖς ἀναθήμασι καταλαμπρύναντος, ἅτε καθ' ὕπνους ἰδόντος τοὺς ἁγίους Κοσμᾶν καὶ Δαμιανὸν ἐπιβραβεύοντας αὐτῷ τὴν ἀπὸ νόσου τινὸς ἴασιν[3]. Τῇ 5 ἰουνίου 623 τὸν ναὸν ἐσκύλλευσαν οἱ Ἄβαροι καὶ μετὰ τριετίαν αὐτοὶ πάλιν ἠφάνισαν διὰ πυρός[4]. Ἀγνωστόν ἐστιν ἀκριβῶς πότε καὶ πάλιν ἠγέρθη καὶ ὑπὸ τίνος. Μιχαὴλ ὁ Παφλαγὼν ἀναφέρεται παρὰ Ζωναρᾷ κτίτωρ τῆς *πρὸ τῶν τειχῶν τῆς πόλεως* μονῆς τῶν ἁγίων ἀναργύρων, ἐν ᾗ καὶ μοναχὸς καρεὶς ἀπέθανεν· ἀλλ' ἂν ὁ Ζωναρᾶς ἀρύηται τὴν εἴδησιν ἀπὸ τοῦ Ψελλοῦ, κατ' ἐκεῖνον ὁ ναὸς προϋπάρχων ἔκειτο «πρὸ τῶν τειχῶν τοῦ ἄστεος, πρὸς ταῖς ἀνατολαῖς τοῦ ἡλίου»· τοῦτον δὲ Μιχαὴλ ὁ Παφλαγὼν (1034-1341) μετέβαλεν εἰς σχῆμα κάλλιον μετὰ περιβόλων καὶ καταλλήλων οἰκημάτων καὶ λειμώνων καὶ λουτρῶν· ἦν δ' ὁ ναὸς χρυσῇ ψηφίδι κατηγλαϊσμένος, καὶ ἐν αὐτῷ Μιχαὴλ ὁ Παφλαγὼν ἐτάφη κατὰ τὴν ἀριστερὰν πλευρὰν πρὸ τοῦ ἁγίου βήματος[5]. Ἐν τέλει τοῦ ΙΑ' αἰῶνος ὁ ναὸς οὗτος, ἔχων παρ' αὐτῷ καὶ φρούριον, ἐλέγετο μέγιστος καὶ κάλλιστος, τοποθετούμενος «ἀντικρὺ τῶν ἐν Βλαχέρναις παλατίων»[6]. Πιθανῶς ἐν τοῖς περὶ τὸν ναὸν τοῦτον κελλίοις διῆλθε τὴν νύκτα τῆς 14 ἐπὶ 15 αὐγούστου 1261 Μιχαὴλ ὁ Παλαιολόγος[7], ὅστις τὴν μονὴν ταύτην ἐχορήγησε τῷ 1276 ἢ 1277 πρὸς ἀνάπαυσιν εἰς τὸν πατριάρχην Ἰωσήφ[8]· ἀναφέρεται δ' αὖτη τῷ 1382 ἔχουσα μοναχοὺς, διότι ἦν μέχρι τοῦ 1401 ἀνδρεία μονή[9]. Ἡ μονὴ αὕτη, ἢ μᾶλλον ὁ ναὸς, ἐπεκαλεῖτο Κοσμίδειον, τὸ δὲ παρ' αὐτῇ προάστειον ἀνῆκε κατὰ τὰ μέσα τοῦ Θ' αἰῶνος εἰς τὸν κουροπαλάτην Βάρδαν[10]· ἀλλὰ μέχρι τῶν χρόνων αὐτοῦ, πλησίον τοῦ ναοῦ τῶν ἁγίων ἀναργύρων ἐσῴζετο ὁ τοῦ Παυλίνου οἶκος, ἐν αὐτῷ δὲ κατεσκήνωσεν ἐπὶ βραχὺ Θωμᾶς ὁ κατὰ τοῦ Μιχαὴλ Τραυλοῦ νεωτερίσας[11].

Πλὴν τοῦ ναοῦ τούτου γνωστοί εἰσι 2) ὁ ἐν τοῖς Βασιλίσκου, ἐν ἀγνώστῳ τοποθεσίᾳ, κτισθεὶς δῆθεν ὑπὸ Ἰουστίνου καὶ Σοφίας[12]. 3) ὁ ἐν τοῖς Δαρείου, οὗ μνείαν εἴδομεν γινομένην ἐν τοῖς Μηναίοις τῇ 5 μαΐου. Ἐὰν πιστεύσῃ τις τοῖς παραδοξογράφοις, ὁ Δαρεῖος ἔκτισεν ἐπὶ τοῦ Μ. Κωνσταντίνου δῆθεν «τὸν οἶκον τῆς Κανατίσσης τοῦ Σκληροῦ»· ἐὰν δὲ διορθώσωμεν τὴν λέξιν Κανατίσης εἰς Ἱκανατίσσης, ἀγόμεθα εἰς τὸ συμπέρασμα, δυστυχῶς ἀπὸ παραδοξογραφίας ἀπορρέον, ὅτι τὰ Δαρείου ἔκειντο μικρὸν ἄνωθεν τοῦ Μπαγτζὲ-καπὶ καὶ τοῦ Μπαλοὺκ-παζὰρ τῆς σήμερον[13]. — 4) μονὴ Κοσμᾶ καὶ Δαμιανοῦ ἐσῴζετο ἐν Κωνσταντινουπόλει τῷ 1399[14] ἴσως ἡ ἐν τοῖς Βασιλίσκου ἢ ἡ ἐν τοῖς Δαρείου μετασκευασθεῖσα· ἴσως δ' ἦν αὕτη ἡ: 4 ἢ 5) μονὴ Εὐθυμίου τοῦ πατριάρχου, κτισθεῖσα μὲν ἐν Ὑψωμαθείοις, οὐ μακρὰν τῆς τοῦ Στουδίου μονῆς ἐπ' ὀνόματι Κοσμᾶ καὶ Δαμιανοῦ, μικρὸν πρὸ τοῦ 890, μετὰ δύο παρεκκλησίων: τοῦ τιμίου Προδρόμου καὶ τοῦ ἀρχαγγέλου Μιχαήλ, ἄγνωστον πότε ἑορταζόντων, κοσμηθεῖσα δὲ στιλπνότητι μαρμάρων «καὶ μουσουργικοῖς καλλωπίσμασι» καὶ ἐγκαινισθεῖσα ὑπὸ Στεφάνου τοῦ πατριάρχου· ὁ ναὸς οὗτος τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ προϋπῆρχε, κείμενος εἰς τὸ *οἰκοπροάστειον τοῦ Κατακοίλα*, καὶ δαπάναις τοῦ σοφοῦ Λέοντος ηὐξήθη καλλωπισθείς. Τῷ 899 Λέων ὁ Σοφὸς ἐδωρήσατο τῇ μονῇ ταύτῃ διὰ χρυσοβούλλου τὸ ἐν τῷ Πυλιατικῷ κτῆμα τῆς

---

1. ἡ σύναξις ἀναφέρεται παρὰ Νικοδήμῳ.

2. Πορφυρογ. Ἔκθ. τόμ. Α', σελ. 560.

3. Προκοπίου, Περὶ κτισμάτων· σελ. 189.

4. Πασχάλ. Χρον. σελ. 713, 725.

5. Ζωναρᾶς· ΙΖ', 17. (Σινδορφ. Δ', 148). Ψελλὸς, παρὰ Σάθᾳ, Μεσαιων. Βιβλιοθ. τόμ. Δ', σελ. 64, 65, 76. Ἁμαρτωλὸς· Migne, ΡΙ', 1225.

6. Νικηφ. Βρυέννιος· σελ. 115.

7. Γεώργ. Ἀκροπολίτης· σελ. 196.

8. Παχυμέρης· τόμ. Α', σελ. 475.

9. Acta patriarch. τόμ. Β', σελ. 37, 512.

10. Συμεὼν μάγιστρος· σελ. 658. Γεώργιος μοναχὸς· σελ. 823. Βεβαίως προάστειον ἦ ἔπαυλις ἦν οὐχὶ ἡ μονὴ, ἀλλὰ τὰ πέριξ κτήματα.

11. Theoph. Contin. σελ. 59.

12. Δουκάγγιος· σελ. 83, XXVII. Banduri, σελ. 27 καὶ 476. Οὐδεὶς δύναται εἰπεῖν ἀκριβῶς ποῦ ἔκειντο τὰ Βασιλίσκου, οὔτε τὰ Δαρείου.

13. Πασπάτη, Μελέται· σελ. 153 καὶ 158.

14. Acta patriarch. Β', σελ. 298.

ἀειμνήστου βασιλίδος Θεοφανοῦς ἐπὶ προμηθείᾳ τοῦ τοῖς μοναχοῖς ἀναγκαιοῦντος οἴνου· εἶχε δὲ αὕτη μετόχιον ἡ προάστειον τὴν τοῦ Ἀγαθοῦ μονήν, ὑπὸ τοῦ αὐτοῦ ἡγουμένου διοικουμένην καὶ ἔχουσαν μοναχοὺς δώδεκα, τῆς μονῆς Κοσμᾶ καὶ Δαμιανοῦ, τῆς καὶ τοῦ Ψαμαθίᾳ λεγομένης, ἐχούσης μοναχοὺς εἴκοσι τέσσαρας. — Ἐκ τῶν τῆς μονῆς τοῦ Ψαμαθίᾳ συνηθειῶν ἀναφέρω ὅτι, κατὰ τὰς ἡμέρας τῆς πρώτης ἑβδομάδος τῆς Μ. τεσσαρακοστῆς ὁ Εὐθύμιος ἀπήγγελλε διδακτικὰς ὁμιλίας πρὸς τοὺς μοναχούς· οὗτοι, τοῦ ξύλου κρουομένου, ἔψαλλον τὴν τρίτην, κατὰ δὲ τὴν τακτὴν ὥραν πάλιν ἔψαλλον τὴν ἐννάτην καὶ τὸ λυχνικόν, μεθ' ὃ παρεκάθηντο ἐν τῇ τραπέζῃ, ἥτις ἦν κοινή, προεξάρχοντος τοῦ ἡγουμένου· σημειωτέον ὅτι πρὸ τοῦ πιεῖν τὸν οἶνον ὁ οἰνοχόος ἔκρουε κώδωνα, λέγων· « εὐλόγησον πάτερ »· ἀνεμίγνυον δὲ τῷ οἴνῳ θερμὸν ὕδωρ, ἐφ' ᾧ καὶ ὑπηρέτης παρίστατο «θερμοδοτῶν»· οἱ δὲ τὰς ἀμπέλους καλλιεργοῦντες μοναχοὶ ἐλάμβανον βαυκάλια «δύο τὸ πρωὶ καὶ ἓν τῇ ἑσπέρᾳ κατὰ τὴν τοῦ Ὄρους παράδοσιν »· ἦσαν δὲ τὰ τοῦ οἴνου βαυκάλια ἐκ χαλκοῦ. — Δέον ἐπίσης ἵνα μάθωμεν ὅτι τὰ ὑπὸ τοῦ πατριάρχου Στεφάνου γενόμενα ἐγκαίνια συνίσταντο εἰς τὸ ἀλλᾶξαι αὐτὸν «τὴν ἐναλλαγὴν τῆς θείας Τραπέζης διὰ σμικρότητα »· ὁ δὲ πατριάρχης σὺν τοῖς ἱερουργοῦσιν ἀπὸ τῆς μονῆς τοῦ ἁγίου Θεοδώρου μετὰ « βασιλικῆς φωταγωγίας, τοῦ τροπαιοφόρου σημείου (τοῦ Σταυροῦ δηλονότι) προάγοντος, τοῦ τε ἁγίου Εὐαγγελίου» ἦλθον εἰς τὴν μεγαλυνθεῖσαν τοῦ Ψαμαθίᾳ μονήν, ὅπου ἐγένετο «ἄγρυπνος δοξολογία »[15].

Ὁ ῥῶσσος μυθογράφος Ἀντώνιος λέγει ὅτι εἶδε τὴν κάραν τοῦ ἁγίου Κοσμᾶ ἐν τῷ Κοσμιδίῳ[16].

Ἄγνωστον εἴπερ εἰς ὄνομα Κοσμᾶ καὶ Δαμιανοῦ ἢ εἰς ὄνομα Κύρου καὶ Ἰωάννου ἐτιμᾶτο ὁ ἐν Γαλατᾷ ναὸς τῶν ἁγίων Ἀναργύρων, ἀναφερόμενος ἐν ἐγγράφῳ τοῦ 1303[17].

* * *

1. Πέτρου πατρικίου ἐν τοῖς Εὐάνδρου.

Βυζάντιος τὴν πατρίδα, ἤκμασεν ἐπὶ Κωνσταντίνου καὶ Εἰρήνης· ἦν υἱὸς Κωνσταντίνου πατρικίου καὶ στρατηγοῦ, «ὑφ' οὗ καὶ πᾶσαν γραφὴν ἐδιδάχθη ἑλληνικὴν καὶ χριστιανικήν»· δομέστικος δὲ τῶν σχολῶν ἀναδειχθεὶς ὑπὸ Νικηφόρου Α' καὶ ἀποτυχὼν ἐν ἐκστρατείᾳ τινί, μετέβη πρὸς τὸν ὅσιον Ἰωαννίκιον ἐν Ὀλύμπῳ, μονάσας δ' ἔτη τριάκοντα καὶ τέσσαρα παρ' αὐτῷ, ἤτοι μέχρι τοῦ τέλους τοῦ 846, ἦλθε μετὰ θάνατον ἐκείνου εἰς Κωνσταντινούπολιν καθεζόμενος ἐν τῷ παρ' αὐτοῦ οἰκοδομηθέντι ναῷ ἐν τοῖς Εὐάνδρου, ἐν ᾧ καὶ ἐμόναζεν. Ἐκοιμήθη ἐν εἰρήνῃ τῷ 854 καὶ ἐτάφη ἐν τῷ ναῷ τούτῳ. Ταῦτα κατὰ χειρογράφους Συναξαριστάς.

Ἄγνωστον εἰς ὄνομα τίνος ἐπεφήμισε τὸν ναόν, ἀλλά, κατὰ συνήθειαν τῶν τότε χρόνων, ὑπονοῶ ὅτι μετὰ θάνατον αὐτοῦ ἢ ὁ ναὸς οὗτος, ἢ εὐκτήριόν τι αὐτοῦ καθωσιώθη εἰς τὸ ὄνομα τοῦ Πέτρου, οὗ ἡ σύναξις ἐτελεῖτο ἐν τῷ τόπῳ τῶν Εὐάνδρου.

* * *

1. Βασιλείου τοῦ ὁσίου τοῦ συστησαμένου τὴν μονὴν τοῦ Βαθέως Ῥύακος.

Ἤκμασεν ἐπὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καθὼς ἀλλαχόθεν ἀποδείκνυται, ὅτε καὶ λόγος ὁ προσήκων γίνεται[18].

* *

2. Τὰ μεταθέσια τῆς σοροῦ Βλαχερνῶν, (ἢ) τὰ καταθέσια τῆς τιμίας ἐσθῆτος τῆς Ὑπεραγίας Θεοτόκου.

Ἡ δευτέρα γραφὴ παρὰ τῷ 426 Εὐαγγελίῳ· ἡ πρώτη παρ' ἑτέροις. Τὰ Μηναῖα γράφουσι· *Μνήμην ποιούμεθα τῆς ἐν τῇ ἁγίᾳ Σορῷ καταθέσεως τῆς τιμίας ἐσθῆτος τῆς Ὑπεραγίας Θεοτόκου ἐν Βλαχέρναις, ἐπὶ Λέοντος τοῦ μεγάλου καὶ Βηρίνης τῆς αὐτοῦ γυναικός.*

Τὰ περὶ τούτων ἔδει ἵνα γραφῶσι κατ' ἔκτασιν· ἀλλ' ἐκδιδομένου προσεχῶς ὑπ' ἐμοῦ συγγράμματος εὐσελίδου περὶ τοῦ ναοῦ τῶν Βλαχερνῶν, ἐνταῦθα σημειῶ τὰ κυριώτερα.

Τὸν ναὸν κτισθέντα ὑπὸ τῆς Πουλχερίας ἐν ἀρχῇ τῆς βασιλείας Μαρκιανοῦ[19] (μεταξὺ τῶν ἐτῶν 451-453) συνεπλήρωσε Λέων ὁ θρᾴξ ἐπὶ τῇ καταθέσει τῆς τιμίας ἐσθῆτος τῆς Θεοτόκου τῷ 473[20], ἢ μᾶλλον εἰπεῖν, «κατασκευάσας σφαιροειδῆ νεών, τὴν θείαν καὶ ἱερὰν κατετίθετο Σορόν, ἔνθα νῦν καὶ ἡ τιμία Ἐσθής ἐστιν ἀσινής», διότι εἰς τὸν μέγαν ναὸν ἦσαν ὑπὸ Πουλχερίας τῆς κτιτορίσσης αὐτοῦ κατατεθειμένα τὰ ἐντάφια σπάργανα[21]. Τὸν ναὸν ἀνῳκοδόμησεν Ἰουστῖνος ὁ Α' περὶ τὰ 518—527, Ἰουστῖνος δ' ὁ Β' τῷ 572 προσέθηκεν εἰς τὸν ναὸν ἀψῖδας δύο, τὴν πρὸς ἄρκτον καὶ τὴν πρὸς μεσημβρίαν, « καὶ ἐποίησε τὴν ἐκκλησίαν κατὰ σταυρίου», ἔχουσαν τοὺς κίονας ἐκ παρίου μαρμάρου[22]. Θεόφιλος ὁ αὐτοκράτωρ ἠλαβεῖτο τὴν Θεοτόκον τῶν Βλαχερνῶν, ἔβλεπον δ' αὐτὸν οἱ βυζαντινοὶ φοιτῶντα καθ' ἑβδομάδα, διὰ τὸ « σέβας ἀπονέμειν αἰδέσιμον»[23]. Τῷ 1070 πυρποληθέντα τὸν ναὸν ἕως ἐδάφους ἀνήγειρε Ῥωμανὸς Γ' ὁ Ἀργυρὸς[24], ἤ τις τῶν διαδόχων αὐτοῦ, διότι φαίνεται παντὶ ἀπίστευτον τὸ λεγόμενον ὅτι Ἀνδρόνικος ὁ πρεσβύτερος (ἄγνωστον ἂν ὁ Α' ἢ ὁ Β')[25] ἀνῳκοδόμησεν αὐτόν· ἄλλως ἔστι γνωστὸν ὅτι ἀπὸ τοῦ 1204 ὁ ναὸς τῶν Βλαχερνῶν, ὡς καὶ οἱ ναοὶ τῆς Ἁγίας Σοφίας, τοῦ Παντοκράτορος, τοῦ Παντεπόπτου, τῆς Παναχράντου, τῶν Ἁγίων Ἀποστόλων καὶ τῶν Μαγγάνων, ἐλειτουργοῦντο ὑπὸ τῶν δυτικῶν ἱερέων[26]. Ἐκάη καὶ πάλιν ἐξ ἀπροσεξίας ὁ ναὸς τῇ 19 ἰανουαρίου 1434[27]· ἀλλὰ καὶ προηγουμένως, τῷ 1348 στίφη γεννουηνσίων ἀτάκτων, ἐπιτεθέντα κατὰ τοῦ ναοῦ καὶ στήσαντα μηχανὰς ἔξω τῶν τειχῶν, ἐλωβήσαντο τὸ ἱερόν[28]. Ἐκ πάντων τῶν γραφομένων τούτων δυνάμεθα ἵνα εἰκάσωμεν ὅτι συνεκαίοντο ὅ τε σφαιροειδὴς ναὸς καὶ ὁ τῆς Πουλχερίας. Τὸν ναὸν τῶν Βλαχερνῶν, εἰκόνων ὄντα πλήρη παριστωσῶν πάντα τὰ θαύματα τοῦ Σωτῆρος καὶ τὸν ἐπὶ γῆς βίον μέχρι τῆς ἀναλήψεως, ἀπεγύμνωσαν αὐτῶν οἱ εἰκονομάχοι, κυρίως ὁ Κοπρώνυμος « δένδρα καὶ ὄρνεα παντοῖα, θηρία τε καὶ ἄλλα τινα ἐγκύκλια διὰ κισσοφύλλων, γεράνων τε καὶ κορωνῶν καὶ ταώνων ταύτην περιμουσώσας», τὴν ἐκκλησίαν δῆλα δή[29].

Ἡ τιμία Ἐσθὴς τῆς Θεοτόκου, μετακομισθεῖσα ἐπὶ Λέοντος τοῦ θρᾳκὸς ὑπὸ τῶν πατρικίων Γαλβίου καὶ Κανδίδου ἐξ Ἱεροσολύμων, κατετέθη ἐν τῷ σφαιροειδεῖ ναῷ τῷ 473, κατεσκεύασε δ' ὁ Λέων « τὴν σορὸν ἐξ ἀργύρου καὶ χρυσοῦ, καὶ ἐν αὐτῇ κατέθετο τὴν τιμίαν ἐσθῆτα, ἥτις ἐξ ἐρίων εὐφθάρτων ἐξυφασμένη καὶ στημόνων ὁμοειδῶν καὶ ὁμοχρόων ἀδιάφθαρτός ἐστι καὶ ἀδιάλυτος μέχρι τοῦ νῦν, τῆς ἀειπαρθένου τὸ θαῦμα σαφῶς κηρύττουσα»[30]. Ἡ ἐσθὴς ἐφυλάττετο ἐν Βλαχέρναις καὶ τῷ 820[31]. Γνωστὸν δ' ὅτι πρὸς τὸν αὐτοκράτορα Μαρκιανὸν ἀπέστειλεν Ἰουβενάλιος ὁ πατριάρχης Ἱεροσολύμων τὰ ἐντάφια σπάργανα, περὶ ὧν ὁ Θεοφύλακτος Σιμοκάττης, ἀκμάσας, ὡς γνωστόν, ἐν μέσῳ τοῦ Ζ' αἰῶνος, φαίνεται γράφων μετά τινος δισταγμοῦ «*λέγεται* περιστόλια τῆς παρθένου Μαρίας ἐν χρυσοπάστῳ σηκῷ ἀποτεθῆναι ἐνταῦθα», τοῦθ' ὅπερ, ἐπιτρέπον ἵνα ὑπονοήσωμεν ὅτι κατὰ τὸν Ζ' αἰῶνα οὐχ ὑπῆρχον ἐν τῷ ναῷ τῶν Βλαχερνῶν τὰ ἐντάφια σπάργανα, μετέγραψε κατὰ συνήθειαν ὁ λογοκλόπος Κάλλιστος[32]. Τὸ δὲ «μαφόριον», ἀναφερόμενον ἐπὶ Φωτίου τοῦ πατριάρχου καὶ ἐν ἀρχαῖς τοῦ Ι' αἰῶνος[33], ἴσως σκέπασμα κεφαλῆς συνημμένον τῇ ἐσθῆτι[34], φαίνεται ὅτι τεμαχιζόμενον ἐστέλλετο ὡς δῶρον, διότι μανθάνομεν ὅτι Κυριακὸς ὁ πατριάρχης Κωνσταντινουπόλεως ἐδωρήσατο (τῷ 603 πιθανῶς) Θεοδώρῳ τῷ Συκεώτῃ τεμάχιον ἐκ τοῦ «κρασπέδου»[35].

Εἰκὼν τῆς Θεοτόκου Βλαχερνιτίσσης ἐσῴζετο κατὰ τὸν ΙΑ' αἰῶνα, καὶ ταύτην ἐν ἐκστρατείαις ἔφερον τότε μεθ' ἑαυτῶν οἱ βασιλεῖς[36]. Παράστασις τῆς Θεοτόκου Βλαχερνιτίσσης εὕρηται ἐπὶ πολλῶν παρὰ βυζαντινοῖς σφραγίδων, καθὼς γινώσκονται καὶ

---

15. Βίος Εὐθυμίου ὑπὸ De Boor· σελὶς ἰδίᾳ 14, 15, 16-17, 28, 30, 34, 66 καὶ 77.
16. Ποικίλη Στοὰ τοῦ 1884, σελ. 357.
17. Πασπάτη, Μελέται· σελ. 208.
18. Ἴδε εἰς τὴν 27 σεπτεμβρίου.
19. Θεόδ. Ἀναγνώστης· Α', 5. Θεοφ. Α', σελ. 162.
20. Κεδρηνός· Α', σελ. 614.
21. Νικηφ. Κάλλιστος, Ἐκκλ. Ἱστ. ΙΕ', ιδ', κδ'. ΙΖ', λη'.
22. Προκοπίου, Περὶ κτισμάτων· σελ. 184. Θεοφ. Α', σελ. 376.
23. Γενέσιος· σελ. 73. Theoph. Contin. σελ. 87.
24. Μιχαὴλ Ἀτταλειάτης· σελ. 138.
25. ὁ Α' 1183-1185, ὁ Β' 1282-1328.
26. Πασπάτη, Μελέται· σελ. 194.
27. Φραντζῆ, Χρονικόν· σελ. 158.
28. Ἀνάλεκτα Ἱεροσλμ. Σταχυολογίας, τ. Α', σ. 152.
29. Στεφάνου νέου βίος ὑπὸ Στεφάνου διακόνου· Migne, τόμ. Ρ', στ. 1120.
30. Ἰωὴλ, Χρονογραφία· σελ. 42.
31. Γενέσιος· σελ. 39.
32. Σιμοκάττης· σελ. 332. Νικηφ. Κάλλιστος· Ἐκκλ. Ἱστορ. ΙΖ', λη'.
33. Λέων Γραμματικός· σελ. 241. Theoph. Contin. σελ. 407. Συμεὼν μάγιστρος· σελ. 736. Γεώργιος μοναχός· σελ. 899.
34. βλ. τὰς σημειώσεις τοῦ Βκρθολομαίου Κουτλουμουσιανοῦ εἰς τὸν ἑσπερινὸν τῆς 2 ἰουλίου· πρβλ. τὰς περὶ Βλαχερνῶν, Ἐσθῆτος καὶ Μαφορίου πολυλόγους τοῦ Δουκαγγίου σημειώσεις εἰς Ἄνναν Κομνηνήν· τόμ. Β', σελ. 564-572.
35. Θεοδώρου Συκεώτου βίος· ἐν Μνημείοις Ἁγιολογικοῖς Θεοφίλου· σελ. 478.
36. Μιχαὴλ Ἀτταλειάτης· σελ. 153.

σφραγῖδες εἰς κληρικοὺς ἀνήκουσαι τοῦ ναοῦ τούτου, ἃς ἴδε παρὰ Schlumberger[37].

Ἐν τῇ λειτουργίᾳ τῆς 2 ἰουλίου παρῆν ὁ αὐτοκράτωρ ἐν Βλαχέρναις[38].

Ἐκ τοῦ ναοῦ τῶν Βλαχερνῶν ἀφηρέθησαν τῷ 1204 ὁ βραχίων τοῦ ἁγίου Γεωργίου καὶ τὸ λείψανον τῆς ἁγίας Λουκίας[39].

Τὸ ἅγιον Λοῦμα σῴζει μέν, κατὰ τὸν Πασπάτην, τὸ ἀρχαῖον αὐτοῦ σχῆμα, φρονῶ ὅμως ὅτι διάφορον εἶχον τὰ λούματα ταῦτα σχέδιον, ὡς γίνεται λόγος τῇ 31 αὐγούστου.

ℨ

3. Ὑακίνθου μάρτυρος τοῦ κουβικουλαρίου. Ἡ σύναξις εἰς τὸν ναὸν αὐτοῦ τὸν εὑρισκόμενον εἰς τὸ ἔμβασμα τοῦ λεγομένου Τρωαδησίου.

Γράφει ταῦτα ὁ Νικόδημος, καὶ πρόκειται βεβαίως περὶ τῶν Τρωαδησίων ἐμβόλων, κειμένων εἰς τὸν δωδέκατον ρεγεῶνα τῆς Κωνσταντινουπόλεως, ὅστις περιελάμβανε τὰ ἀπὸ τοῦ Θεοδοσιακοῦ Φόρου μέχρι τῆς Χρυσῆς πύλης. ἀπὸ τοῦ ἑβδόμου λόφου καθικνούμενος ἕως τῶν πρὸς τὴν Προποντίδα τειχῶν, καὶ ἐν ᾧ διεκρίνοντο ἡ κινστέρνα τοῦ Μωκίου παρὰ τὸ Ἐξωκιόνιον, ὁ ναὸς τῶν ἁγίων Νοταρίων, αἱ μοναὶ Στουδίου, Γαστρίων, Ἰκασίας, Δίου, Περιβλέπτου καὶ πολλοὶ ἕτεροι. Ἐντὸς τῆς μεγάλης ταύτης περιοχῆς ἔκειτο ὁ ναὸς οὗτος τοῦ ἁγίου Ὑακίνθου.

Ὁ μάρτυς Ὑάκινθος ἦν καππάδοξ, καὶ ἤθλησεν ἐπὶ Τραϊανοῦ.

* * *

3. Ἀνατολίου πατριάρχου Κωνσταντινουπόλεως.

Ἀλεξανδρεὺς τὴν πατρίδα, ἦν ἀποκρισιάριος Διοσκόρου τοῦ πατριάρχου τῆς Ἀλεξανδρείας ἐν Κωνσταντινουπόλει· χειροτονηθεὶς ὑπὸ τῶν αἱρετικῶν, ἀπετάξατο τούτοις, ὀρθοδοξότατος ἀναδειχθείς, ἐντάξας ἐν τοῖς διπτύχοις τὸ ὄνομα τοῦ μακαρίου πατριάρχου Φλαβιανοῦ καὶ προεδρεύσας τῆς Δ′ οἰκουμενικῆς Συνόδου, δι' ἧς ἐμεγάλυνε τὸν πατριαρχικὸν αὐτοῦ θρόνον. Ἱεράτευσεν ἀπὸ τοῦ φθινοπώρου 449 μέχρι τοῦ 458, ἀποθανὼν ἴσως περὶ τὰ μέσα νοεμβρίου τοῦ ἔτους τούτου, διότι τὰ χειρόγραφα Εὐαγγέλια τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως ἀναγράφουσι τὴν ἑορτὴν αὐτοῦ γινομένην ἐν χρόνοις ἀρχαιοτέροις τὴν 20 νοεμβρίου[40].

ℨ

4. Ἀνδρέου ἐπισκόπου Κρήτης τοῦ Ἱεροσολυμίτου.

Δαμασκηνὸς τὴν πατρίδα, ἐλθὼν εἰς Κωνσταντινούπολιν, ἐγένετο διάκονος τῆς Μ. Ἐκκλησίας καὶ ὀρφανοτρόφος, εἶτα δ' ἀρχιεπίσκοπος Κρήτης, παρατείνας τὸ ζῆν μέχρι τῶν πρώτων ἐτῶν τοῦ Η′ αἰῶνος. Ἐπανελθὼν ἐκ τῆς Ἐκκλησίας αὐτοῦ εἰς Κωνσταντινούπολιν καὶ διαπρέψας ἐν τῇ διδασκαλίᾳ τοῦ θείου λόγου, ἀναχωρήσας ἐκ Κωνσταντινουπόλεως, ἀπεβίωσε καθ' ὁδὸν ἐν Ἐρεσῷ τῆς Μιτυλήνης. Ἐν Κρήτῃ ἀνήγειρε ναὸν ἐπ' ὀνόματι τῆς Θεοτόκου Βλαχερνιτίσσης. Τὸ λείψανον αὐτοῦ κατετέθη, κατὰ τὸν βιογράφον αὐτοῦ Μακάριον Μακρῆν[41], ἐν τῷ ναῷ τῆς καλλινίκου μάρτυρος Ἀναστασίας· ἐν τούτοις ἑβδομήκοντα ἔτη πρὸ τοῦ Μακρῆ ἐπιστεύετο ὅτι, κατὰ θείαν ἐπίπνοιαν, εἴτε καὶ τυχαίως, εὑρέθη τῷ 1355 λείψανον ὁλόκληρον καὶ σῶον ἐν τῇ μονῇ τοῦ Κραταιοῦ, ὑπαρχούσῃ τότε ἐν Κωνσταντινουπόλει, τοῦτο δ' ἀπεδίδετο παρὰ τῶν μοναχῶν αὐτῆς εἰς τὸν ὅσιον Ἀνδρέαν Κρήτης[42].

ℨ

5. Τὰ ἐγκαίνια τοῦ Ἁγίου μάρτυρος Ἰουλιανοῦ πλησίον τοῦ Φόρου[43].

Ἰδὲ περὶ αὐτοῦ εἰς τὴν 8 ἰανουαρίου καὶ εἰς τὴν 21 ἰουνίου.

ℨ

6. Φιλήμονος, Ἀρχίππου καὶ Ὀνησίμου τῶν μαρτύρων. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι πέραν ἐν τῇ Ἐλαίᾳ.

37. τοιαύτας σφραγῖδας πρὸ τοῦ Schlumberger ἐγνώρισεν ἡμῖν ὁ πολυμαθὴς ἰατρὸς A. Mordtmann. Βλ. Ἑλλ. Φιλολ. Συλλόγου τόμ. Ζ′, σελ. 59-81.

38. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 82. Τὰ δὲ παρὰ Σκ. Βυζαντίῳ («Κωνσταντινούπολις», τόμ. Α′, σελ. 585-591) καὶ παρὰ Πασπάτῃ (Μελέται, σελ. 390-395) ἐγράφησαν μᾶλλον διὰ τὸν ὄχλον.

39. ἡ εἴδησις παρὰ Πασπάτῃ κατὰ τὴν μαρτυρίαν τοῦ κόμητος Riant. Μελέται· σελ. 394.

40. Πατριαρχ. Πίνακες· σ. 188-193. Μοναί τινες ἑώρταζον κατὰ τὸν ΙΒ′ αἰῶνα τὴν Ἀνατολίου μνήμην τῇ 7 ἰουλίου. Ἱεροσλμ. Βιβλιοθ. τόμ. Α′, σελ. 72.

41. παράφρ. τῆς βιογραφίας ταύτης ἐν «Νέῳ Ἐκλογίῳ».

42. Νικηφ. Γρηγορᾶς· τόμ. Γ′, σελ. 244.

43. ἡ μνήμη φέρεται παρὰ Μαξίμῳ Μαργουνίῳ.

Ὁ ναὸς ἔκειτο κατὰ τὰ μεταξὺ Γαλατᾶ καὶ Τοπ-χανὲ τῆς σήμερον μέρη.

* * *

Μετακομιδὴ τοῦ λειψάνου τοῦ ὁσίου Εὐδοκίμου πρὸς τὸ Βυζάντιον.

Ταῦτα γράφει κατὰ λέξιν ὁ Λαυριωτικὸς Δ39 Συναξαριστὴς εἰς τὴν 31 ἰουλίου, καθὼς καὶ ὁ τοῦ Νικοδήμου· τὰ Μηναῖα γράφουσιν 6 ἰουνίου.

ℨ

7. Κυριακῆς μάρτυρος.

Ἤθλησεν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ.

Ναὸς ἐπ' ὀνόματι τῆς ἁγίας Κυριακῆς ὑπῆρχε μεταξὺ τῶν πυλῶν Ἁγίου Ῥωμανοῦ (Τόπ-καπι) καὶ Μυριάνδρου (Ἐδιρνέ-καπι), ἴσως πρὸς τὸ σημερινὸν Σουλοῦ-κουλὲ[44], σῳζόμενος μέχρι τοῦ ΙΒ′ αἰῶνος.

ℨ

8. Προκοπίου μάρτυρος. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ τῷ ὄντι πλησίον τῆς Χελώνης καὶ ἐν τῷ Κονδυλίῳ.

(ὁ Νικόδημος γράφει *ναὸν π.λησίον τῆς Χελώνης καλούμενον Κονδύλιον*).

Ἤθλησεν ἐπὶ Διοκλητιανοῦ.

Ναοὶ τοῦ ἁγίου Προκοπίου φέρονται λοιπὸν δύο· κατὰ τὴν ἱστορίαν, ὁ αὐτοκράτωρ Ζήνων ἀνεκαίνισε μετὰ τὸ 484 «τὸν οἶκον τοῦ ἁγίου Προκοπίου»· δυσχερῶς ὅμως ἐννοεῖ τις ὅτι ὁ ναὸς οὗτος τοῦ ἁγίου Προκοπίου ἔκειτο ἐν Κωνσταντινουπόλει, καθότι τὸ Χρονικὸν Πασχάλιον ἐν τούτῳ τῷ ἔτει γράφει περὶ ναῶν ἐγερθέντων ὑπὸ Ζήνωνος ἐν Παλαιστίνῃ· ὥστε μένει ἡ μαρτυρία τῶν Συναξαρίων περὶ τῆς ὑπάρξεως δύο ναῶν. Ἡ μυθολογία λέγει περὶ αὐτῶν ὅτι, τὸν ἐν Χελώνῃ ναὸν ἀνήγειρεν ὁ Μ. Κωνσταντῖνος, ὅστις ἄγνωστον εἴ περ ᾠκοδόμησε τὸ πλῆθος τῶν ναῶν, οὓς ἐπιγράφουσιν εἰς αὐτὸν οἱ παραδοξογράφοι· τὸν δὲ ἐν τοῖς Βιγλεντίας, ὅτι ᾠκοδόμησεν Ἀντωνίνα ἡ σύζυγος τοῦ Βελισσαρίου, ἢ μᾶλλον ὁ ναὸς συναινέσει αὐτῆς ᾠκοδομήθη ἐν τῷ παλατίῳ τῷ κτισθέντι εἰς τὸν Ταῦρον ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ[45]. Ἐν ἀρχαῖς τοῦ ΙΔ′ αἰῶνος ἀναφέρεται ναὸς τοῦ ἁγίου Προκοπίου ἀνακαινισθεὶς ὑπὸ Νικολάου Καβαλλαρίου καὶ τῆς συζύγου αὐτοῦ Σιμωνίδος Παλαιολογίνης, ὡς ἐν χειρογράφῳ κώδηκι ποιημάτων τοῦ Μανουὴλ Φιλῆ φέρεται. Ἴσως ἦν εἷς τῶν δύο τούτων ὁ ναός[46].

Ὁ ῥῶσσος μυθογράφος Ἀντώνιος εἶδε τὴν χεῖρα τοῦ ἁγίου Προκοπίου ἐν τῇ μονῇ τῶν Μαγγάνων[47].

ℨ

9. Μνήμη τῶν ἐγκαινίων τῆς Ὑπεραγίας Θεοτόκου ἐν τῇ Πηγῇ.

Ἡ μνήμη αὕτη παρὰ Νικοδήμῳ.

Τὸν ναὸν ἤγειρεν ὁ Μ. Ἰουστινιανὸς τῷ 559, ὑπερῆρε δὲ «κάλλει τε καὶ μεγέθει» τὰ πλεῖστα τῶν ἱερῶν[48]. Κατὰ τοὺς μυθολόγους, οἷς συντάσσεται καὶ ὁ κατὰ τὸν ΙΔ′ αἰῶνα γράφων Νικηφόρος ὁ Κάλλιστος, ὑπῆρχε πρὸ τοῦ Ἰουστινιανοῦ «ἡ Πηγὴ τῶν ἰαμάτων» μικρὸν εὐκτήριον, ἐν ᾧ διέμενεν εἷς μοναχός, ἢ μέγας ναὸς κτισθεὶς ὑπὸ Λέοντος τοῦ θρακός[49]· καταβληθεὶς ὑπὸ σεισμοῦ (ἴσως τῷ 790) ἀνῳκοδομήθη ὑπὸ Εἰρήνης αὐτοκρατείρας τῆς ἀθηναίας. Βασίλειος ὁ Μακεδὼν λαμπρότερον ἀνενέωσε τὸν ναόν, πρὸ αὐτοῦ κατεστραμμένον ὄντα. Τῇ 7 σεπτεμβρίου 928 Συμεὼν ὁ τῶν Βουλγάρων ἄρχων ἐπυρπόλησεν αὐτόν, ἀνακτισθέντα ὑπὸ Ῥωμανοῦ Α′ τοῦ Λακαπηνοῦ[50], ἐλέγετο δὲ *περικαλλὴς*[51] καὶ μετὰ τὰ μέσα τῆς Ι′ ἑκατονταετηρίδος· ἀλλὰ καὶ κατὰ τὸν ΙΑ′ αἰῶνα «περιβόητος ἐν τοῖς ἀνὰ βυζαντίδα πόλιν ναοῖς»[52].

Κατὰ τὸν Ι′ αἰῶνα ἐτελεῖτο προέλευσις αὐτοκρατορικὴ, κατὰ τὸν Λέοντα διάκονον, τῇ πέμπτῃ τῆς Ἀναλήψεως, ἡ δ' ἑορτὴ ἡ μέχρι σήμερον γινομένη τῇ παρασκευῇ τῆς Διακαινησίμου, φαίνεται λαβοῦσα τὴν ἀρχὴν ἀπὸ τοῦ

44. Mordtmann, Esquisse· σελ. 16, α′, 21, α′.

45. Banduri, Imp. Or. σελ. 29, 30, 33, 483 καὶ 90. Τοῦ ναοῦ μιμνήσκεται καὶ Σουΐδας ἐν λ. *Προκόπιος*.

46. βλέπε ἐν τῷ ἄρθρῳ «Κωνσταντινούπολις» ἐν Λεξικῷ Ἱστορίας καὶ Γεωγραφίας «Νεολόγου», τόμῳ Γ′, σελ. στήλῃ β′.

47. Ποικίλη Στοὰ τοῦ 1884· σελ. 357.

48. Προκοπίου, Περὶ κτισμάτων· σελ. 185.

49. Banduri, Imp. Or. σελ. 49, 50, 533.

50. Theoph. Contin. σελ. 323. Συμεὼν μάγιστρος· σελ. 736. Γεώργιος μοναχός· σελ. 899. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Α′, σελ. 336.

51. Λέων διάκονος· σελ. 64.

52. Ἄννα Κομνηνή· τόμ. Α′, σελ. 77.

ΙΔ΄ αἰῶνος· ἐν ἀρχαῖς τοῦ ΙΕ΄ αἰῶνος, ὁ ναὸς ἦν ἠρειπιωμένος [53].

Ὁ ναὸς ὑπηρετεῖτο ὑπὸ μοναχῶν, ὧν γινώσκομεν τὸν ἡγούμενον Ζήνωνα ἐπὶ τοῦ πατριάρχου Μηνᾶ [54]. Νομίζω ὅτι τὸ εὐκτήριον, ἐν ᾧ σήμερον ὁρᾶται τὸ λοῦμα, ἦν παρὰ βυζαντινοῖς ὑποκάτω τοῦ μεγάλου ναοῦ.

Ἱστορίαν ἐκτενῆ τοῦ ναοῦ, ἢ μᾶλλον τῶν ἐν αὐτῷ τελεσθέντων ὑπερφυῶς θαυμάτων, ἔγραψε Νικηφόρος Κάλλιστος ὁ Ξανθόπουλος οὐχὶ πρῶτος αὐτός, διότι πρὸ αὐτοῦ, καθὼς ηὐτύχησα 'ν' ἀνεύρω ἐν τῷ ὑπ' ἀριθμὸν 109 χαρτίνῳ χειρογράφῳ τῆς ἐν Ἁγίῳ Ὄρει μονῆς τοῦ Κουτλουμουσίου γεγραμμένῳ πιθανῶς ἐν τῷ ΙΕ΄ αἰῶνι, βυζαντινός τις λόγιος συνέγραψε βραχεῖαν ὑπόμνησιν θαυμάτων τινῶν τῆς Θεοτόκου τῆς Πηγῆς· λέγω βραχεῖαν, διότι ἀπὸ μὲν τῆς σελίδος 52α1 ἄρχεται ἡ ἱστορία «τῆς φανερώσεως τῆς τιμίας ἐσθῆτος» ἀρχομένη «Λέων ὁ μέγας ὁ κατ' ἐκεῖνο»· ἐν μέσῳ δ' ὅμως τῆς α΄ στήλης τοῦ φύλλου 55 ἀποτόμως ἡ ἀφήγησις διακόπτεται, καὶ ἄρχεται συνημμένη τις ἱστορία τῶν θαυμάτων τῆς Ζωοδόχου Πηγῆς, παραδεικνῦσα καὶ τὸν χρόνον τῆς ἀκμῆς τοῦ συγγραφέως.

Α΄ θαῦμα (ἄνευ ἀρχῆς λόγου) φέρεται τὸ πρός τινα *μοναχὸν ἐκ Χαλδίας* γενόμενον, ὅστις νοσῶν ὑπέσχετο *πέντε ρομίσματα δοῦναι εἴ γε ἀναῤῥώσθη*· καὶ ἰάθη ὁ νοσῶν· «ἐξ ἐκείνου οὖν *μέχρι καὶ σήμερον πέμπονται παρὰ τῶν μοναχῶν ἐξ ἄκρας Χαλδίας τὰ πέντε ρομίσματα εἰς τὸν ἐν τῇ Πηγῇ ναόν*». Τριῶν εἶτα θαυμάτων ἀριθμουμένων, ὁ συγγραφεὺς ἐξακολουθεῖ τὸν λόγον αὐτοῦ:

57β2 «Εἴωσμεν δὲ καὶ τὰς ἐωὶ τῶν καθ' ἡμᾶς χρόνων ἐωιγεγομυίας ἰάσεις ωρός τιμας τῶν ἐν ωεριφαμείᾳ συγκλητικῶν· . . . . . Καὶ γὰρ, ὁ κατὰ τὸν Κουρκούαν μάγιστρος Ἰωάμμης ὁ κατοιχόμενος, ᾧ καὶ ἡ τῶν στρατιωτικῶν ταγμάτων τῶν ἐν τῇ Ἕῳ ἐωιστεύθη ἀρχὴ, καὶ ἅμα τούτῳ Μαρία ἡ σύζυγος, κοιλιακῷ ωεριωεωτωκότες μοσήματι, ἀμωδύμῳ φαρμάκῳ τῷ ἁγιάσματι, τὴν ἄσχετον (58α!) ἐωέσχομ φορὰν τῆς γαστρός· . . . . . Παραωλησίως τούτοις καὶ Ῥωμανὸς ὁ τούτων υἱὸς, λοιμικοῦ ωάθους καὶ διακαεστάτου φλέγοντος ωυρετοῦ ωολλάκις ἀωαλλαγεὶς, τὴν δεωοτάτων ἀμεωλήρου χρείαν ἐν τῷ τῆς Θεοτόκου μαῷ, τῶν γεμμητόρων βουλευθέντων τοῦτο· καὶ οὗ διέλιωε μέχρι τοῦ ἀφικέσθαι εἰς ἄμδρα ἐν τῷ τῆς λειτουργίας καιρῷ τῆς ἱερᾶς θυσίας ωροωορευόμενος. Ἀλλὰ καὶ Θεοφύλακτος μάγιστρος τὰς ἐωελθούσας αὐτῷ διαφόρους μόσους φυγάδας τῇ αὐτῇ μάστιγι τοῦ ἁγιάσματος ἔδειξε . . . . . (58α2) Ταυτὸν καὶ τῷ ωατρικίῳ Θεοφυλάκτῳ, Ἀβάστακτος τούτῳ ἐωώμυμον, τῆς γαστρὸς συμήμτησε μόσημα καὶ ωαραωλήσιον ἐωημέχθη τὸ ἵαμα . . . . . (58β1) Περιττὸν δὲ διελθεῖν καὶ ωερὶ τοῦ . . . ἐωὶ τοῖς ωρώτοις τῶν σωματοφυλάκων ἠριθμημένου Ἰωάμμου· ὃς χαλεωῶς τὴν ἔξοδον τῶν οὔρων μοσῶν τῇ ωίστει κατάλλημ εὗρε τὴν ἴασιν . . . . . (58β2) Τὸν ωρωτοσωαθάριον Νικόλαον, τὸν ἐωὶ τοῦ βασιλικοῦ τῆς σακέλλης ταμείου ωοτὲ, τοῦ Μεθοδίου καλεῖται, οἳ ωλείους οἶδ' ὅτι τὸν ἄμδρα γιμώσκετε . . . . τούτῳ γὰρ υἱὸς Εὐθύμιος τοὔμομα ἦν, τὴν ἡλικίαν μέος· τούτῳ λίθος κατὰ τὴν κύστιν ἔφυ . . . . ἐωεὶ δὲ ὁ τῆς μόσου καιρὸς αὐτῷ ωαρετείρετο . . . . . (59α1) καὶ τέχνη μὲν ἠτόρει καὶ χεὶρ ἰατρῶν . . . . . διακομίζεται εἰς τὸν τῆς Θεοτόκου μαὸν . . . . ὁ δὲ, ωίστει ωιὼν, ωαραχρῆμα τὸν λίθον ἐν οὐροδόχῳ ἀγγείῳ ἐξέκριμεν, ἔλκει συμωεφυρμένον καὶ αἵματι. Καὶ μετὰ ταῦτα τῷ τῶν ἱλλουστρίων τιμηθεὶς ἀξιώματι ωεριὼν ἀμακηρύττει τὸ τῆς συμωαθοῦς εὐεργέτημα. Καὶ Στέφανος ὁ Κατζάτωρ, ἐωηρεία τῆς τοῦ ἰσχίου μόσου καὶ τῇ τῆς κοτύλης ωαρέσει, τὰ εἰωθότα μεταχειρίζεσθαι . . . . (59α2) ἐδόκει ὁρᾶν Καλοκύριν τιμὰ, ἰατρὸν . . . . καὶ τοῦ ἁγιάσματος ἀωορροφήσας συχμῶς, τὴν (59β1) ὑγείαν ωροσέλαβε, καὶ τὸ εἶναι δοῦλος τῆς Θεοτόκου διὰ γραφῆς ωιστωσάμενος, μῦν καὶ ωρῶτος τῶν ἀδελφῶν τῆς λεγομένης ωρεσβείας ἐστὶν, ἀωηλλαγμένος τῆς μόσου» [55].

§

10. Τῶν ἐν Νικοπόλει ΜΕ΄ μαρτύρων.

53. ἐκτίθενται ταῦτα κατὰ πλάτος ἐν τῷ βιβλίῳ μου «Ἡ Ζωοδόχος Πηγὴ καὶ τὰ ἱερὰ αὐτῆς προσαρτήματα· ἐν Ἀθήναις, 1886».

54. Δουκαγγίου, Const. Christ. σελ. 129, α΄.

55. Ἰωάννης ὁ Κουρκούας φέρει ἐπώνυμον ἀναφερόμενον τὸ πρῶτον κατὰ τὰ μέσα τῆς Θ΄ ἑκατονταετηρίδος ἐπὶ Βασιλείου τοῦ Μακεδόνος (Κεδρηνός· Β΄, σ. 213). Ἰωάννης Κουρκούας, δρουγγάριος τῆς Βίγλας, ἤκμαζε περὶ τὰ 930-931 (Κεδρ. Β΄, σελ. 296, 317). Ἐπίσης γινώσκομεν καὶ Ῥωμανὸν Κουρκούαν, ἀκμάζοντα ἐπὶ Ἰωάννου Τζιμισκῆ, τῷ 970 σχεδὸν, ἔχοντα υἱὸν Ἰωάννην· ἀλλὰ καὶ Ῥωμανὸν ἕτερον Κουρκούαν εὑρίσκομεν ἀκμάζοντα τῷ 1025, ἴσως υἱὸν τοῦ Ἰωάννου (Λέων διάκονος· σελ. 26. Κεδρ. Β΄, σελ. 405 καὶ 483). Συμπεραίνω ὅτι ἡ περὶ τῆς Ζωοδόχου Πηγῆς διήγησις αὕτη ἐγράφη περὶ τὰς ἀρχὰς τοῦ ΙΑ΄ αἰῶνος.

Ἡ σύναξις εἰς τὴν Ἁγίαν Ἀκυλίναν πλησίον τοῦ Φόρου [56].

Ἤθλησαν ἐν Νικοπόλει τῇ κατὰ τὸν Πόντον ἐπὶ Λικινίου.

Ὑπονοῶ ὅτι εἰς τοὺς ἁγίους τούτους τεσσαράκοντα πέντε μάρτυρας ἀνῆκον τὰ λείψανα τὰ εὑρεθέντα κατὰ τὰ θεμέλια τοῦ ναοῦ τῆς ἁγίας Εἰρήνης ἐν Συκαῖς, ἐπὶ Ἰουστινιανοῦ, διότι φαίνεταί μοι ἀπίστευτον ὅτι, ἑβδομήκοντα μόλις ἔτη μετὰ τὴν ὑπὸ Πουλχερίας ἀποθησαύρισιν τῶν ἁγίων λειψάνων τῶν τεσσαράκοντα μαρτύρων, ἀπεσβέσθη τέλεον ἡ μνήμη τῆς καταθέσεως, καὶ ὅτι οἱ χριστιανοὶ τῶν αἰώνων ἐκείνων, οἱ τοσαύτην ἐπιδεικνύμενοι περὶ τὰ ἅγια λείψανα κηδὼ, ἐπελάθοντο τῆς τοῦ θησαυροῦ καταθέσεως, ἣ ἐπέτρεψαν ἑαυτοῖς 'να κεῖνται κεχωσμένα ὑπὸ γῆς καὶ δὴ ἐν Γαλατᾷ· ὅλως ἀπίστευτα νομίζω τὰ παρὰ Προκοπίῳ ταῦτα: «ἐνταῦθα ἔκειτο λείψανα ἐκ παλαιοῦ ἀνδρῶν ἁγίων, οὐχ ἧσσον ἢ τεσσαράκοντα, οἳ στρατιῶται ῥωμαῖοι ἐτύγχανον, ἐν λεγεῶνι δὲ δυοκαιδεκάτῳ ἐτάττοντο, ἣ ἐν Μελιτηνῇ ἵδρυτο· ἡνίκα τοίνυν οἱ λιθοδόμοι διώρυσσον, οὗπερ ἐπεμνήσθην ἀρτίως, κιβώτιον εὗρον γράμμασι σημαῖνον, ὡς λείψανα ἔχοι τούτων δὴ τῶν ἀνδρῶν . . . . Ἐτύγχανε γὰρ Ἰουστινιανὸς χαλεπῶς ἄγαν τοῦ σώματος ἔχων, ἐπεὶ ῥεύματος δεινόν τι χρῆμα κατὰ τὸ γόνυ ἐπιπεσὸν συντριβῇ ταῖς ὀδύναις τὸν ἄνδρα ἐποίει . . . . μεταξὺ δὲ τὰ περὶ τῶν δεδηλωμένων λειψάνων ἀκούσας, τῆς ἀνθρωπείας ἀφέμενος τέχνης, ἐπὶ ταῦτα τὸ πρᾶγμα ἦγε, τὴν ὑγείαν ἐπισπώμενος τῇ ἐς αὐτὰ πίστει, καὶ δόξης τῆς ἀληθοῦς ἐν τοῖς ἀναγκαιοτάτοις ἀπώνατο· οἱ μὲν γὰρ ἱερεῖς τὸν δίσκον ἐπὶ τὸ τοῦ βασιλέως ἐτίθεντο γόνυ, ἀφανίζεται τὸ πάθος εὐθὺς, σώμασι δεδουλωμένοις τῷ Θεῷ βιασθέν· ὅπερ ἀμφίλεκτον ὁ Θεὸς οὐ συγχωρῶν εἶναι, σημεῖον τῶν πραττομένων ἐνδέδεικται μέγα, ἔλαιον γὰρ ἐξαπιναίως ἐπιρρεῦσαν μὲν ἐκ τούτων δὴ τῶν ἁγίων λειψάνων, ὑπερβλύσαν δὲ τὸ κιβώτιον, τώ τε πόδε καὶ τὴν ἐσθῆτα τοῦ βασιλέως κατέκλυσεν ὅλην ἁλουργὸν οὖσαν. διὸ δὴ ὁ χιτὼν οὕτω καταβεβρεγμένος διασῴζεται ἐν τοῖς βασιλείοις, μαρτύριον μὲν τῶν τηνικάδε γεγενημένων, σωτήριον δὲ τῆς ἐς τὸ ἔπειτα πάθεσι περιπεσουμένοις τισὶν ἀνηκέστως» [57].

56. τὸ περὶ συνάξεως παρὰ Νικοδήμῳ.

57. Προκοπίου, Περὶ κτισμάτων· σελ. 195-197.

* * *

10. Ἡ σύναξις Ἰωάννου τοῦ Θεολόγου ἐν τοῖς Βεάτου.

Οἱ Συναξαρισταὶ καὶ τὰ Μηναῖα χορηγοῦσιν ἡμῖν ἁπλῆν γνῶσιν τῆς τοποθεσίας ταύτης, ἣν γράφουσι καὶ Βιάτου, Βεώτου καὶ Βιώτου.

§

11. Ἡ σύναξις τῆς Ἁγίας Εὐφημίας τοῦ Ὄρους

κατὰ Θεοφάνη [58]· ἢ κατὰ τὸ ἀρχαιότερον τῶν ἐν τῷ ναῷ Ἐδιρνὲ-καπὶ Εὐαγγελίων

τῆς ἁγίας μεγαλομάρτυρος Εὐφημίας τοῦ Ὄρους·

καὶ κατὰ τὸ λεγόμενον Βασιλειανὸν,

ἀνάμνησις τοῦ γεγονότος θαύματος τῆς πανευφήμου μάρτυρος Εὐφημίας.

Τὰ καθ' ἡμᾶς Μηναῖα γράφουσιν ὡς καὶ ὁ Νικόδημος· ὁ δὲ Λαυριωτικὸς Δ39 Συναξαριστὴς προστίθησιν·

Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῆς μαρτυρείῳ τῷ ὄντι ἐν τοῖς Ἀντιόχου, πλησίον τοῦ Λαύσου.

Ἡ ὑπόθεσις ἀναφέρεται εἰς τὴν διὰ τοῦ λειψάνου τῆς ἁγίας Εὐφημίας κύρωσιν τῶν δογματικῶν ἀποφάσεων τῆς ἁγίας ἐν Χαλκηδόνι Δ΄ οἰκουμενικῆς Συνόδου.

Περί τε τῆς μάρτυρος καὶ τῶν ναῶν καὶ λειψάνων αὐτῆς βραχὺς γίνεται λόγος εἰς τὴν 16 σεπτεμβρίου.

§

12. Πρόκλου καὶ Ἱλαρίου μαρτύρων. Ἡ σύναξις ἐν τῇ μονῇ τῶν Ὑπατίας πλησίον τῶν Ματρώνης.

Ἀόριστοι μένουσιν αἱ τοποθεσίαι αὗται· οἱ

58. Θεοφ. Α΄, σ. 355, ὅτε ἀναφέρει σεισμὸν μέγαν γενόμενον τῷ 555. Σημείωσαί μοι δ' ὅτι τὴν ἑορτὴν γραφομένην οὕτως ὑπὸ Θεοφάνους ὁ Goar μὴ ἐννοήσας μετέφρασεν in sacro conventu ad sanctæ Euphemiæ Olybrii celebrato, ἐνῷ οὐ γινώσκομεν ἀκριβῶς εἴπερ ἐτελεῖτο ἐν τοῖς Ὀλυβρίου, καὶ, τὸ κυριώτερον, εἴπερ οἱ ναοὶ τῆς ἁγίας Εὐφημίας: ὁ ἐν τῷ Ἱπποδρόμῳ, ὁ ἐν τοῖς Ἀντιόχου καὶ ὁ ἐν τοῖς Ὀλυβρίου, ἦσαν τρεῖς ἢ ὁ αὐτὸς ναὸς ὑπὸ τρία γνωριζόμενος ὀνόματα. Πρόσθες ὅτι τὸ παρὰ Morcelli κωνσταντινουπολιτικὸν Εὐαγγέλιον τὴν ἑορτὴν γράφει *σύναξιν ἁγίας Εὐφημίας τοῦ Ὄρους*. Calendar. τόμ. Α΄, σελ. 60.

δὲ μάρτυρες ἤθλησαν ἐπὶ Τραϊανοῦ, πιθανῶς ἐν Ἀγκύρᾳ τῆς Γαλατίας.

* * *

12. Μνήμη τοῦ Ἁγίου μάρτυρος Μάμαντος πέραν ἐν τῷ Σίγματι.

Ἡ μνήμη παρὰ τῷ Συναξαριστῇ τοῦ Νικοδήμου, ἀναφερομένη εἰς ναὸν τοῦ ἁγίου Μάμαντος, ὃν ὁ Σκ. Βυζάντιος γράφει κείμενον ἀπέναντι (πέραν) τῆς πόλεως μεταξὺ τῶν σημερινῶν συνοικιῶν Χάς-κιοϊ καὶ Σούτλουδζε. Σίγμα ὑπῆρχε καὶ ἐν τῷ παλατίῳ, καὶ ὕπερθεν τῆς μονῆς Περιβλέπτου (Σουλοὺ μοναστὴρ) ἐν τῇ σημερινῇ συνοικίᾳ τῶν Ἐξ-Μαρμάρων, ὅπου εὗρεν ὁ Πασπάτης τὰ ἴχνη τῆς Θεοτόκου τοῦ Σίγματος. Πλησίον αὐτῆς εὑρέθη τῷ 1888 πλὰξ ἔγγραφος, ἀναγινωσκομένη δυσχερῶς, ἐν ᾗ φαίνεται τὸ ὄνομα Μάμας, καὶ πιθανῶς ἀναφέρεται εἰς τοιοῦτόν τινα ναόν· λέγω πιθανῶς, διότι ἡ λέξις *πέραν*, μὴ ἐπιτρέπουσα 'να εἴπω τι βέβαιον, ἀσχημίζει καὶ τὴν εἰκασίαν μου[59].

ℓ

Μεταξὺ τῆς 6 καὶ 12 ἰουλίου ἐπιτελεῖται ἡ ἕνωσις τῆς μεγάλης ἐκκλησίας.

Τὸ 426 βυζαντινὸν Εὐαγγέλιον γράφει:

«Ἱστέον[60] δὲ ὅτι λαγχάμει ἡ τοιαύτη Κυριακὴ ἀπὸ τῆς στ΄ τοῦ μηνὸς, καὶ αὐτῆς, μέχρι ιβ΄, καὶ αὐτῆς· καὶ οὔτε ἔσωθεν τῆς στ΄ γίνεται, οὔτε ὑπερβαίνει τὰς ιβ΄, ἀλλ' ἐν ταύταις περικλείεται ταῖς ζ΄ ἡμέραις, ποτὲ μὲν εἰς ταύτην ἐπιτελουμένη, ποτὲ δὲ εἰς ἐκείνην τὴν Κυριακὴν[61], καθὼς ἔχει ἀγαγεῖν ὁ χρόνος. Καὶ ἡ μνήμη τῆς ῥηθείσης Δ΄ Συνόδου. Εὐαγγέλιον ζήτει μαΐου ια΄ εἰς τὸ γενέθλιον τῆς πόλεως.

» Εἰ γοῦν[62] ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΩΝ ΑΛΛΑΚΤΩΝ, μνήμην τῶν χλ΄ ἁγίων Πατέρων τῶν ἐν Χαλκηδόνος[63] Δ΄ Συνόδου, λαγχάνει ἡ τοιαύτη Κυριακὴ ἀπὸ τῆς ιγ΄ τοῦ μηνὸς, καὶ αὐτῆς, μέχρι ιθ΄, καὶ αὐτῆς, γινομένη, οὔτε ἔσωθεν, οὔτε ἔξωθεν τῶν ῥηθέντων[64] τούτων ς΄ ἡμερῶν ὑπερβαίνουσα ΚΑΤΑ ΤΟΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΥΠΟΝ[65]. Εὐαγγέλιον· « Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου»· ζήτει σεπτεμβρίου β΄.

» Καὶ μετὰ ταύτην τὴν μνήμην τῆς Δ΄ Συνόδου, τῇ ἐσερχομένῃ Κυριακῇ ἐπιτελοῦμεν τὴν μνήμην τῶν ἐν τῇ Ε΄ Συνόδῳ συνελθόντων ἁγίων Πατέρων κατὰ Σευήρου τοῦ δυσσεβοῦς. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην. « Τῷ καιρῷ ἐκείνῳ ἐπάρας ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ εἶπε· Πάτερ ἅγιε· τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου . . . . »

Περὶ τῆς ἑορτῆς τῆς ἑνώσεως τῆς μεγάλης ἐκκλησίας εὑρίσκομεν ὡς ἐν ἔτει 920 ἀρξαμένην τὴν ἱστορίαν, καίπερ ἀγνώστου τυγχάνοντος τοῦ χρόνου, καθ' ὃν ἡ ἕνωσις ἐγένετο. « Ἰουλίῳ δὲ μηνὶ, ὀγδόῃ, ἰνδικτιῶνος, ἡμέρᾳ Κυρίου (ἴσ. κυριακῇ) ἡ τῆς Ἐκκλησίας παρὰ Ῥωμανοῦ γέγονεν ἕνωσις, ἁπάντων ἑνωθέντων μητροπολιτῶν καὶ κληρικῶν τῶν ἀπὸ Νικολάου πατριάρχου καὶ Εὐθυμίου διεσχισμένων »[66]. Ὁ ἐπὶ τούτῳ συνταχθεὶς *Τόμος τῆς ἑνώσεως*[67] « κατὰ τὸν ἰούλιον μῆνα ἑτησίως ἀπ' ἄρχοντος ἀναγινώσκεται » κατὰ τὸν Ματθαῖον Βλάσταριν[68]. Νομίζω ὅτι ἐπειδὴ αἱ κυριακαὶ αὗται ἐποίκιλλον μεταξὺ τῆς 6 καὶ τῆς 19 ἰουλίου, ἐκαλοῦντο Κυριακαὶ τῶν Ἀλλακτῶν.

ℓ

13. Ἡ σύναξις τοῦ ἀρχαγγέλου Γαβριήλ.

59. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Β΄, σελ. 7-9. Α΄, σ. 298. Πασπάτη, Βυζαντ. Μελέται· σ. 378-79. Τὴν ἐπιγραφὴν, γεγραμμένην γράμμασιν ἀκόμψοις, ἐδωρήσατό μοι ὁ φίλος ἀρχιμανδρίτης Μελέτιος Κοτσάνης, ἐγὼ δ' ἐδωρησάμην τῷ φιλαρχαίῳ κ. Γ. Βεγλερῇ.

60. τὰ αὐτὰ ἀναγινώσκομεν ἐν τῷ μεμβρανίνῳ Εὐαγγελίῳ τῆς ἐν Ἁγίῳ Ὄρει μονῆς Σταυρονικήτα, φέροντι διαφοράς τινας γραφῆς, ἃς σημειῶ.

61. ἡ λέξις Κυριακὴ οὐκ ἀναγινώσκεται παρὰ τῷ Σταυρονικητηνῷ· ὡσαύτως καὶ περαιτέρω προστίθησιν· «ἡ μνήμη τῆς *ῥηθείσης Δ΄ συνόδου* ».

62. τὸ Σταυρονικητηνὸν Εὐαγγέλιον λέγει· « μηνὶ τῷ αὐτῷ ιστ' εἴτουν Κυριακῇ πρὸ τῶν Ἀλλακτῶν » κτλ.

63. τὸ Σταυρονικητηνὸν ἐπίσης ἐσφαλμένως γράφει· «τῶν ἐν Χαλκηδόνι Δ΄ Συνόδου ».

64. « ῥηθέντων » καὶ τὸ Σταυρονικητηνόν.

65. αἱ λέξεις ἀναφέρονται εἰς Τυπικὸν, ὃν ἐν χρήσει ἐν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας.

66. Λέων γραμματικός· σελ. 304. Οἱ συνεχίσαντες τὸν Θεοφάνην γράφουσιν· « ἰουλίῳ μηνὶ, ἡμέρᾳ κυριακῇ ». Theoph. Contin. σελ. 398· ὁ δὲ Γεώργιος μοναχὸς ἐν σελ. 890 γράφει κατὰ λάθος ἰούνιον τὸν μῆνα.

67. Σύνταγμα τῶν ἱερῶν κανόνων· τόμ. Ε΄, σ. 4-11. Βλ. περὶ τοῦ Τόμου Πατριαρχ. Πίνακας· σελ. 299.

68. Σύνταγμα κανόνων· τόμ. ΣΤ΄, σελ. 159, καὶ Δ΄, σελ. 104. Βαλσαμῶνος, ἑρμηνεία εἰς τὸν Δ΄ κανόνα τοῦ Μ. Βασιλείου.

Ἦν ἡ σύναξις κοινὴ πάσαις ταῖς Ἐκκλησίαις, ἀγομένη πρὸ τοῦ Θ΄ αἰῶνος· ὁ εἰς αὐτὴν κανὼν φέρει ἀκροστιχίδα Ἰω(σ)ὴφ, βεβαίως τοῦ ποιητοῦ τῶν κανόνων.

* * *

13. Γολινδοὺχ μάρτυρος τῆς μετονομασθείσης Μαρίας. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Τρύφωνος, τῷ πλησίον τῆς παλαιᾶς Εἰρήνης καὶ νέας.

Ἤθλησεν ἐπὶ Μαυρικίου τοῦ αὐτοκράτορος ἐν Περσίᾳ.

Ἀγνοῶ πῶς δυνάμεθα 'να συμβιβάσωμεν τὴν ὕπαρξιν ναοῦ κειμένου πλησίον τῆς παλαιᾶς Ἁγίας Εἰρήνης καὶ νέας, ἐὰν παλαιὰ μὲν ᾖ ἡ παρὰ τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας, νέα δὲ ἡ ὑπὸ Μαρκιανοῦ κτισθεῖσα.

ℓ

14. Ἰωσὴφ ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ ὁμολογητοῦ.

Ἀδελφὸς Θεοδώρου τοῦ Στουδίτου, στουδίτης καὶ αὐτὸς, ἐξορισθεὶς ἀποφάσει συνοδικῇ κατὰ ἰανουάριον τοῦ 809, καθὸ παρασυναγωγὴν κατὰ Νικηφόρου τοῦ πατριάρχου ποιούμενος σὺν ἑτέροις στουδίταις, ἀνεκλήθη τῷ 812 ὑπὸ Μιχαὴλ τοῦ Ῥαγγαβέ. Μητροπολίτης Θεσσαλονίκης εἶτα γενόμενος. ἐπεδείξατο ζῆλον ὑπὲρ τῶν ἁγίων Εἰκόνων, ὑπερόριος ὑπὸ Θεοφίλου σταλεὶς εἰς Ἀπολλωνιάδα καὶ κατόπιν ἀλλαχοῦ που. Ἀπέθανεν ἐν ὑπερορίᾳ[69], τὸ δὲ λείψανον αὐτοῦ ἀπετέθη ἐν τῇ μονῇ τοῦ Στουδίου[70], ἥτις ἐτέλει βεβαίως τὴν ἐπὶ τῷ θανάτῳ τοῦ ἀνδρὸς σύναξιν.

ℓ

15. Κηρύκου καὶ Ἰουλίττης μαρτύρων. Ἡ σύναξις ἐν τῷ εὐκτηρίῳ οἴκῳ τοῦ ἀρχαγγέλου Μιχαὴλ ἐν τοῖς Ἀδδά.

Ἤθλησαν ἐπὶ Διοκλητιανοῦ ἐν Ταρσῷ τῆς Κιλικίας.

Ναὸς ἴδιος εἰς τιμὴν αὐτῶν οὐκ ἠγείρετο· τὸν δὲ ναὸν τοῦ ἀρχαγγέλου Μιχαὴλ ἐν τοῖς Ἀδδὰ ὁ Σκ. Βυζάντιος. καθὼς καὶ ὁ ἰατρὸς Mordtmann τιθέασιν ὀλίγον ἀνωτέρω τοῦ σήμερον Κάτεργα-λιμάνι[71].

69. Μηνολόγιον. Θεοφ. Α΄, σελ. 752, 769.

70. Θεοδώρου Στουδίτου βίος, ὑπὸ Μιχαὴλ μοναχοῦ· Migne, γΘ΄, 232.

71. Esquisse topogr. § 100. ἀριθ. 5. Βυζαντίου «Κωνσταντινούπολις»· τόμ. Α΄, σελ. 269-270.

* * *

15. Μνήμη τοῦ εὐσεβεῖ τῇ μνήμῃ γενομένου βασιλέως Ἰουστινιανοῦ τοῦ νέου ἐν τοῖς Ἁγίοις καὶ κορυφαίοις Ἀποστόλοις.

Ἡ παρὰ τὸ ὄνομα Ἰουστινιανοῦ λέξις *νέου* προδήλως ἀναφέρει ἡμᾶς εἰς τὸν ῥινότμητον Ἰουστινιανόν· ἀναγράφει δὲ τὴν μνήμην ὁ Λαυριωτικὸς Δ39 Συναξαριστὴς, ὅστις οὐκ ἀναφέρεται βεβαίως εἰς τὸν Μ. Ἰουστινιανὸν, τεθαμμένον, ὡς γνωστὸν, ἐν τοῖς Ἁγίοις Ἀποστόλοις τοῖς Μεγάλοις, διότι ὁ ὁρισμὸς *ἁγίων καὶ κορυφαίων Ἀποστόλων* δηλοῖ προφανῶς ναὸν ἀνατεθειμένον εἰς τοὺς ἀποστόλους Πέτρον καὶ Παῦλον[72].

Ἐπὶ Ἰουστινιανοῦ Β΄ τοῦ νέου συνῆλθεν ἐν Κωνσταντινουπόλει τῷ 692 ἡ Πενθέκτη λεγομένη Σύνοδος.

ℓ

16. Ἀθηνογένους ἱερομάρτυρος ἐπισκόπου Πηδαχθόης. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου τῷ ὄντι ἐν τῷ Κυπαρισσίῳ[73].

Ἤθλησεν ἐπὶ Διοκλητιανοῦ.

Ναΐσκος ἐπ' ὀνόματι τοῦ μάρτυρος Ἀθηνογένους ὑπῆρχε κατὰ τὸν Θ΄ αἰῶνα, κείμενος ἔξω τῆς Ἐλεφαντίνης πύλης τῶν ἀνακτόρων, ἢ τοὐλάχιστον οὐ μακρὰν αὐτῆς[74]. Τῷ 1140 ἀναφέρεται μοναχὸς προσκαθήμενος ἐπὶ τῇ τοῦ ἁγίου Ἀθηνογένους μονῇ[75], πολὺ πιθανῶς ἐν τῇ Κωνσταντινουπόλει.

* * *

Τῇ κυριακῇ μετὰ τὰς 16. Μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων ἑξακοσίων τριάκοντα πατέρων τῶν ἐν Χαλκηδόνι, τῆς ἁγίας καὶ οἰκουμενικῆς Δ΄ Συνόδου . . . . γίνεται δὲ ἡ τοιαύτη σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Ἡ διάταξις παρὰ τῷ Συναξαριστῇ τοῦ Μαργουνίου. Τὸ ἐν χρήσει Μηναῖον γράφει τὴν μνήμην τῇ 13 ἰουλίου· ὁ δὲ Νικόδημος ἀναφέρει μνήμην ἓξ Συνόδων, διότι ἀφῆρεσε τὴν τετάρτην, ὡς ἐν ὑποσημειώσει γράφει[76].

72. ἴδε εἰς τὴν 2 αὐγούστου καὶ 14 νοεμβρίου.

73. ὁ Λαυριωτικὸς Δ39 Συναξαριστὴς γράφει τὴν λέξιν εἰς τὴν 22 ἰουνίου *Κυπαρίσσῳ*.

74. Βίος Εὐθυμίου, ὑπὸ De Boor· σελ. 23.

75. Σύνταγμα ἱερῶν κανόνων· τόμ. Ε΄, σελ. 77.

76. « ἐγὼ, ἐπειδὴ ἐν τῷ προοιμίῳ τοῦ Συναξαριστοῦ

§

17. Μαρίνης μάρτυρος. Ἡ σύναξις εἰς τὸν Ἅγιον Μηνᾶν.

Ἡ μνήμη τῆς συνάξεως παρὰ Νικοδήμῳ. Ὁ ναὸς οὐκ ἀκριβῶς ὁρίζεται.

Τὸ λείψανον τῆς ἁγίας Μαρίνης ἀφῃρέθη τῷ 1204 ἐκ τοῦ ναοῦ τοῦ Παντεπόπτου, ἐν ᾧ τέως ἀπεθησαυρίζετο [77].

§

18. Αἰμιλιανοῦ μάρτυρος. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ ἐν τῇ Ῥάβδῳ.

Ἤθλησεν ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου ἐν Δοροστόλῳ (Τούλτσα σήμερον).

Ναὸς ἐπ' ὀνόματι τοῦ μάρτυρος Αἰμιλιανοῦ ἠγείρετο πλησίον τῆς ἐπωνύμου αὐτῷ πύλης ἐπὶ τῶν πρὸς τὴν Προποντίδα τειχῶν, τῇ σήμερον Δαοὺτ-πασᾶ-καπί. Προϋπῆρχε δὲ τοῦ Βασιλείου τοῦ Μακεδόνος, βεβλαμμένος, πλησίον τοῦ ναοῦ τῆς Θεοτόκου τῆς Ῥάβδου κείμενος· ὁ Βασίλειος ἀνεκαίνισεν αὐτόν [78].

* * *

18. Τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου ἐν τοῖς Καλλιστράτου.

Ἴδε εἰς τὴν 14 φεβρουαρίου.

* * *

18. Στεφάνου πατριάρχου Κωνσταντινουπόλεως.

Ἐν τῷ Συναξαριστῇ τοῦ Νικοδήμου προστίθεται *τοῦ ἐξ Ἀμασείας*.

Ἐκόσμησε τὸν θρόνον ἀπὸ τοῦ αὐγούστου 925 ἕως 18 ἰουλίου 928 [79], μετατεθεὶς ἀπὸ τῆς μητροπόλεως Ἀμασείας.

* * *

18. Ἰωάννου μητροπολίτου Χαλκηδόνος.

Ἥκμασεν ἐν ἀρχαῖς τοῦ Θ' αἰῶνος ἐπὶ τῶν εἰκονομάχων «λαμπρὸν τὸν τῆς ὁμολογίας ἀ-

τούτου ὑπόσχομαι 'να ρυθμίσω τὰ ἄτακτα, ἀφῄρεσα τὸ ἐνταῦθα συναξάριον τῆς Δ' οἰκουμενικῆς Συνόδου » κτλ.

77. Πασπάτη, Μελέται· σελ. 314.

78. Βυζαντίου, «Κωνσταντινούπολις»· Α', σ. 294-295. Theoph. Contin. σελ. 324.

79. Λέων γραμματικός· σελ. 318· παρὰ τοῖς συνεχίσασι τὸν Θεοφάνη, τῇ 15 ἰουλίου. Theoph. Contin. σελ. 417. Κεδρ. Β', σελ. 311.

πενεγκάμενος στέφανον» [80]. Ἀπεβίωσε πρὸ τοῦ Θεοδώρου τοῦ Στουδίτου. Ἐπειδὴ δὲ Ἰωάννης Χαλκηδόνος ἀναφέρεται τῇ 29 ἰουλίου παρὰ τῷ Βασιλειανῷ, μᾶλλον, ὡς εἶπον καὶ ἄλλοτε, ὁ τῇ 18 ἰουλίου ἀναφερόμενός ἐστιν ὁ πατριάρχης Ἰωάννης Θ' ὁ Ἀγαπητός, ὁ τοῦ Χαλκηδόνος ἐπιλεγόμενος, κοσμήσας τὸν πατριαρχικὸν θρόνον ἀπὸ τοῦ 1111-1134.

* * *

18. Θεοδοσίας ὁσιομάρτυρος. Ἡ σύναξις ἐν τῇ μονῇ τῶν Δεξιοκράτους, ὅπου καὶ τὸ λείψανον αὐτῆς [81].

καθ' ἑτέραν γραφὴν

ἡ σύναξις ἐν τῇ ἁγίᾳ μονῇ τοῦ Σωτῆρος Χριστοῦ τοῦ Εὐεργέτου [82].

τὸ 426 Εὐαγγέλιον προστίθησιν (ὡς καὶ ἐν τῷ τέλει τῶν προλεγομένων ἔδειξα παρατιθεὶς τῷ Βασιλειανῷ τὸ Μορσελλιανὸν ἑορτολόγιον μετὰ συμπληρώσεων) ὅτι ἡ ὁσία αὕτη Θεοδοσία ἤθλησεν ἐπὶ Κωνσταντίνου τοῦ Κοπρωνύμου· τάττει δὲ τὴν ἑορτὴν τῇ 18, καθὼς καὶ τὸ Βασιλειανὸν λεγόμενον, ὅπερ ἀναφέρει καὶ τῇ 29 μαΐου μάρτυρα Θεοδοσίαν, ἀθλήσασαν ἐν Τύρῳ. Παρὰ τῷ Βασιλειανῷ ἀσαφῶς φέρονται τὰ κατ' αὐτήν, ὡς ἐν τοῖς προλεγομένοις ἔγραψα, τὸν λόγον ποιούμενος περὶ συνάξεων. Κατὰ τὸν Νικόδημον, ἀναφέρεται ἀθλήσασα ἐπὶ Λέοντος τοῦ Ἰσαύρου, ὡς ἔοικε, τῷ 730. Θαυμασίως ὅμως ἐξηγεῖ τὰς ἐν τῇ γνωστῇ βιογραφίᾳ αὐτῆς ἀσαφείας ἀνέκδοτος βιογραφία τῆς ὁσίας ἀναγινωσκομένη ἐν τῷ ὑπ' ἀριθμὸν 109 μεμβρανίνῳ χειρογράφῳ τῆς ἐν Ἁγίῳ Ὄρει μονῆς Κουτλουμουσίου, γραφέντι κατὰ τὸν ΙΒ' αἰῶνα, ἀρχομένη μὲν « Εἰ καὶ πολλῶν ἀφορμὴ πρὸς κακίαν ἐδείχθη Κοπρώνυμος καὶ τῶν ἀτελευτήτων κολάσεων πρόξενος», τελευτῶσα δὲ «ἧς καὶ ἡμεῖς τῆς χάριτος ἀπολαύσαιμεν, δοξάζοντες ταύτην τὴν θεοδόξαστον καὶ τὸν αὐτὴν δοξάσαντα Κύριον· ᾧ πρέπει» κτλ.

Ἐκ τῆς βιογραφίας ταύτης, ἐκτεινομένης ἀπὸ φύλλου 43α1-51β2, μεταγράφω τὰ κυριώτερα μέρη: (44β1): «Τοσοῦτον ἡ ἐν γυναιξὶν ὁσιωτάτη Θεοδοσία τῶν κατ' ἐκείνας τὰς ἡμέρας ἀσκητριῶν ὑπερλάμπουσα· κοινὸς γὰρ

80. Θεοδώρου τοῦ Στουδίτου μικρὰ Κατήχησις· ἔκδοσις Ἐμμ. Auvray· ἐν Παρισίοις, 1891, σελ. 80 καὶ 641.

81. τοῦτο παρὰ Νικοδήμῳ.

82. Migne· τόμ. ΡΜ', στ. 889.

ἀγὼν ἀρετῆς πᾶσιν ὑπῆρχε τὸ κατὰ νοῦν καὶ γλῶσσαν τὰ Θεοδοσίας φέρειν σεμνολογήματα· πάντες γὰρ ἦσαν ἁπλῶς θαυμάζοντες βίον ἐκείνης τὸν ἀκριβῆ καὶ τοῖς πολλοῖς ἀπαράμιλλον». Ἀφηγούμενος δ' ὁ βιογράφος τὴν χειροτονίαν Ἀναστασίου τοῦ πατριάρχου καὶ τὴν γνωστὴν ἀποστολὴν τοῦ σπαθαρίου, ὃν κατέρριψαν εὐσεβεῖς γυναῖκες, συνεχίζει τὸν λόγον οὕτως (46β2)· «Ἦν καὶ ἡ μακαρία αὕτη Θεοδοσία πρωταιτία τοῦ πράγματος· τοῦτο δὲ ποιήσασαι, αἱ μὲν ἅγιαι πρὸς τὴν ἰδίαν ἑκάστη μονὴν ἐπανήρχοντο· εἰς δέ τις τῶν θεομάχων, ὁρῶν ταῦτα, καὶ τὰς ἁγίας ἐπιστάμενος ἑκάστην ὅπου καὶ μένουσιν, ᾠήθη προσαγγεῖλαι ταῦτα τῷ βασιλεῖ· πληρώσας δὲ τὴν βουλὴν ἐκείνην, ὁ βασιλεὺς προστάττει συναγαγεῖν ἐκείνας τῷ βήματι τῷ ἰδίῳ· τούτου δὲ γενομένου, τὴν διὰ τοῦ ξίφους ἅπασαι τιμωρίαν ἐδέξαντο· ἀλλὰ καὶ πάντες χριστιανοὶ φανερῶς καθ' ἡμέραν ἐβιάζοντο, μὴ προσκυνεῖν τὰς ἁγίας εἰκόνας· μὴ πει(47α1)θόμενοι δὲ, πυρὸς οἱ μὲν καὶ παντοίων βασάνων, οἱ δὲ μαχαίρας ἔργον ἐγένοντο. Ὡς δὲ πάντων εἰσεληλύθει τὰς ἀκοὰς ἡ . . . . . παράνομος ἐργασία καὶ μέχρις αὐτῆς τῆς ὁσίας μητρὸς ἡμῶν Θεοδοσίας εἰσῆλθε τὰ ὦτα . . . . ἐν τῷ γονικῷ αὐτῆς μοναστηρίῳ, τῷ πλησίον τοῦ Σκοτεινοῦ Φρέατος καὶ τῆς λεγομένης Ἀσπάρου στέρνης* · ἐν ᾧ κατέμενεν ἡ ἁγία, καὶ τὴν ἡσυχίαν καὶ ἄσκησιν αὐτῆς ἅπασαν διετέλει** . . . λύουσα δεσμοὺς πενίας τοῖς πένησιν· ὀρφανῶν ὑπερασπιζομένη· χηρῶν προϊσταμένη. . . . . μικροῦ δὲ χρόνου παρῳχηκότος, εἴς τινων εἰσῆλθεν ὦτα τὰ κατὰ τὴν ἁγίαν λεγόμενα· κατασκόπων δὲ δίκην γενομένων ἐν τῇ μονῇ . . . . . (47α2) τὰς δὲ περὶ ἐκείνην ψυχὰς λαμπούσας φωτεινότερον τῶν ἡλιακῶν ἀκτίνων καὶ τηλαυγέστερον. . . . . (47β2) ἦλθον πρὸς τὴν μονὴν τὴν λεγομένην τοῦ Σκοτεινοῦ Φρέατος καὶ τῆς προρρηθείσης Ἀσπάρου στέρνης, ἔνθα κατέμενεν ἡ ἁγία ». Ὁ βιογράφος εἶτα, διάλογόν τινα μεταξὺ Κωνσταντίνου Ε' καὶ Θεοδοσίας ἐκτιθείς, γράφει ὅτι, τῆς ὁσίας ἀπαχθείσης, ἱππεύσας ἐπορεύθη κατόπιν αὐτῆς, καὶ (50β2) « φθάνει τὴν ἁγίαν ἐν τόπῳ Λεωμακέλλῳ λεγομένῳ »· ὁ δὲ δήμιος « κέρας που προβάτου θεωρήσας κελεύει ταύτης σφαγῆναι τῷ κέρατι· (51α1) ἀκοντίζει τοῦτο κατὰ τὸ μεσαίτατον τοῦ τῆς ἁγίας λαιμοῦ· καὶ οὕτως ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησε . . . . τὸ δὲ ἅγιον σῶμα κατελείφθη ἐν τῷ προρρηθέντι τοῦ Λεωμακέλλου τόπῳ, πλησίον τοῦ περιωνύμου ναοῦ τοῦ παμμάκαρος Ἀκακίου καὶ τοῦ Ἑπτασκάλου. Ἐλθόντων δὲ τῶν χριστιανῶν.... τὸ ἅγιον σῶμα ἔγγιστά που τῶν Δεξιοκράτους κατέθεντο, φιλοθέων ὑπ' ἀνθρώπων ἁγιοπρεπῶς τιμώμενόν τε καὶ προσκυνούμενον ».

Ἐκ τοῦ πολυτιμήτου ἱστορικοῦ τούτου μνημείου μανθάνομεν ὅτι, ἀπὸ τῆς τοῦ σπαθαρίου καταρρίψεως ἐν τῇ Χαλκῇ παρῆλθον δέκα ἔτη, καθ' ἃ διέμενεν ἐν τῇ μονῇ αὐτῆς ἡ Θεοδοσία ἀσκουμένη· ὅτι ἤθλησεν ἐπὶ Κοπρωνύμου, ἐν τῷ Λεωμακέλλῳ· ὅτι ὁ τόπος οὗτος ἔκειτο πλησίον τοῦ Ἁγίου Ἀκακίου καὶ τοῦ Ἑπτασκάλου· καὶ ὅτι ἡ γονικὴ μονὴ τῆς ὁσιομάρτυρος εὑρίσκετο κατὰ τὸ Σαλματομβροὺκ τῆς σήμερον, πλησίον τῆς τοποθεσίας Σκοτεινοῦ Φρέατος. Ταῦτα γινώσκονται τὸ πρῶτον νῦν. Καὶ κατὰ πόσον μὲν τὸ κείμενον δύναται φωτίσαι τὰ μὴ γινωσκόμενα τῆς βυζαντινῆς τοπογραφίας, οἱ εἰδήμονες ἐροῦσιν· ἀλλ' αὐτοὶ βλέπουσιν ὅτι ὁ παρὰ τῷ ἰατρῷ Mordtmann Ἅγιος Ἀκάκιος, ὁ παρὰ τῷ σήμερον ἀρμενιακῷ πατριαρχείῳ τοῦ Κοντοσκαλίου τοποθετούμενος, ἀπέχει πως τῆς πύλης τοῦ Κοντοσκαλίου = Ἑπτασκάλου (Κούμκαπι), καθὼς ἀπέχει καὶ τοῦ Λεωμακέλλου, τοποθετουμένου ἐν τῷ σήμερον Ἀτ-μειδάν. Ἀνάγκη 'να προβαίνωμεν μᾶλλον ἐσκεμμένως.

Τῷ 1892 ἐν τοῖς « Ἐγγράφοις Λίθοις καὶ Κεραμίοις » διετύπωσά τινας σκέψεις περὶ τοῦ ναοῦ τῆς ὁσίας Θεοδοσίας, ἐν ᾧ ἡ σύναξις ἐπὶ τῇ μνήμῃ αὐτῆς ἐτελεῖτο· ὅ,τι δ' εἶπον ἐκεῖ τότε, βλέπω νῦν ἐπιβεβαιούμενον ἔν τινι μέτρῳ· δῆλον οὖν ὅτι ἡ μονὴ τῶν Δεξιοκράτους οὐκ ἔστι τὸ Γκιοὺλ-δζαμὶ τῆς σήμερον, ὅτι δέον 'να ζητηθῇ κατὰ τὸ σήμερον Εἰβὰν-σεράϊ ἢ ἐκεῖ που, καὶ ὅτι, τεθέντος ὅτι κατὰ τοὺς ἐσχάτους τῶν βυζαντινῶν χρόνους ἐτελεῖτο σύναξις ἐν τῷ σήμερον Γκιοὺλ-δζαμὶ, κατὰ τὸ Ἁγιᾶ-καπὶ, ἡ σύναξις ἀφ' ἑτέρου ναοῦ μετετέθη εἰς τὸν τελευταῖον· ὥστε ἀδύνατον 'να ὁρισθῇ τὸ τέμενος τοῦτο ὡς μαρτύριον τῆς ὑπάρξεως ἀρχαίου ναοῦ τῆς ὁσίας Θεοδοσίας ἐν Ἁγιᾶ-καπὶ, ὡς δῆθεν μονῆ Δεξιοκράτους. Ἔρευναι νεώτεραι ἔπεισάν με ὅτι τὰ παρὰ τῷ πολυμαθεστάτῳ φίλῳ Α. Mordtmann εἰσί πως βεβιασμένα.

Ἡ ἀνέκδοτος βιογραφία τῆς ὁσίας Θεοδοσίας εἰσάγει στάδια βιοτῆς καὶ ἀθλήσεως οὐ

* *στέρνης* ἁπλῶς, οὐχὶ *γγιστέρνης*, ὡς ἕτερα χειρόγραφα γράφουσι.

** *δὴ ἐτέλει* πιθανῶς.

πλησίον τοῦ Ἁγιᾶ-καπὶ κείμενα· ἀλλὰ παρὰ τῇ Πέτρᾳ, καὶ οὐχὶ παρὰ τῷ Πετρίῳ. Κωνσταντῖνος δὲ ὁ Ἀκροπολίτης, ὁ κατὰ τὰ τέλη τῆς ΙΓ΄ ἑκατονταετηρίδος Ἐγκώμιον εἰς τὴν ὁσιομάρτυρα Θεοδοσίαν γράψας, ἀναφέρει θαῦμά τι γενόμενον ὑπὸ τῆς ὁσίας εἰς τὸν γαμβρὸν αὐτοῦ, κρισίμως νοσήσαντα, οὗ τὴν νόσον ἔμαθεν, ὡς φαίνεται, μόλις ἐξελθὼν τῆς οἰκίας· καὶ ἡ μὲν οἰκία τῶν Ἀκροπολιτῶν αὕτη ἔκειτο ἐν Γυρολίμνῃ, δῆλά γε δὴ κατὰ τὴν τοποθεσίαν Τσικοὺρ, ὀλίγον ἀνωτέρω τῶν Βλαχερνῶν καὶ μικρῷ πρὶν τῆς Καλλιγαρίας πύλης (Ἐγρὶ-καπί)· ἀλλ' αὐτὸς ὁ Ἀκροπολίτης μάρτυς ἐστὶν ὅτι πλησίον τοῦ ναοῦ, ἐν ᾧ τὸ λείψανον ἀπέκειτο τῆς Θεοδοσίας, εἶχε τὴν οἴκησιν· « ὢν ἐν γειτόνων τῇ σορῷ »[83]. Περὶ δὲ τοῦ ἐν Ἁγιᾶ-καπὶ ναοῦ τῆς ὁσίας Θεοδοσίας στερούμεθα μαρτυριῶν ἐπαρκῶν καὶ βασίμων· ἀρχαιοτέραν μαρτυρίαν ἔχομεν παρὰ Παχυμέρει, ἀκμάσαντι περὶ τὰ μέσα τῆς ΙΔ΄ ἑκατονταετηρίδος, γράφοντι δὲ περί τινος θαύματος γενομένου τῷ 1306 εἴς τινα κωφάλαλον, ἀνακτησάμενον ἀκοήν τε καὶ λαλιάν, οὗ ἕνεκεν ἤρξαντο πανδήμως οἱ βυζαντινοὶ 'να πανηγυρίζωσι τὴν μνήμην τῆς Θεοδοσίας, τότε δὲ πρῶτον ἐγένετο «πάννυχος παννυχίς», μηδ' αὐτοῦ τοῦ βασιλέως ἐκεῖθεν λείποντος· « μᾶλλον μὲν οὖν καὶ ἐπὶ πλέον οὗτος τὸ σέβας τῇ θαυματουργῷ φιλοτιμεῖσθαι θέλων, τοῖς μὲν ἄλλοις ἐφῆκε βαδίζειν ὡς βούλοιντο, αὐτὸς δὲ συνάμα συγκλήτῳ πάσῃ καὶ πατριάρχῃ ἀκρόνυχος πεζῇ βαδίζων πρὸς τὸν ναὸν τῇ μάρτυρι παραγίνεται »[84]. Οὐδὲν ὅμως σαφὲς συνάγομεν ἐκ τούτων περὶ τοποθεσίας παλαιοῦ ναοῦ ἀνατεθειμένου εἰς τὴν ὁσιομάρτυρα Θεοδοσίαν· ἄλλως δὲ δέον ἐπιστῆσαι προσοχὴν εἰς τὰ γραφόμενα τοῦ Παχυμέρους, ὅστις οὐδαμῶς ὑποδείκνυσι, παρ' ἔμοιγε κριτῇ, ναὸν ὑπάρχοντα τῷ 1306 ἐπ' ὀνόματι τῆς ἁγίας Θεοδοσίας, διότι γράφει ὅτι παραγίνεται οὐχὶ *πρὸς τὸν ναὸν* **τῆς** *μάρτυρος*, ἀλλὰ *πρὸς τὸν ναὸν* **τῇ** *μάρτυρι*, ἤτοι πρὸς τὸν ναόν, ἐν ᾧ ἡ μάρτυς· δῆλά γε δή, πρὸς τὸν ναόν, ἐν ᾧ τὸ λείψανον τῆς μάρτυρος· οὐδαμῶς ὑποδεικνύεται διὰ τούτων τῶν τοῦ Παχυμέρους ὅτι ναὸς τῆς ἁγίας ταύτης Θεοδοσίας ἔκειτο ἔνδον τοῦ γνωστοῦ ἡμῖν Ἁγιᾶ-καπὶ τῷ 1306, καὶ λοιπὸν ἀπομένει δῆθεν ὁδηγὸς ἡμῖν, ἀλλ' ὁδηγὸς ἀμβλυωπῶν, ὁ Φραντζῆς, εἰς ὃν ὁ κ. A. Mordtmann παραπέμπει· « ὁ δὲ μέγας δοὺξ ἵνα φυλάττῃ ἐν τοῖς μέρεσι τοῦ Πετρίου καὶ ἕως τῆς πύλης τῆς ἁγίας Θεοδοσίας »[85]· ὥστε ἀνάγκη 'να εἴπωμεν ὅτι ἡ μαρτυρία ἐστὶ τῶν τελευταίων βυζαντινῶν χρόνων, ἢ μᾶλλον ἡμερῶν, ἄγκυραν δὲ σωτηρίας ἔχομεν τὸν Γύλλιον, ὅστις περὶ τὰ μέσα τοῦ ΙϚ΄ αἰῶνος γράφει ξηρῶς ταῦτα· « A porta Jubalica ad portam vulgo apellatam Agiam, a vicina æde divæ Theodosiæ trecenti sexaginta passus »[86]. Φρονῶ ὅτι ναὸς ἐπ' ὀνόματι τῆς ἁγίας Θεοδοσίας οὐδέποτε ἠγέρθη διότι, κατὰ τας ἀρχαίας μαρτυρίας, ἡ σύναξις ἐπὶ τῇ ἑορτῇ ταύτῃ ἐτελεῖτο εἰς ξένην μονὴν, ἢ εἰς τὴν τοῦ Εὐεργέτου, ἢ εἰς τὴν τοῦ Δεξιοκράτους· διότι εἴπερ ὑπῆρχε ναὸς ἴδιος τῆς ἁγίας Θεοδοσίας, ἔδει 'να σημειώσῃ τοῦτο ὁ τὸν κατάλογον τῶν συνάξεων γράψας, ὁ Μαυρίκιος, ὡς λέγομεν. Ἀλλ' ἡ σύναξις ἐτελεῖτο ἐν τῇ μονῇ τῶν Δεξιοκράτους, ἀπεδειξα δ' ἄλλοτε ὅτι τὰ Δεξιοκράτους ἔκειντο πιθανῶς ἐκεῖθεν τῆς σημερινῆς πύλης Ἐϊβὰν-σεράγι πρὸς τὸ Τεφτερδὰρ. ἢ ὕπερθεν τούτων, καὶ ὅτι ἡ μονὴ, ἐν ᾗ τὸ λείψανον, ἔκειτο ἔνδον τῶν τειχῶν, ὕπερθεν ἢ περιζ τῶν Βλαχερνῶν, διότι — ἀναγκαζόμεθα 'να συνάψωμεν μετὰ τῶν παραδοξογράφων δάνειον γνώσεων, καὶ τοῦ φίλου Mordtmann συνεχῶς εἰς αὐτοὺς ἐπὶ δανείῳ προστρέχοντος — οἱ παράδοξοι αὐτοὶ ἄνθρωποι γράφουσιν ὅτι «τὰ Δεξιοκράτους, οἶκος ἦν Δεξιοκράτους πατρικίου, ἐν τοῖς χρόνοις Θεοδοσίου τοῦ μικροῦ» — προτιμῶ 'να ὀνομάσω ταῦτα ἀπὸ Δεξιοκράτους τοῦ τῷ 502-503 ὑπάτου τῆς Νέας Ῥώμης[87] — «ἐν ᾧ καὶ Μαυρίκιος γηροκομεῖον ἀνήγειρε σὺν τοῖς ἐμβόλοις»[88], καὶ γνωστόν ἐστιν ὅτι τοὺς ἐμβόλους τούτους ὁ Μαυρίκιος ἔκτισε πλησίον τῶν Βλαχερνῶν[89] ἐπὶ τῇ σημερινῇ πύλῃ Ἐϊβὰν-σεράγι· ἐὰν δὲ βλέπω τὸν ἰατρὸν Mordtmann παραπέμποντα ἡμᾶς εἰς τὸν μυθογράφον Ἀντώνιον, λέγοντα ὅτι οὐ μακρὰν τῆς Ἁγίας Θεοδοσίας ἔρχεται ὁ Ἅγιος Ἡσαίας ὁ προφήτης καὶ κατόπιν ὁ ναὸς τοῦ ἁγίου Λαυρεντίου[90], ζητῶ συγ-

83. Κωνσταντίνου Ἀκροπολίτου Ἐγκώμιον εἰς Θεοδοσίαν· Migne· PM', 928 καὶ 929.

84. Παχυμέρης· τόμ. Β', σελ. 452-455.

85. Φραντζῆς· σελ. 254.

86. Gyllii, De Bosporo Thracico· παρὰ Banduri, Imp. Orient. ἔκδ. 1729, σελ. 230β.

87. Πασχάλ. Χρον. σελ. 609.

88. Banduri, Imp. Or. σελ. 30 καὶ 485.

89. Λίθοι καὶ Κεράμια· σελ. ρκ'.

90. Mordtmann, Esquisse· σελ. 42, § 70.

γνώμην ἐὰν πιστεύσω τὸν ἱστοριογράφον Προκόπιον ἀξιοπιστότερον τῶν τε μυθολόγων καὶ τῶν παραδοξογράφων· ὁ Προκόπιος λέγει ῥητῶς[91] « τὰ μὲν οὖν τοῦ κόλπου τοῦ δὲ (τοῦ Κερατίου δῆλα δὴ) τοιαῦτά ἐστι . . . . τό τε γὰρ ἐν ἀριστερᾷ τοῦ κόλπου Λαυρεντίου ἁγίου μαρτύριον ἀφεγγές τε τὰ πρότερα ὂν καὶ σκότους ἀτεχνῶς ἔμπλεον μεθαρμοσάμενος εἰς τὸν νῦν φαινόμενον ἀνέθηκε τρόπον· καὶ *αὐτοῦ ἐπίπροσθεν* τὸν τῆς Θεοτόκου νεὼν ἐν χώρῳ καλουμένῳ Βλαχέρναις δεδημιούργηκε» κτλ. Περιττὸν ὅμως ὑπομνῆσαι τῷ πολυμαθεστάτῳ ἰατρῷ ὅτι αἱ Βλαχέρναι εἰσὶ πολὺ μακρὰν τοῦ Ἁγιᾶ-καπί.

Συμπεραίνω ὅτι ἡ σύναξις εἰσαχθεῖσα τὸ πρῶτον ἐν τῇ μονῇ τοῦ Δεξιοκράτους, μετετέθη κατόπιν εἰς τὴν μονὴν τοῦ Εὐεργέτου, καὶ κατὰ τὸν τελευταῖον αἰῶνα εἰς Ἁγιᾶ-καπί, ὅπου, τοῦ λειψάνου ἀποθησαυρισθέντος εἰς ξένον ναόν, ὁ λαὸς εἰς αὐτὸν ἐξ ἀμαθείας ἀπέδωκε τὸ ὄνομα ἁγίας Θεοδοσίας.

Ὁ ναὸς οὗτος, τὸ σήμερον Γκιοὺλ-τζαμὶ, φαίνεται ἐκ τῶν θεμελίων αὐτοῦ παλαιοτάτην ἔχων τὴν ἵδρυσιν. Βεβαίως ἄγνωστον εἰς τίνος ἁγίου τὸ ὄνομα ἐσεμνύνετο. Ἐπιγραφή τις ὅμως, ἀνακαλυφθεῖσα μὲν πρὸ πολλῶν ἐτῶν παρὰ τὸν ναὸν, ἄλλοτε δὲ σῳζομένη ἐν τῇ αὐλῇ τῆς ξυλίνης οἰκοδομῆς τοῦ παρθεναγωγείου τῆς συνοικίας Τζιβαλίου, φωτὸς ἀμυδρὸν ἐπιχέει μοι ἀκτῖνα· τὴν ἐπιγραφὴν εἶδον τῷ 1881, καθ' ὑπόδειξιν τοῦ γηραιοῦ διδασκάλου Σάββα Ἰωαννίδου, καὶ ταύτην μετέγραψα, συνίστορα ἔχων τὸν φίλον Ν. Β. Χρυσανθίδην τότε γενικὸν γραμματέα τῆς Μεσαιωνολογικῆς Ἑταιρίας· καὶ ἡ μὲν ἐπιγραφὴ, ἐπιτύμβιος μὲν οὖσα, Γόρδινον δὲ τόπον ἀναφέρουσα, ἔστιν αὕτη :



91. Προκοπίου, Περὶ κτισμάτων· σελ. 193. Ὁ Προκόπιος εἰσέρχεται εἰς τὸν Κεράτιον, περιγράφει τὰ ἀριστερᾷ τῷ εἰσιόντι κείμενα, μεταβαίνει ἀπέναντι, εἰς Γαλατᾶν, καὶ ἐκεῖθεν περιγράφει τὰ κατὰ τὸν Ἀνάπλουν· τὰ γραφόμενα δ' αὐτοῦ, σαφῆ ὄντα, οὐδεμίαν ἐπιτρέπουσι παρερμηνείαν.

92. Στουδίτου ἐπιστολαί· Migne, γθ', στ. 1345.

93. Esquisse topogr. σελ. 77β.

94. Labbei, Πρακτικὰ Συνόδων· τόμ. Δ', στ. 1024. Θεοφ. Α', σελ. 205 καὶ 219. Τὰ περὶ Δίου γράφονται κατὰ τὸ Μηνολόγιον καὶ τοὺς Συναξαριστάς.

ὄνομα δὲ τοιοῦτον ἦν γνωστὸν τοῖς βυζαντινοῖς ἐν ἀρχαῖς τοῦ Θ΄ αἰῶνος. Θεοδώρου Στουδίτου ἐπιστολὴν γινώσκομεν πεμπομένην *τῇ ἡγουμένῃ τῶν Γόρδινα*[92].

Λέγω ὅτι ὁ ἀρχαιότατος οὗτος βυζαντινὸς ναὸς, ὁ κοινῶς σήμερον λεγόμενος Ῥόδον Ἀμάραντον, ἦν ὁ ναὸς τῆς μονῆς τῶν Γόρδινα, ἢ Γόρδινον, ὑπάρχων ἐπὶ τῶν εἰκονομάχων.

§

19. Δίου τοῦ ὁσίου.

Μονάζων ἐν Ἀντιοχείᾳ τῆς Συρίας ἐπὶ Θεοδοσίου Α΄, ἦλθεν εἰς Κωνσταντινούπολιν καὶ ἔκτισε μονὴν δαπάναις τοῦ αὐτοκράτορος Θεοδοσίου, τοῦ μικροῦ, ὡς εἰκάζω. Ὁ πατριάρχης Ἀττικὸς (406-425) ἐχειροτόνησεν αὐτὸν ἱερέα. Ἀπέθανεν ἴσως μεταξὺ τῶν 425-430. Ἐκτενὴς αὐτοῦ βιογραφία φέρεται ἐν τῷ ὑπ' ἀριθμὸν 145 χαρτίνῳ χειρογράφῳ τοῦ ΙΣΤ' αἰῶνος τῆς ἐν Ἁγίῳ Ὄρει μονῆς Διονυσίου, ἀλλ' οὐδὲν πλέον τῶν παρὰ Συναξαρισταῖς καὶ τῷ Μηνολογίῳ λέγει. Οὔτε περὶ τῆς τοποθεσίας, ἐν ᾗ ἤγειρε τὴν μονὴν αὐτοῦ γράφει τι σαφές· ὥστε μένουσιν ἡμῖν ὁδηγοὶ οἱ παραδοξογράφοι, καθ' οὓς φαίνεται γειτων τῆς μονῆς τῆς Εἰκασίας ἡ μονὴ τοῦ Δίου, κειμένη ἐν Ὑψωμαθείοις, καὶ κατὰ τὸν ἰατρὸν Mordtmann, ὅπου σήμερον τὸ τέμενος Ἐτ-γεμέζ[93]· τοῦτο δ' ὡς εἰκασία βεβαίως λέγεται, οὐδεμιᾶς ὑπαρχούσης ἀποδείξεως.

Ἡ μονὴ τοῦ Δίου, μέγιστον ἔχουσα ναὸν, κατὰ τὸ Μηνολόγιον, ἀναφέρεται τὸ πρῶτον μὲν ἐν πρακτικῷ συνοδικῷ μικρῷ πρὸ τοῦ 451, ὑπὸ δὲ τῶν ἱστοριογράφων τῷ 488 ὡς μία τῶν ἐπισημοτέρων ἐν Κωνσταντινουπόλει μονῶν· τότε τοῦ πάπα Ῥώμης Φήλικος ὁ πρέσβυς, ὁ τὴν καθαίρεσιν Ἀκακίου τοῦ πατριάρχου κομίζων, τοὺς ἐν Ἀβύδῳ διαδρὰς φρουροὺς, ἦλθεν εἰς Κωνσταντινούπολιν, εἰς τὴν μονὴν ταύτην, ἧς οἱ μοναχοὶ κατὰ τὴν προσεχῆ κυριακὴν ἐπέδωκαν εἰς τὸν Ἀκάκιον ἐντὸς τοῦ ἱεροῦ βήματος τὴν ἐπιστολήν· ἀλλ' οἱ περὶ τὸν Ἀκάκιον « ἀνεῖλόν τινας τῶν ἐπιδεδωκότων μοναχῶν, ἄλλους δὲ καθεῖρξαν »[94]. Τὴν μονὴν

ταύτην τῷ 768 μετέβαλεν ὁ Κοπρώνυμος εἰς στρατῶνα [95]. Ἡ μονὴ τοῦ Δίου συγχέεται τῇ τοῦ Στουδίου· «τοῦ ἡγουμένου τῆς μονῆς τοῦ Στουδίου τελευτήσαντος, ἀπῆλθε Τιμόθεος ὁ ἐπίσκοπος εἰς τὸ μοναστήριον προβαλέσθαι ἐπίσκοπον· ὁ δὲ μέλλων χειροτονεῖσθαι εἶπεν αὐτῷ· ὡς οὐκ ἀνέχεται δέξασθαι χειροτονίαν ὑπ' ἀνδρὸς τὴν ἐν Χαλκηδόνι Σύνοδον ἀναθεματίζοντος» κτλ., ἔνθα ὁ Θεοφάνης οὐχὶ μονῆς *Στουδίου*, ἀλλὰ μονῆς *τοῦ Δίου* γράφει [96].

Ἐξ ἐπιγράμματος δὲ Θεοδώρου τοῦ Στουδίτου εἰς τὸν ἅγιον Δῖον, τούτου

> Ταῖς λαμπρότησι τῶν θεαυγῶν σου τρόπων
> ἐκ τῆς Ἑῴας φαιδρὸς ἀστὴρ ἐκθέεις
> καὶ φωτίσας ἄριστα τὴν Βυζαντίδα
> πρῶτος μοναστῶν ποιμνιαρχεῖς ἀξίως [97]

ἄγομαι 'να πιστεύσω ὅτι πρῶτος ἐν Κωνσταντινουπόλει μονὴν ἀνδρείαν ὁ ὅσιος Δῖος συνέστησεν.

ꕥ

20. Ἡ εἰς οὐρανοὺς πυρφόρος ἀνάβασις Ἠλιοὺ τοῦ προφήτου.

Κατὰ δὲ τὸ 426 Εὐαγγέλιον

Τῶν ἁγίων προφητῶν Ἠλιοὺ καὶ Ἐλισσαίου·

καὶ κατ' ἀρχαιότερον

Τῶν ἁγίων προφητῶν Ἠλιοὺ, Μωϋσέως καὶ Ἀαρών [98].

Ἡ μηλωτὴ τοῦ προφήτου Ἠλιοὺ ἐσῴζετο μέχρι τοῦ ΙΑ' αἰῶνος εἰς τὸν ναὸν αὐτοῦ ἐν τῷ παλατίῳ, ὅπου προέλευσις ἐγίνετο τῇ 20 ἰουλίου· ὁ ἑσπερινὸς τῆς ἑορτῆς ἐψάλλετο ἐν τῷ ναῷ τῆς Θεοτόκου τοῦ Φάρου, ἐν ᾧ ἡ λιτὴ ἀρχομένη συνεπληροῦτο εἰς τὴν Νέαν Ἐκκλησίαν, ὅπου ἐγίνετο ἡ λειτουργία [99].

Ναοὶ ἐπ' ὀνόματι τοῦ προφήτου Ἠλιοὺ ἀναφέρονται 1) ὁ ἐν τῷ Πετρίῳ, πρὸ τοῦ Θ' αἰῶνος ὑπάρχων, καὶ, ὡς φαίνεται, μικρὸς διότι λέγεται πιεζόμενος τῇ συνοχῇ γειτονευουσῶν ἰδιωτικῶν οἰκιῶν· ἐπεσκεύασεν αὐτὸν ὁ Μακεδὼν Βασίλειος· 2) ὁ ἐν τῷ παλατίῳ, εὐκτήριον ὢν τῆς Νέας Ἐκκλησίας, ὅπερ ἔκειτο κατὰ τὸ ἀνατολικὸν μέρος τῶν ἀνακτόρων, τὴν ὀροφὴν ἔχον ἐξειργασμένην ἐκ χρυσοῦ καὶ ψηφίδων, αἵτινες ὑπὸ τῆς ὑγρασίας διαφθαρεῖσαι μόλις ἐσῴζοντο κατὰ τὰ μέσα τοῦ Ι' αἰῶνος [100]. 3) ὁ ἐν τῷ παλατίῳ τῶν Πηγῶν, οἰκοδομηθεὶς καὶ αὐτὸς ὑπὸ τοῦ Μακεδόνος [101]·—4) ὁ ἐν τῷ παλατίῳ τῶν Ἱερείας (Φενὲρ-μπαγτσὲ) κτισθεὶς καὶ οὗτος ὑπ' αὐτοῦ [102]

> . . . . . Ἡλίᾳ τῷ Θεσβίτῃ,
> ὃν ἐξόχως ἦν καὶ τιμῶν καὶ σεμνύνων
> πομπαῖς, ἑορταῖς δαψιλαῖς ταῖς δι' ἔτους [103].

5) ὁ ἐπὶ τοῦ ὄρους τῆς Χρυσοπόλεως=Ὄρους Ἠλιοὺ, ἔχων παρ' αὐτῷ μονὴν τῷ 956 σῳζομένην, διότι μοναχὸς αὐτῆς ἦν ὁ τότε ἐκλεγεὶς πατριάρχης Πολύευκτος [104]· 6) ὁ ἐν τῇ μονῇ τοῦ Βαθέως Ῥύακος, κτισθεὶς ἐπὶ Νικηφόρου τοῦ Φωκᾶ (963-969) ὑπὸ Ἰγνατίου δευτέρου ἡγουμένου τῆς μονῆς ταύτης, ἥτις ἀναφέρεται τιμωμένη ἐπ' ὀνόματι τοῦ Σωτῆρος, διάφορος, ὡς ἔοικεν, οὖσα τῆς τοῦ ἁγίου Θεοδώρου· τὸ δὲ φερόμενον ἐν τῷ Συναξαριστῇ ὅτι ἐτιμᾶτο ἐπ' ὀνόματι τοῦ προφήτου Ἠλιού ἐστιν ἐσφαλμένον, διότι ἐν βιογραφίᾳ μὲν Ἰγνατίου [105] γράφονται σαφῶς τὰ περὶ τούτου, τὸ δὲ παρὰ Μαργουνίῳ Συναξάριον ἀναφέρει τῇ 18 ἰανουαρίου «ἐγκαίνια τοῦ προφήτου Ἠλιοὺ τῆς μονῆς τοῦ Βαθέος Ῥύακος», ἤτοι ναοῦ ἀνήκοντος τῇ μονῇ καὶ κειμένου παρ' αὐτὴν ἢ ἐν αὐτῇ.

* * *

20. Τῇ αὐτῇ ἡμέρᾳ τελοῦνται τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς εὐαγεστάτης μονῆς τοῦ Στουδίου τοῦ τιμίου Προδρόμου [106].

ꕥ

21. Φωκᾶ τοῦ νέου. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἔνδον τοῦ ἁγίου ναοῦ τοῦ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, πλησίον τῆς μεγάλης ἐκκλησίας [107].

95. Θεοφ. Α', σελ. 685.

96. Θεοδ. Ἀναγν. Ἐκκλησ. Ἱστορ. Β', 33· ὁ δὲ ἐπίσκοπος Τιμόθεός ἐστιν ὁ πατριάρχης Κωνσταντινουπόλεως (511-518)· ἄπορον δέ μοί ἐστιν εἴπερ ἐγράφη κατὰ λάθος περὶ τῆς τοῦ Στουδίου μονῆς ἡ λέξις ἐπίσκοπος, ἢ βαθμὸν εἶχεν ἐπισκόπου ὁ τῆς μονῆς Στουδίου (ἢ τοῦ Δίου) ἡγούμενος.

97. Στουδίτου τὰ εὑρισκόμενα· Migne, γθ', 1801.

98. Morcelli, Kalendar. Β', σελ. 169. Παρ' ἡμῖν ἡ μνήμη Ἀαρὼν τῇ κυριακῇ τῶν ἁγίων Προπατόρων.

99. Πορφυρογ. Ἔκθ. σελ. 117, 776 καὶ 777.

100. Theoph. Contin. σελ. 325, 329-330.

101. αὐτόθι· σελ. 337.

102. ἐν τῇ αὐτῇ σελίδι τοῦ αὐτοῦ τόμου.

103. Ἐφραίμιος· στίχ. 2581-83.

104. Ἱεροσλμ. Βιβλιοθ. τόμ. Α', σελ. 92.

105. Ἴδε εἰς τὴν 27 σεπτεμβρίου.

106. ἡ μνήμη τῶν ἐγκαινίων παρὰ Νικοδήμῳ.

107. ἡ μνήμη παρὰ τῷ Λαυριωτικῷ Δ39 Συναξαριστῇ. Βλ. καὶ εἰς τὴν 22 σεπτεμβρίου καὶ περὶ ἑτέρου Φωκᾶ.

* * *

21. Ἡ σύναξις τοῦ Ἁγίου μάρτυρος Ἀκακίου ἐν τῷ Ἑπτασκάλῳ.

Ἀναφέρεται παρὰ Νικοδήμῳ καὶ φρονῶ ὅτι ἐτελεῖτο πρὸς ἀνάμνησιν τῶν ἐγκαινίων, ἢ θαύματός τινος ἐν τῷ ναῷ γενομένου. Τοῦτ' αὐτὸ λέγω καὶ περὶ τῶν ἑπομένων δύο συνάξεων.

* * *

21. Ἡ σύναξις τοῦ Ἁγίου Ἐλευθερίου πλησίον τοῦ Ξηρολόφου.

(βλέπε εἰς τὴν 15 δεκεμβρίου).

* * *

21. Ἡ σύναξις τῆς Ὑπεραγίας Θεοτόκου ἐν τοῖς Ἁρματίου.

(βλέπε καὶ εἰς τὴν 17 αὐγούστου).

ꕥ

22. Μαρίας μυροφόρου τῆς Μαγδαληνῆς. Ἡ σύναξις ἐν τῇ ὑπὸ τοῦ βασιλέως Λέοντος (Σοφοῦ) συστάσῃ μονῇ τοῦ ἁγίου Λαζάρου, καὶ ἐν τοῖς Κουράτορος πλησίον τοῦ Ταύρου.

Βλέπε ὅσα ἐγράφησαν τῇ 4 μαίου. Τὰ δὲ περὶ συνάξεων ἐνταῦθα γράφονται κατὰ τὸ Μηναῖον. Ἴσως πλησίον τοῦ Ταύρου ὑπῆρχεν εὐκτήριον τιμώμενον ἐπ' ὀνόματι Μαγδαληνῆς τῆς μυροφόρου, ἢ ἡ σύναξις αὐτῆς ἐτελεῖτο ἐν τῷ τῆς Θεοτόκου αὐτόθι ναῷ [108].

ꕥ

23. Φωκᾶ ἱερομάρτυρος νέου τοῦ ἐκ Σινώπης, ἤτοι ἀνακομιδὴ τοῦ λειψάνου αὐτοῦ.

Τὸ λεγόμενον Βασιλειανὸν ἀναφέρει τῇ 23 ἰουλίου τὴν ἄθλησιν Φωκᾶ τοῦ ἱερομάρτυρος· ὁ Νικόδημος τὴν ἀνακομιδήν.

* * *

23. Ἡ σύναξις τοῦ προφήτου καὶ βαπτιστοῦ Ἰωάννου ἐν τοῖς Ὀλύμπου πλησίον τοῦ Ἁγίου Θωμᾶ.

Ἐπειδὴ ναοὺς τοῦ ἁγίου ἀποστόλου Θωμᾶ γινώσκομεν τέσσαρας ἢ πέντε, ἄγνωστον παρά τίνι τούτων ἔκειτο ὁ ναὸς οὗτος τοῦ τιμίου Προδρόμου· ἐπειδὴ δ' ἔστι πιθανὸν ὅτι τῶν εἴκοσι ναῶν τοῦ Προδρόμου, τῶν ἀπαριθμηθέντων ἤδη, ὁ ζ', ὁ ι', ὁ ιδ', ὁ ιστ', ὁ ιζ' καὶ ὁ κ' οὐκ ἀναφέρονται παρὰ τοῖς Συναξαρισταῖς καὶ τοῖς Μηναίοις, ἴσως ἐστὶν εἷς τούτων ὁ τῇ 23 ἰουλίου πανηγυρίζων· διὸ οὐδ' ἐσημειώθη ἐν ἀναγραφῇ τῶν τοῦ Βαπτιστοῦ ναῶν.

* * *

23. Σωσάννης τῆς ἐν τῷ Λευκάτῃ·

Ἄννης παρὰ Νικοδήμῳ. Ἤκμασεν ἐπὶ Θεοφίλου, παρέτεινε δὲ τὸ ζῆν ἄχρι Βασιλείου τοῦ Μακεδόνος, ἐπ' ἀρεταῖς διαλάμπουσα, μονάζουσα δ' ἔν τινι ναῷ τῆς Θεοτόκου, βεβαίως ἐν Λευκάτῃ, περὶ οὗ ἐλέχθησαν ὅσα γνωστά.

ꕥ

24. Χρηστίνης μάρτυρος. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῆς μαρτυρείῳ, τῷ ὄντι ἐν τῷ νέῳ παλατίῳ, καὶ ἐν Νύμφαις ταῖς μεγάλαις, καὶ ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Τρύφωνος πλησίον τῆς Ἁγίας Εἰρήνης τῆς ἀρχαίας καὶ νέας.

Ἤθλησεν ἐπὶ Σευήρου ἐν Τύρῳ.

Ναὸς τῆς ἁγίας Χρηστίνης ἦν ἐν τῷ παλατίῳ· διότι γινώσκομεν Κοχλιὸν ἢ Καταβάσιον Ἁγίας Χρηστίνης ἐν τῷ παλατίῳ [109]· φαίνεται δ' ὅτι καὶ ἕτερος ναὸς ὑπῆρχε καὶ ἐν μεγάλαις Νύμφαις, ὧν τὸν τόπον ἀγνοῶ που δέον 'να ζητήσωμεν. Ἐκ τῶν ἔξω τῆς Κωνσταντινουπόλεως χωρίων, αἱ Νύμφαι διασώσασαι τὸ ὄνομα αὐτῶν μέχρι σήμερον δεικνύουσιν ἔτι τὰ λείψανα τοῦ παλαιοῦ τείχους αὐτῶν. Ἡ πρώτη μνεία τοῦ χωρίου γίνεται τῷ 559 κατὰ τὴν ἐπὶ τὰς Νύμφας ἐπιδρομὴν Οὔνων καὶ Σκλάβων [110], ἀλλὰ τὸ χωρίον ἁπλῶς Νύμφαι καλεῖται, οὐχὶ δὲ μεγάλαι· ἐν τούτοις, ἐν αὐτῷ τῷ χωρίῳ πρό τινων ἐτῶν ἀνευρέθησαν λείψανα ἀρχαίου ναοῦ, μάρμαρα τεκμηριοῦντα τὴν ὕπαρξιν ναοῦ βυζαντινοῦ κατὰ τὸν Θ'-Ι' αἰῶνα· καὶ τὸ μὲν ἓν φέρει μονόγραμμα δεικνύον, κατ' ἐμὲ, τὴν ὕπαρξιν ναοῦ ἁγίου Τρύφωνος, τὸ δὲ ἕτερον δηλοῖ τὴν ὑπὸ Μαριας τινὸς οἰκοδομὴν ἢ ἀνακαινισιν τοῦ ναοῦ τούτου, ἔχον ὧδε

108. Ἴδε εἰς τὴν 7 δεκεμβρίου.

109. Πασπάτη, Βυζαντ. ἀνάκτορα· σελ. 320.

110. Θεοφ. τόμ. Α', σελ. 360.



25. Ἡ κοίμησις τῆς ἁγίας Ἄννης μητρὸς τῆς Θεοτόκου. Ἡ σύναξις ἐν τῷ Δευτέρῳ.

Ναοὶ τῆς ἁγίας Ἄννης ἦσαν ἐπὶ βυζαντινῶν γνωστοὶ 1) ὁ ἐν τῷ Δευτέρῳ, κείμενος κατὰ τὸ μεταξὺ τῶν τῆς σήμερον πυλῶν Μεβλεβιχανὲ καὶ Τὸπ-καπὶ διάστημα, οἰκοδομηθεὶς ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ τὸ πρῶτον, ἱεροπρεπὴς καὶ ἀγαστὸς ὅλως[111], εὐπρεπέστερος δ' ἀνακαινισθεὶς ὑπὸ Βασιλείου τοῦ Μακεδόνος, ἅτε βεβλαμμένος τὸ πρότερον[112]· ὁ ναὸς οὗτος ἀναφέρεται σῳζόμενος ἐν ἀρχαῖς τοῦ ΙΒ' αἰῶνος[113]· — 2) ὁ ἐν τῷ παλατίῳ, εὐκτήριον κτισθὲν ὑπὸ Λέοντος Σοφοῦ[114]· — 3) ὁ ἐν Γαλατᾷ, περὶ οὗ οὐδὲν γινώσκομεν πλὴν τοῦ ὀνόματος[115]· — πρόσθες, εἰ βούλῃ, τούτοις καὶ τὸν ὑπὸ τῆς Θεοδώρας συζύγου Θεοφίλου κτισθέντα, κατὰ τοὺς παραδοξογράφους[116], ὅστις ὅμως ἴσως ἐστὶν ὁ ἐν τῷ Δευτέρῳ, ἴσως ἕτερος.

Τὸ λείψανον τῆς ἁγίας Ἄννης ἐσῴζετο ἐν τῷ ναῷ αὐτῆς τῷ ἐν τῷ Δευτέρῳ[117].

* * *

25. Ἀνάμνησις τῶν ἁγίων ΡΞΕ' Πατέρων ἡμῶν, τῶν ἐν τῇ Ε' Συνόδῳ συνελθόντων, κατὰ τὸ Βασιλειανόν· κατὰ δὲ τὸ Μηναῖον, καὶ τὰ Ὠριγένους δόγματα καθελόντων.

* * *

25. Ὀλυμπιάδος τῆς διακόνου.

Θυγάτηρ Ἀκούνδου τοῦ κόμητος, ἐγγονὴ δ' Ἀβλαβίου τοῦ ἐπάρχου, ἤκμασεν ἐπὶ Ἀρκαδίου· τὸν τοῦ γάμου ζυγὸν ὑποδῦσα, στερηθεῖσα δ' ὅμως εὐθὺς τοῦ συζύγου, « παρθένος ἅμα καὶ χήρα διέμεινε »[118]. Νεκτάριος ὁ πατριάρχης (381-397) ἐχειροτόνησεν αὐτὴν διάκονον. Ὀπαδὸς οὖσα τοῦ Χρυσοστόμου καὶ βιαζομένη ἵνα συμφρονήσῃ τοῖς διώκταις τοῦ θείου πατρός, ἀνεχώρησεν εἰς Κύζικον, εἶτα δ' ὑπερόριος ἀπεστάλη εἰς Νικομήδειαν, ἔτη τινὰ ζήσασα, καὶ αὐτόθι θανοῦσα. Δαπανῶσα τὸν πλοῦτον αὐτῆς εἰς ἀναρύσεις αἰχμαλώτων, ἔστελλε καὶ τῷ Χρυσοστόμῳ χρήματα διὰ σκοπὸν ὅμοιον. Τὸ ἐν Κωνσταντινουπόλει συστηθὲν ὑπ' αὐτῆς μοναστήριον ἐνεπίστευσε Μαρίνῃ τῇ συγγενεῖ αὐτῆς ἐφ' ὅρῳ τοῦ τηρηθῆναι τὸ τυπικὸν τῆς μονῆς ἀμετάβλητον. Τὸ μοναστήριον ἔκειτο πλησίον τῶν ναῶν Ἁγίας Εἰρήνης καὶ Ἁγίας Σοφίας· καταστραφὲν ἐν πυρκαϊᾷ τῷ 532 ἀνῳκοδομήθη μετά τινα ἔτη ἐπὶ τῆς ἡγουμενείας Σεργίας, τῆς καὶ τὴν βιογραφίαν γραψάσης τῆς μακαρίας Ὀλυμπιάδος. Μετὰ θάνατον τῆς Ὀλυμπιάδος ἐν Νικομηδείᾳ, ὁ μητροπολίτης λαβὼν τὸ λείψανον αὐτῆς ἔθηκεν, ἐκ θείας ἐμφανείας, ἐν κιβωτίῳ, καὶ ἔρριψεν εἰς τὴν θάλασσαν, τὰ δὲ κύματα ἤγαγον τὸ λείψανον εἰς τὴν παραλίαν, ἐν ᾗ ναὸς ἦν ἱδρυμένος εἰς τὸν ἅγιον ἀπόστολον Θωμᾶν· « Βρόχθοι ἐγχωρίως ὁ τόπος ὠνόμασται ». Τοῦ ναοῦ πυρὶ διαφθαρέντος ἐν ἐπιδρομῇ τινι, τὰ λείψανα ἐρρίφθησαν εἰς τὴν θάλασσαν, ἀλλ' εὐδοκίᾳ θείᾳ τὸ μέρος, εἰς ὃ ἔκειντο, φανερὸν ἦν· ὅθεν ὁ πατριάρχης Σέργιος ἔπεμψεν Ἰωάννην τὸν πρεσβύτερον, ὅστις ἀνευρὼν καὶ συλλέξας ἀπέθηκε καὶ πάλιν ἐν τῇ μονῇ τῆς ὁσίας Ὀλυμπιάδος, ἀνοικοδομηθείσῃ καὶ πάλιν κατὰ τὸν μεταξὺ Ἁγίας Εἰρήνης καὶ Ἁγίας Σοφίας χῶρον[119]. — Ἆρα πλησίον τοῦ ξενῶνος τοῦ Σαμψών.

111. Προκοπίου, Περὶ κτισμάτων· σελ. 185.
112. Theoph. Contin. σελ. 324.
113. Migne· τόμ. PKZ', στ. 1117.
114. Πασπάτη, Βυζαντινὰ ἀνάκτορα· σελ. 205.
115. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Β', σ. 54.
116. Banduri, Imper. Orient. σελ. 27.
117. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Α', σ. 343.

118. ταῦτα τὰ ὀλίγα κατὰ τὸ Βασιλειανόν.
119. Ἑρμείας Σωζόμενος, Η, Σ', κδ'. Παλλαδίου, βίος Χρυσοστόμου· κεφ. ιζ'. Μεταφραστοῦ, βίος Χρυσοστόμου· § μθ'. Migne, τόμ. PIΔ', 1184. Νικηφ. Κάλλ. ΙΓ', κδ'.

Καὶ ταῦτα μὲν αἱ γνωσταὶ πηγαὶ γράφουσι περὶ τῆς ὁσίας Ὀλυμπιάδος. Ἐν δὲ τῷ ὑπ' ἀριθμὸν 1453 μεμβρανίνῳ χειρογράφῳ τῆς Ἐθνικῆς Βιβλιοθήκης τῶν Παρισίων, γεγραμμένῳ περὶ τὰ τέλη τοῦ ΙΒ' αἰῶνος, ἐπὶ μάρτυρι δοκιμωτάτῳ, τῷ πολυμαθεῖ διδάκτορι καὶ πρεσβυτέρῳ ἴσα δὲ πατρὶ τιμωμένῳ μοι Emmanuel Auvray, λειτουργῷ τῆς Ῥοθομαγησίας Ἐκκλησίας (Rouen), ᾧ ὀφείλω τὴν μελέτην καὶ γνῶσιν τοῦ χειρογράφου, ἀναγινώσκονται δύο κείμενα, εἴς τε τὸν βίον καὶ τὰς μονὰς τῆς ὁσίας Ὀλυμπιάδος ἀναφερόμενα· τὸ πρῶτον ἐκ τούτων, ἐκτεινόμενον ἀπὸ τοῦ τέλους τοῦ φύλλου 200β2-207α2, ἐστὶ « βίος καὶ πολιτεία καὶ πρᾶξις »· τὸ δεύτερον, ὃν αὐτὸ τοῦτο, ὅπερ εἶχεν ὑπ' ὄψιν ὁ χρονογράφος Νικηφόρος Κάλλιστος, ἐπιγράφεται « Διήγησις τῆς ὁσίας καὶ θεοφιλεστάτης ἡγουμένης Σεργίας εἰς τὴν ὁσίαν Ὀλυμπιάδα », καὶ διήκει ἀπὸ φύλλου 210α2-214β2. Καὶ καλὸν μὲν εἴπερ ἐξεδίδοντο παρ' ἡμῖν τὰ δύο ταῦτα ἱστορικὰ μνημεῖα, καίπερ τοῦ πρώτου τούτων οὐχὶ πολλὰ προστιθέντος εἰς ὅσα γινώσκομεν· ἐπειδὴ δ' ὅμως ὁ αἰδεσιμώτατος πατὴρ Hippolyte Delahaye, ὁ ἐν Ῥώμῃ πολυμαθὴς βολλανδιστής, ἐκδίδωσι προσεχῶς αὐτὸν ἐν τοῖς χρησιμωτάτοις « Βολλανδιανοῖς Ἀναλέκτοις », ἐγὼ τεμάχιά τινα τούτων τῶν κειμένων ἐκδίδωμι. Τὸ πρῶτον ἐξ αὐτῶν μανθάνει ἡμᾶς ὅτι πατὴρ τῆς Ὀλυμπιάδος ἐγένετο Σέλευκος ὁ ἀπὸ κομήτων, καὶ σύζυγος Νευρίδιος ὁ τῆς Κωνσταντινουπόλεως ἔπαρχος, οὗ διάδοχος τοῦ λειτουργήματος τούτου Κλημέντιος ἦν, ὡς ἔοικεν. Ἡ Ὀλυμπιὰς (201α1) « καὶ γένει, καὶ πλούτῳ, καὶ παιδείᾳ μαθημάτων πολυτελῶν, καὶ εὐφυΐᾳ φύσεως καὶ ἄνθους ὥρᾳ κεκοσμημένη, δορκάδος δίκην τοῦ δευτέρου γάμου τὴν παγίδα ἀνεκτῶς ὑπερπηδήσασα . . . . (201α2) συκοφαντηθείσης αὐτῆς παρὰ τῷ βασιλεῖ Θεοδοσίῳ, ὡς ἀτάκτως σκορπιζούσης τὴν οὐσίαν αὐτῆς, ἐπειδὴ συγγενὴς αὐτοῦ ὑπῆρχε, σπουδὴ γέγονε παρ' αὐτοῦ ἐφ' ᾧ συνάψῃ αὐτὴν χάριν γάμου Ἐλπιδίῳ τινὶ σπάνῳ* συγγενεῖ αὐτοῦ τοῦ βασιλέως· καὶ πολλὰ λιπαρήσας τὸν** ἄνθρωπον, ἀποτυχὼν ἐλυπήθη ». Ἀφεθεῖσα δ' ἀνεπηρέαστος ἡ Ὀλυμπιὰς ὑπὸ Θεοδοσίου, (202β1) « πάνυ συνετῶς καὶ εἰλικρινῶς ἑπομένη τοῖς θεοπνεύστοις διδάγμασι τοῦ ἁγιωτάτου τῆς αὐτῆς ἁγίας Ἐκκλησίας ἀρχιεπισκόπου Ἰωάννου, δίδωσιν αὐτῷ ὑπὲρ τῆς αὐτῆς ἁγίας Ἐκκλησίας, μιμουμένη καὶ ἐν τούτῳ ἐκείνους τοὺς διαπύρους τοῦ Χριστοῦ ἐραστάς, χρυσίου λίτρας μυρίας, ἀργυρίου λίτρας δισμυρίας, καὶ πάσας τὰς προσηκούσας αὐτῇ ἀκινήτους κτήσεις, τάς τε κατὰ τὴν Θρᾴκην καὶ Γαλατίαν καὶ τὴν πρώτην Καππαδοκίαν καὶ Βιθυνίαν διακειμένας· ἔτι γε μὴν καὶ τὰς διαφερούσας αὐτῇ οἰκίας τὰς ἐν τῇ βασιλευούσῃ πόλει· τήν τε πλησιάζουσαν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τὴν ἐπιλεγομένην Τῶν Ὀλυμπιάδος σὺν τοῦ Τριβουναρίου καὶ τοῦ τελείου λοετροῦ· καὶ πάντων τῶν παρακειμένων αὐτῷ οἰκημάτων καὶ τοῦ σιλιγναρίου· τήν τε πλησίον τοῦ (202β2) δημοσίου λοετροῦ Κωνσταντιανῶν ὑπάρχουσαν αὐτῇ οἰκίαν, ἐν ᾗ καὶ κατέμενε· καὶ τὴν ἑτέραν δὲ αὐτῆς οἰκίαν τὴν ἐπονομαζομένην Τῶν Εὐάνδρου* καὶ τὰ προάστεια αὐτῆς πάντα. Τῇ οὖν θείᾳ βουλήσει, χειροτονεῖται διάκονος τῆς αὐτῆς ἁγίας τοῦ Θεοῦ μεγάλης ἐκκλησίας. Καὶ κτίζει μοναστήριον εἰς τὸν μεσημβρινὸν αὐτῆς ἔμβολον· πάντα γὰρ τὰ οἰκήματα τὰ παρακείμενα τῇ ἁγίᾳ ἐκκλησίᾳ, καὶ πάντα τὰ ἐργαστήρια τὰ εἰς τὸν λεγόμενον μεσημβρινὸν ἔμβολον ὄντα, αὐτῇ διέφερον· καὶ ποιεῖ τὴν ἄνοδον τοῦ αὐτοῦ μοναστηρίου εἰς τὸν νάρθηκα τῆς ἁγίας ἐκκλησίας· καὶ κατὰ πρώτην μὲν τάξιν ἀποκλείει ἐν αὐτῷ τὰς ἑαυτῆς κουβικουλαρίας τὸν ἀριθμὸν πεντήκοντα· τὰς πάσας ἐν ἁγνείᾳ καὶ παρθενίᾳ βιωσάσας». Καὶ ταῦτα μὲν, δηλοῦντα τὸν πλοῦτον αὐτῆς, εἰσὶ χρήσιμα τοῖς περὶ τὴν βυζαντινὴν τοπογραφίαν ἀσχολουμένοις, ἐκδίδονται δ' ἐνταῦθα χάριν αὐτῶν. Προστεθείσθω δ' ὅτι, ἀποκείρασα μοναχὰς τὰς συγγενεῖς αὐτῆς Ἐλισανθίαν, Μαρτυρίαν καὶ Παλλαδίαν οὖσας ἀδελφὰς. καὶ τὴν ἀδελφόπαιδα αὐτῆς Ὀλυμπίαν, ἡ Ὀλυμπιὰς εἰς Νικομήδειαν ἐξορισθεῖσα, μετὰ τὴν ἐξορίαν Ἰωάννου τοῦ Χρυσοστόμου (τῷ 404) ἡγούμενον τῆς μονῆς ἔλιπε *τὴν ἐν ἁγίοις ἐν θείᾳ τῇ λήξει Μαρίναν* τὴν αὐτῆς συγγενῆ καὶ πνευματικὴν θυγατέρα, (204α2) « ἣν ἐκ τοῦ ἀχράντου καὶ σωτηριώδους βαπτίσματος ἀνεδέξατο »· αὐτῆς δὲ θανούσης, (205α2) « προχειρίζεται ἡ-

* δῆλον οὖν Ἱσπανῷ· Σπάνους γράφουσι τοὺς Ἱσπανοὺς καὶ παλαιότερα χειρόγραφα.

** προδήλως *τὴν ἄνθρωπον*.

* οὐ φαίνεταί μοι περίεργον ὅτι τὸ κτῆμα τοῦτο περιῆλθεν εἰς τὴν κυριότητα Πέτρου τοῦ πατρικίου κατὰ τὸν Η' αἰῶνα· ὥστε τῆς μονῆς ἀπὸ τοῦ Ζ' αἰῶνος ἐλαττωθείσης, ἐπωλοῦντο τὰ κτήματα.

γουμένη ἡ εἰρημένη θεοφιλεστάτη Ἐλισανθία ἡ διάκονος, ἡ αὐτῆς συγγενὴς, ἀπαράλλακτον πάντα τὸν κανόνα, ὃν παρέλαβεν ὑπὸ τῆς ὁσίας καὶ μακαρίας ἐκείνης ψυχῆς, καὶ πάσας τὰς ἀρετὰς αὐτῆς βαδίσασα». Τέλος, ἐκ τοῦ πρώτου τῶν μνημείων τούτων μανθάνομεν ὅτι ἡ Ὀλυμπιὰς ἀπεβίωσε (205 α 1) «μηνὶ ἰουλίῳ εἰκάδι πέμπτῃ, ἐπὶ τῆς βασιλείας Ἀρκαδίου τοῦ θειοτάτου καὶ εὐσεβεστάτου»· δῆλα δὴ μεταξὺ τῶν ἐτῶν 405-408, μόλις ἴσως πεντηκοντοῦτις, ὡς ἐκ τῆς βιογραφίας ἐξάγομεν.

Τὸ δεύτερον τῶν κειμένων ἐκτίθησι τὴν **ἱστορίαν τῆς μονῆς τῆς ὁσίας Ὀλυμπιάδος,** ἀφορῶν ἰδίως εἰς τὴν βυζαντινὴν τοπογραφίαν, τούτου δὲ παρατίθημι διὰ τὸν λόγον τοῦτον τὰ κυριώτερα τεμάχη:

210 b 1 «ἡ σύστασις καὶ ἡ κτισθεῖσα μονὴ ὑπὸ τῆς ὁσίας καὶ ἀξιομνημονεύτου Ὀλυμπιάδος, ἔτι δὲ καὶ ὁ κανὼν αὐτῆς ἐκεῖνος ὁ ἔνθεος καὶ ἄπαυστος καὶ ἐνάρετος μέχρι τοῦ Νίκα τοῦ γενομένου ἐπὶ τῆς βασιλείας τοῦ ἐν ἁγίοις Ἰουστινιανοῦ ἐκράτει ἀπαραλείπτως· γενομένης δὲ ἐξ ἁμαρτιῶν τῆς πυρκαϊᾶς, ὡς εἴρηται, ἐπὶ τοῦ Νίκα, καὶ καυθείσης τῆς μεγάλης ἐκκλησίας, τότε καὶ ἡ εἰρημένη μονὴ τῆς ἁγίας καὶ ὁσίας Ὀλυμπιάδος, ὡς προσπαρακειμένη, σὺν αὐτῇ ἑκάη*, καὶ ἀπῆλθον πάντα μετὰ πάντων ἐν αὐτῇ τῇ πυρκαϊᾷ. καὶ λοιπὸν ἐκ τῆς (210 b 2) ἀνάγκης ἐκείνης καὶ τῆς σφοδρᾶς περιστάσεως πᾶσαι αἱ κατοικοῦσαι ψυχαὶ ἐν τῇ εἰρημένῃ αὐτῆς μονῇ γυμναὶ ἐξέφυγον, καὶ ἀπῆλθον εἰς τὸν Ἅγιον Μηνᾶν, κἀκεῖ ᾤκησαν ἐπὶ ἑξαετῆ χρόνον**, διὰ τὸ πλησιάζειν τῷ Ἁγίῳ Μηνᾷ τὴν οἰκίαν τὴν ἐπιλεγομένην τῶν Μαγγάνων † καὶ τὸ μαγκιπεῖον αὐτῆς, καὶ ἐκ τούτου ἔχειν αὐτὰς μικρὰν παραμυθίαν τῆς χρείας, ὡς καὶ ἀνήκουσαν μέχρι τοῦ παρόντος τὴν αὐτὴν οἰκίαν τῇ πολλάκις μνημονευθείσῃ μονῇ τῆς ὁσίας Ὀλυμπιάδος. Μετὰ δὲ τὴν πυρκαϊὰν ἐκείνην, λοιπὸν ἐκτίσθη ἡ ἁγία καὶ πάνσεμνος μεγάλη ἐκκλησία ὑπὸ τοῦ ἐν ἁγίοις Ἰουστινιανοῦ· ὁμοίως δὲ καὶ ἡ νυνὶ περιοῦσα μονὴ τῆς ἁγίας καὶ ὁσίας Ὀλυμπιάδος· ἥτις μονὴ καὶ μέχρι τοῦ παρόντος, ὡς πάντες ἐπίστασθε, Τὰ Ὀλυμπιάδος ὀνομάζεται . . . . Λοιπὸν μετὰ τὸ κτισθῆναι τὸ εἰρημένον μοναστήριον ὑπὸ τοῦ ἐν ἁγίοις Ἰουστινιανοῦ, πάλιν ἀπεκατέστησε πάσας τὰς ψυχὰς ἐκείνας ἀπὸ τοῦ Ἁγίου Μηνᾶ εἰς τὸ ἴδιον μοναστήριον, δωρησάμενος τῷ αὐτῷ μοναστηρίῳ καὶ τρεῖς οὐγγίας ὕδατος ἡμερησίας, καὶ ἄρτους πολιτικοὺς, καὶ κειμήλια· πάντα γὰρ μετὰ πάντων τὰ πρῶτα, ὡς εἴρηται, ἡ πυρκαϊὰ ἀνάλωσεν· ἐποίησε δὲ τὰ ἐγκαίνια τῆς μεγάλης ἐκκλησίας ὁ ἐν ἁγίοις Ἰουστινιανὸς τῇ παραμονῇ τῆς ἁγίας καὶ πανενδόξου γέννης τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ, καὶ τῇ ἐπαύριον, τοὐτέστιν ἐν αὐτῇ (211 a 2) τῇ πανσέπτῳ ἑορτῇ τῆς ἁγίας Χριστοῦ γέννης, ἐποίησε τὰ ἐγκαίνια τοῦ μοναστηρίου τῆς ὁσίας καὶ δικαίας Ὀλυμπιάδος . . . . . μετὰ δὲ χρόνους τινὰς κατὰ συγχώρησιν Θεοῦ διαδεξαμένης τὴν ἡγουμενίαν ἐμοῦ τῆς ἁμαρτωλοῦ καὶ ἀναξίας Σεργίας τοῦ αὐτοῦ μοναστηρίου, καὶ γεναμένης ἐπιδρομῆς . . . . . , ἐκάη τὸ μοναστήριον τοῦ ἁγίου Θωμᾶ τὸ πέραν ἐν Βρόχθοις· ἔνθα καὶ κατέκειτο, ὡς προδεδήλωται, τὸ τίμιον καὶ σεβάσμιον λείψανον τῆς ὁσίας Ὀλυμπιάδος· ὥστε καὶ αὐτὸ τὸ γλωσσόκομον καὶ τὰ ἅγια αὐτῆς λείψανα εἰς ὕδατα περιφέρεσθαι. Ἁρμόδιον δὲ ἡγησάμην, πρὸς ὠφέλειαν καὶ διέγερσιν πολλῶν ψυχῶν, ἐξαιρέτως τῶν τῷ Θεῷ ἀνακειμένων, καὶ τοῦτο κατάδηλον ποιῆσαι τῇ παρούσῃ βίβλῳ. Μαθοῦσα ἐγὼ ἡ ἁμαρτωλὸς καὶ ἀναξία Σεργία, ὡς ὅτιπερ ἐξ ἁμαρτιῶν ἐκάη τὸ εἰρημένον μοναστήριον (211 b 1) τοῦ ἁγίου Θωμᾶ, ἐν πολλῇ ἀθυμίᾳ γινομένη· μετὰ πολλῆς σπουδῆς περάσασα, συνῆξα τὰ ἅγια αὐτῆς λείψανα ἐκ τῶν ὑδάτων πεπληρωμένα· τὰ δὲ ὕδατα, ἔνθα περιέπλεον, πληροφορήθητε, αἱμάτων ἦσαν πεπληρωμένα . . . . . ἐμοῦ τῆς ἁμαρτωλοῦ Σεργίας οὔσης ἐκεῖ πέραν ἐν Βρόχθοις, ὡς εἴρηται, δια τὸ συνάξαι καὶ ἀγάγαι τὰ τίμια καὶ ἅγια αὐτῆς λείψανα, ἐν αὐτῇ τῇ νυκτὶ παραφαίνεται ἔσω ἐν τῷ μοναστηρίῳ κατ' ὄναρ μιᾷ τῶν ἀδελφῶν λέγουσα αὐτῇ . . . . . Εὐθέως οὖν ἀναφέρω τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ οἰκουμενικῷ ἡμῶν πατριάρχῃ Σεργίῳ, ἐπὶ τὸ καταθέσθαι τὸ τίμιον αὐτῆς λείψανον ἐν τῇ δουλικῇ αὐτῆς μονῇ· καὶ (212 a 1) πέμπει Ἰωάννην τὸν πρεσβύτερον, τὸν ἐπίκλην ἀπομαγκίπων, μετὰ καὶ ἄλλων εὐλαβεστάτων κληρικῶν ποιήσασθαι τὰ καταθέσια. Πιστεύσατε οὖν μοι τῇ ἀθλίᾳ καὶ ἁμαρτωλῷ Σεργίᾳ ὅτι οὐδὲν ἔξωθεν τῆς ἀληθείας λέγω· πλὴν, οὐδὲ κατ' ἀξίαν δύναμαι τὰς ἀρετὰς τῆς ὁσίας καὶ μακαρίας διηγήσασθαι. Ἀλλ' ὡς ἦλθεν ὁ εἰρημένος παπᾶς Ἰωάννης ὁ πρεσβύτερος τοῦ ἀπομυρίσαι τὰ ἅγια αὐτῆς λείψανα εἰς τὴν σίτλαν τοῦ ἁγίου βαπτίσματος, παρόντων καὶ τῶν προειρημένων κυρίων καὶ τῶν εὐλαβεστάτων κληρικῶν, καὶ ἡμῶν ὅλων τῶν ἁμαρτωλῶν μοναστριῶν, ἐπὶ πάντων ἀνέβλυσαν αἵματα τοσαῦτα τὰ ἅγια αὐτῆς λείψανα, ὥστε καὶ τὰς χεῖρας τοῦ αὐτοῦ παπᾶ Ἰωάννου γεμισθῆναι· ἀλλὰ καὶ πρὸς πίστιν καὶ ἁγιασμὸν προσψαύσας τὰς χεῖρας αὐτοῦ τῇ ἑαυτοῦ ὄψει, καὶ αὐτὴ ἐπλησθη αἱμάτων· λοιπὸν δὲ, καὶ τὰ σάβανα ἐγεμίσθησαν, ἔνθα ἐνετυλίχθησαν τὰ ἅγια αὐτῆς λείψανα· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἑνὸς (212 a 2) τῶν παρισταμένων εὐλαβεστάτων κληρικῶν ἐν τῇ τοιαύτῃ ἀπομυρίσει δεξαμένου τὰ αὐτὰ ἅγια καὶ πάνσεπτα λείψανα ἀπὸ τῶν χειρῶν τοῦ αὐτοῦ παπᾶ Ἰωάννου ἐκ τῆς ὑπερβολῆς τῶν τιμίων αἱμάτων, καὶ αὐτοῦ αἱ χεῖρες πλήρεις αἵματος γεγόνασιν, ὁμοίως δὲ καὶ ἡ ὄψις αὐτοῦ».

* τοῦτο γέγονε τῷ 532, κατὰ Ἰανουάριον.

** δῆλά γε δὴ ἀπὸ 532 538.

† αἱ παρὰ Schlumberger σφραγῖδες (σελ. 142) αἱ ἀποδιδόμεναι εἰς τὴν μονὴν τῶν Μαγγάνων (αἰῶνος Θ'-ΙΑ') ἀνήκουσι μᾶλλον εἰς τὸ παρ' αὐτῇ παλάτιον.

* * *

Μαρίνης ἡγουμένης τῶν Ὀλυμπιάδος. [Ἐλισανθίας δευτέρας ἡγουμένης. Μαρτυρίας καὶ Παλλαδίας καὶ Ὀλυμπίας, τῶν διακόνων].

Κατὰ τὰ γραφόμενα τῶν δύο τούτων ἱστορικῶν κειμένων, ἡ Μαρίνα ἦν κατατεταγμένη ἐν τῷ ἑορτολογίῳ τῆς μονῆς τῶν Ὀλυμπιάδος· φρονῶ δ' ὅτι κατὰ συνήθειαν καὶ αἱ λοιπαὶ τρεῖς διάκονοι κατετάχθησαν, ὡς καὶ ἡ ἀδελφόπαις Ὀλυμπία.

* * *

25. Τὰ ἐγκαίνια τοῦ Ἀρχαγγέλου Μιχαὴλ πέραν ἐν Σκάλλαις.

Ἡ μνήμη τῶν ἐγκαινίων τῇ 25 ἰουλίου κατὰ τὸν Λαυριωτικὸν Δ39 Συναξαριστήν· κατὰ δὲ τὸν τοῦ Νικοδήμου τῇ 26. Τοῦτ' αὐτὸ λεχθήτω καὶ περὶ τῶν δύο κατόπι συνάξεων. Ἄγνωστος ἡ τοποθεσία Σκάλλαι, κειμένη πιθανῶς ἐν τῷ ἀνατολικῷ μέρει τοῦ Βοσπόρου.

* * *

25. Τὰ ἐγκαίνια τοῦ Ἀρχαγγέλου Γαβριὴλ πέραν ἐν Χάλδαις.

Ἄγνωστος καὶ ἡ τοποθεσία αὕτη. Ἴσως ἦν αὕτη προάστειον ὀνομασθὲν ἀπὸ ὁμωνύμου τινὸς ἐπιφανοῦς ἀνδρός. Ἰωάννης Χάλδος ἐπὶ Βασιλείου τοῦ Μακεδόνος στρατηγὸς ἦν Χαλδείας[120]· ἐν ἀρχαῖς δὲ τοῦ Ι' αἰῶνος ἀναφέρεταί τις Ἀδριανὸς Χάλδος[121].

* * *

25. Ἡ σύναξις τῆς ὑπεραγίας Θεοτόκου πέραν ἐν τῷ Παγιδίῳ, πλησίον τοῦ νέου ἐμβόλου.

Τὴν τοποθεσίαν Παγιδίου γινώσκομεν ἀπὸ τοῦ Συναξαριστοῦ, διότι παρὰ τοῖς Μηναίοις μόνον ἡ μνήμη τοῦ ἐν Χάλδαις ναοῦ ἀναφέρεται. Τὸ Παγίδιον ἔκειτο παρὰ τὸν νέον ἔμβολον· ὁ δὲ νέος ἔμβολος οὗτος εὑρίσκετο πέραν εἰς τὸν Ἅγιον Μάμαντα, οἰκοδομηθεὶς ὑπὸ Λέοντος τοῦ θρακὸς τῷ 469 *παρεκεῖ τοῦ Ἁγίου Νικολάου*· φαίνεται δ' ὅτι ταῦτα πάντα ἔκειντο ἐπέκεινα τῶν Βλαχερνῶν, διότι κατὰ Προκόπιον ὁ τῶν ἁγίων Πρίσκου καὶ Νικολάου ναὸς *ἐπέκεινα Βλαχερνῶν ἠγείρετο*[122]. Νομίζω ὅτι σὺν τῷ ἐμβόλῳ ἤγειρεν ὁ Λέων τότε καὶ τὸν ναὸν τῆς Θεοτόκου.

120. Συμεὼν μάγιστρος· σελ. 678 καὶ 687. Γεώργιος μοναχός· σ. 837 καὶ 839. Πιθανῶς ὁ Ἰωάννης ἤ τις τῶν ἀπογόνων αὐτοῦ συνέστησε τὴν ἐν Ἁγίῳ Ὄρει πάλαι μονὴν τοῦ Χάλδου.

121. Theoph. Contin. σελ. 404.

§

26. Ἑρμολάου ἱερομάρτυρος.

Ἤθλησεν ἐν Νικομηδείᾳ ἐπὶ Μαξιμιανοῦ.

Ἀναφέρω τὴν μνήμην Ἑρμολάου ἐνταῦθα, διότι φρονῶ ὅτι ναὸς αὐτοῦ ἠγείρετο κατὰ τὸ βοσπορινὸν προάστειον Κουβουντζοὺκ, ἅτε τοῦ χωρίου τούτου ὀνομαζομένου χωρίου Ἑρμολιανῶν καὶ ἐκ παραφθορᾶς τοῦ ὀνόματος Ἑρμωνιανοῦ, ὡς ἐκαλεῖτο τὸ παρ' αὐτῷ ἀκρωτήριον, καὶ ἐκ τῆς ὑπάρξεως ναοῦ τοῦ ἁγίου Ἑρμολάου· πατριαρχικὸν γράμμα, πρὸ δύο σχεδὸν αἰώνων ἀπολελυμένον, ὀνομάζει τὸ χωρίον Ἑρμολιανούς· τοῦτο δὲ ἔχει, ὡς γνωστόν, ναὸν τοῦ ἁγίου Παντελεήμονος, ὃν ἐμύησε τὴν εἰς Χριστὸν πίστιν, κατὰ τὸ Συναξάριον, Ἑρμόλαος ὁ πρεσβύτερος.

* * *

26. Παρασκευῆς ὁσιομάρτυρος.

Ἤθλησεν ἐπὶ Ἀντωνίνου.

Ναὸς τῆς ἁγίας Παρασκευῆς ἠγείρετο ἐν Χάσκιοϊ, καὶ περὶ τούτου ἔγραψα ἄλλοτε[123]· ἴσως παρ' αὐτῷ ἔκειτο ἡ μονὴ τοῦ Πικριδίου ὀνομασθεῖσα ἀπὸ Ἰωάννου Πικριδίου πρωτοσπαθαρίου τοῦ Κωνσταντίνου ΣΤ', υἱοῦ τῆς ἀθηναίας Εἰρήνης, ἥτις ἀπέστειλεν αὐτὸν ὑπερόριον εἰς Σικελίαν τῷ 790. Ἡ μονὴ τοῦ Πικριδίου, ἧς ἡγούμενος ἦν Ἰωάννης τῷ 718 γράφων τῷ πάπᾳ Ῥώμης Πασχαλίῳ σὺν τοῖς ἡγουμένοις Ἰωάννῃ τῶν Καθαρῶν, Ἀθανασίῳ τοῦ Παυλοπετρίου καὶ Θεοδώρῳ τοῦ Στουδίου, ἀναφέρεται ὑπάρχουσα ἐπὶ Λέοντος Σοφοῦ[124].

* * *

26. Ὡραιοζήλης μάρτυρος.

Ἤθλησεν ἐπὶ Δεκίου, κατὰ τὴν παράδοσιν, ὑπ' Ἀνδρέου τοῦ ἀποστόλου βαπτισθεῖσα δῆ-

122. Προκοπίου, Περὶ κτισμάτων· σ. 193. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Β', σελ. 8, ἔνθα τάττει τοῦτο κατὰ τὸ Σούτλουδζε τῆς σήμερον, χορηγῶν καὶ τὸν λόγον τῆς συγχύσεως τοῦ λέγεσθαι πέραν, καίπερ μὴ κείμενον ἔμβολον ἐν τῷ ἀπέναντι μέρει. Εἰκασίαι ταῦτα.

123. Λίθοι καὶ Κεράμια· σελ. ρλγ'-ρλε'.

124. Θεοφ. Λ', σελ. 720. Λέων γραμματικός· σ. 975. Γεώργιος μοναχός· σ. 861. Στουδίτου ἐπιστολαί· Migne, τόμ. γθ', στ. 1152.

θεν, ὑπηρετοῦσα δ' ἐν ναῷ τινι τοῦ Ἀρχαγγέλου Μιχαὴλ ἐν Κωνσταντινουπόλει. Ταῦτα, παρὰ τῷ ἀκρίτῳ Νικοδήμῳ κείμενα, χρήζουσι πολλῆς κριτικῆς ἐπεξεργασίας, ἀνάξια πίστεως ὄντα, καθὸ τὰς βάσεις τῆς ἱστορίας ἀνατρέποντα. Γράφεται δ' ὅτι ἡ σύναξις ἐπὶ τῇ ἑορτῇ τῆς Ὡραιοζήλης ἐτελεῖτο ἐν τῷ μαρτυρείῳ αὐτῆς εὑρισκομένῳ πλησίον τοῦ ναοῦ τῆς ἁγίας Ἀναστασίας·

καὶ ἡ περὶ τοῦ ναοῦ τῆς Ὡραιοζήλης μαρτυρία κατατακτέα ὅπου πρέπει 'να ταχθῶσι τὰ περὶ Δεκίου καὶ Ἀνδρέου πρωτοκλήτου καὶ ναοῦ τοῦ ἀρχαγγέλου ἐν Κωνσταντινουπόλει[125].

* * *

Τὰ ἐγκαίνια τοῦ Ἀρχαγγέλου τῆς μονῆς τοῦ Χρυσοβαλάντου.

Ταῦτα ἑωρτάζοντο κατὰ τὸν Θ' αἰῶνα τῇ 26 ἰουλίου μηνός, ὡς ἀναγινώσκεται ἐν τῇ βιογραφίᾳ τῆς Εἰρήνης ἡγουμένης τῆς μονῆς ταύτης. Ὁ ναὸς ἐτιμᾶτο, καθὼς φαίνεται, εἰς ὄνομα τοῦ ἀρχαγγέλου Γαβριήλ.

§

27. Παντελεήμονος μάρτυρος. Ἡ σύναξις ἐν τῇ αὐτοῦ ἐπωνύμῳ ἐκκλησίᾳ.

Ἤθλησεν ἐπὶ Μαξιμιανοῦ ἐν Νικομηδείᾳ· μετήρχετο τὸν ἰατρόν, διδαχθεὶς τὴν ἐπιστήμην ταύτην «παρὰ Εὐφροσύνου, δόξαν μεγίστην ἔχοντος, ὃς καὶ ἐδόκει εἰς ἄκρον τῆς τέχνης ἐφικέσθαι»[126].

Ἀσαφὴς ὁ ὁρισμὸς τοῦ ναοῦ, ἐν ᾧ ἐγίνετο ἡ σύναξις· πιθανῶς ὅμως ἐτελεῖτο αὕτη ἐν τῷ ναῷ τοῦ ἁγίου Παντελεήμονος εἰς τὰ Ναρσοῦ, διότι ἐν τῷ ναῷ τούτῳ αὐτοκρατορικὴ προέλευσις ἐγίνετο τὴν 27 ἰουλίου[127]· τὸν ναὸν ἔκτισε Ναρσῆς ὁ τοῦ Μαυρικίου στρατηγὸς ἄγνωστον ἐν τίνι μέρει τῆς πόλεως[128]. Πλὴν τοῦ ναοῦ τούτου γνωστοί εἰσιν ἐπ' ὀνόματι τοῦ ἁγίου Παντελεήμονος 2) ὁ ἐν τῷ Ἀργυρωνίῳ, μεγαλοπρεπῶς ἀνακαινισθεὶς ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ καὶ κείμενος ὀλίγον ὕπερθεν τοῦ σήμερον Ματζὰρ-μπουρνοὺ τῆς ἀνατολικῆς ἀκτῆς τοῦ Βοσπόρου· «ἐπίπροσθεν τούτου τοῦ τεμένους» ὑπῆρχεν ἐν τῷ Ἀργυρωνίῳ λεπροκομεῖον ἀνακαινισθὲν ὑπὸ τοῦ αὐτοῦ, καθὸ καταβεβλημένον· φρονῶ δ' ὅτι ἦν τοῦτο διάφορον τοῦ ναοῦ ἢ τῆς μονῆς τοῦ ἁγίου Παντελεήμονος, οὐχὶ δ' αὐτὴ ἡ μονή, ὡς ὁ Βυζάντιος ἔγραψεν[129]. Ὁ ναὸς οὗτος ἦν ἀρχαιότερος τοῦ ναοῦ τοῦ Ναρσοῦ ὡς ἦν ἀρχαῖος καὶ ὁ 3) τῆς μονῆς τοῦ ἁγίου Παντελεήμονος τῆς Ἀρμαμενταραίας κείμενος πολὺ πιθανῶς παρὰ τῷ Χάσκιοϊ, ὁπόθεν ἐξετείνετο γέφυρα συνδέουσα πρὸς τὴν ἀπέναντι ἀκτὴν καὶ καλουμένη παρὰ τῷ χρονογράφῳ Σκυλίτσῃ γέφυρα τοῦ ἁγίου Παντελεήμονος[130]· 4) ἡ μονὴ τοῦ ἁγίου Παντελεήμονος ἐν τῷ Στενῷ, ἀναφερομένη κατὰ τὸν Θ' καὶ Ι' αἰῶνα[131], καὶ 5) ὁ κτισθεὶς ἐκ βάθρων ὑπὸ Ῥωμανοῦ τοῦ Λακαπηνοῦ ναὸς καὶ μονὴ τοῦ ἁγίου Παντελεήμονος, «ᾧ ἐπώνυμον Ὀφροῦ-λιμήν· ἀπέκειρε δὲ καὶ ἐκεῖσε μοναχοὺς ὀκτακοσίους»[132].

Σημ. Μονάδιον ἁγίου Παντελεήμονος ἀναφέρεται κατὰ τὰ τέλη τοῦ ΙΔ' αἰῶνος ὑπάρχον ἐν Κωνσταντινουπόλει· ἦν δὲ γυναικεῖον[133], ἄγνωστον ὅμως ἂν ᾖ τις τῶν ἄνω σημειωθεισῶν μονῶν.

Ἡ ἐν τῷ Στενῷ μονὴ φαίνεταί μοι οὖσα ἡ μεταξὺ τοῦ Μακροχωρίου καὶ τοῦ αὐτοκρατορικοῦ πυριτιδοποιείου· ὁ δὲ παρὰ Σκ. Βυζαντίῳ ναὸς τοῦ ἁγίου Παντελεήμονος ἐν τῇ καλουμένῃ Ὁμονοίᾳ ἐστὶν ἀνύπαρκτος, ὡς φρονῶ, διότι ὁ ἱστορικός, εἰς ὃν παραπέμπει ἡμᾶς καὶ ὃν οὐκ ἀνέγνω, οὐ γράφει βεβαίως περὶ ναοῦ ἁγίου Παντελεήμονος, ἀλλὰ περὶ τοῦ ἐν τῷ τόπῳ Ὁμονοίᾳ εὐαγοῦς εὐκτηρίου, ἔνθα ὑπῆρχον τὰ λείψανα Παντολέοντος καὶ Μαρίνου, ἐξ ὧν ἴσως συνάγει τις ὑπάρχοντα ναὸν Μαρίνου ἢ Παντολέοντος, ἀλλ' οὐδέποτε Παντελεήμονος[134].

Ἐκ τοῦ λειψάνου τοῦ ἁγίου Παντελεήμονος τὴν κεφαλὴν ἀπεθησαύριζεν ὁ ναὸς αὐτοῦ εἰς τὰ Ναρσοῦ, κατὰ τὸν Ι' αἰῶνα[135].

---

125. Ὁ ἐμβρόντητος Νικόδημος πολλαχοῦ φωρᾶται δεινὸς τῆς ἱστορίας ἀνασκαφεύς· τῇ 4 μαΐου λ. χ. ἀναγράφων τὸ μαρτύριον τῆς Πελαγίας, ἐν μὲν τῷ πρώτῳ στίχῳ καὶ ἐν τοῖς τελευταίοις λέγει ἀκμάσασαν αὐτὴν ἐπὶ Διοκλητιανοῦ· ἐν δὲ τῷ τρίτῳ καὶ ἑξῆς γράφει βαπτισθεῖσαν ὑπὸ Λίνου, τοῦ κατ' αὐτὸν τὸν Νικόδημον *πρώτου τῆς Ῥώμης ἐπισκόπου χρηματίσαντος*.

126. αἱ λέξεις αὗται κεῖνται ἐν τῷ Μηναίῳ.

127. Πορφυρογεν. Ἔκθ. τόμ. Α', σελ. 561.

128. Ζωναρᾶς ΙΔ', 14 (Δινδόρφ. Γ', 301).

129. Προκοπίου, Περὶ κτισμάτων· σελ. 200-201. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Β', σελ. 203.

130. Λίθοι καὶ Κεράμια· σελ. ρλδ'.

131. Εὐθυμίου πατριάρχου βίος· σελ. 76.

132. Theoph. Contin. σελ. 433.

133. Acta patriarch. τόμ. Β', σελ. 467 καὶ 408.

134. Ἐκκλ. Ἱστοριῶν ἔκδοσις Reading· σελ. 590.

135. Πορφυρογ. Ἔκθ. τόμ. Α', σελ. 561.

* * *

27. Ἀνθούσης ὁμολογητρίας.

Ἤκμασεν ἐπὶ Κωνσταντίνου τοῦ Κοπρωνύμου· θυγάτηρ Στρατηγίου καὶ Φεβρωνίας, κτίσασα τὴν μονὴν τοῦ Μαντινέου μετὰ ναοῦ τῆς ἁγίας Ἄννης, ἔχουσαν πλησίον γυναικείαν μονὴν ἐπ' ὀνόματι τῶν Ἁγίων Ἀποστόλων. Πολλὰ παθοῦσα ὑπὲρ τῶν ἁγίων Εἰκόνων, ὕστερον προειποῦσα τῇ συζύγῳ τοῦ Κοπρωνύμου, «μὴ δυναμένη τεκεῖν», ὅτι δίδυμα γεννήσει, ὅπερ καὶ ἐγένετο, ἠγαπήθη παρ' αὐτῆς «ὡς καὶ εἰς μητρὸς τάξιν ἔχειν». Ἐκοιμήθη ἐν εἰρήνῃ[136].

§

28. Τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Διακονίσσης.

Τὸν ναὸν ἔκτισε τῷ 598 Κυριακὸς ὁ πατριάρχης[137].

* * *

28. Εἰρήνης τῆς κειμένης ἐν τῇ μονῇ τοῦ Χρυσοβαλάντου.

Καταγομένη ἐκ Καππαδοκίας, ἤκμασεν ἐπὶ Θεοφίλου καὶ Μιχαὴλ τοῦ υἱοῦ αὐτοῦ, γυναικαδελφη γενομένη τοῦ καίσαρος Βάρδα· καταπεισθεῖσα ὑπὸ Ἰωαννικίου τοῦ ἐν Ὀλύμπῳ ἐγένετο μοναχὴ τοῦ Χρυσοβαλάντου, τῆς δὲ μονῆς ταύτης ἡγουμένην διώρισεν αὐτὴν ὁ πατριάρχης Μεθόδιος (842-846). Ἔζη καὶ μετὰ τὸ 867[138]. Τὴν μονὴν τοῦ Χρυσοβαλάντου νομίζει κειμένην ὁ Σκ. Βυζάντιος πλησίον τῆς κινστέρνης τοῦ Ἄσπαρος, ἀλλ' ἀκολουθεῖ τοῖς παραδοξογράφοις· ὁ δὲ Mordtmann μεταξὺ τῆς μονῆς τῆς Χώρας καὶ τοῦ Ἁγίου Γεωργίου ἐν τῷ Δευτέρῳ[139]. Κατὰ τοὺς μυθολόγους τούτους, ἡ μονὴ εἶχε ναοὺς τοῦ Ἀρχιστρατήγου καὶ τοῦ ἁγίου Παντελεήμονος, ἀλλ' ἡ βιογραφία τῆς Εἰρήνης ἀναφέρει τὸν εἰς ὄνομα τοῦ Γαβριὴλ ἀρχαγγέλου καί τινα ναὸν ἁγίου Θεοδώρου, ὅστις οὐ φαίνεται ἀκριβῶς εἴπερ ἔκειτο ἐντὸς τῆς μονῆς ἢ παρ' αὐτῆς.

§

29. Καλλινίκου μάρτυρος. Ἡ σύναξις πλησίον τῆς Ἰουστινιανοῦ γεφύρας, καὶ πλησίον τοῦ Πετρίου.

Φαίνεται ὅτι ναοὶ τοῦ ἁγίου Καλλινίκου ὑπῆρχον 1) ὁ ἐν τῷ Πετρίῳ· 2) ὁ παρὰ τῇ Ἰουστινιανοῦ γεφύρᾳ· ἀναφέρεται ὅμως καὶ ναὸς τοῦ ἁγίου Καλλινίκου ἐν τῷ Ῥηγίῳ[140], καὶ ἴσως ἐστὶν αὐτός, ὃν ἐκ βάθρων ἀνήγειρε Βασίλειος ὁ Μακεδὼν «ἐν ταῖς τοῦ Βαθύρσου ποταμοῦ ὑπερκειμέναις Ἰουστινιανοῦ γεφύραις»[141]. Ἂν δὲ μὴ ᾖ λάθος ἡ λέξις Βαθύρσου ἀντὶ Βορβύσου, νομίζω ὅτι ὁ ναὸς ἠγέρθη κάτωθεν τῆς τοποθεσίας Χαλκαλῆ, ὅπου ἐν ποταμίσκῳ παραρρέοντι βλέπει τις καὶ σήμερον ἔτι παλαιοτάτην γέφυραν κατασκευῆς βυζαντινῆς ἀρχαίας, φέρουσαν ἐπὶ τῶν τόξων ἴχνη μονογραμμάτων καὶ δικεφάλου ἀετοῦ· τὰ δὲ περὶ τῆς ἐπὶ τοῦ Βορβύσου (Κεὰτ-χανὲ) γεφύρας γραφόμενα τοῦ Σκ. Βυζαντίου, ὅτι δῆθεν ἀπὸ παρακειμένων ναῶν ἐλέγετο γέφυρα τοῦ Ἁγίου Καλλινίκου, καὶ γέφυρα τοῦ Κοσμιδίου, καὶ γέφυρα τοῦ Ἁγίου Μάμαντος, καὶ γέφυρα τοῦ Ἁγίου Παντελεήμονος, καὶ γέφυρα τῶν Βλαχερνῶν, καὶ περὶ τοὺς τελευταίους χρόνους Πετρογέφυρα, εἰσάγουσι παραδόξως εὐδιάφυκτον γειτνίασιν τοποθεσιῶν ἱκανῶς ἀφισταμένων ἀλλήλων· ἄλλως τε, ἡ μὲν Πετρογέφυρα προδήλως ἐστὶ τὸ σημερινὸν Τὰσκιοπρού, ἐξηγοῦν τὴν ἀρχαίαν λέξιν[142], τὰ δὲ παρὰ Μιχαὴλ Ἀτταλειάτῃ φερόμενα ὡς συμβάντα τῷ 1077, «διεπεραιώθη τὴν τοῦ Ἁγίου Παντελεήμονος γέφυραν, καὶ θέμενος ἐν τοῖς τοῦ Στενοῦ μέρεσι τὴν παρεμβολὴν» κτλ., φαίνονταί μοι λίαν ἀκατάληπτα συνδυαζόμενα τοῖς μετὰ ταῦτα: «πῦρ ἐνῆκε ταῖς παρακειμέναις οἰκίαις ἀπὸ τοῦ Ἁγίου Παντελεήμονος μέχρι τῶν ἀναπλεομένων μερῶν τοῦ Στενοῦ, καὶ ἡ φλὸξ πάσας σχεδὸν τὰς οἰκίας κατεδαπάνησε, πλὴν ὀλίγων, καὶ εὐκτηρίους οἴκους, καὶ περικαλλεῖς οἰκίας, καὶ ναοὺς ἐπισήμους πυρὸς γενέσθαι παρανάλωμα»[143], καὶ τείνω 'να πιστεύσω ὅτι ὑπῆρχε καὶ ἑτέρα γέφυρα Ἁγίου Παντελεήμονος· — 3) ναὸς τοῦ ἁγίου Καλλινίκου ἀναφέρεται κατὰ τὰ μέσα τοῦ Ι' αἰῶνος ἐν τῷ Ξηρολόφῳ[144].

---

136. ταῦτα κατὰ τοὺς χειρογράφους Συναξκριστὰς καὶ τὸ Μηνολόγιον.

137. Θεοφ. Α', σελ. 428. Κεδρ. Α', σελ. 699.

138. Βίος Εἰρήνης ἐν «Καλοκαιρινῇ» καὶ ἐν Συναξαριστῇ ἰουλίου, ἐκδόσεως Δουκάκη.

139. Mordtmann· Esquisse· σελ. 79β ἐν ὑποσημειώσει. Σ. Βυζαντίου, «Κωνσταντινούπολις»· Α', σ. 370.

140. Θεοφ. Α', σελ. 357.

141. Theoph. Contin. σελ. 340.

142. Μ. Ι. Γεδεών, Δέρκος· σελ. 28.

143. Μιχαὴλ Ἀτταλειάτης· σελ. 251 καὶ 252.

144. Πορφυρογεν. Ἔκθ. Α', σελ. 56.

* * *

29. Θεοδότης μάρτυρος καὶ τῶν τέκνων αὐτῆς. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι ἐν τῷ Κάμπῳ.

Ἡ μνήμη ταύτης ἀναφέρεται παρὰ τῷ Συναξαριστῇ τῇ 22 δεκεμβρίου, καθὼς καὶ παρὰ τῷ Μηνολογίῳ· ἀλλὰ, κατὰ τὰ Μηναῖα, ἡ ἀκολουθία ψάλλεται τῇ 29 ἰουλίου· καὶ ταῦτα προετίμησα.

Τὸν ναὸν τῆς ἁγίας Θεοδότης ἐκ θεμελίων ἤγειρεν ὁ Μ. Ἰουστινιανὸς πρὸ τοῦ 527 «ἐν προαστείῳ καλουμένῳ Ἑβδόμῳ»[145]. Τὰ Μηναῖα γράφουσι, συμφώνως σχεδόν, *ἐν τῷ Κάμπῳ*, ἤτοι τῇ ὑπερκειμένῃ τοῦ Μακροχωρίου πεδιάδι, πολὺ πιθανῶς ἐν τῷ τόπῳ τῷ καλουμένῳ σήμερον Ἰνδζιρλῆ.

* * *

29. Τῶν ἁγίων Μαρτύρων Μάμαντος καὶ Βασιλίσκου τῶν ἐν τοῖς Δαρείου.

Τὴν τοποθεσίαν ἀπηντήσαμεν καὶ προηγουμένως. Ἡ μνήμη τοῦ ναοῦ τῶν δύο τούτων μαρτύρων κεῖται μόνον παρὰ τοῖς Μηναίοις.

* * *

29. Τῶν ἁγίων Μαρτύρων Βενιαμὶν καὶ Βηρίου πλησίον τῶν παλατίων τοῦ Ἑβδόμου.

Πρόκειται περὶ γνωστῆς τοποθεσίας. Ὁ ναὸς τῶν μαρτύρων τούτων ἀναφέρεται παρά τε τοῖς Συναξαρισταῖς καὶ τοῖς Μηναίοις.

* * *

29. Μνήμη τοῦ μακαρίου Ἰωάννου τοῦ στρατιώτου. Ἡ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ Ἰωάννου τοῦ Θεολόγου πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

Ἤκμασεν ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου, γενόμενος κατοικητήριον χριστιανικῶν ἀρετῶν· ἐτάφη εἰς τόπον καλούμενον Πανδέκτην, «ἔνθα καὶ οἱ ξένοι ἐτίθεντο»[146].

* * *

29. Μνήμη τοῦ εὐσεβοῦς βασιλέως Θεοδοσίου τοῦ νέου.

Γεννηθεὶς τῇ 11 ἀπριλίου 401, ἀπεβίωσε τῇ 20 ἰουνίου 450 κατὰ Θεοφάνη, μᾶλλον τῇ 28 ἰουλίου τοῦ ἔτους τούτου. Φιλάνθρωπος καὶ πρᾶος εἶχε τὴν πίστιν ἀκραιφνῆ καὶ δόκιμον[147]. Ἐπ' αὐτοῦ συνεκροτήθη ἡ Γ' οἰκουμενικὴ σύνοδος. Ἐτάφη ἐν τοῖς Ἁγίοις Ἀποστόλοις τοῖς Μεγάλοις.

* * *

29. Κωνσταντίνου πατριάρχου Κωνσταντινουπόλεως.

Ἱεράτευσεν ἀπὸ τοῦ 674-676, πρότερον ὢν διάκονος καὶ σκευοφύλαξ τῆς Ἁγίας Σοφίας[148].

§

31. Ἡ ἀνάμνησις τῶν ἐγκαινίων τοῦ σεβασμίου οἴκου τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου τοῦ ἐν Βλαχέρναις, ἔνθα ἀπόκειται ἡ ἁγία Σορός[149].

Ἢ, τὰ ἐγκαίνια τῆς ἁγίας Σοροῦ ἐν Βλαχέρναις[150].

Ἴδε εἰς τὴν 2 ἰουλίου.

* * *

31. Προεόρτια τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ἤτοι ἡ ἐξέλευσις αὐτοῦ ἐκ τοῦ παλατίου εἰς τὴν πόλιν.

Κατὰ τὴν παράδοσιν, ἡ περιαγωγὴ τοῦ Σταυροῦ ἐγίνετο πρὸς ἁγιασμὸν τῆς ἀτμοσφαίρας καὶ ἀποτροπὴν τῶν λυμαινομένων τὴν Κωνσταντινούπολιν νόσων. Ὁ τίμιος Σταυρὸς ἐξαγόμενος ἐκ τοῦ σκευοφυλακείου (τοῦ ναοῦ τῆς Ἁγίας Σοφίας) προετίθετο εἰς προσκύνησιν τῇ 25 ἰουλίου ἐν τῷ νάρθηκι τοῦ ναοῦ τοῦ ἁγίου Βασιλείου πρὸ τοῦ ναοῦ τοῦ ἁγίου Στεφάνου τῆς Δάφνης ἐν τῷ παλατίῳ· ἀπὸ δὲ τῆς 26-28 προετίθετο ἐν τῷ ναῷ τοῦ ἁγίου Στεφάνου τούτῳ· μεθ' ὃ περιήρχετο τὴν πόλιν καὶ περὶ τὰ τείχη μέχρι τῆς 13 αὐγούστου, ὅτε ἀπετίθετο ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Θεοδώρου ἐν τῷ παλατίῳ· τῇ 14 δὲ ἔμενεν ἐν τῷ ναῷ τῆς Θεοτόκου τοῦ Φάρου καὶ ἐκεῖθεν ἐπέστρεφεν εἰς τὸ σκευοφυλακεῖον[151].

145. Προκοπίου, Περὶ κτισμάτων· σελ. 190.

146. ταῦτα κατὰ τὸν ἐν χρήσει Συναξαριστήν. Ὁ Μορσέλλιος (Kalendarium· Β', σελ. 180) φρονεῖ ὅτι ὁ τόπος ἔκειτο παρὰ τῇ πύλῃ Μυριάνδρου.

147. Θεοδωρήτου, Ἐκκλ. Ἱστορ. Ε', λστ' καὶ λζ', ὅπου γράφει ὅτι τοὺς ἔτι σῳζομένους εἰδωλικοὺς ναοὺς ἠφάνισε. Σωκράτης, Ἐκκλ. Ἱστ. Ζ', κδ' καὶ μδ'. Θεοφ. Α', σ 118 καὶ 159. Κάλλιστος· ΙΔ' γ'.

148. Πατριαρχ. Πίνακες· σελ. 248-249.

149. οὕτω γράφουσιν ὁ Συναξαριστὴς καὶ τὰ Μηναῖα.

150. Ἱεροσλμ. Βιβλιοθ. τόμ. Β', σελ. 472.

151. Πορφυρογ. Ἔκθ. Α', σελ. 539-540.

* * *

31. Εὐδοκίμου τοῦ δικαίου.

Υἱὸς Βασιλείου καὶ Εὐδοκίας, πατρικίων, καταγομένων ἐκ Καππαδοκίας, ἤκμασεν ἐπὶ Θεοφίλου, διδαχθεὶς ἐν Κωνσταντινουπόλει τὴν τῶν τότε χρόνων ἱερὰν παιδείαν. Εὐνοούμενος ὑπὸ Θεοφίλου «κανδιδάτος τιμᾶται καὶ στρατοπεδαρχεῖν τάττεται πρῶτον μὲν κατὰ τὴν τῶν Καππαδοκῶν, ἔπειτα κατὰ τὰ Χαρσιανῶν ὅρια»[152]· ἐγένετο δικαιότατος, ἐλεήμων, προστάτης ὀρφανῶν καὶ χηρῶν. Ἐκοιμήθη ἐν εἰρήνῃ.

ΑΥΓΟΥΣΤΟΣ

1. Τῶν ἁγίων ἑπτὰ μαρτύρων τῶν Μακκαβαίων καὶ τῆς μητρὸς αὐτῶν Σολομονῆς καὶ Ἐλεαζάρου τοῦ διδασκάλου αὐτῶν.

Ναὸς ἐπ' ὀνόματι τῶν ἁγίων Μακκαβαίων ἐσῴζετο ἐν ἀρχαῖς τῆς Ζ' ἑκατονταετηρίδος πέραν ἐν Συκαῖς (ἐν Γαλατᾷ)[1] αὐτὸς ἴσως ὁ ἐν τῇ βιογραφίᾳ τοῦ ὁσίου Δαλμάτου (Δ' αἰῶνι) ἀναφερόμενος.

Οὐκ ἐστιν ἐπαρκῶς ἀποδεδειγμένον ὅτι τῆς ἁγίας Σολομονῆς ἐστι τὸ λείψανον, ὃ θησαυρίζει σήμερον ὁ πατριαρχικὸς ναός.

* * *

1. Τῶν ἁγίων μαρτύρων Μίνη καὶ Μηναίου. Ἡ σύναξις ἐν τῷ Ἑβδόμῳ.

ἢ, κατὰ τὰ Μηναῖα καὶ τοὺς Συναξαριστὰς

Μήνου, Μηναίου καὶ τῶν λοιπῶν ἐν τῷ Βιγλεντίῳ, πλησίον τοῦ Χαλκοῦ Τετραπύλου.

Φαίνεται ὅτι ἦσαν δύο ναοὶ ἀνατεθειμένοι εἰς τοὺς ἁγίους τούτους, 1) ὁ ἐν τῷ Ἑβδόμῳ, ἐγερθεὶς ἐκ θεμελίων ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ[2]· καὶ 2) ὁ πλησίον τοῦ Χαλκοῦ Τετραπύλου, περὶ οὗ εἴδομεν εἰς τὴν 9 μαρτίου.

§

2. Ἡ ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου.

Κατὰ τὴν παράδοσιν, ἀνεκομίσθη εἰς Κωνσταντινούπολιν ἐπὶ τοῦ Μ. Κωνσταντίνου, ἐγείραντος ναὸν ἐπ' ὀνόματι τοῦ ἁγίου Στεφάνου[3], ἄγνωστον ποῦ· ἐν τούτοις ἐπιστεύετο κατὰ μὲν τὸν Ε' αἰῶνα ὅτι «ἀποτίθεται πρὸ τῶν τειχίων τῆς Ἱερουσαλὴμ, ἔνθα λιθοβοληθείς, τοὺς λαμπροὺς τοῦ μαρτυρίου στεφάνους ἀνεδήσατο»[4], βραδύτερον δ' ὅτι τὰ λείψανα τοῦ πρωτομάρτυρος εὑρέθησαν ἐν κώμῃ Περγαμαλᾷ τῷ 427, τούτων δὲ μέρος, ἤτοι λείψανον τῆς δεξιᾶς τῷ 428 ὁ πατριάρχης Ἱεροσολύμων ἔπεμψε δῶρον εἰς Θεοδόσιον Β' διὰ τοῦ ἐν ἁγίοις Πασσαρίωνος. Ἡ βασιλὶς Πουλχερία τὸ τίμιον ἐκεῖνο δῶρον εἰσεκόμισεν ἀπὸ τῆς Χαλκηδόνος εἰς τὸ παλάτιον, ἐν ᾧ κτίσασα ναὸν τοῦ ἁγίου Στεφάνου, κατέθηκεν ἐν τῷ ναῷ τούτῳ τὸ λείψανον[5].

Κατὰ τὸν Συναξαριστήν, ἡ σύναξις ἐπὶ τῇ ἀνακομιδῇ ἐτελεῖτο εἰς τὸν ναὸν αὐτοῦ, βεβαίως τὸν ὑπὸ Πουλχερίας κτισθέντα.

Κατὰ τὸν Θ' αἰῶνα ἡ ἑορτὴ ἀναφέρεται τελουμένη τῇ 2 αὐγούστου[6], ἀλλὰ καὶ κατὰ τὸν Ε', ὡς ἀναγινώσκομεν ἐν ἀνεκδότῳ βιογραφίᾳ τῶν ὁσίων Ἰσαακίου, Δαλμάτου καὶ Φαύστου.

* * *

2. Ἡ εὕρεσις τῶν λειψάνων Μαξίμου, Δάδα καὶ Κυντιλλιανοῦ. Ἡ σύναξις ἐν τοῖς Βιγλεντίου.

Μνεία αὐτῶν ἐγένετο τῇ 13 ἀπριλίου. Ἐπειδὴ τὰ λείψανα αὐτῶν εὑρίσκοντο τεθησαυρισμένα καὶ μετὰ τὸν Ι' αἰῶνα ἐν τῷ ναῷ τῆς Θεοτόκου ἐν τοῖς Βιγλεντίου, πιστεύω ὅτι ἡ σύναξις αὐτῶν κατὰ τὴν 2 αὐγούστου ἐγίνετο ἐν τῷ θεομητορικῷ τούτῳ ναῷ.

* * *

2. Τὰ ἐγκαίνια τοῦ θείου ναοῦ τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

* * *

2. Τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου

152. ὁ Νικόδημος παρεξήγησε τὸ κείμενον τοῦ χειρογράφου Συναξαριστοῦ γράψας ὅτι «στρατοπεδάρχης ἐγένετο πρῶτον μὲν εἰς τὴν χώραν τῶν καππαδοκῶν, ἔπειτα δὲ εἰς ὅλην τὴν γῆν τῶν ρωμαίων».

1. Πασχάλ. Χρον. σ. 718. Εἰρήσθω δ' ὅτι οἱ συγγραφεῖς τοῦ Χρονικοῦ τούτου Πέραν γράφουσιν οὐ μόνον τὸν Γαλατᾶν, ἀλλὰ καὶ τὴν Χαλκηδόνα καὶ τὰ πέριξ, ὡς λόγου χάριν ἐν σελίδι 796.

2. Προκοπίου, Περὶ κτισμάτων· σελ. 201.

3. τοῦτο κατὰ τὰ Μηναῖα καὶ τοὺς Συναξαριστάς.

4. Βασιλείου Σελευκείας λόγος εἰς ἅγιον Στέφανον· Migne, τόμ. ΠΕ', στ. 469.

5. Θεοφ. Α', σελ. 134· Κάλλιστος, Ἐκκλ. Ἱστ. ΙΔ', θ'.

6. Βίος Εὐθυμίου· σελ. 76.

βασιλέως Ἰουστινιανοῦ ἐν τοῖς Ἁγίοις Ἀποστόλοις.

Ἔστιν Ἰουστινιανὸς ὁ μέγας, οὗ περὶ τῆς ἀνακηρύξεως ὡς ἁγίου λόγος ἐγένετο ἐν ταῖς πρώταις σελίσι τῶν «προλεγομένων». Ἀναφέρεται παρὰ Μαργουνίῳ καὶ Νικοδήμῳ καὶ ἐν τοῖς Μηναίοις εἰς τὴν 2 τοῦ αὐγούστου. Κτίτωρ πολλῶν ναῶν ἐν Κωνσταντινουπόλει καὶ τοῖς πέριξ, ὁ δὲ σπουδαιότερον, ἱδρυτὴς τοῦ μεγαλοπρεπεστάτου μοναστηρίου τῆς Μετανοίας ἐπὶ διαμονῇ καὶ ἠθικῇ συγκροτήσει τῶν ἐπὶ τῷ πρότερον ἐκλελυμένῳ βίῳ μεταμελουμένων γυναικῶν, «ἐφ' ᾧ δὴ ἐνταῦθα περί τε τὸν Θεὸν καὶ τὴν εὐσέβειαν ἀσχολίᾳ γενησομένῃ περικαθῆραι τὰς ἁμαρτάδας δυναταὶ εἶεν τῆς ἐν μαστρωπείῳ διαίτης»[7], παρ' ὀλίγον ἀπολαύει κατὰ τὸν Ζ' αἰῶνα τιμῶν ἰσαποστόλου. Ἐπ' αὐτοῦ παρεδέξαντο τὸν χριστιανισμὸν οἱ Ἐροῦλοι, αὐτὸς δὲ καὶ τοῖς τὰ ἀπὸ Ταναΐδος ἕως Εὐξείνου κατοικοῦσιν ἔπεμψεν ἐπίσκοπον διδάξαντα τὸν χριστιανισμόν, ὡς καὶ τοῖς Ἀβασγοῖς, οἷς καὶ ναὸν τῆς Θεομήτορος ᾠκοδομήσατο[8]. Ἐπ' αὐτοῦ δὲ συνεκροτήθη τῷ 553 ἡ Ε' ἁγία οἰκουμενικὴ Σύνοδος. —Τὴν ἀσυγχώρητον τοῦ Ἰουστινιανοῦ ῥοπὴν πρὸς δογματικὰς συζητήσεις Εὐστράτιος ὁ πρεσβύτερος κακίζει, καίπερ ὀνομάζων αὐτὸν *ἐν εὐσεβεῖ τῇ λήξει*[9]. — Τὴν μνήμην τοῦ Μ. Ἰουστινιανοῦ ἀγομένην πρότερον ἐν τῷ ἐν Ἐφέσῳ ναῷ Ἰωάννου τοῦ Θεολόγου καὶ ἐν τοῖς Ἁγίοις Ἀποστόλοις τοῖς Μεγάλοις, ὅπου ἦν τεθαμμένος, μεγαλοπρεπῶς ἤρξατο πανηγυρίζων ὁ πατριάρχης Ἰωάννης Θ' ὁ Ἀγαπητὸς (1111-34) ἐν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας[10].

3. Ἰσαακίου, Δαλμάτου καὶ Φαύστου.

Περὶ τοῦ Ἰσαακίου βλέπε εἰς τὴν 30 μαΐου· παρ' αὐτῷ μαθητὴς ἐγένετο ὁ Δαλμάτος· ὁ δὲ Φαῦστος ἦν υἱὸς αὐτοῦ.

Ἡ ἀπ' αὐτῶν ὀνομασθεῖσα μονὴ τῶν Δαλμάτων ἱδρύθη κατὰ τὰ τέλη τοῦ Δ' αἰῶνος· τὸν κατὰ καιρὸν ἡγούμενον αὐτῆς οἱ πατέρες τῆς Γ' οἰκουμενικῆς Συνόδου κατέστησαν ἀρχιμανδρίτην καὶ ἔξαρχον τῶν ἐν Κωνσταντινουπόλει μοναστηρίων, διὸ Μαριανὸς ὁ ἡγούμενος αὐτῆς, ἐπὶ Μηνᾶ τοῦ πατριάρχου Κωνσταντινουπόλεως, ὑπεγράφη «ἔξαρχος τῶν ἐπὶ βασιλευούσης ταύτης πόλεως διακειμένων εὐαγῶν μοναστηρίων καὶ τῶν λοιπῶν ἡγουμένων τῶν κατὰ τὴν φιλόχριστον ταύτην πόλιν καθεστώτων εὐαγῶν μοναστηρίων»[11]. Τῇ 6 νοεμβρίου τοῦ 556 «ἐτελεύτησεν ὁ Τιμόθεος, ἔξαρχος τῶν μοναστηρίων καὶ ἡγούμενος τῆς Δαλμάτου μονῆς καὶ ἐγένετο ἀντ' αὐτοῦ Ἄνθιμος ἔγκλειστος τοῦ αὐτοῦ μοναστηρίου»[12]. Τὴν μονὴν ταύτην καὶ κατὰ τὸν Η' αἰῶνα «πρώτιστον οὖσαν ἐν τοῖς κοινοβίοις τοῦ Βυζαντίου» μετέβαλεν ὁ Κοπρώνυμος εἰς στρατῶνα τῷ 768[13], ἀλλ' ἀνασυνεστήθη καὶ πάλιν αὖτη· διότι ἀναφέρεται σῳζομένη κατὰ τὰ μέσα τοῦ Ι' αἰῶνος ἔχουσα καὶ *Καταδίκην*, εἶδός τι πύργου πιθανῶς, ἐν ᾧ περιώριζον τοὺς ἀτακτοῦντας[14]. — Ἡ μονὴ τῶν Δαλμάτων ἔκειτο κατέναντι καὶ πρὸς βορρᾶν τοῦ Ἁγίου Στεφάνου ἐν Αὐρηλιαναῖς ἄνωθι τῆς Περιβλέπτου (Σουλοῦ-μοναστὴρ) ὡς μέλλομεν ἰδεῖν εἰς τὴν 27 δεκεμβρίου.

Βιογραφία τῶν ὁσίων Ἰσαακίου, Δαλμάτου[15] καὶ Φαύστου, πλὴν τῆς παρὰ Βανδουρίῳ (ἀπὸ σελίδος 514β-525α τῆς ἐν Βενετίᾳ ἐκδόσεως τοῦ πολυτιμοτάτου συγγράμματος Imperium Orientale) σῴζεται ἐν τῷ μεμβρανίνῳ 1453 χειρογράφῳ τῆς ἐν Παρισίοις Ἐθνικῆς Βιβλιοθήκης, αὐτῷ δὴ τούτῳ, ἀφ' οὗ ὁ πολυμαθὴς πρεσβύτερος Emmanuel Auvray μετέγραψέ μοι τὰ δύο ἱστορικὰ κείμενα περὶ τῆς ὁσίας Ὀλυμπιάδος καὶ τῶν μονῶν αὐτῆς· αὐτὸς οὗτος, ᾧ χάριν ὁμολογῶ δημοσίᾳ, μετέγραψέ μοι καὶ τὸν «Βίον καὶ πολιτείαν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιμανδρίτου Δαλμάτου», ἐκτεινομένην μὲν ἀπὸ φύλλου 226β1-239β2, περιέχουσαν δὲ καί τινας εἰδήσεις περὶ τῶν ὁσίων Ἰσαακίου καὶ Φαύστου. Δυστυχῶς, ἡ χρονολογία συγκεχυμένη πώς ἐστιν, ὡς μοι φαίνεται, διότι, ἐὰν ὁ Ἰσαάκιος γράφηται θνήσκων τῷ δευτέρῳ ἔτει τῆς Ἀρκαδίου βασιλείας, ἤτοι τῷ 396, μετὰ διαμονὴν εἴκοσι καὶ δύο ἐτῶν ἐν Κωνσταντινουπόλει (374—396), ὅτε ἐχειροτονήθη ἡγούμενος ὁ Δαλμάτος, αὐτὸς παρίσταται κατ' αὐτὸν τὸν χρόνον φέρων ἡλικίαν ἐτῶν δύο πρὸς τοῖς πεντήκοντα· ἄρα ἐγεννήθη τῷ 344 καὶ «τριακοστὸς ἀπετάξατο», ἤτοι τῷ 374· ἀλλὰ πρὸς τὰ τέλη τῆς βιογραφίας ἀναφέρεται ὅτι προέστη τῆς μονῆς ὁ Δαλμάτος ἔτη πεντήκοντα καὶ πέντε, ἀπὸ τοῦ 396 βεβαίως· ὥστε συνάγομεν ὅτι ἀπεβίωσε τῷ 451. Ἐπειδὴ δέ, κατὰ τὴν βιογραφίαν, ἀπεβίωσεν εἰς ἡλικίαν ἐτῶν ὀγδοήκοντα καὶ πέντε, συνάγεται ὅτι ἀπέθανε τῷ 429· ἀλλὰ βλέπομεν αὐτὸν ζῶντα τῷ 431, θνήσκοντα δ' ἐπὶ τοῦ πατριάρχου Πρόκλου, μετὰ τὸ 434 δῆλα δή· καὶ ἐπειδὴ συνεμόνασε τῷ Ἰσαακίῳ δεκαεξαετίαν, πρέπει 'ν' ἀφαιρέσωμεν δέκα καὶ ἓξ ἀπὸ τῶν 396, καὶ συνάγοντες 380 'ν' ἀφαιρέσωμεν ἐκ τούτων 30 («τριακοστὸς ἀπετάξατο») ὅπως εὕρωμεν ἔτος γεννήσεως 350 καὶ θανάτου 435. Ἐν τούτοις ἐν φύλλῳ 235α1 τοῦ χειρογράφου 1453, γράφεται περὶ τοῦ ἔτους 431 ὅτε τότε τεσσαράκοντα καὶ ὀκτὼ ἠρίθμει ἔτη ἀφ' οὗ χρόνου ἔγκλειστος ἦν ἐν τῷ κελλίῳ αὐτοῦ, ὥστε δέον 'να προσθῶμεν ἑπτὰ ἔτη (μέχρι τοῦ 55ου τῆς ἡλικίας) ὅπως συναγάγωμεν ὅτι ἀπεβίωσε τῷ 438, γεννηθεὶς ἄρα τῷ 354. Δυσκόλως ἐν τούτῳ συμφωνῶ τοῖς τε βολλανδισταῖς καὶ τῷ ἀββᾷ Nilles.

Ἐκ τῆς βιογραφίας ταύτης ἀποσπῶν παρατίθημι τὰ κυριώτερα μέρη:

« Οἷς κρίμασιν οἶδεν αὐτὸς, ἤγειρε τὸ πνεῦμα Ἰσαακίου δούλου αὐτοῦ, ἀνδρὸς ὁσιωτάτου (227β2) καὶ ἐν ἐρημίᾳ διατρίβοντος, χάριτος θείας πεπληρωμένου καὶ προφητικοῦ χαρίσματος ἠξιωμένου. Τούτῳ τοίνυν γίνεται θεία τις ἄνωθεν ἔλλαμψις, κελεύουσα τὸ Βυζάντιον καταλαβεῖν καὶ ὑπερμαχῆσαι τῆς πίστεως προκινδυνευούσης ἤδη πολὺν χρόνον . . . . . οὕτως καὶ ὁ θεοφόρος πατὴρ ἡμῶν εἴξας τῷ κελεύσαντι αὐτῷ, κατελθὼν τῆς ἐρήμου, ἐπέφθασε τῇ Βυζαντίδι. . . . . Τότε τοίνυν, προνοίᾳ Θεοῦ καὶ τῇ ἄνωθεν ψήφῳ, κρατεῖ τῆς βασιλείας ὁ Ἰσπανὸς Θεοδόσιος, ἀνὴρ φιλόχριστος (228α2) καὶ ὀρθόδοξος· καὶ ἀνηγγέλη αὐτῷ τὰ κατὰ τὸν μακάριον Ἰσάκιον καὶ ὅσα προεῖπε τῷ Οὐάλεντι διελέγχων αὐτὸν, καὶ περὶ τῆς προφητείας τοῦ οἰκτίστου αὐτοῦ θανάτου, καὶ ὅτι πάντα οὕτως αὐτῷ συνέβη, καθὼς εἶπεν ὁ τοῦ Θεοῦ ἄνθρωπος Ἰσάκιος. Θεοδόσιος δὲ ὁ βασιλεὺς ταῦτα ἀκούσας, μετὰ θάμβους πολλοῦ καὶ φόβου, ἦλθεν εἰς προσκύνησιν τοῦ ἁγίου μετὰ πάντων τῶν μεγιστάνων αὐτοῦ· ἦν δὲ καὶ ὁ μακάριος Δαλμάτος σὺν αὐτοῖς, ἀνὴρ ἐλλόγιμος καὶ εὐσεβείᾳ συζῶν καὶ ἐν τῇ τῶν σχολαρίων στρατιᾷ καταλεγόμενος τῇ δευτέρᾳ· καὶ ἀκούσας πάντα τὰ κατὰ τὸν μακάριον Ἰσάκιον, καὶ θεασάμενος τὴν ἀγγελικὴν αὐτοῦ θέαν καὶ διαγωγὴν, πάνυ ἐτέρφθη ἐπ' αὐτῷ· καὶ ἐπεθύμησε καὶ αὐτὸς τὸν ἴσον ἀγῶνα θέσθαι αὐτῷ· διεμερίζετο δὲ (228β1) τῷ λογισμῷ καθ' ἑαυτὸν ἀσχάλλων τὸ, ποίῳ τρόπῳ καταλείψῃ τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα· ἦν γὰρ βιωτικὸς ὁ ἀνὴρ, καὶ περιουσίαν πολλὴν κεκτημένος, εὐγενής τε καὶ περιφανὴς, καὶ τῶν ἀφηλίου ἀνατολῶν γένος . . . . . ἀπείη δὲ ὁ μακάριος Δαλμάτος, ἔνδον ἔχων τὴν ἐπιθυμίαν ἀναφλέγουσαν· μετὰ οὖν ὀλίγας ἡμέρας, πάλιν ἐπορεύθη πρὸς τὸν μακάριον· καὶ αἰτήσας εὐχὴν παρ' αὐτοῦ, ἔμεινεν ἐκεῖ μετ' αὐτοῦ ἑπτὰ ἡμέρας, ἀπολαύων τῆς διδαχῆς αὐτοῦ ἀκορέστως ἔχων περὶ τούτου· ἦν γὰρ σπουδαῖος ὁ ἀνὴρ καὶ ζηλωτὴς τῶν ἐντολῶν τοῦ Χριστοῦ . . . . . καὶ ὁ μακάριος Δαλμάτος, πιστεύσας τῷ Κυρίῳ καὶ τῷ θεράποντι αὐτοῦ Ἰσακίῳ, πάντα τὰ ὑπ' αὐτοῦ ἐνταλθέντα εἰς ἔργον ἐξήγαγεν· ἀπελθὼν γὰρ ἐν τῷ οἴκῳ αὐτοῦ, ἀνεκοινώσατο τῇ συμβίῳ αὐτοῦ πάντα τὰ τοῦ σκοποῦ αὐτοῦ· ἡ δὲ θεοφιλὴς ἐκείνη γυνὴ ταῦτα ἀκούσασα παρ' αὐτοῦ, καὶ λύπῃ οὐ τῇ τυχούσῃ κατασχεθεῖσα, ἐδάκρυσε μὲν καὶ ἠνιάθη σφόδρα περὶ τούτου, οὐκ εἶχε δὲ ὅ,τι καὶ δρᾶσαι, γινώσκουσα τοῦ ἀνδρὸς τὸ ἀμετάθετον . . . . . ἀλλὰ πάλιν ἐννοοῦσα αὐτῆς μὲν τὴν χηρείαν (229β1), τῶν δὲ παίδων τὴν ὀρφανίαν, σὺν τούτοις δὲ καὶ τὴν ἐπὶ ξένοις αὐτῆς κατάλειψιν, οὐκ ἤθελε παρακληθῆναι, ἀλλὰ θρήνοις ἑαυτὴν συνέκοπτεν· ὁ δὲ τίμιος Δαλμάτος πρὸς αὐτὴν εἶπε· "τί ποιεῖς οὕτως, ὦ κυρία μου, κλαίουσα καὶ συνθρύπτουσά μου τὴν καρδίαν· μᾶλλον ὤφειλες καὶ αὐτὴ, θεοσεβὴς οὖσα, τῷ σκοπῷ τούτῳ ἐξακολουθῆσαι„ . . . . . Καὶ δὴ, ἐπιλαβόμενος ὁ μακάριος πάντα ὅσα ὑπῆρχε τῇ γυναικὶ, κινητὴν περιουσίαν ἔν τε χρυσῷ καὶ ἀργύρῳ, καὶ πάντα κόσμον τῆς γυναικὸς, καὶ τοὺς παῖδας αὐτῆς καὶ τὰς παιδίσκας, καὶ τὸ θῆλυ παιδίον, δέδωκεν εἰς τὰς χεῖρας τῆς γυναικὸς, εἰρηκὼς πρὸς αὐτήν· "σῴζου, γύναι, μὴ λυποῦ, μηδὲ δάκρυε· ἀλλὰ τῇ βοηθείᾳ τοῦ Θεοῦ φρουρουμένη, ἄπελθε πρὸς τοὺς σοὺς γονεῖς, ἐπιμελουμένη τῆς ἑαυτῆς ψυχικῆς σωτηρίας„ . . . . . (280α2) Συνταξάμενος δὲ αὐτῇ καὶ τὸ τελευταῖον συντακτήριον ἀποδοὺς, ἀπέλυσεν ἐπὶ τὴν ἀνατολὴν πορεύε-

7. Προκοπίου, Περὶ κτισμάτων· σελ. 200.

8. ταῦτα κατὰ τὸν Εὐάγριον· Ἐκκλησιαστ. Ἱστορ. Δ', κ', κδ' καὶ κγ'.

9. Εὐτυχίου βίος· Migne, τόμ. ΠΣΤ', στ. 2313.

10. Πατριαρχ. Πίνακες· σελ. 348.

11. Δουκαγγίου, Const. Christ. σελ. 108α.

12. Θεοφ. Α', σελ. 357.

13. αὐτόθι· σ. 684. Ζωναρᾶς· ΙΕ', 8 (Δινδόρφ. Γ', 355).

14. Λέων γραμματικός· σελ. 290. Συμεὼν μάγιστρος· σελ. 720. Γεώργιος μοναχός· σελ. 876.

15. λίαν ἔσπευσεν ὁ Le Quien γράψας τὸν Δαλμάτον μητροπολίτην γενόμενον Κυζίκου. Oriens Christianus· τόμ. Α', στήλη 752.

σθαι, ὅθεν καὶ αὕτη ἡ τιμία συζυγία ὥρμητο. Τὸν δέ γε ἀοίδιμον υἱὸν αὐτοῦ Φαῦστον λαβὼν μεθ' ἑαυτοῦ ὁ μακάριος Δαλμάτος, κομιδῇ νήπιον ὄντα, ὑπέστρεψε πρὸς τὸν ὅσιον πατέρα ἡμῶν Ἰσάκιον . . . . . Ἐλθούσης τῆς ἁγίας Ἀναλήψεως, ἀπελθὼν ἐγγὺς αὐτοῦ ὁ θεῖος Ἰσάκιος ἐφώνησεν αὐτῷ ἐκ τρίτου λέγων· "Ἀδελφὲ Δαλμάτε, πόσα κοιμᾶσαι· ἀνάστα„. Καὶ κρατήσας αὐτὸν τῆς χειρὸς, ἀνεκάθισε· καὶ ἔτριψεν αὐτοῦ τὴν ὄψιν· καὶ λέγει πρὸς τὸν ὅσιον (232α2) Ἰσάκιον "Ἐψαλλαν, κύριέ μου πάτερ, οἱ ἀδελφοὶ τὴν τρίτην; „ Καὶ ἀπεκρίθη πρὸς αὐτὸν ὁ μακάριος Ἰσάκιος "Σὺ γὰρ ποῦ ἦσθα, ἵνα μὴ εἴδῃς εἰ ἔψαλλον„. Καὶ ὁ ἀοίδιμος Δαλμάτος πρὸς αὐτόν· "Ὧδε ἤμην, ἐγγύς σου τοῦ πατρός μου· ἐπὶ δὲ τοῦ παρόντος, εἰς τοὺς Ἁγίους Μακκαβαίους ἤμην ἐν τῇ συνάξει„. Καὶ λέγει πρὸς αὐτόν· "Πόθεν δῆλον ὅτι ἐκεῖ ἦς; „ Ὁ δὲ ἔφη· "Ἐκεῖ ἤμην μετὰ τοῦ πατριάρχου Νεκταρίου εἰς τὴν ἁγίαν λειτουργίαν· καὶ μετ' αὐτοῦ ἤμην καθήμενος ἐν τῷ θρόνῳ, δεύτερος τοῦ πατριάρχου· καὶ οὐ μόνος ἐγὼ, ἀλλὰ καὶ ἀδελφοὺς τρεῖς τοῦ μοναστηρίου ἡμῶν εἶδον ἐκεῖσε„. Καὶ ἠρώτησεν αὐτὸν ὁ μακάριος Ἰσάκιος "Ποῦ ἵσταντο οἱ ἀδελφοί; „ Ὁ δέ φησιν ""Οτι ὁ μὲν εἷς ἐγγύθεν τῶν καγγέλων, ὁ δὲ δεύτερος πλησίον τοῦ ἄμβωνος, καὶ ὁ τρίτος ἐγγὺς τῶν πυλεώνων τῶν μεγάλων„. Ταῦτα ἀκούσας ὁ θεοφόρος Ἰσάκιος, προσκαλεσάμενος τὸν ὀστιάριον αὐτοῦ, παραγγέλλει αὐτῷ, λέγων ὅτι "Τοὺς ἀδελφοὺς τοὺς ἐρχομένους ἀπὸ τῆς συνάξεως τῆς ἁγίας Ἀναλήψεως, ἕνα ἕνα φέρε μοι ὧδε„. Καὶ ἐλθόντων αὐτῶν, ἤγαγεν αὐτοὺς πρὸς αὐτόν . . . . . Μετὰ δὲ χρόνον τινα βασιλεύοντος Θεοδοσίου τοῦ μεγάλου καὶ Νεκταρίου τοῦ ἁγιωτάτου τὸν θρόνον τῆς ἐπισκοπῆς ἐπέχοντος, ἐκοιμήθη ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰσάκιος. Καὶ ἐλθόντος τοῦ ἐπισκόπου Νεκταρίου ἐν τῇ μονῇ καὶ ἐρωτῶντος τοῖς πρεσβυτέροις καὶ τοῖς λοιποῖς μοναχοῖς τὸ, τίνα ἂν αὐτῶν βούλοιντο εἶναι ἡγούμενον, πάντες ὁμοθυμαδὸν εἶπον τὸν μακάριον Δαλμάτον θέλειν, ὃν καὶ ὁ Θεὸς ἐξελέξατο καὶ ἀφώρισεν· ὁ δὲ οὐκ ἐπείθετο αὐτοῖς, ἀνάξιον ἑαυτὸν ὑπολαβὼν καὶ ἰδιώτην καὶ ἀνίκανον· μόλις δέ ποτε πεισθέντος αὐτοῦ, κοινῇ πάντων ψήφῳ καὶ τῇ τοῦ Θεοῦ βουλήσει, κατέστησαν αὐτὸν ἡγούμενον, χειροτονήσαντες ὁμοῦ καὶ πρεσβύτερον τῷ εἰκοστῷ δευτέρῳ ἔτει τῆς ἐκ τοῦ κόσμου αὐτοῦ ὑποχωρήσεως· καὶ γὰρ τριακοστὸς ἀπετάξατο, καθὼς ἐκ τῶν χρονικῶν ἀνεμάθομεν· καὶ δείκνυται συμβιωτεύσας τῷ (233α1) μακαρίῳ Ἰσακίῳ χρόνους δεκαέξ· ὁ γὰρ ἐν ἁγίοις Ἰσάκιος κβ' χρόνους ποιεῖ ἐν Κωνσταντινουπόλει· τῷ οὖν δευτέρῳ ἔτει τῆς Ἀρκαδίου, υἱοῦ Θεοδοσίου, βασιλείας χειροτονεῖται ὁ ἀοίδιμος Δαλμάτος ἡγούμενος καὶ πρεσβύτερος· καὶ ἦν λοιπὸν ὁ ἅγιος διαπρέπων ἐν τῇ ἀσκήσει . . . . . κατὰ πάντα ἐξομοιούμενος τρόπον ἢ καὶ ὑπερβαίνων τοῦ θεοφόρου Ἰσακίου. . . . Συνέβη οὖν μετὰ (233β2) χρόνον ὀλίγον τελειωθῆναι τὸν ἐν ἁγίοις ἐπίσκοπον Κωνσταντινουπόλεως Νεκτάριον, κρατήσαντα τῆς ἐπισκοπῆς χρόνους ἓξ πρὸς τοῖς δέκα, σὺν μησὶ τέσσαρσι. Καὶ μετ' αὐτὸν, Ἰωάννης ὁ Χρυσόστομος, ἀχθεὶς ἀπὸ Ἀντιοχείας τῆς μεγάλης, χρόνους πέντε. Καὶ τούτου ἐν ἐξορίᾳ τελευτήσαντος, εἰσάγεται ἀντ' αὐτοῦ Ἀρσάκιος, ἐπισκοπεύσασθαι χρόνους ι'. Καὶ μετ' αὐτὸν Ἀττικὸς ἔτη κ', μῆνας ἕξ. Καὶ τούτου τελευτήσαντος, διαδέχεται τὸν θρόνον τῆς ἐπισκοπῆς Σισίνιος, ἀνὴρ εὐλαβὴς καὶ φιλόθεος. Καὶ τούτου διαπρέψαντος ἐν τῇ ἐπισκοπῇ ἔτος ἕν, μῆνας δέκα, καὶ πρὸς Κύριον ἐκδημήσαντος, πολλὴ φιλονεικία τῇ ἐκκλησίᾳ καὶ τοῖς ἱερεῦσιν ἐγένετο, τίς ἄρα ὀφείλει ἐπισκοπεῦσαι ἐν τῇ βασιλευούσῃ. Ζητήσεως οὖν πολλῆς γεγονυίας ποῦ εὑρεῖν δυνηθῶσιν ἄνδρα θεοσεβῆ καὶ συνετὸν, τὸν ὀφείλοντα ἱερατεύειν ἐν ταύτῃ τῇ μεγαλοπόλει . . . . καὶ διελθουσῶν ἡμερῶν οὐκ ὀλίγων περὶ τῆς ζητήσεως ταύτης, φήμη (234α1) διέδραμε περί τινος, Νεστορίου ὀνόματι, ὡς ἀξίου ὄντος αὐτοῦ εἰς τὸ γενέσθαι ἐπίσκοπον Κωνσταντινουπόλεως· καὶ τὰ μὲν ἔνδοθεν αὐτοῦ οὐδεὶς ἠπίστατο εἰμὴ μόνος ὁ Θεός· τὰ δὲ ἔξωθεν αὐτοῦ ὑπῆρχεν ἐν προσχήματι δορᾷ προβάτου σχηματιζόμενος, καὶ ὑποκρινόμενος τὴν εὐσέβειαν . . . . . Τῷ δὲ ἁγίῳ πατρὶ ἡμῶν Δαλμάτῳ οὐδὲ τοῦτο ἀπέκρυψεν ὁ Θεὸς, ἀλλ' ἀπεκάλυψεν αὐτῷ δι' ὀπτασίας . . . . . καὶ χειροτονηθεὶς ὁ ἀνάξιος τῆς ἱερωσύνης Νεστόριος ἦλθεν ἐν τῷ μοναστηρίῳ, καθὼς ἔθος ἐστὶ κρατηθὲν ἐκ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰσακίου τὸ ἔρχεσθαι τὸν καθ' ἡμέραν (234α2) ἐπίσκοπον καὶ προσκυνεῖν τοὺς ἁγίους. Ἐλθὼν οὖν καὶ αὐτὸς Νεστόριος μετὰ καὶ τοῦ κλήρου τῆς μεγάλης ἐκκλησίας τοῦ προσκυνῆσαι τὸν ὅσιον, καὶ θελήσαντος αὐτοῦ εἰσελθεῖν εἰς τὸ κελλίον τοῦ ἀνδρὸς, διεκώλυσεν αὐτὸν λέγων. ""Απελθε διόρθωσαι τὰ κρυπτὰ τῆς καρδίας σου· καὶ τότε εἰσέρχῃ εἰς τὸ κελλίον μου„. Ταῦτα ἀκούσας ὁ δυσώνυμος Νεστόριος, σκότους καὶ αἰδοῦς πλησθείς, ἐξῆλθε καὶ ἀπῆλθε καὶ μὴ βουλόμενος· ὅ-

σοι δὲ τῶν τῆς πόλεως ἤρχοντο προσκυνῆσαι τὸν ἅγιον κληρικῶν τε καὶ κοσμικῶν, παρήγγελλεν αὐτοῖς ὁ ὅσιος λέγων· Γρηγορεῖτε καὶ βλέπετε ἑαυτούς . . . . . Διὰ ταύτας οὖν τὰς βλασφημίας αὐτοῦ Σύνοδος συνεκροτήθη οἰκουμενικὴ ἐν τῇ Ἐφεσίων μητροπόλει, κατὰ κέλευσιν Θεοδοσίου τοῦ βασιλέως· καὶ καθελὼν τὸν μιαρὸν Νεστόριον τοῦ θρόνου Κωνσταντινουπόλεως καὶ ἄκοντα ἐν Ἐφέσῳ ἔπεμψεν· ἀλλὰ καὶ ἐκεῖσε πάλιν ἀπελθὼν ὁ δείλαιος τῇ βλασφημίᾳ προστιθεὶς οὐκ ἐπαύσατο . . . . . συναχθεῖσα γὰρ ἡ ἁγία Σύνοδος ἐν Ἐφέσῳ . . . . . καθεῖλεν αὐτὸν τῇ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος, ἀναθέματι ὑποβαλοῦσα, ὅπως λοιπὸν τῆς οἰκουμένης ὅλης ἐκκοπῇ τὰ σκάνδαλα. Τούτου οὖν διαβοηθέντος ἐν Κωνσταντινουπόλει, πάντες οἱ τὰ ἐκείνου φρονοῦντες καὶ παρ' αὐτοῦ λαβόντες τὰ ἐκκλησιαστικὰ πάντα, συνεσκευάζοντο φρουροῦντες τὰ πλοῖα καὶ τὰς ὁδοὺς, καὶ μὴ συγχωροῦντες μήτε ἐλθεῖν ἐν Κωνσταντινουπόλει τινὰ τῶν τῆς ἁγίας Συνόδου, μήτε ἀπελθεῖν ἐκεῖ τινὰ τῶν ὀρθοδόξων, ἀλλὰ μόνον τὰ τοῦ ἐχθροῦ τοῦ Χριστοῦ ἠπείγοντο καὶ ἐφέροντο γράμματά (235α1) τε καὶ μηνύματα . . . . . ἐξ οἰκονομίας Θεοῦ, ἔρχεται ἐπιστολὴ ἀπὸ Ἐφέσου γραφεῖσα παρὰ τῆς ἁγίας Συνόδου πρὸς τὸν ἀρχιμανδρίτην πάντων τῶν τῆς βασιλευούσης πόλεως μοναστηρίων Δαλμάτον καὶ πρὸς Κωμάριον Ποτάμονα ἐπίσκοπον, πεμφθεῖσα διά τινος ἐπαίτου· δήσαντες γὰρ τὴν ἐπιστολὴν καὶ ἐνθέντες ἔσωθεν καλάμου, οὕτως ἐπαιτῶν καὶ ἐπιφερόμενος τὸν κάλαμον, ἤνεγκε ταύτην πρὸς τὸν ἅγιον Δαλμάτον· ὃς δεξάμενος ταύτην καὶ ἀναγνοὺς, καὶ γνοὺς τὴν δύναμιν αὐτῆς, ἐταράχθη σφόδρα, καὶ διενοεῖτο ἐπὶ τοῦτο ὅ,τι καὶ πράξοι· ἦν γὰρ ἔχων τεσσαράκοντα καὶ ὀκτὼ ἔτη μὴ ἐξελθὼν τοῦ κελλίου αὐτοῦ, ἀλλὰ πάμπαν ἀπρόϊτος ὤν, ἔμενεν ἔνδον ἡσυχάζων . . . . . ἐξελθὼν, προσεκαλέσατο τοὺς μοναχοὺς ἅπαντας τῆς ὑπ' αὐτὸν ποίμνης καὶ τοὺς ἡγουμένους τῶν λοιπῶν μοναστηρίων· καὶ συναχθέντων εἰς πλῆθος, καὶ γὰρ καὶ τῶν κατὰ κόσμον ὀρθοδόξων ἄνδρες οὐκ ὀλίγοι συνηθροίσθησαν, μετὰ λιτανείας καὶ ᾠδῶν καὶ συμφωνίας πνευματικῆς, ἦλθον εἰς τὸ παλάτιον. Ὡς οὖν ἤκουσεν ὁ βασιλεὺς τῆς φωνῆς τῶν ψαλλόντων, ἠρώτησε τοῖς σὺν αὐτῷ παρεστῶσι λέγων· "Τίς ὁ ἦχος, καὶ τίς ἡ ψαλμῳδία τῶν ᾀδόντων„. Καὶ λέγουσιν αὐτῷ, ὅτι Δαλμάτος ἐστίν· ἐθαύμασε λέγων ὅτι "Πολλάκις (235β2) ἀπῆλθον πρὸς αὐτὸν, σεισμῶν γενομένων, καὶ παρεκάλεσα αὐτὸν ἐξελθεῖν καὶ λιτανεῦσαι, καὶ οὐκ ἐπείσθη μοι· καὶ νῦν, τί ἐστιν ὅτι παραγέγονε; „ Καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῦ· καὶ βαλὼν αὐτῷ μετάνοιαν, καὶ ἀσπασάμενος, καὶ εὐλογηθεὶς ὑπ' αὐτοῦ, εἰσῆλθε μετὰ τοῦ βασιλέως· τὸ δὲ πλεῖστον, ἔξωθεν ἔμεινε ψάλλοντες· ἰδιάσας οὖν . . . . . ἀπήγγειλεν αὐτῷ * πάντα τὰ συμβάντα. ὑποδείξας αὐτῷ καὶ τὴν ἐπιστολὴν τὴν πεμφθεῖσαν παρὰ τῆς ἁγίας Συνόδου . . . . . καὶ ἀνελθὼν ἐν τῷ ἄμβωνι ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Δαλμάτος, εἶπε πρὸς τὸν λαόν· "Ἄνδρες ἀδελφοὶ καὶ πατέρες· εἰ θέλετε ἀκοῦσαι, ἡσυχάσατε μικρὸν καὶ μακροθυμήσατε· καὶ μὴ θελήσητε ἐμποδίσαι τοῖς λεγομένοις· κἀγὼ ὑμῖν ἀναγγείλω τὰ ῥήματα, ἃ ἀκριβῶς παρὰ τοῦ βασιλέως ἤκουσα περὶ τῆς ἁγίας Συνόδου. Ὁ εὐσεβέστατος βασιλεὺς ἀνέγνω τὴν ἐπιστολὴν τὴν πεμφθεῖσαν ἡμῖν παρὰ τῆς ἁγίας Συνόδου καὶ ἃ οὐκ ἔγνω ἐπέγνω· καὶ τὰ μὲν διὰ τῆς ἐπιστολῆς ἐπέγνω, τὰ δὲ παρὰ τῆς ἡμετέρας εὐτελείας· ἐγνωρίσθη δὲ αὐτῷ καὶ τὰ τῆς σκαιότητος τοῦ ἀθλίου Νεστορίου„ . . . . . Τούτοις πᾶσιν ὑπαναγνοὺς τοῖς λαοῖς ὁ μακάριος Δαλμάτος ἐν τῷ τοῦ ἁγίου μάρτυρος Μωκίου σηκῷ, καὶ ἐπαλείψας ἅπασι τοῦ μὴ ἐξακολουθῆσαι τὸ τοῦ λοιμώδους Νεστορίου δόγμα τὸ ἔκφυλον, μετ' εἰρήνης ἀπέλυσεν αὐτοὺς εἰς τὰ ἴδια. Μετὰ ταῦτα, πείθει τὸν βασιλέα Θεοδόσιον γράψαι κέλευσιν τῇ ἱερᾷ Συνόδῳ συμψηφισάμενος καὶ αὐτὸς τὴν καθαίρεσιν Νεστορίου· ἀντιγράφει δὲ καὶ ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Δαλμάτος, ὡς ἐκ προσώπου πάσης τῆς Ἐκκλησίας καὶ τῶν λογάδων τῆς πόλεως, τὰ εἰκότα πρὸς τὸν ἐν ἁγίοις Κύριλλον ἀρχιεπίσκοπον Ἀλεξανδρείας· ὡς ἀναθέματι πάντες οἱ τὴν πόλιν οἰκοῦντες καὶ καθαίρεσιν παντελῶς καὶ ἀλλοτρίωσιν ἐκ Θεοῦ καὶ τῆς τῶν χριστιανῶν πίστεως, ἥτις γέγονε διὰ τῆς ἐκ παρθένου ἐνανθρωπήσεως, διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καθυπέβαλον. (237α1) Εἶτα ἀντιγράφει αὐτῷ πάλιν ἡ ἁγία Σύνοδος ἐπιστολὰς ἑτέρας πέντε· καὶ συμφωνοῦσιν ὅ τε ἐν ἁγίοις Κύριλλος καὶ ἡ πᾶσα ἱερὰ Σύνοδος μετὰ καὶ τοῦ ἐν ἁγίοις Κελεστίνου πάπα Ῥώμης, καὶ ἐκφέρουσι ψῆφον μετὰ τὴν καθαίρεσιν Νεστορίου τοῦ θεοστυγοῦς, μετὰ ἀναθέματος καὶ ὑπογραφῶν τοῦ εἶναι ἀρχιμανδρίτην καὶ ἔξαρχον, πρωτοπρεσβύτερον καὶ ἄρχοντα τὸν ἐν ἁγίοις

* τῷ Θεοδοσίῳ Β' δῆλα δή.

καὶ μακάριον Δαλμάτον, καὶ τοὺς μετ' αὐτὸν ἡγουμενεύειν μέλλοντας τῇ αὐτοῦ μονῇ, πάντων τῶν εὐαγῶν μοναστηρίων τῆς πόλεως ἕως τῆς συντελείας τοῦ αἰῶνος, ἀποδόντες αὐτῷ τὰ πρεσβεῖα μετὰ καὶ συναινέσεως τῶν ἁγιωτάτων καὶ φιλοχρίστων βασιλέων Θεοδοσίου καὶ Οὐαλεντίνου Ῥώμης, ἐγγράφως ἐξέθεντο . . . . . Μετὰ οὖν τὸ πληρωθῆναι ταῦτα πάντα, διαδέχεται τὸν αἱρετικὸν Νεστόριον Μαξιμιανός· καὶ τούτου καλῶς κυβερνήσαντος τὴν ἁγιωτάτην Ἐκκλησίαν Κωνσταντινουπόλεως καὶ ἐν εἰρήνῃ κοιμηθέντος, διεδέξατο τὴν ἐπισκοπὴν αὐτοῦ Πρόκλος, ἀνὴρ ἐλλόγιμος καὶ ὀρθόδοξος, οὗτινος καὶ ὁμιλίαι ὀρθόδοξοι καὶ ἐπιστολαὶ φέρονται μέχρι τοῦ νῦν· ἐπὶ τούτου οὖν τοῦ ἐπισκόπου, ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν (237 b 1) Δαλμάτος ἐκοιμήθη ἐν εἰρήνῃ . . . . . Ὁ οὖν μακάριος Φαῦστος ἦν ὡς ἀληθῶς ἀγγελικὸν τὸν βίον κεκτημένος, ἐν καλῇ καταστάσει, κατὰ πάντα ἀπηκριβωμένος, ἐξομοιούμενος τῷ πατρὶ, οὐ μόνον τῇ σωματικῇ ἰδέᾳ, ἣν καὶ αὐτὸς βαθὺ τὸν πώγωνα ὡς Ἀαρὼν ἔχων, πραῢ δὲ τὸ πρόσωπον, κατηγλαϊσμένον τῇ χάριτι τοῦ ἁγίου Πνεύματος, εἰς γῆρας λοιπὸν καὶ αὐτὸς καταντήσας· ἀλλὰ καὶ ταῖς (238 a 1) ψυχικαῖς ἀρεταῖς καλλυνόμενος καὶ φαιδρυνόμενος, δίκην φωστῆρος τοῖς πᾶσιν ἔλαμπε· καὶ ἦν ἐν μέσῳ τῆς ἀδελφότητος τοῖς πᾶσιν ὑπερανεστηκὼς, καὶ ὑπερβαλλόντως ὑπερέχων ἅπασι πράξει τε καὶ λόγῳ· ὃν καὶ εὐλογήσας ὁ πατὴρ καὶ πλεῖστα ἐπευξάμενος καὶ νουθετήσας οὐ μόνον αὐτὸν, ἀλλὰ καὶ πᾶσαν τὴν ἀδελφότητα, περί τε ἐγκρατείας καὶ σωφροσύνης καὶ ἁγνείας, περί τε ταπεινώσεως καὶ ὑπακοῆς καὶ ἐλεημοσύνης, καὶ ἐπευξάμενος αὐτοὺς, καὶ εὐλογήσας, καὶ τὸ τελευταῖον ἀσπασάμενος, ... εἰς χεῖρας Θεοῦ παρέδωκε τὸ πνεῦμα, καλῶς κυβερνήσας τὴν ἐμπιστευθεῖσαν αὐτῷ ποίμνην ὑπὸ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐπὶ χρόνοις πεντηκονταπέντε· ὁ δὲ πᾶς τῆς ζωῆς αὐτοῦ χρόνος γέγονεν ὀγδοηκοστὸς πέμπτος. Ὡς δὲ ἀκουστὴ ἐγένετο ἡ τοῦ ἁγίου κοίμησις πάσῃ τῇ πόλει, ἦν ἰδεῖν ὡς ἐξ ἑνὸς συνθήματος ἅπαντας συρρέοντας ἐπιτοαυτὸ, ἀπό τε ἱερέως (238 a 2) καὶ πρεσβύτου, νεανίσκου τε καὶ μοναχῶν τάγματα ἄπειρα· ἁπάντων συντρεχόντων ἐπὶ τῇ κηδείᾳ τοῦ ἱεροῦ καὶ τιμίου αὐτοῦ λειψάνου, καὶ ἑκάστου αὐτῶν κηροὺς ἐπιφερομένων ἐν ταῖς χερσὶν αὐτῶν, ὡς μηδὲ γυναιξὶ παραιτεῖσθαι λαϊκῶν τε καὶ παρθένων τῆς ἱερᾶς ἐκείνης προπομπῆς· καὶ τοσοῦτος ὥστε μηδὲ τὰ πρὸς τὴν θύραν χωρεῖν τοῦ μοναστηρίου αὐτοῦ· καὶ οὕτως λοιπὸν ἀνεκομίσθη τὸ τίμιον αὐτοῦ λείψανον ὑπὸ εὐλαβῶν ἀνδρῶν, καὶ παντὸς τοῦ πλήθους ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ πρὸς τὸ ἀσπάσασθαι αὐτὸ . . . . . κἀκεῖθεν προεκομίσθη ἐν τῇ μονῇ αὐτοῦ, προάγοντος ἔμπροσθεν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Πρόκλου καὶ παντὸς τοῦ εὐαγοῦς κλήρου καὶ πάντων τῶν μοναστηρίων, συντρεχούσης, ὡς εἴρηται, καὶ τῆς πόλεως πάσης· καὶ ἕκαστος αὐτῶν ἐσπούδαζε τοῦ ἱεροῦ ἐκείνου σκίμποδος ἅπτεσθαι καὶ εὐλογίας ἀξιωθῆναι τῆς ἐξερχομένης διὰ Πνεύματος ἁγίου ἐξ αὐτοῦ . . . . . Μετὰ δὲ τὴν κηδείαν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ καθαιρέτου τῆς Νεστορίου αἱρέσεως Δαλμάτου τοῦ ὁσιωτάτου, Πρόκλος ὁ ἀοίδιμος πατριάρχης, συγκαλεσάμενος πᾶσαν τὴν ἀδελφότητα τοῦ αὐτοῦ εὐαγοῦς μοναστηρίου, χειροτονεῖ αὐτοῖς τὸν μακάριον καὶ ὅσιον Φαῦστον ἀντὶ τοῦ ἐν ἁγίοις Δαλμάτου, πρεσβύτερον, ἀρχιμανδρίτην· καὶ ἡγούμενον, καὶ ἄρχοντα πάντων τῶν τῆς βασιλίδος μοναστηρίων, κατὰ τὸ κρατῆσαν (238 b 2) ἔθος τῶν ἁγίων συνόδων· καὶ μετὰ ταῦτα, ἐν χαρᾷ ὑπέστρεψεν ἐν τῷ ἐπισκοπείῳ αὐτοῦ. Μετὰ δὲ τρίτην ἡμέραν τῆς κοιμήσεως τοῦ ὁσίου, τὸ θαυματόβρυτον καὶ τρισόσιον αὐτοῦ λείψανον μῦρον ἀνέβλυσεν ἐκ τοῦ ἱεροῦ αὐτοῦ τύμβου, εὐωδίας πνέοντα τοῦ ἁγίου Πνεύματος καὶ τοσοῦτον, ὥστε πληρωθῆναι τὸν ὑποκείμενον ἐκεῖνον τόπον· ὅπερ ἀκουσθὲν ἐν ὅλῃ τῇ πόλει, μετὰ σπουδῆς ἅπαντες ἔδραμον ἀρύσασθαι ἐξ αὐτοῦ, καὶ λαμβάνοντες, πίστει τε χριόμενοι ἐξ αὐτοῦ ἰῶντο ἀπὸ τῶν νόσων αὐτῶν, οὐ μόνον τῶν σωματικῶν, ἀλλὰ πολλῷ μᾶλλον τῶν ψυχικῶν. Τοῦτο τὸ τέλος τοῦ μακαρίου· κἀκείνη ἡ ἀρχὴ τοῦ θαυμαστοῦ καὶ ἐναρέτου αὐτοῦ βίου. Ἐτελειώθη ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Δαλμάτος μηνὶ αὐγούστῳ δευτέρᾳ, ἐν ᾗ ἐπιτελεῖται ἡ ἀνακομιδὴ τοῦ ἁγίου λειψάνου Στεφάνου τοῦ πρωτομάρτυρος, καὶ ἐτάφη τῇ τρίτῃ τοῦ αὐτοῦ μηνός. Ὁ δέ γε ἀοίδιμος αὐτοῦ υἱὸς καὶ ὅσιος Φαῦστος, ἔμεινε ποιμαίνων καλῶς καὶ θεαρέστως τὴν ἐμπιστευθεῖσαν αὐτῷ ποίμνην, κατὰ τὸν δοθέντα αὐτῷ τύπον (239 a 1) παρὰ τοῦ πατρὸς ἀπαραλείπτως ἕως χρόνους ἱκανοὺς, καὶ αὐτὸς εἰς γῆρας βαθὺ καταντήσας· φαίνεται γὰρ μέχρι τῆς εὐσεβοῦς βασιλείας Μαρκιανοῦ ἐπιβιῶναι, καὶ πολλῶν χαρισμάτων καὶ δωρεῶν ἰαμάτων παντοδαπῶν ἀξιωθῆναι παρὰ Θεοῦ διὰ τῆς ἐναρέτου αὐτοῦ καὶ θεαρέστου διαγωγῆς καὶ πολιτείας».

* * *

3. Θεοκλητοῦς ὁσίας.

Ἤκμασεν ἐπὶ Θεοφίλου· θυγάτηρ Κωνσταντίνου καὶ Ἀναστασίας. εἵλκε τὴν καταγωγὴν ἐκ τοῦ θέματος τοῦ Ὀψικίου[16], οὖσα γυνὴ εὐσεβὴς καὶ ἐλεήμων, κατὰ τὸν Συναξαριστήν.

§

4. Τὰ ἐγκαίνια τοῦ Ἁγίου μάρτυρος Προκοπίου πλησίον τῆς Χελώνης.

Ἡ μνήμη παρὰ τῷ Λαυριωτικῷ Δ39 Συναξαριστῇ. Περὶ τοῦ ναοῦ ἴδε εἰς τὴν 8 Ἰουλίου.

* * *

4. Τὰ ἐγκαίνια τοῦ περικαλλοῦς καὶ θείου ναοῦ τῆς μονῆς τοῦ Σωτῆρος Χριστοῦ τοῦ Παντοκράτορος.

Ἐκτίσθη ὑπὸ τῆς Εἰρήνης συζύγου Ἰωάννου τοῦ Κομνηνοῦ, συμπληρώσαντος τὴν οἰκοδομὴν, μεγαλοπρεπῆ καὶ πολυδάπανον γενομένην· μετὰ τὸ 1204 ἦν ναὸς τοῦ λατινικοῦ δόγματος· λέγεται ὅτι περιελάμβανεν ἐπὶ τῶν Κομνηνῶν ἑπτακοσίους μοναχούς. Τῷ 1432, φροντίδι τοῦ ἡγουμένου αὐτῆς Μακαρίου Μακρῆ, ἀνεκαινίσθη, ὡς φαίνεται, καὶ ἐπλουτίσθη ἡ μονὴ αὕτη, ἐν ᾗ κατὰ τὸν ΙΕ' αἰῶνα ἐφυλάσσετο ὁ λίθος, ἐφ' οὗ ἀνακλιθὲν ἐσμυρνίσθη τὸ σῶμα τοῦ Σωτῆρος[17]· τὸν λίθον τοῦτον κείμενον ἐν τῷ λιμένι τοῦ Βουκολέοντος αὐτὸς ὁ Μανουὴλ βαστάζων μετεκόμισεν εἰς τὸν ἐν τῷ Φάρῳ τοῦ παλατίου ναόν· μετὰ θάνατον αὐτοῦ μετήνεγκον εἰς τὴν μονὴν τοῦ Παντοκράτορος ἀνακείμενον εἰς προσκύνησιν τῶν πιστῶν ἐπὶ κρηπίδος παρὰ τὸν τάφον Μανουὴλ τοῦ Κομνηνοῦ[18].—Κατὰ τὸν ΙΔ' αἰῶνα εἶχεν ἴδιον ἡ μονὴ αὕτη κτῆμα τὸ χωρίον Βάρη ἢ Μῆλα, ὅπερ ἦν δεδωρημένον πρὸ τοῦ 1230 τῇ μονῇ τῶν Λέμβων· ἡ μονὴ τοῦ Παντοκράτορος εἶχε κτήματα τῷ 1194 καὶ ἐν Σμύρνῃ[19].

§

5. Ἴας μάρτυρος.

Δύο Ἴαι παρὰ τῷ Συναξαριστῇ τῇ 10 καὶ 11 σεπτεμβρίου· παρὰ τῷ Μηναίῳ τῇ 4 αὐγούστου· κατὰ τὰ ἀρχαιότερα Εὐαγγέλια τῇ 5.

Ναὸς τῆς ἁγίας Ἴας, προϋπάρχων καὶ τῷ χρόνῳ καταπεπτωκὼς, ᾠκοδομήθη τὸ δεύτερον ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ πολυτελέστερος· ἔκειτο δ' ἔσωθεν τῆς Χρυσῆς Πύλης ἀριστερᾷ τῷ εἰσερχομένῳ[20].

* * *

Εὐθυμίου πατριάρχου Κωνσταντινουπόλεως.

Ἡ μνήμη κατὰ τὸ 426 Εὐαγγέλιον. Τὸ γένος ἕλκων ἐκ Σελευκείας, ἐγένετο μοναχὸς ἐν Ὀλύμπῳ τῆς Βιθυνίας καὶ ἔν τινι μοναστηρίῳ κατὰ τὸν Ἀστακηνὸν κόλπον, ἐχρημάτισε δὲ σύγκελλος τοῦ πατριάρχου Στεφάνου Α'· «θεοσεβὴς καὶ ἀρετῆς ἥκων εἰς τὸ ἀκρότατον»[21] ἐδέξατο τὸν πατριαρχικὸν θρόνον βιασθεὶς κυρίως ὑπὸ τῶν τοποτηρητῶν τοῦ πάπα Ῥώμης. Ἱεράτευσεν ἀπὸ τοῦ 906-911 παυθεὶς ὑπὸ Ἀλεξάνδρου τοῦ ἀδελφοῦ Λέοντος Σοφοῦ καὶ περιωρίσθη εἰς τὴν μονὴν τοῦ Ἀγαθοῦ, ἐν ᾗ ἀπεβίωσε τῇ 5 αὐγούστου 917 κατὰ τὸν De Boor, ταφεὶς αὐτόθι[22].

§

6. Ἡ μεταμόρφωσις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἡ προέλευσις τῆς 6 αὐγούστου μέχρι τοῦ ΙΒ' αἰῶνος ἐγίνετο ἐν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας· ἀπὸ τοῦ ΙΒ' καὶ ἑξῆς ἐν τῇ περικαλλεῖ μονῇ τοῦ Παντοκράτορος[23].

---

16. τὸ Θέμα τοῦ Ὀψικίου περιελάμβανε, κατὰ τὸν Πορφυρογέννητον (ἐν τῷ περὶ Θεμάτων βιβλίῳ) τὰς σημερινὰς μητροπόλεις Κυζίκου, Νικαίας, Προύσης καὶ Ἀγκύρας. ἔχον πόλεις Κοτύαιον, Δορύλαιον, Μύρλειαν, Λάμψακον, Ἄβυδον, Πάριον (Κεμὲρ τὴν σήμερον), Κύζικον κλπ.

17. βλ. προχείρως Πασπάτη Μελέτας, σελ. 309-313, καὶ Σκ. Βυζαντίου «Κωνσταντινούπολιν», Α', σ. 554-556. Ἐσφαλμένως ὁ Πασπάτης ἔγραψεν ἐν σελίδι 309, ὑποσημειώσει 5, ὅτι ὁ Φραντζῆς ὀνομάζει τὴν τῆς μονῆς κτιτόρισσαν Εἰρήνην, τὴν κατόπι Ξένην μοναχὴν, Ὑπομονὴν, διότι ὁ δυστυχὴς Φραντζῆς γράφει περὶ τῆς συζύγου Ἰωάννου τοῦ Παλαιολόγου Εἰρήνης, τῆς ἀποθανούσης τὴν 23 μαρτίου 1449. Φραντζῆς· σελ. 210. Τὸ τέμενός ἐστι γνωστὸν σήμερον ὑπὸ τὸ ὄνομα Ζεϊρέκ.

18. Νικ. Χωνιάτης· σελ. 289.

19. Miklosich καὶ Müller, Acta Monasteriorum· τόμ. Α', σελ. 13, 184.

20. Προκοπίου, Περὶ κτισμάτων· σελ. 201.

21. Κεδρηνός· Β', σελ. 265.

22. Ἴδε κατ' ἔκτασιν τὸν ὑπὸ De Boor ἐκδοθέντα Βίον Εὐθυμίου· ἐν Βερολίνῳ, 1888· περὶ δὲ τῶν ἐπὶ Εὐθυμίου πράξεων Πατριαρχ. Πίνακας, σελ. 296-298.

23. Πορφυρογεν. Ἔκθ. σελ. 779. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 81.

Εἰκὼν τῆς Μεταμορφώσεως ὑπῆρχε κατὰ τὸν Ι΄ αἰῶνα παράδοσις ὅτι «προτροπῇ Πέτρου τοῦ κορυφαίου γέγονεν ἡ ἐν Ῥώμῃ μέχρι τοῦ νῦν τηρουμένη»[24].—Κατὰ τὰ τέλη τοῦ ΙΒ΄ αἰῶνος ἐσῴζετο (πιθανῶς ἐν τῷ ναῷ τῶν Μ΄ μαρτύρων) εἰκὼν τοῦ Σωτῆρος ἡ κατὰ παράδοσιν λαλήσασα Μαυρικίῳ τῷ αὐτοκράτορι· ταύτην Ἀνδρόνικος ὁ Κομνηνὸς περιέβαλε πολυτελεῖ κόσμῳ[25].—Ἑτέραν εἰκόνα τοῦ Σωτῆρος θαυματουργήσασαν ἐν Βηρυττῷ μετεκόμισεν ἐκ τῆς πόλεως ταύτης Ἰωάννης ὁ Τζιμισκὴς εἰς Κωνσταντινούπολιν ἀποθησαυρίσας ἐν τῷ ναῷ τοῦ Σωτῆρος ἐν τῇ Χαλκῇ. Γνωστὴ δὲ τοῖς ἀναγινώσκουσι τοὺς Συναξαριστὰς ἡ ἐπὶ τῆς Χαλκῆς πύλης τοῦ παλατίου ἀνεστηλωμένη περιώνυμος εἰκὼν τοῦ Σωτῆρος, «ἣν καθῆλε πάλαι Λέων ὁ δεσπόζων» δῆλον οὖν ὁ Ἴσαυρος, ἀνεστήλωσε δ' Εἰρήνη ἡ ἀθηναία μουσουργικήν, καθεῖλεν αὖθις Λέων ὁ Ε΄, καὶ πάλιν ἐζωγράφησε Λάζαρος ὁ ζωγράφος ἐπὶ Μιχαὴλ καὶ Θεοδώρας[26]· ταύτην ἐκάλυπτε βῆλον, ἤτοι παραπέτασμα φέρον ἐζωγραφημένην ἐπ' αὐτοῦ τὴν θεανδρικὴν μορφὴν θαυματουργοῦσαν[27]. Περὶ δὲ ἑτέρων εἰκόνων τοῦ Σωτῆρος θαυματουργῶν γίνεται λόγος ἐν τῇ Ζ΄ οἰκουμενικῇ Συνόδῳ, ἐν τῇ πρὸς Θεόφιλον ἐπιστολῇ τῆς ἐν Ἱεροσολύμοις τοπικῆς συνόδου καὶ ἐν ἰδίοις Συναξαρίοις· περὶ τούτων ἠδύνατο 'να γραφῇ βιβλίον ὁλόκληρον καὶ ἕδρα ἰδία μαθήματος, Ἱστορίας τῶν εἰκόνων ἐν γένει 'να δημιουργηθῇ.

Περὶ της νηστείας, ἥτις προηγεῖται τῆς ἑορτῆς τῆς Μεταμορφώσεως, ὡς καὶ τῆς πρὸ τῆς ἑορτῆς τῆς Κοιμήσεως, εὑρίσκομεν παρὰ τῷ Νίκωνι ὅτι Λέων ὁ Σοφὸς, αἴρων πᾶσαν ἀμφισβήτησιν, ἐτύπωσε δεκαπενθήμερον τὴν διάρκειαν τῶν δύο κατ' αὔγουστον νηστειῶν, ἃς τότε τινὲς διήρουν, καὶ «δῆθεν τιμῶντες τὴν τοῦ Σωτῆρος ἑορτὴν ἧσθιον τῇ αὐτῇ ἡμέρᾳ (δῆλά γε δὴ τῇ τῆς Μεταμορφώσεως) τὸ κρέας»[28].

§

7. Δομετίου ὁσιομάρτυρος καὶ τῶν δύο μαθητῶν αὐτοῦ. Ἡ σύναξις εἰς τὸν ἅγιον αὐτῶν ναὸν πέραν εἰς τὰς Ἰουστινιανάς[29].

Ὁ ναὸς ἔκειτο ἐν Γαλατᾷ· φαίνεται δ' ὅτι ἦν ἀρχαῖος, ἐὰν εἰς αὐτὸν ἀνήκῃ ὁ ἐπὶ Μηνᾶ τοῦ πατριάρχου «Στρατόνικος ἡγούμενος τοῦ Ἁγίου μάρτυρος Δομετίου»[30].

* * *

7. Μνήμη τῶν Ἀβάρων ἐν Βλαχέρναις.

Ἀναφέρεται εἰς τὸ ἔτος 626 ἐπὶ Ἡρακλείου, ἐφ' οὗ γινώσκομεν ἐπελεύσεις τῆς πρὸ πολλοῦ λιπούσης τὴν ἱστορικὴν σκηνὴν φυλῆς ταύτης, ἀορίστως μὲν τὴν ἄχρι Σηλυβρίας καὶ τῶν πέριξ τῆς Κωνσταντινουπόλεως πολισμάτων, ἃ πάντα καὶ κυρίως τὰ περὶ τὸν ποταμὸν Βαρβύσσην ἐζημίωσεν[31], ὡρισμένως δὲ τὴν τῆς 5 ἰουνίου 623 (περὶ ἧς ὅμως εἴπομεν), ἐν ἡμέρᾳ Κυριακῇ, καθ' ἣν ἐζημίωσε τὸ Κοσμίδειον, καὶ τὴν τρίτην, βεβαίως ταύτην, καθ' ἣν ἔπαθον τό τε Κοσμίδειον καὶ τὰ πέριξ τῶν Βλαχερνῶν[32].

* * *

7. Τῶν ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένων βασιλισσῶν Πουλχερίας καὶ Εἰρήνης. Ἡ σύναξις ἐν τοῖς Ἁγίοις Ἀποστόλοις.

Ταῦτα κατὰ τὸν Λαυτιωτικὸν Δ39 Συναριστήν· ἀλλ' ἡ μνήμη Πουλχερίας καὶ Εἰρήνης ἀναφέρεται καὶ παρὰ τῷ Βασιλειανῷ. Μνήμην Πουλχερίας μόνης εὑρήσομεν καὶ ἀκολούθως, ἀγνοῶ δὲ διατί συμπίπτουσιν αἱ μνῆμαι τῶν δύο τούτων αὐγουστῶν εἰς τὴν αὐτὴν ἡμέραν. Ἂν ἡ Εἰρήνη αὕτη ἡ σὺν τῇ Πουλχερίᾳ ἑορταζομένη σήμερον ἢ ἡ ἐξ Ἀθηνῶν, ὀφείλει τὴν ἐν τῷ Ἑορτολογίῳ καὶ σὺν τοῖς ἁγίοις συναρίθμησιν εἰς ἃ γράφουσιν ὑπὲρ αὐτῆς Θεόδωρος ὁ Στουδίτης καὶ Θεοφάνης ὁ τῆς Σιγριανῆς, ἴσως δὲ συναρωγὸς εἰς τοῦτο ἐγένετο καὶ τῆς ἐν τῇ νήσῳ Πριγκήπῳ μονῆς ἡ σύστασις. Θεοφάνης ὁ χρονογράφος ποιεῖται μνείαν τῆς ἐν τῷ λιμένι τῆς Πριγκήπου οἰκοδομῆς παλατίου τῷ 570 ὑπὸ Ἰουστίνου Β΄, λέγει δὲ ταύτην οὖσαν προάστειον, ἤτοι ἔπαυλιν αὐτοῦ[33]. Εἰρήνη ἡ βασιλὶς ᾠκοδόμησεν ἐν Πριγκήπῳ μονὴν, εἰς ἣν ὑπὸ Νικηφόρου περιωρίσθη κατὰ νοέμβριον τοῦ 802, εἶτα δ' ἐξωρίσθη εἰς Λέσβον, ὅπου ἀπέθανε τῇ 9 αὐγούστου 803, τοῦ λειψάνου αὐτῆς ἀνακομισθέντος εἰς τὴν μονὴν ταύτην, ἀκμάζουσαν ἐπὶ Λέοντος Ε΄. Θεόδωρος ὁ Στουδίτης ἐξεπλάγη ἰδὼν τὴν ἀδελφότητα τῶν αὐτόθι μοναζουσῶν «ὅση τε καὶ ἡλίκη, ὅτι τε πλήθει ηὐξημένη, καὶ συνέσει διαφέρουσα»[34]· γυναικεία οὖσα ἀναφέρεται ἐπὶ Μιχαὴλ τοῦ Τραυλοῦ[35].

Ἐπὶ τῆς Εἰρήνης συνεκλήθη ἐν Νικαίᾳ τῆς Βιθυνίας ἡ Ζ΄ οἰκουμενικὴ Σύνοδος. Ὅτε δὲ τῆς ἀρχῆς ἐδράξατο Νικηφόρος ὁ ἀπὸ γενικῶν, ὁ λαὸς συνεπάθει τῇ Εἰρήνῃ καὶ ταύτην ἐτίμα, ὡς *ὑπὲρ τῆς ὀρθῆς πίστεως ἀθλήσασαν καὶ μαρτυρήσασαν*[36].

§

8. Τὰ ἐγκαίνια τῶν Ἁγίων Ἀποστόλων Πέτρου καὶ Παύλου ἐν τῷ περιτειχίῳ τοῦ Ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, ἔνδον τοῦ σεπτοῦ οἴκου τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Μαρνακίου.

Ἡ μνήμη κεῖται παρὰ Νικοδήμῳ, παρ' ᾧ ἀναφέρεται καὶ ἡλιακὴ ἔκλειψις ὁλικὴ γενομένη τῇ 8 αὐγούστου 891. Ὁ καθορισμὸς τῶν ναῶν φαίνεταί μοι λίαν ἀσαφής· εἴδομεν ἤδη εἰς τὴν 15 τοῦ μαΐου καὶ τὴν 30 ἰουνίου ναοὺς ἁγίων ἀποστόλων καὶ Θεοτόκου ἐν τῷ Περιτειχίσματι, ἐν τοῖς Φιλοξένου πλησίον τοῦ Φόρου, καὶ ναὸν Πέτρου τοῦ ἀποστόλου ἐν Γαλατᾷ· ? ὑπῆρχεν ὅμως καὶ Ἰωάννου τοῦ Θεολόγου ναὸς αὐτόθι; ? ὑπῆρχε καὶ ἐν Γαλατᾷ Περιτείχισμα; Ἴσως ἔρευναι νεώτεραι ἀποδείξωσι τὴν ὕπαρξιν περιτειχισμάτων καὶ ναῶν· ἐφ' ὅσον ὅμως ἀναπόδεικτα μένουσι τὰ περὶ τῶν ἐν Γαλατᾷ ναῶν καὶ Περιτειχισμάτων, οἱ ναοὶ οὗτοι Ἰωάννου τοῦ Θεολόγου καὶ Πέτρου καὶ Παύλου ἐν Γαλατᾷ μενοῦσιν ἔξω τῆς παρεμβολῆς.

* * *

8. Ἐλευθερίου, Λεωνίδου καὶ τῶν ἁγίων νηπίων τῶν διὰ πυρὸς τελειωθέντων. Ἡ σύναξις αὐτῶν ἐν τῷ οἴκῳ τῆς ἁγίας Εἰρήνης πέραν ἐν Ἰουστινιαναῖς.

Ἡ μνήμη παρὰ Νικοδήμῳ. Περὶ τοῦ ναοῦ τούτου τῆς ἁγίας Εἰρήνης, τοῦ ἐν Γαλατᾷ, βλέπε εἰς τὴν 5 μαΐου.

* * *

8. Αἰμιλιανοῦ ἐπισκόπου Κυζίκου τοῦ ὁμολογητοῦ.

Ἤκμασεν ἐπὶ τῶν εἰκονομάχων· γενόμενος ἀνὴρ ἐλεήμων καὶ χρηστὸς, ὑπερμαχήσας δὲ τοῦ δόγματος τῶν ἁγίων Εἰκόνων ἐπὶ Λέοντος Ε΄, ἀπέθανεν ὑπερόριος ἐν εἰρήνῃ. Ταῦτα κατὰ τὸ λεγόμενον Βασιλειανόν.

§

9. Ματθία τοῦ ἀποστόλου.

Τὸ λείψανον αὐτοῦ ἀπέκειτο ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων[37], ὅπου βεβαίως ἐτελεῖτο καὶ ἡ σύναξις αὐτοῦ.

* * *

9. Κωνσταντίνου πατριάρχου Κωνσταντινουπόλεως.

Ἁπλῆ μνεία τοῦ ὀνόματος ἐν τῷ λεγομένῳ Βασιλειανῷ· εἴδομεν μνήμην Κωνσταντίνου Κωνσταντινουπόλεως τῇ 29 ἰουλίου ἀναφερομένην προδήλως εἰς τὸν Κωνσταντῖνον Α΄, διότι ὁ μὲν Β΄ ἦν εἰκονομάχος σφοδρὸς, καίπερ φονευθεὶς ὑπὸ τοῦ Κοπρωνύμου καθὸ καταγγείλας ἐκεῖνον ὡς νεστοριανίζοντα· ὁ δὲ Γ΄ ἤκμασεν ἕνα σχεδὸν αἰῶνα μετὰ τὴν τοῦ Βασιλειανοῦ λεγομένην σύνταξιν.

* * *

9. Τῶν ἁγίων δέκα μαρτύρων τῶν διὰ τὴν ἁγίαν Εἰκόνα τοῦ Σωτῆρος ἐν τῇ Χαλκῇ πύλῃ ἀθλησάντων.

Μνεία τῶν ὀνομάτων αὐτῶν ἔν τε τῷ Μηναίῳ καὶ τοῖς Συναξαρισταῖς, ὧν μεταξὺ ἀναφέρεται Μαρία πατρικία, οὐχὶ δὲ ἡ Θεοδοσία· οὕτως ἐμπεδοῦται ἡ παράδοσις ἡ τῇ 18 ἰουλίου μηνὸς ἐν τῷ μετὰ χεῖρας «Ἑορτολογίῳ» ἐκτεθεῖσα, τῆς ἐπὶ Κοπρωνύμου δῆλον οὖν ἀθλήσεως τῆς ἁγίας Θεοδοσίας. Φαίνεται ὅτι τῶν δέκα μαρτύρων ἡ ἄθλησις συνέβη τῷ 730, μετὰ τὴν ἐκλογὴν Ἀναστασίου πατριάρχου τοῦ ἀπὸ συγκέλλων[38].

---

24. Συμ. μάγιστρος· σ. 607. Γεώργ. μοναχός· σ. 774.

25. Νικ. Χωνιάτης· σελ. 431.

26. Δουκαγγίου, Σημειώσεις εἰς Ζωναρᾶν (Δινδόρφ. Ϛ΄, σελ. 161).

27. βλ. προχείρως Σ. Βυζαντίου «Κωνσταντινούπολιν»· τόμ. Α΄, σελ. 192-193.

28. Νίκωνος, Περὶ νηστείας· Migne, τόμ. ΡΚΖ΄, 525.

29. ἡ μνήμη τῆς συνάξεως παρὰ Νικοδήμῳ.

30. Morcelli, Kalend. Β΄, σελ. 213. Δουκαγγίου, Const. Christ. σελ. 84, ἀριθ. XXXVI.

31. Νικηφ. πατριάρχης· σελ. 16.

32. Χρον. Πασχάλιον· σελ. 713 καὶ 725.

33. Θεοφ. Α΄, σελ. 375.

34. Στουδίτου ἐπιστολαί· Migne, τόμ. γθ΄, 1405.

35. Theoph. Contin. σ. 79· ὁ Ζωναρᾶς (ΙΕ΄, 24) ἁπλῶς γράφει «ταῖς ἀσκουμέναις μοναχαῖς ἐν τῇ νήσῳ τοῦ Πρίγκηπος»: ὁμιλῶν περὶ τοῦ Τραυλοῦ.

36. Θεοφ. Α΄, σ. 745 καὶ ἀλλαχοῦ. Ζωναρᾶς, ΙΕ΄ 14, (Δινδορφ. Γ΄, 369).

37. Σκ. Βυζαντίου «Κωνσταντινούπολις»· Α΄, σελ. 394.

38. Στεφάνου βίος ὑπὸ Στεφάνου διακόνου· Migne, τ. Ρ΄, στ. 1085.

§

10. Λαυρεντίου τοῦ ἀρχιδιακόνου.

Ἤθλησεν ἐν Ῥώμῃ ἐπὶ Δεκίου.

Νομίζω ὅτι εἰς τὸν Λαυρέντιον τοῦτον ἀναφέρεται ὁ ναός, ὃν ἔκτισεν ἡ αὐγοῦστα Πουλχερία πρὸ τοῦ 450 ἐπὶ τῇ εὑρέσει τῶν λειψάνων Λαυρεντίου καὶ Ἀγνῆς. Ἐὰν ᾖ ὁ ναὸς οὗτος ὁ τῷ 532 ἀναφερόμενος, ἄγνωστον· ἀλλ' αὐτὸς ἔκειτο *πέραν*, ἔχων καὶ προνόμιον ἀσυλίας τῶν καταδίκων[39], καὶ τὸ πέραν τοῦτο σημαίνει βεβαίως ἀπέναντι. Ἐν τούτοις, ἁγίου Λαυρεντίου ναὸς «ἐν ἀριστερᾷ τοῦ κόλπου» τάττεται, πρὸ τοῦ Μ. Ἰουστινιανοῦ ἀφεγγὴς ὤν, ὑπ' αὐτοῦ δ' εὐρύχωρος ἐγερθείς, εὐρυνθεὶς δῆλον οὖν, φωτὸς εἰσαχθέντος ἐν αὐτῷ πολλοῦ. «Ἐπίπροσθεν» αὐτοῦ ἦν ὁ ναὸς τῆς Θεοτόκου τῶν Βλαχερνῶν[40]· ὥστε ἦν ἐντὸς τοῦ τείχους· καὶ συνεπῶς οἱ ναοί εἰσι δύο· 2) ναὸς ἁγίου Λαυρεντίου ὑπῆρχε καὶ ἐν Πουλχεριαναῖς, ὃν ἐκ βάθρων καὶ πάλιν ἀνήγειρε Βασίλειος ὁ Μακεδὼν κομψόν[41]· ἀλλ' αἱ Πουλχεριαναὶ περιελαμβάνοντο ἐν τῷ ἐνδεκάτῳ ῥεγεῶνι τῆς πόλεως, ὁ δὲ ῥεγεὼν οὗτος περιεῖχε τὰ μέρη τὰ ἀπὸ τοῦ τεμένους Σουλτὰν-Μεχμὲτ καὶ τῶν πρὸς τὸν Κεράτιον κατωφερειῶν· καὶ τότε λοιπὸν ὁ ναὸς τοῦ ἁγίου Λαυρεντίου δέον 'να τεθῇ ἄνω τῶν Βλαχερνῶν. Ὁ μυθογράφος Ἀντώνιος τίθησι τοῦτον οὐ μακρὰν τοῦ ναοῦ τῆς ἁγίας Θεοδοσίας, ὁ δὲ ἰατρὸς Mordtmann, ἐπειδὴ πιστεύει τὸ σήμερον Γκιοὺλ-τζαμὶ μονὴν τῶν Δεξιοκράτους, τίθησι καὶ τὸν Ἅγιον Λαυρέντιον ἔσωθεν τοῦ Ἁγιᾶ-καπί[42]· ἀλλ' ὁ Σκ. Βυζάντιος ὀρθότερον πλησίον τοῦ σήμερον Γιενῆ-μπαγτσέ[43]. Ἐπὶ Μηνᾶ πατριάρχου Κωνσταντινουπόλεως ἀναφέρεται 3) μονὴ τοῦ ἁγίου Λαυρεντίου συσταθεῖσα ὑπὸ τοῦ συγχρόνως ἀκμάζοντος ἡγουμένου αὐτῆς καὶ πρεσβυτέρου Θεοδώρου[44].

§

11. Τὰ ἐγκαίνια τοῦ σεβασμίου καὶ περικαλλοῦς οἴκου καὶ θείου ναοῦ τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου τῆς Ἐλεούσης.

Τοῦ ναοῦ γνῶσιν λαμβάνομεν ἀπό τε τοῦ Συναξαριστοῦ καὶ τῶν Μηναίων.

* * *

11. Νεοφύτου, Ζήνωνος, Γαΐου, Μάρκου, Μακαρίου καὶ Γαϊανοῦ τῶν μαρτύρων. Ἡ σύναξις ἐν τῷ ἑξαέρῳ οἴκῳ τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ ἐν τοῖς Δαρείου.

Ναὸς ἴδιος εἰς τιμὴν αὐτῶν οὐκ ἠγείρετο.

§

12. Φωτίου καὶ Ἀνικήτου τῶν μαρτύρων. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν ἐν τῷ Στρατηγίῳ.

Ἤθλησαν ἐπὶ Διοκλητιανοῦ ἐν Νικομηδείᾳ. Ἡ μνεία τῆς συνάξεως παρὰ Νικοδήμῳ. Ὁ ναὸς αὐτῶν ἔκειτο ἐν τῷ Στρατηγίῳ, ὅπερ ὁ διδάκτωρ A. Mordtmann τίθησιν ὅπου νῦν ἡ Ὑψηλὴ Πύλη, ὁ δὲ Σκ. Βυζάντιος παρὰ τὸ Γεσὴρ-παζὰρ τῆς σήμερον[45]. Ὑπῆρχε δὲ καὶ μικρὸν Στρατήγιον παρὰ τῷ ναῷ τοῦ ἁγίου Διομήδους ἔσω τῆς Χρυσῆς Πύλης.

§

13. Εὐδοκίας τῆς βασιλίσσης.

Ἔστιν ἡ γνωστὴ Ἀθηναΐς, ἡ σύζυγος Θεοδοσίου τοῦ Β', ἀποθανοῦσα τὸν ὀκτώβριον τοῦ 460 ἐν τῇ Παλαιστίνῃ, ἐν ᾗ πολλὰς ᾠκοδόμησε μονὰς καὶ τὸν ἔξω τῆς Ἱερουσαλὴμ ναὸν τοῦ ἁγίου Στεφάνου, ἐν ᾧ καὶ ἐτάφη. Κατὰ τὸν Θεοφάνη, ἐβαπτίσθη τῷ 419 ὑπὸ τοῦ Κωνσταντινουπόλεως Ἀττικοῦ, « κάλλει σώματος καὶ συνέσει ψυχῆς καὶ ἐν λόγοις διαπρέπουσα». Ἀλλὰ καὶ Εὐδοκία, ἡ τῆς Εὐδοκίας ταύτης ἐγγόνη καὶ σύζυγος Ὀνωρίχου ῥηγὸς Ἀφρικῆς, ἀρειανοῦ τὸ δόγμα, καταλιποῦσα τοῦτον, ἦλθεν εἰς Ἱεροσόλυμα, ὀρθόδοξος οὖσα, καὶ « ἡμέρας ὀλίγας διατρίψασα ἐν τῇ ἁγίᾳ πόλει ἐτελεύτησεν ἐν εἰρήνῃ (τῷ 472) πάντα τὰ αὐτῆς καταλείψασα ἐν τῇ Ἁγίᾳ Ἀναστάσει »[46].

* * *

13. Ἡ μετάθεσις τοῦ λειψάνου τοῦ ὁσίου Μαξίμου τοῦ ὁμολογητοῦ.

39. Θεοφ. Α', σελ. 164 καὶ 283. Κάλλιστος· Ἐκκλησ. Ἱστ. ΙΔ', ι'. Μαλαλᾶς· σελ. 473.

40. Προκοπίου, Περὶ κτισμάτων· σελ. 193.

41. Theoph. Contin. σελ. 339.

42. Mordtmann, Esquisse· § 63, σ. 39 καὶ § 70.

43. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις», Α', σ. 347.

44. Δουκαγγίου, Const. Christ. σ. 88, ἀρ. LVIII.

45. Esquisse topogr. § 8. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις», Α', σελ. 408.

46. Εὐάγριος· Ἐκκλ. Ἱστ. Α', κα' καὶ κβ'. Θεοφ Α', σ. 130 κ. ἑξ. 183-184. Περὶ τῆς εὐσεβείας τῆς Εὐδοκίας γράφει Κάλλιστος· Ἐκκλ. Ἱστ. ΙΔ', ν'.

Βεβαίως ἡ μονὴ τῆς Χρυσοπόλεως ἄγουσα σύναξιν τῇ 21 ἰανουαρίου (ἴδε ἐκεῖ) ἑώρταζε καὶ κατὰ τὴν ἡμέραν ταύτην.

* * *

13. Μνήμη τῆς ἀοιδίμου βασιλίσσης καὶ κτιτορίσσης τῆς σεβασμίας μονῆς τοῦ Παντοκράτορος Εἰρήνης, τῆς διὰ τοῦ ἁγίου καὶ ἀγγελικοῦ σχήματος μετονομασθείσης Ξένης μοναχῆς[47].

§

14. Μαρκέλλου ἐπισκόπου Ἀπαμείας ἱερομάρτυρος. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ προφητείῳ τοῦ ἁγίου Ἰωάννου τοῦ βαπτιστοῦ ἐν τοῖς Φωρακίου.

Ἤκμαζεν ἐπὶ τοῦ Μ. Θεοδοσίου ἐν Ἀπαμείᾳ τῆς Συρίας.

* * *

14. Ἡ εἰς τὸ παλάτιον ἐπιστροφὴ τοῦ τιμίου Σταυροῦ.

Ἴδε εἰς τὴν 31 ἰουλίου.

§

15. Ἡ κοίμησις τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν Θεοτόκου.

Ἡ ἑορτὴ εἰσήχθη μετὰ τὸν Ε' αἰῶνα. Νικόδημος ὁ τοῦ Συναξαριστοῦ εἶπεν εἰς τὴν 2 ἰουλίου περὶ τῆς ἑορτῆς ταύτης ἀκουσίως ὅ,τι ἔδει 'να εἴπῃ. Ἡ ἐπὶ τῇ ἑορτῇ ταύτῃ προέλευσις ἐγίνετο ἐν τῷ ναῷ τῶν Βλαχερνῶν[48], φαίνεται δ' ὅτι κατὰ τὸν τελευταῖον αἰῶνα, τοῦ ναοῦ τῶν Βλαχερνῶν πυρποληθέντος, ἡ προέλευσις ἐγίνετο ἐν τῇ Ἁγίᾳ Σοφίᾳ, ἐν ᾗ κατὰ τὴν παννυχίδα παρέμενεν ὁ αὐτοκράτωρ[49]. Τῇ 15 αὐγούστου μετὰ τὴν λειτουργίαν ἐν τῷ ναῷ τῶν Βλαχερνῶν προσέφερον, κατ' ἔθος ἐπικρατῆσαν μέχρι τοῦ ΙΒ' αἰῶνος τελευτῶντος, εἰς τὸν πατριάρχην Κωνσταντινουπόλεως « σταφυλὰς ἐν τῷ θυσιαστηρίῳ τοῦ θείου ναοῦ »[50]. — Τὴν λιτὴν τῆς ἑορτῆς ταύτης ἐν Βλαχέρναις ἐθέσπισε τῷ 588 Μαυρίκιος ὁ αὐτοκράτωρ, « καὶ ἐγκώμια λέγειν τῆς δεσποίνης, ὀνομάσας αὐτὴν πανήγυριν »[51]. Ἐντεῦθεν ἡ σύστασις τῆς ἑορτῆς· ὁ δὲ εἰς αὐτὴν ἀρχαιότερος λόγος ἐγράφη μόλις ἐν ἀρχαῖς τοῦ Ζ' αἰῶνος ὑπὸ Μοδέστου πατριάρχου Ἱεροσολύμων[52]. Κατὰ τὴν ἡμέραν ταύτην ἤγετο ἑορτὴ πρὸς ἀνάμνησιν ἐπιθέσεώς τινος γενομένης ἐπὶ Λέοντος Ἰσαύρου κατὰ τῆς Κωνσταντινουπόλεως, ἀλλ' ἀποτυχούσης[53].

§

16. Μνήμη τῆς ἐξ Ἐδέσσης ἀνακομιδῆς τῆς ἀχειροποιήτου Εἰκόνος τοῦ Κυρίου ἡμῶν, ἤτοι τοῦ ἁγίου μανδηλίου.

Τὰς λέξεις ταύτας ἀναγινώσκομεν ἐν τῷ Μηναίῳ, παρ' ᾧ ὅμως διττῶς ἀναγράφεται ἡ μνήμη, καθὼς ἐν τῷ Συναξαριστῇ:

'Ανάμνησις τῆς εἰσόδου τῆς ἀχειροτεύκτου μορφῆς τοῦ Κυρίου καὶ Θεοῦ ..... ἐκ τῆς ἐδεσσηνῶν πόλεως εἰς τὴν βασιλίδα τῶν πόλεων ἀνακομισθείσης.

Ἡ εἴσοδος τῆς θεανδρικῆς μορφῆς, ἣν αὐτὸς ὁ Κύριος ἀπεμάξατο, κατὰ τὴν παράδοσιν, ἐπὶ τετραδίπλου ῥάκους, ἐγένετο τῇ 15 αὐγούστου 944. Τὸ λεγόμενον Βασιλειανόν, μὴ μιμνησκόμενον τῆς εἰσόδου ταύτης, προδήλως ἐγράφη οὐχὶ πρὸ τοῦ 956, καθὼς εἶπον τῇ 7 ἰανουαρίου, ἀλλὰ πρὶν καὶ τοῦ 944.

Ἡ ἀχειροποίητος μορφὴ ἀπεστάλη δι' Ἀνανίου τοῦ ἀποστόλου πρὸς Αὔγαρον τὸν τοπάρχην Ἐδέσσης ὑπ' αὐτοῦ τοῦ Σωτῆρος γράψαντος ἐπὶ τούτῳ ἐπιστολὴν εἰς ἀπάντησιν τῆς ὑπὸ τοῦ Αὐγάρου σταλείσης. Ἡ παράδοσίς ἐστιν ἀρχαιοτάτη, καὶ ταύτην διέσωσεν ὁ πατὴρ τῆς ἐκκλησιαστικῆς ἱστορίας Εὐσέβιος, πεισθεὶς ἐκ τῶν ἐν Ἐδέσσῃ γραμματοφυλακείων· «ἐν γοῦν τοῖς αὐτόθι δημοσίοις χάρταις, τοῖς τὰ παλαιὰ καὶ τὰ ἀμφὶ τὸν Ἄγβαρον πραχθέντα περιέχουσι, καὶ ταῦτα εἰσέτι καὶ νῦν ἐξ ἐκείνου πεφυλαγμένα εὕρηται· οὐδὲν δὲ οἷον καὶ αὐτῶν ἐπακοῦσαι τῶν ἐπιστολῶν, ἀπὸ τῶν ἀρχείων ἡμῖν ἀναληφθεισῶν, καὶ τόνδε αὐτοῖς ῥήμασιν ἐκ τῆς Σύρων φωνῆς μεταβληθεισῶν τὸν τρόπον »[54]. Τὰ περὶ τῆς μεταφο-

47. ἦν ἡ σύζυγος Ἰωάννου τοῦ Κομνηνοῦ· τὰ περὶ αὐτῆς ἐν τῷ Συναξαριστῇ φαίνονταί μοι παράδοξα.

48. Πορφυρογεν. Ἔκθ. Α', σελ. 779.

49. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 81.

50. Βαλσαμῶνος ἑρμην. Γ' κανόνος ἁγ. Ἀποστόλων.

51. Θεοφ. Α', σελ. 410. Μέχρι τῶν μέσων τοῦ Ε' αἰῶνος ἠγνόουν οἱ ἐν Κωνσταντινουπόλει λόγιοι κληρικοὶ καὶ λαϊκοὶ τὴν περὶ σωματικῆς μεταστάσεως τῆς Θεοτόκου παράδοσιν· Ἴδε Βασιλειανὸν καὶ Συναξκρ. εἰς τὴν 2 ἰουλίου.

52. Migne, τόμ. ΠΣ', ἀπὸ στήλ. 3278-3312.

53. Μηνολόγιον καὶ Συναξαριστής. Ἀμαρτωλός· Migne, τόμ. Pl', στ 925. Τὸ Μηναῖον ἀναγράφει τὴν μνήμην εἰς τὴν 16 αὐγούστου.

54. Εὐσέβιος· Ἐκκλ. Ἱστορ. βιβλ. Α', κεφ. ιγ'.

ρᾶς τῆς ἀχειροποιήτου εἰκόνος ἀφηγεῖται Κωνσταντῖνος ὁ Πορφυρογέννητος, καὶ κατὰ τὴν αὐτοῦ μαρτυρίαν[55], Ῥωμανοῦ Α′ τοῦ Λακαπηνοῦ κυβερνῶντος, συμφωνίας φιλίας τῷ 944 γενομένης μεταξὺ βυζαντινῶν καὶ τοῦ κυρίου τῆς Ἐδέσσης, ἀπεστάλη Ἀβράμιος ὁ Σαμοσάτων, ὅστις ὁμοῦ μετὰ τοῦ τῆς Ἐδέσσης ἐπισκόπου τὴν θεανδρικὴν μορφὴν ὡς καὶ τὴν πρὸς Αὔγαρον ἐπιστολὴν λαβόντες ἥψαντο τῆς ὁδοῦ καὶ ἐλθόντες εἰς τὴν τῶν Ὀπτιμάτων[56] χώραν, κατέλυσαν εἰς τὴν μονὴν τῆς Θεοτόκου «ἡ τὰ Εὐσεβίου κατονομάζεται», ἔνθα καὶ θαύματα ἐγένοντο. Τῇ 15 αὐγούστου 944 ἦλθον τὰ σεπτὰ κειμήλια εἰς τὴν Κωνσταντινούπολιν καὶ «συνήθως τῶν βασιλέων τὴν ἑορτὴν ἀγόντων τῆς μεταστάσεως τῆς Ἀειπαρθένου καὶ Θεομήτορος ἐν τῷ πανσέπτῳ ταύτης κατὰ Βλαχέρνας ναῷ[57] . . . . . ἀπετέθη ἐν τῷ ὑπερῴῳ εὐκτηρίῳ τοῦ τοιούτου θείου ναοῦ ἡ ἔνδον ἔχουσα τὴν εἰκόνα καὶ τὴν ἐπιστολὴν κιβωτός». Τῇ 16, προπεμπόντων τῶν βασιλέων ἐγένετο λιτανεία διὰ θαλάσσης καὶ ξηρᾶς περὶ τὰ τείχη τῆς πόλεως, καὶ διὰ τῆς Χρυσῆς πύλης καὶ τῆς μεγάλης λεωφόρου ὁδεύοντες ἦλθον εἰς τὴν Ἁγίαν Σοφίαν, ὅπου κατέθεντο τὰ κειμήλια πρὸς προσκύνησιν, ἐκεῖθεν δ' ἄραντες ἤνεγκον καὶ ἀπεθησαύρισαν ἐν τῷ ναῷ τῆς Θεοτόκου τοῦ Φάρου «ἐν τῷ δεξιῷ πρὸς ἀνατολὰς μέρει». — Τὸ ἅγιον Μανδήλιον, κομιζόμενον εἰς Κωνσταντινούπολιν, προϋπήντησε Θεοφάνης ὁ πατρίκιος «ἐν τῷ ποταμῷ Σαγάρῳ μετὰ λαμπρᾶς φωταγωγίας καὶ ὑμνῳδίας»[58]. — Ἡ ἐπιστολὴ τοῦ τοπάρχου τῆς Ἐδέσσης Αὐγάρου ἐσῴζετο ἐντὸς τοῦ παλατίου μέχρι σχεδὸν τοῦ τέλους τοῦ ΙΒ′ αἰῶνος, ἐκλάπη δὲ τὴν 12 ἢ 13 σεπτεμβρίου 1185 κατὰ τὰς ἀκαταστασίας τὰς συγκυρούσας τῇ ἀναρρήσει Ἰσαακίου τοῦ Ἀγγέλου[59]. Ἐπειδὴ δὲ εἰς τὸ μέρος, ἐν ᾧ ἐφυλάττετο εἰς Ἔδεσσαν ἡ ἀχειροποίητος εἰκών, ἀπέκειτο κέραμος, ἐφ' ἧς ἀπετυπώθη ἡ θεανδρικὴ μορφή, Νικηφόρος ὁ Φωκᾶς τῇ 24 ἰανουαρίου 967 κομίσας ἀπέθετο προσωρινῶς ἐν τῷ ναῷ τῶν Βλαχερνῶν, ὡς καὶ ὁλκὸν τοῦ ἐκ τῆς θεανδρικῆς πλευρᾶς ῥεύσαντος αἵματος καὶ ὕδατος[60]. — Ἑτέρα ἀχειροποίητος εἰκὼν ἀναφέρεται ὅτι τῷ 574 «ἦλθεν ἀπὸ τῶν Καμουλιανῶν κώμης τῆς Καππαδοκίας» εἰς Κωνσταντινούπολιν[61]. — Εἰρήσθω δ' ὅτι κατὰ τὸν ΙΔ′ αἰῶνα καὶ τῆς Θεομήτορος ἀχειροποίητος εἰκὼν ἐγινώσκετο, καὶ ταύτην μετέβη 'να προσκυνήσῃ τῷ 1328 Ἀνδρόνικος ὁ Παλαιολόγος ἐν τῷ ἐν Ὑρτακίῳ ναῷ, τῷ τῆς Ἀρτάκης ὡς νομίζομεν, ἔνθα, καθὰ γινώσκομεν, ὑπῆρχεν ἀρχαῖος ναὸς τῆς Θεοτόκου σῳζόμενος ἐν ἀρχαῖς τοῦ Ζ′ αἰῶνος[62].

Τὴν αὐτόγραφον ἐπιστολὴν Αὐγάρου τοῦ τοπάρχου πρὸς τὸν Σωτῆρα ἀπέστειλεν εἰς Κωνσταντινούπολιν τῷ 1033 Μανιάκης ὁ στρατηγὸς τῶν παρευφρατιδίων πόλεων, εὑρὼν ἐν Ἐδέσσῃ καὶ ταύτην[63].

* * *

16. Διομήδους μάρτυρος. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ἔνδον τοῦ σεβασμίου οἴκου τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου παρὰ τῇ Χρυσῇ πύλῃ.

Ἤθλησεν ἐν Νικαίᾳ τῆς Βιθυνίας ἐπὶ Διοκλητιανοῦ.

Ναὸς ἐπ' ὀνόματι ἁγίου Διομήδους ἐσῴζετο πλησίον τῆς Χρυσῆς πύλης ἐκτὸς ἴσως τῶν τειχῶν, πρότερον ὢν, κατὰ τὴν παράδοσιν, ναὸς Ἡλίου[64]. Τῷ 540 γράφεται «συνδραμεῖν τὰ πλήθη Κωνσταντινουπόλεως καὶ ἀπελθεῖν λιτανεύοντα εἰς τὸν Ἅγιον Διομήδην εἰς Ἱερουσαλὴμ . . . . . πλησίον τῆς Χρυσῆς πόρτας»· ἀλλὰ καὶ τῷ 562 λειψυδρίας ἐπικρατούσης, καίπερ νοεμβρίου διανυομένου μηνός, Εὐτύχιος ὁ πατριάρχης Κωνσταντινουπόλεως ἐπέτρεψε 'να γένωνται, κατὰ τὸν Μαλαλᾶν, ἐν Ἱερουσαλὴμ λιτανεῖαι· κατὰ Θεοφάνη «λιτὰς ἐκβαλεῖν Εὐτύχιον τὸν πατριάρχην εἰς Ἱερουσαλὴμ, τοῦτ' ἔστιν εἰς τὸν Ἅγιον Διομήδην»[65], ἐξ ὧν δηλοῦται ὅτι ὁ ναὸς ἦν μετόχιον τῶν ἱεροσολυμιτῶν. Τὸν Ἅγιον Διο-

55. ἡ ἀφήγησις παρὰ Migne, τόμ. PIΓ′, 424-453.

56. τὸ Θέμα τῶν Ὀπτιμάτων περιελάμβανε, κατὰ τὸν Πορφυρογέννητον (ἐν τῷ περὶ Θεμάτων βιβλίῳ), τὰς πόλεις Νικομήδειαν, Ἑλενόπολιν (Γιάλοβαν), Πραίνετον, Ἀστακὸν, Παρθενούπολιν· ἔρρεε δι' αὐτοῦ ὁ Σάγγαρις ποταμὸς, ἦν δὲ Θέμα οἰκτρότατον.

57. Migne, τόμ. PIΓ′, στ. 449.

58. Theoph. Contin. σελ. 433. Συμεὼν μάγιστρος. σελ. 749. Γεώργιος μοναχὸς· σελ. 918. Λέων γραμματικός· σελ. 326.

59. Νικ. Χωνιάτης· σελ. 463.

60. Δουκαγγίου Σημειώσεις εἰς Ζωναρᾶν· (Δινδόρφιος, ΣΤ′, 161).

61. Κεδρηνός· Α′, σελ. 685.

62. Κατακουζηνός· Α′, σελ. 339.

63. Κεδρηνός· Β′, σελ. 501.

64. Συμεὼν μάγιστρος· σελ. 658.

65. Μαλαλᾶς· σελ. 481 καὶ 492. Θεφ. Α′, σελ. 367.

μήδην, ἐν ᾧ ἐκοιμήθη τὴν πρώτην νύκτα τῆς εἰς Κωνσταντινούπολιν ἐλεύσεως αὐτοῦ, Βασίλειος ὁ Μακεδὼν μετεποίησεν εἰς μονὴν, πλουτίσας αὐτὴν καὶ βιβλία ἀφιερώσας ἱκανὰ, οὐ πρότερον οὖσαν[66]. Φρονῶ ὅτι αὕτη ἦν ἡ «μονὴ τοῦ πατρὸς αὐτοῦ Βασιλείου», ἐν ᾗ Λέων ὁ Σοφὸς περιώρισεν ἐπὶ διετίαν Εὐθύμιον τὸν ἀπὸ συγκέλλων γενόμενον πατριάρχην[67]. Τῷ 1086 ἦν ἡγούμενος τοῦ Ἁγίου Διομήδους Ἀθανάσιος ὁ *παναγιώτατος*[68]. Κατὰ τὸν ἑσπερινὸν τῆς ἑορτῆς τοῦ ἁγίου Διομήδους ὁ αὐτοκράτωρ παρίστατο ἐν τῷ ναῷ αὐτοῦ[69]· μετὰ τὸν ΙΑ′ αἰῶνα μνείαν τῆς μονῆς οὐχ εὑρον. Ἀγνοῶ διατί παρεννόησε τὰς πηγὰς ὁ μακαρίτης Βυζάντιος, γράψας ναὸν τοῦ προφήτου Ἠλιοὺ τὸν Ἅγιον Διομήδην «καὶ ἐπειδὴ ἦτο πρὸ τοῦ Θεοδοσίου Β′ ἐκτὸς τῶν τειχῶν, καθὼς ἡ μονὴ τοῦ Στουδίου καὶ ἡ τῆς Χώρας, λιτὰς ἐξέβαλλεν ὁ πατριάρχης εἰς Ἱερουσαλὴμ»[70], διότι αἱ λιταὶ αὗται γίνονται ἕνα αἰῶνα καὶ πλέον μετὰ τὸν Θεοδόσιον. Ἡ λέξις *ἐκβαλεῖν* ἐνέπνευσεν, ὡς νομίζω, τὸν ἰατρὸν Mordtmann 'να γράψῃ ὅτι αἱ δύο μεγάλαι μαρμάριναι στῆλαι, αἱ ἀνευρεθεῖσαι ἔν τινι κήπῳ πλησίον τοῦ ἐργοστασίου τοῦ φωταερίου ἔξω τοῦ Ἐπταπυργίου, δεικνύουσι τὸν τόπον, ἐν ᾧ ἠγείρετο ὁ ναὸς τοῦ ἁγίου Διομήδους[71], διότι *ἔξω τῆς Χρυσῆς πύλης* ἀκριβῶς γινώσκομεν ὑπάρχουσαν τὴν μονὴν ἢ ναὸν τοῦ ἁγίου Κυριακοῦ, κτίσματα Γρατιανοῦ τοῦ πρεποσίτου τῷ 463[72], καὶ τὴν Ἀχειροποίητον, ἤτοι τὴν τῶν Ἀβραμιτῶν μονὴν[73], ἀλλ' ἀκριβῶς οὐδὲν δύναταί τις εἰπεῖν ἂν αἱ δύο στῆλαι τοῦ κήπου τοῦ Φωταερίου πρέπῃ 'να θεωρηθῶσι τεκμήρια τῆς ὑπάρξεως τοῦ Ἁγίου Διομήδους ἐκεῖσε. Μίαν μόνην μαρτυρίαν ἐγὼ γινώσκω, ἀλλὰ καὶ ταύτην ὑποσκάζουσαν καὶ μὴ δυναμένην 'να χειραγωγήσῃ ἡμᾶς πρὸς καθορισμὸν τοῦ τόπου τοῦ ναοῦ, τὴν ἐν παλαιῷ Εὐχολογίῳ διάταξιν ταύτην: *Εἰχὴ λεγομένη ἐν λιτῇ γινομένῃ διὰ φόβον εἰς τὸν Κάμπον, εἰς τὸν Ἅγιον Διομήδην ἐξώπορτα, καὶ εἰς τὴν παλαιὰν Πέτραν*[74], διότι τὸ ἐξώπορτα δυνατὸν 'να σημαίνῃ καὶ ὅτι ἡ μονὴ ἔκειτο ἔξω τῆς πόρτας τῆς Χρυσῆς, καὶ ὅτι τὴν εὐχὴν ἢ τὴν λιτὴν ἐποιοῦντο ἔξω τῆς πόρτης τῆς μονῆς.

* * *

16. Μνήμη τῆς μετὰ οἰκτιρμῶν ἐπενεχθείσης ἡμῖν ἐν τοῖς καιροῖς ἐκείνοις φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ, οὗ παρ' ἐλπίδα ἐλυτρώσατο ἡμᾶς ὁ φιλάνθρωπος Θεός.

Σεισμὸν γενόμενον τῇ 16 αὐγούστου γινώσκομεν μόνον τὸν τῷ 542· «αὐγούστῳ μηνὶ δεκάτῃ ἕκτῃ τῆς αὐτῆς Ε′ ἰνδικτιῶνος ἐγένετο σεισμὸς μέγας ἐν Κωνσταντινουπόλει, καὶ ἔπεσον αἱ ἐκκλησίαι καὶ οἶκοι καὶ τὸ τεῖχος μάλιστα τὸ κατὰ τὴν Χρυσῆν πόρταν . . . . . καὶ ἀπέθανον πολλοί»[75]. Ἕτερον δὲ σεισμὸν ἐπίσης ἐν αὐγούστῳ μηνὶ γενόμενον γινώσκομεν τὸν τῷ 554, φοβερὸν ὄντα, καὶ κατὰ Θεοφάνη τῇ 15 τοῦ μηνὸς τούτου, μικρῷ μετὰ τὸ μεσονύκτιον τοῦ σαββάτου πρὸς τὴν κυριακὴν, καθ' ὃν οἶκοι πολλοὶ καὶ ναοὶ καὶ λουτρὰ κατεστράφησαν καὶ τὰ πρὸς τὴν Χρυσῆν πόρταν τείχη, καὶ ἄνθρωποι ἐφονεύθησαν πολλοί. Διάρκειαν τίθησιν ὁ Θεοφάνης ἡμερῶν τεσσαράκοντα, προστιθεὶς «καὶ πρὸς ὀλίγον οἱ ἄνθρωποι κατενύγησαν λιτανεύοντες καὶ εἰς τὰς ἐκκλησίας μένοντες . . . . . γίνεται δὲ καὶ ἡ μνήμη τοῦ σεισμοῦ τούτου κατ' ἔτος ἐν τῷ Κάμπῳ λιτανεύοντος τοῦ λαοῦ»[76]. Εἰς τὴν λιτὴν ταύτην ἀναφέρεται ἡ εὐχὴ, ἣς ἐμνήσθην ἄνω περὶ τοῦ Ἁγίου Διομήδους τὸν λόγον ποιούμενος[77]. Εἰρήσθω δ' ὅτι τὴν 20 ἀ-

66. Theoph. Contin. σελ. 316. Ζωναρᾶς· ΙΣΤ′, 6. (Δινδορφ. Δ′, 18).

67. Εὐθυμίου βίος· σελ. 25 καὶ 31.

68. Migne, τόμ. PKZ′, στ. 973.

69. Πορφυρογεν. Ἔκθ. Α′, σελ. 780.

70. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· Α′, σ. 330.

71. Esquisse topogr. σελ. 77 β′.

72. Θεοφ. Α′, σελ. 174.

73. Ἴδε εἰς τὴν 29 ὀκτωβρίου.

74. σημειῶ ἐνταῦθα ὁλόκληρον τὸν τίτλον τοῦ ἐν λόγῳ Εὐχολογίου καθὸ σπανιωτάτου: «Συλλογὴ διαφόρων ἀκολουθιῶν καὶ εὐχῶν ἐκ διαφόρων συγγραμμάτων· τανῦν πρῶτον τύποις ἐκδοθεῖσα, καὶ μεθ' ὅ,τι πλείστης τῆς ἐπιμελείας διορθωθεῖσα, παρὰ κυρίου Ἀλεξάνδρου Καγγελαρίου· ἥτις καὶ ἐπικέκληται τόμος δεύτερος. Ἐνετίησι. κατὰ τὸ, ,αψκη'. ἔτος. Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων»· σελ. 85. Τὸν πρῶτον τόμον τοῦ βιβλίου τούτου οὐκ εἶδον· τὸν δεύτερον ἀπαρτίζουσιν 110 σελίδες εἰς 4ον.

75. Θεοφ. Α′, σελ. 345.

76. αὐτόθι· σελ. 354. Μαλαλᾶς· σελ. 487. Κεδρηνός· Α′, σελ. 674, καθ' ὃν ὑπὸ τοῦ σεισμοῦ καὶ πολλαὶ κῶμαι καὶ πόλεις ἐζημιώθησαν ἐν Ἀντιοχείᾳ, Μεσοποταμίᾳ καὶ Παλαιστίνῃ, καὶ τῆς Νικομηδείας δὲ πολὺ κατέπεσε μέρος.

77. ἡ εὐχή ἐστιν αὕτη: «Πάλιν σοι, Κύριε, τοῦ φιλανθρώπου δεσπότου μνήμη παιδείας, πάλιν ἀχρείων δούλων σου συγχωρήσεως δέησις, γινωσκόντων, ὡς ὅσον ὑπερβάλλεις τῷ μεγέθει, τοσοῦτον καὶ τῇ ἀμνησικάκῳ εὐσπλαγχνίᾳ· διὸ δεόμεθά σου, ἐπίστρεψον

πριλίου τοῦ 611, τρίτην τῆς ἑβδομάδος, ὥραν ἑβδόμην, γέγονεν ἐν Κωνσταντινουπόλει «σεισμος μέγας ὡς ἐξ ἀνάγκης πρὸ Πεντηκοστῆς. τῇ 22 τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ πέμπτῃ, λιτὴν γενέσθαι εἰς τὸν Κάμπον καὶ ψαλθῆναι το τρισάγιον »[78]. δῆλον οὖν, ὡς νομίζω, ἡ ἐν τῷ Καμπῳ λιτὴ ἐγένετο κατ' ἀπρίλιον ἀντὶ τῆς 16 αὐγούστου, ἢ τῆς 25 σεπτεμβρίου (ἴδε).

* * *

16. Ἐπειδὴ συνήθως ἐν τοῖς σεισμοῖς συμβαίνει 'να ξηρανθῶσι πηγαὶ, ἢ 'ν' ἀναδοθῶσιν ἀλλαχοῦ ἕτεραι ἐκ τῆς γῆς, τοιοῦτό τι, φαίνεται, συνέβη καὶ κατὰ τὸν ἐν λόγῳ σεισμὸν, καὶ τοιουτοτρόπως ἐξηγεῖται ἡ ἐν τοῖς Συναξαρίοις καὶ Μηναίοις ἀναφερομένη τῇ

16, ἡ ἐν τῷ ναῷ τῆς Ζωοδόχου Πηγῆς ἐξάντλησις τοῦ ἁγιάσματος καὶ αὖθις ἀνάδοσις,

ὅπερ ἄρα συνέβη τῷ 542 ἢ 554, ἀλλὰ μᾶλλον ἐν τῷ πρώτῳ σεισμῷ.

ℰ

17. Μακαρίου ὁσιομάρτυρος.

Μοναχὸς ἔγκλειστος ἐν τῷ βουνῷ τοῦ Αὐξεντίου, ἤθλησεν ὑπὲρ τῶν ἁγίων Εἰκόνων ἐπὶ Κοπρωνύμου τῷ 768[79].

* * *

17. Ἡ σύναξις τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Ἁρματίου.

Τὸν ναὸν ἀπηντήσαμεν καὶ προηγουμένως. Ἴσως σήμερον ἑώρταζε μνήμην ἐγκαινίων.

* * *

17. Θύρσου, Λευκίου καὶ Κορωνάτου μαρτύρων καὶ τῆς συνοδίας αὐτῶν. Ἡ σύναξις πλησίον Ἐλενιανῶν.

Τὸν ναὸν εὑρήσομεν καὶ ἀλλαχοῦ· ἔκειτο δὲ ἐν τοῖς ὕπερθεν τοῦ Σουλοὺ-μοναστὴρ ἐκτεινομένοις μέρεσι[80].

ℰ

18. Φλώρου καὶ Λαύρου μαρτύρων. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ παρὰ τῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Φιλίππου.

Βυζάντιοι τὴν πατρίδα ἀδελφοὶ δίδυμοι, λιθοξόοι τὴν τέχνην, ὑπ' ἐδιδάχθησαν ὑπὸ Πρόκλου καὶ Μαξίμου λιθοξόων. ἀθλησαντων ὑπὲρ Χριστοῦ καὶ τούτων, ἤθλησαν ἐπὶ Λικινίου. Τὰ λείψανα αὐτῶν ἐκομίσθησαν ἐπὶ τοῦ Μ. Κωνσταντίνου εἰς Κωνσταντινούπολιν[81], ὅπου ἠγείρετο ὁ ναὸς αὐτῶν πλησίον τοῦ Ἁγίου Φιλίππου, δηλαδὴ κατὰ τὰ σήμερον Ἐξ Μάρμαρα καὶ πλησίον τῆς Μωκησίας κινστέρνης (Τσικοὺρ-μποστάν).

* * *

18. Μνήμη τῆς Ἁγίας μάρτυρος Ἰουλιανῆς πλησίον τοῦ Στροβίλου.

Φρονῶ ὅτι ὁ ναὸς ἀνῆκεν εἰς τὴν Ἰουλιανὴν, ἧς ἡ μνήμη τῇ 21 δεκεμβίου (ἴδε).

* * *

18. Ἰωάννου καὶ Γεωργίου πατριαρχῶν Κωνσταντινουπόλεως. Ἡ σύναξις αὐτῶν ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Ὁ πατριάρχης Ἰωάννης Ε' ὑπῆρξε πρωτέκδικος καὶ χαρτοφύλαξ τοῦ πατριαρχείου καὶ σκευοφύλαξ τῆς Ἁγίας Σοφίας· ἱεράτευσεν ἀπὸ τοῦ 668-674, ὅτε ἀπέθανε.

Γεώργιος ὁ Α', ἱερατεύσας ἀπὸ τοῦ 678-683, ἐχρημάτισε σύγκελλος τοῦ πατριαρχείου καὶ σκευοφύλαξ τοῦ αὐτοῦ ναοῦ, λαβὼν μέρος εἰς τὴν τῷ 681 συνελθοῦσαν ΣΤ' οἰκουμενικὴν ἐν Κωνσταντινουπόλει Σύνοδον[82].

ℰ

20. Σαμουὴλ τοῦ προφήτου.

Τὰ λείψανα τοῦ προφήτου Σαμουὴλ ἐκομίσθησαν εἰς Κωνσταντινούπολιν τῇ 18 μαΐου 406 «διὰ τῆς χαλκηδονησίας σκάλας», ἀποτεθέντα δ' ἐν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας προσωρινῶς, ἐμενον ἕως τοῦ 410, ὅτε μετηνέχθησαν « καὶ ἀπετέθησαν ἐν τῷ ναῷ αὐτοῦ τῷ πλησίον τοῦ ἁγίου Ἰωάννου Ἰουκουνδιανῶν, μηνὶ ὑπερβερεταίῳ, πρὸ γ' νωνῶν ὀκτωβρίων »[83]. Καθ' ἑτέραν μαρτυρίαν ἐκομίσθησαν εἰς Κωνσταντινούπολιν ἐπὶ Ἀρκαδίου καὶ πατριάρχου Ἀττικοῦ, μεταξὺ τοῦ 406-408, καὶ

ἡμᾶς ὁ Θεὸς, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν, ὅπως μὴ εἰς τὸν αἰῶνα ὀργισθῇς ἡμῖν, ἀλλ' ἐν τῷ ἐλέει σου ζωώσης ἡμᾶς, καὶ ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε ».

78. Πασχάλ. Χρον. σελ. 702.
79. Θεοφ. Α'. σελ. 685.
80. Ἰδὲ εἰς τὴν 14 δεκεμβρίου.
81. Μηναῖον αὐγούστου. Συναξαριστής. Βασιλειανόν.
82. Πατριαρχ. Πίνακες· σελ. 247 καὶ 250.
83. Πασχάλ. Χρον. σελ. 569, 571.

« ἀπετέθησαν ἐν τῷ προφητείῳ αὐτοῦ πλησίον τοῦ Ἑβδόμου »[84]. Ἐπίτηδες παρετέθησαν αἱ δύο μαρτυρίαι ἵνα δοθῇ τις ἀφορμὴ τοῖς ἔχουσι χρόνον μελέτης πρὸς ἐξακρίβωσιν τῆς ὑπάρξεως δύο ναῶν ἐπ' ὀνόματι τοῦ προφήτου Σαμουὴλ. ἢ μόνον ἑνός. Γνωστόν ἐστιν ὅτι ὁ ἐν τῷ Ἑβδόμῳ ναὸς τοῦ προφήτου Σαμουὴλ τῷ 557 κατεστάφη ὑπο σεισμοῦ[85].

* * *

20. Μνήμη τῆς Ἁγίας μάρτυρος Φωτεινῆς ἔξω τῆς πόρτης τῶν Βλαχερνῶν.

Ἐπειδὴ οὐ γράφει περὶ Φωτεινῆς « κειμένης». ἄρα πρόκειται περὶ ναοῦ, οὗ γνῶσιν λαμβάνομεν ἀπὸ τῶν Μηναίων μόνον.

* * *

20. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Παύλου τοῦ νέου.

Ἡ μνήμη παρὰ Μαργουνίῳ. Τὸν Παῦλον μέλλομεν ἰδεῖν καὶ ἀλλαχοῦ.

ℰ

21. Θαδδαίου τοῦ ἀποστόλου. Ἡ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου Πέτρου παρὰ τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἐν τῇ μονῇ τοῦ Πρόβου.

Οἶκος τοῦ Πρόβου ἀναφέρεται τῷ 532 καὶ μετὰ ταῦτα, κείμενος οὐ μακρὰν τοῦ Ἰουλιανοῦ λιμένος : οὐχὶ πολὺ μακρὰν τοῦ Κάτεργαλιμάν[86]. Ἴσως εἶχε παρ' αὐτῷ μονήν.

* * *

21. Βάσσης μάρτυρος.

Ἤθλησεν, ἴσως ἐν Κυζίκῳ, ἐπὶ Μαξιμιανοῦ.

Ναὸς τῆς ἁγίας Βάσσης ὑπῆρχεν ἐν Χαλκηδόνι ἐπὶ Λέοντος τοῦ θρᾳκὸς, καὶ τούτου τοῦ ναοῦ πρεσβύτερος ἦν, μικρῷ μετὰ τὰ μέσα τοῦ Ε' αἰῶνος, ὁ κακόδοξος Πέτρος ὁ κναφεὺς ὁ τοῦ πατριαρχικοῦ θρόνου τῆς Ἀντιοχείας λῃστρικῶς ἐπιδραξάμενος[87].

ℰ

22. Ἀγαθονίκου καὶ τῶν σὺν αὐτῷ μαρτύρων Ἀκινδύνου, Ζήνωνος, Ζωτικοῦ, Θεοπρεπίου καὶ Σευηριανοῦ. Ἡ σύναξις ἐν τῷ ἁγίῳ αὐτῶν ναῷ τῷ εὑρισκομένῳ ἐν Καινουπόλει, ἐν τῷ ναῷ τῆς ἁγίας Θεοδώρας καὶ ἐν τῇ μονῇ Ξηροκέρκου.

Ἡ μνήμη τῶν συνάξεων παρὰ Νικοδήμῳ· οἱ δὲ μάρτυρες ἤθλησαν ἐπὶ Μαξιμιανοῦ, ὁ μὲν Ἀγαθόνικος ἐν Σηλυβρίᾳ, ὁ δὲ Σευηριανὸς ἐν Χαλκηδόνι.

Εἷς ναὸς φαίνεται ἀνατεθειμένος εἰς αὐτοὺς καὶ κατὰ τοὺς Συναξαριστὰς ἐν Καινουπόλει, περὶ ἧς οὐδὲν εἰπεῖν ἔχω βέβαιον, καλὸν δὲ 'ν' ἀποδεξώμεθα κατὰ συνθήκην τὸν ναὸν κείμενον ἐν ταῖς ἀπὸ Τσεμπερλῆ-τὰς μέχρι Κοντοσκαλίου κατωφερείαις· ἐκεῖ που. Τὸν ναὸν τοῦτον, γνωριζόμενον ὡς ναὸν τοῦ ἁγίου Ἀγαθονίκου, ἤγειρεν ὁ Μ. Ἰουστινιανὸς ἐκ νέου πρὸ τοῦ 527 περικαλλῆ καὶ μεγαλοπρεπῆ[88]. Ὁ δεύτερος ναὸς, ἐν ᾧ ἡ σύναξις ἐτελεῖτο τῶν ἁγίων τούτων, ἦν ὁ τῆς ἁγίας Θεοδώρας, ἐν Γαλατᾷ κείμενος. Τὸν αὔγουστον τοῦ 562 ἀναφέρονται γενόμενα « τὰ ἐγκαίνια τῆς Ἁγίας μάρτυρος Θεοδώρας, τῆς οὔσης πλησίον τῆς γεφύρης »[89]. Περὶ Ξηροκέρκου γίνεται λόγος εἰς τὴν 2 σεπτεμβρίου.

* * *

22. Ἀνθούσης, Χαρισίμου καὶ Νεοφύτου μαρτύρων. Ἡ σύναξις ἐν τόπῳ καλουμένῳ Ἰπτόϊχνα.

Ἦκμασαν ἐπὶ Οὐαλεριανοῦ ἐν Σελευκείᾳ τῆς Συρίας· ἡ Ἀνθοῦσα ἐκοιμήθη ἐν εἰρήνῃ. ? Τί ἐστιν Ἰπτόϊχνα ; ἀγνοῶ.

ℰ

23. Καλλινίκου πατριάρχου Κωνσταντινουπόλεως. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Πρεσβύτερος καὶ σκευοφύλαξ τοῦ ναοῦ τῶν Βλαχερνῶν, ἱεράτευσεν ἀπὸ τοῦ 693-705, ὅτε ἐξωρίσθη ὑπὸ Ἰουστινιανοῦ τοῦ ῥινοτμήτου εἰς Ῥώμην, ἐν ᾗ ἀπέθανε· « καὶ κατετέθη ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου, καθὼς τῷ τηνικαῦτα πάπᾳ τῆς πόλεως Ῥώμης οἱ ἀπόστολοι διωρίσαντο »[90].

ℰ

24. Γεωργίου Λιμνιώτου τοῦ ὁμολογητοῦ.

84. Θεόδ. Ἀναγνώστης· Β', σελ. 63.
85. Θεοφ. Α', σελ. 357.
86. Δουκαγγίου, Const. Christ. βιβλ. Β', σελ. 138, ἀριθ. LXXIV, ἔνθα σχεδὸν οὐδὲν γράφεται.
87. Θεόδ. Ἀναγνώστης· Α', 20. Θεοφ. Α', σ. 175.
88. Προκοπίου, Περὶ κτισμάτων· σελ. 190.
89. Μαλαλᾶς· σελ. 492.
90. Μηναῖον αὐγούστου. Πατριαρχ. Πίνακες· σελ. 253. Θεοφ. Α', σελ. 563 καὶ 574. Κεδρ. Α', σ. 771 καὶ 774.

Γράφεται ὁμολογητής, καίπερ ἀθλήσας ὑπὲρ τῶν ἁγίων Εἰκόνων ἐπὶ Λέοντος τοῦ Ἰσαύρου. Ἐγένετο μοναχὸς ἔν τινι τῶν ἐν Ὀλύμπῳ τῆς Βιθυνίας μονῶν.

ꝟ

25. Τίτου ἐπισκόπου Γορτύνης. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

* * *

25. Μηνᾶ, Ἐπιφανίου, καὶ Ἰωάννου, πατριαρχῶν Κωνσταντινουπόλεως

κατὰ Νικόδημον· τὸ λεγόμενον Βασιλειανὸν προστίθησι :

καὶ Γενναδίου, καὶ Στεφάνου· ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Παρὰ τῷ Βασιλειανῷ μνήμη Μηνᾶ τῇ 24. Στεφάνου πατριάρχου ἐγένετο μνεία.

Μηνᾶς ξενοδόχος τῶν Σαμψών, ἱεράτευσεν ἀπὸ τοῦ 536-552 χειροτονηθεὶς ὑπὸ τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀγαπητοῦ, ἐν Κωνσταντινουπόλει παρεπιδημοῦντος· ὁ Μηνᾶς ἦν ἀλεξανδρεὺς ἐξ ἐπιφανῶν καταγόμενος, ἀνὴρ πεπαιδευμένος. Ἀπεβίωσεν, ὡς φαίνεται, τῇ 24 αὐγούστου 552 [91].

Περὶ Γενναδίου βλέπε εἰς τὴν 20 νοεμβρίου.

Ἰωάννης πατριάρχης ἐὰν ἡ σύγχρονος τοῦ Μηνᾶ, ἔστιν ὁ ἀπὸ σχολαστικῶν· ἀλλὰ περὶ τούτου λόγος ἐν οἰκείῳ τόπῳ ἐγένετο· εἰκάζομεν λοιπὸν ὅτι ὁ Ἰωάννης οὗτός ἐστιν ὁ καππαδόκης, ἱερατεύσας ἀπὸ τοῦ 518-520, πρεσβύτερος καὶ σύγκελλος ὢν τῆς ἐκκλησίας Κωνσταντινουπόλεως [92].

Ὁ δὲ Ἐπιφάνιος ἐξελέγη μετὰ θάνατον Ἰωάννου τοῦ καππάδοκος, πρεσβύτερος ὢν καὶ σύγκελλος τοῦ πατριαρχείου, καὶ ἐχειροτονήθη τῇ 25 φεβρουαρίου 520· ἀπεβίωσε τῇ 5 ἰουνίου 535 κατὰ Θεοφάνην [93].

ꝟ

26. Ἀδριανοῦ καὶ Ναταλίας μαρτύρων.

Ἤθλησεν ὁ Ἀδριανὸς ἐπὶ Μαξιμιανοῦ ἐν Νικομηδείᾳ· τὰ λείψανα δ' αὐτοῦ Ναταλία ἡ σύζυγος ἐκόμισε σὺν τοῖς λειψάνοις τῶν σὺν αὐτῷ μαρτυρησάντων ἄχρι Βυζαντίου εἰς Ἀργυρόπολιν, ἴσως περὶ τὸ σημερινὸν Φουντουκλῆ, ἐν τῷ τόπῳ ὅπου τελεῖται καὶ ἡ σύναξις τῶν ἁγίων· αὐτόθι δ' ἡ Ναταλία προσμένουσα ἐκοιμήθη ἐν εἰρήνῃ. Ἀναφέρεται δ' ὅμως καὶ νεωτέρου Ἀδριανοῦ μνήμη κατὰ τὴν αὐτὴν ἡμέραν, λεγομένου κατὰ παράδοσιν υἱοῦ Πρόβου, ἀδελφοῦ δὲ Δομετίου ἐπισκόπου γενομένου τοῦ Βυζαντίου. Τὸ λείψανον Ἀδριανοῦ τοῦ νέου, ἐν Νικομηδείᾳ τῆς Βιθυνίας ἀθλήσαντος ἐπὶ Λικινίου, λαβὼν ὁ ἀδελφὸς Δομέτιος ἀπέθετο παρὰ τοῖς λειψάνοις τοῦ προτέρου Ἀδριανοῦ καὶ τῶν σὺν αὐτῷ [94].

ꝟ

27. Μνήμη τῶν ἁγίων Μ΄ μαρτύρων ἐν τῷ παλατίῳ [95].

Ἀναφέρεται βεβαίως εἰς ἐγκαίνια τοῦ ναοῦ.

ꝟ

29. Μνήμη τῆς ἀποτομῆς τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου. Ἡ σύναξις ἐν τῷ προφητείῳ αὐτοῦ ἐν τοῖς Φωρακίου.

Ἡ ἐπὶ τούτῳ προέλευσις ἐγίνετο κατὰ τὸν Γ΄ αἰῶνα ἐν τῷ ναῷ τοῦ Στουδίου, εἰ καὶ κατὰ τὰ μέσα τούτου τοῦ αἰῶνος ἑτέρα προέλευσις ἀναφέρεται τῇ 29 ἐπὶ τῇ μνήμῃ Βασιλείου τοῦ Μακεδόνος. Ἐν τοῖς τελευταίοις χρόνοις ἐγίνετο ἐν τῷ ναῷ τοῦ Προδρόμου τῆς Πέτρας [96].

Ἡ μονὴ τοῦ Στουδίου λοιπὸν ἑόρταζε κατὰ τὴν μνήμην τῆς ἀποτομῆς τοῦ Προδρόμου· ἦν δὲ ἡ ἐπιφανεστέρα τῶν μονῶν, καὶ ἡ φήμη τῆς ἀρετῆς καὶ παιδείας τῶν μοναχῶν αὐτῆς διήκουσα διὰ τῶν αἰώνων ἐπὶ πολλοὺς αἰῶνας ἔτι θέλει ζήσει. Κατὰ τὰς ἀρχὰς τῆς Θ΄ ἑκατονταετηρίδος ἐπὶ Μιχαὴλ τοῦ Ῥαγγαβέ, πολλοὶ μοναχοὶ ἀπὸ τῆς ὑπερορίας ἐπανερχόμενοι καὶ συνιστῶντες ἢ καινίζοντες μοναστήρια «τὴν ἐπωνυμίαν τοῦ Στουδίου ἐπέθηκαν αὐτοῖς, οἷα τοῦ ὀνόματος τρυφὴ γλώσσης τυγχάνοντος καὶ πάντας ἕλκοντος πρὸς ἑ-

91. Πατριαρχ. Πίνακες· σελ. 224-227. Ζωναρᾶς· τόμ. Γ΄, σελ. 280, ἐκδόσ. Δινδορφίου. Μηνολόγιον τὸ λεγόμενον Βασιλειανὸν, ὅπερ μέμφεται τοῦ πάπα Ἀγάθωνος, τοῦ μετὰ τὸν Ἀγαπητὸν ἱερατεύσαντος, δεδωκότος « ἐπιτίμιον τῷ Μηνᾷ μὴ λειτουργεῖν », ὅπερ ὁ Μηνᾶς « ἐδέξατο χαίρων ὡς Θεοῦ ἀρχιερεύς »· ὅπερ ἀκατανόητον ἐμοί. « Ὁ δὲ βασιλεὺς ὀργισθεὶς μεθ' ὕβρεων ἀπεπέμψατο τὸν Ἀγάθωνα εἰς Ῥώμην ».

92. Πατριαρχ. Πίνακες· σελ. 219-220.

93. αὐτόθι· σελ. 220-223. Θεοφ. Α΄, σ. 256 καὶ 337.

94. ταῦτα κατὰ τοὺς Συναξαριστὰς καὶ τὰ Μηναῖα, οἷς συμφωνεῖ καὶ τὸ λεγόμενον Βασιλειανόν.

95. Ἱεροσλμ. Βιβλιοθ. Β΄, σελ. 472.

96. Πορφυρογεν. Ἔκθ. σελ. 562. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 81.

αὐτό » [97]. Ἐκτίσθη τῷ 463 ὑπὸ Στουδίου τοῦ ὑπάτου, μοναχοὺς ἐγκαταστήσαντος ἐν αὐτῇ ἐκ τῶν τῆς μονῆς τῶν Ἀκοιμήτων [98], καὶ ἔκειτο ἐν Ὑψωμαθείοις ὅπου σήμερον ἐγείρεται τὸ τέμενος Ἐμίρ-ἀχόρ. Ἰσαάκιος ὁ Κομνηνὸς ἐπλούτισεν αὐτὴν πολλαῖς δωρεαῖς· καὶ ἐν αὐτῇ μοναχὸς ἐγένετο. Ἀπὸ τοῦ 1204 ἐρείπιον γενομένην ἀνῳκοδόμησε τῷ 1293 Κωνσταντῖνος ὁ υἱὸς τοῦ Παλαιολόγου Μιχαὴλ, λαμπρὸν ὄροφον οἰκοδομήσας καὶ τείχη στερεά. Ἐν αὐτῇ ἐφυλάσσετο ἡ τιμία κεφαλὴ τοῦ Προδρόμου καὶ ἡ λόγχη, δι' ἧς ἔνυξαν τὴν πλευρὰν τοῦ Σωτῆρος [99].

Ὡς κτίριον ἡ μονὴ τοῦ Στουδίου στερεῖται μακρᾶς ἱστορίας· ἀλλ' ὡς ἄθροισμα μοναχῶν ἐργασαμένων ὑπὲρ τοῦ δόγματος καὶ τῆς πατρίου παιδεύσεως, ἔχει ἱστορίαν ὀγκώδη καὶ ἐκτενῆ, ἣν ἀδύνατον ἅνα περικλείσωσι τὰ βραχέα τοῦ « Ἑορτολογίου» ὅρια. Τῷ 465 γίνεται μνεία μόνον «οἴκων τοῦ Στουδίου», μονῆς οὐχί [100]. Ἐν τῇ μονῇ ταύτῃ « πλησίον τῆς Χρυσῆς πόρτης» ἐτάφη ὁ τὴν 11 μαίου 627 θανὼν Βόνος ὁ ἀϊδίου μνήμης [101]. Τὴν φήμην τῆς μονῆς ἐκραταίωσαν ἢ μᾶλλον ἐδημιούργησαν οἱ ἐπὶ τῶν εἰκονομαχιῶν ἐν αὐτῇ ἀκμάσαντες εὐσεβεῖς καὶ λόγιοι μοναχοί· ἠρίθμει δὲ ἑπτακοσίους ἐν ἀρχαῖς τοῦ Θ΄ αἰῶνος, ἡγουμένους ἔχουσα τότε Πλάτωνα καὶ κατόπι Θεόδωρον, ἀντιταχθέντας τολμηρῶς εἰς τὴν ἀθρόον ἀπὸ λαϊκοῦ χειροτονίαν τοῦ πατριάρχου Νικηφόρου· τότε Νικηφόρος ὁ αὐτοκράτωρ, εὐλαβούμενος τὴν ἀρετὴν καὶ τὴν ἐπὶ ταύτῃ φήμην τῶν μοναχῶν, ἐφοβήθη ἅνα διαλύσῃ αὐτὴν, ἐνῷ πρὸ αὐτοῦ τὸν ἀριθμὸν τῶν μοναχῶν ὁ Κοπρώνυμος ἠλάττωσεν εἰς δέκα [102]. Νικηφόρος Βρυέννιος ὁ ἱστοριογράφος μαρτυρεῖ κατὰ τὸν ΙΑ΄ αἰῶνα περὶ ταύτης ὁμιλῶν, ὅτι τότε περιώριζον ἐν αὐτῇ τινας « ἵνα καὶ πρὸς ἀρετὴν ἐπαλείφοιντο τῇ μιμήσει τῶν ἀρίστων ἀνδρῶν » [103]. Ἡ ἱστορία τῆς ἑλληνικῆς ὑμνογραφίας καὶ τῆς εὐσεβοῦς παιδεύσεως ἔχει καθῆκον ἅνα ἐνδιατρίψῃ εἰς τὰ κατὰ τὴν μονὴν ταύτην, ἐξ ἧς ἐπιφανεῖς ἀρχιερεῖς καὶ ἱερεῖς προῆλθον τιμήσαντες τὴν μοναχικὴν ἐπαγγελίαν· διότι καὶ σχολεῖον ἀρετῆς καὶ σχολεῖον γραμμάτων ὑπῆρξεν ἡ μονή. « Καὶ ἦν ἀληθῶς ὁ εὐπρεπέστατος οὗτος χῶρος οἷά τις ποικίλος καὶ εὐθαλὴς παράδεισος, ἐκ παντὸς γένους φυτῶν λογικῶν ἐν ἑαυτῷ περιέχων, ἐν οἷς πᾶν εἶδος ἐπιστήμης, ὥσπερ τις καρπὸς πέπειρος χρησίμως ἐθεωρεῖτο· μετὰ γὰρ τῆς εἰς ἄκρον κοινοβιακῆς εὐταξίας καὶ τῆς πρακτικῆς ὡς ἕνι φιλοσοφίας, οὐδὲ τῶν λογικῶν ἀμέτοχοι καθεστήκεσαν τεχνῶν· ἀλλὰ καὶ *γραμματικῆς παρ'* αὐτοῖς ἐφιλοπονεῖτο κατόρθωσις, δι' ἧς ἥ τε περὶ τὸ γράφειν ὀρθῶς ἐγγίνεται τοῖς πεπονηκόσιν εἴδησις, καὶ ἡ πρὸς τὴν ἀνάγνωσιν ἐντυποῦται αὐτοῖς ἠθικότης· καὶ *φιλοσοφίας* δὲ τεχνολογία, καὶ δογμάτων πατερικῶν ἀποστήθισις . . . . . ἐξ ὧν σοφώτατοί τε *καλλιγράφοι* καὶ ἱεροψάλται, *κοντακάριοί* τε καὶ *ᾀσματογράφοι*, *ποιηταί* τε καὶ ἀναγνῶσται πρώτιστοι, *μελισταί* τε καὶ *ἀοιδόποδοι ἐν Χριστῷ ἐξυφάνθησαν*. Ὁμοίως δὲ καὶ αἱ τῶν βαναύσων τεχνῶν ἐπιτηδεύσεις καθ' ὅλου ὡς εἰπεῖν παρ' αὐτοῖς ηὑρίσκοντο· ὅθεν ὑφάνται τε καὶ ῥαφεῖς, σκυτοτόμοι τε καὶ σκηνοποιοί, λεπτουργοί τε καὶ οἰκοδόμοι, κανοποιοί τε καὶ μαλακουργοί, καὶ οἱ διὰ πυρὸς καὶ σιδήρου τὰ λειτουργικὰ κατασκευάζοντες σκεύη, παρὰ τῷ ἐπιγείῳ τούτῳ ἐθεωροῦντο οὐρανῷ ». Ἔνθεν πολλοὶ μετὰ τὴν ἐν τῇ μονῇ ἄσκησιν ἀλλαχοῦ μεταβαίνοντες συνίστων μοναστήρια, «τὴν ἐπωνυμίαν τοῦ Στουδιώτου μέχρι τοῦ νῦν ἐπιφερόμενα » [104]. Ἐσχόλαζον δὲ τῇ ἀναγνώσει πάντες οἱ μοναχοί, καὶ λοιπὸν ἐγίνοντο πολυμαθεῖς, ἐννοεῖται κατὰ τὸν χαρακτῆρα τῆς τῶν χρόνων ἐκείνων πολυμαθείας· « δεῖ εἰδέναι ὅτι ἐν αἷς ἡμέραις ἀργίαν ἄγομεν τῶν σωματικῶν ἔργων, κρούει ὁ βιβλιοφύλαξ τὸ ξύλον ἅπαξ, καὶ συνάγονται οἱ ἀδελφοὶ εἰς τὸν τόπον τῶν βιβλίων, καὶ λαμβάνει ἕκαστος βιβλίον καὶ ἀναγινώσκει ἕως ὑψέ· πρὸ δὲ τῶν σημαντήρων τοῦ λυχνικοῦ, κρούει πάλιν ἅπαξ ὁ ἐπὶ τῶν βιβλίων, καὶ ἐρχόμενοι πάντες κατὰ τὴν ἀναγραφὴν ἀποστρέφουσιν αὐτά· εἰ δέ τις εἰς τὴν ἀπόδοσιν τῆς βίβλου ὑστερήσει, ἐπιτι-

97. Θεοδώρου Στουδίτου βίος ὑπὸ Μιχαὴλ μοναχοῦ· Migne, τόμ. γθ΄, στ. 169.

98. Θεοφ. Α΄, σελ. 175.

99 Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Α΄, σελ. 307-310. Ὀρθότερα καὶ κρτικώτερα τῶν παρὰ Πασπάτῃ γράφει περὶ τῆς μονῆς ὁ Βυζάντιος.

100. Πασχάλ. Χρον. σελ. 594 καὶ 591, ὅπου φαίνεται Στούδιος ὕπατος τῷ 454. Στούδιον δὲ «εὐπρέπιον ἡ καθ' ἡμᾶς γλῶσσα οἶδε καλεῖν ». Θεοδ. Στουδίτου Βίοι· Migne, τόμ. γθ΄, στ. 145, 260.

101. Πασχάλ. Χρον. σελ. 726.

102. Θεοφ. Α΄, σελ. 747. Θεοδ. Στουδίτου Βίοι ἐν τόμ. γθ΄ τῆς Ἑλλ. Πατρολογίας τοῦ Migne.

103. Νικηφ. Βρυέννιος· σελ. 18.

104. Βίος Θεοδ. Στουδίτου· Migne, γθ΄, 273, 276.

μίῳ ὑποβάλλεται»[105]· μαρτυρεῖ δὲ καὶ ὁ ἀνώνυμος βιογράφος τοῦ Νικολάου Στουδίτου, ὅτι νέον ὄντα τοῦτον ὁ Θεόδωρος Στουδίτης «πρὸς τὸ ἔναγχος τῆς μονῆς καταγώγιον τῶν παίδων, τοῖς ὁμήλιξι συναυλίζεσθαι (ἐκέλευσε) τὴν τῶν γραμμάτων ἐκπαιδευόμενον μάθησιν. *Ἥρητο γὰρ ἰδίως οὐ πόρρω που τῆς μονῆς ὑπὸ τοῦ μεγάλου ἐν ἑνὶ δωματίῳ οἱ παῖδες ἀεὶ διατρίβοντες*» κλπ. Φαίνεταί μοι οὕτω τῆς σχολῆς ταύτης ἀνακαινιστὴς εἰ οὐχὶ καὶ ἱδρυτὴς ὁ Θεόδωρος Στουδίτης[106]. Ἡ δὲ κηδὼ τῶν μοναχῶν περὶ τῶν βιβλίων δείκνυσιν ἀνθρώπους γινώσκοντας τὴν ἀξίαν τῶν πολυτίμων τούτων κτημάτων, ὡς δεικνύουσι διατάξεις τινὲς ἀφορῶσαι εἴς τε τοὺς φύλακας τῶν βιβλίων καὶ εἰς τοὺς ἀναγινώσκοντας· ταύτας δὲ καλὸν ἦθελεν εἶναι 'να εἰσαγάγωσι καὶ παρ' ἡμῖν οἱ κληρικοὶ καὶ μοναχοί, οἱ θερματοφύλακες ὁμοίου κτήματος· ἔχουσι δ' οὕτως: ἐκ τοῦ ἄρθρου ΜΖ' «Ἐάν τις λάβῃ βιβλίον καὶ μὴ φιλοκάλως κρατῇ αὐτό, ἢ ἅψηται ἄλλου ἄνευ τῆς ἐπιτροπῆς τοῦ κρατοῦντος, ἢ ἐπιζητοίη ἕτερον, παρ' ὃ ἔλαβε, γογγύζων, μὴ ἅψηται ὅλως τῇ ἡμέρᾳ ἐκείνῃ». Ἐκ τοῦ ΜΗ': «Ἐὰν ὁ βιβλιοφύλαξ τὴν δέουσαν ἐπιμέλειαν μὴ ἐπιδείκνυται, τινάσσων καὶ μεταστοιβάζων καὶ κονιορτῶν ἕκαστον, ξηροφαγείτω». Ἐκ τοῦ ΜΘ': «Ὅστις εὑρεθῇ ἀποκρύπτων εἰς κοιτάριον καὶ μὴ κατὰ τὸν καιρὸν τοῦ κρούσματος ἀποδοίη τοῦτο τῷ βιβλιοφύλακι, ἄνευ εὐλόγου προφάσεως, παρεστηκέτω ἐν τῇ τραπέζῃ». Αἱ δὲ περὶ βιβλιογράφων ἐν τοῖς ἑπομένοις ἄρθροις διατάξεις εἰσὶ περίεργοι· ὧν μία: ΝΕ': «Ἐάν τις ἐκστηθήσῃ ἐκ τῶν γεγραμμένων τοῦ ἑξ οὗ γράφει βιβλίου, ἀφοριζέσθω ἡμέρας τρεῖς». ΝΣΤ': «Εἴ τι πλέον τῶν γεγραμμένων ἀναγνώσῃ ἐξ οὗ γράφει βιβλίου, ξηροφαγείτω». ΝΖ': «Εἰ ἐκ θυμοῦ συντρίψει κάλαμον, μετάνοιαι λ'». ΝΗ': «Εἰ ἐπάρῃ ἕτερος ἑτέρου τετράδιον ἄνευ γνώμης τοῦ γράφοντος, μετάνοιαι ν'. Εἰ μὴ στοιχεῖη τοῖς τετυπωμένοις παρὰ τοῦ πρώτου καλλιγράφου, ἀφοριζέσθω ἡμέρας δύο»[107].

Ἡγούμενοι τῆς τοῦ Στουδίου μονῆς, πλὴν τῶν λαβόντων μέρος εἰς Συνόδους, διεκρίθησαν κατὰ τὸν Θ' αἰῶνα, στοιχίσαντες τοῖς ἴχνεσι τοῦ Θεοδώρου, ὁ Ναυκράτιος (842-847) — Νικόλαος (847-850)—Σωφρόνιος (850-853) — Ἀχιλλᾶς (858 863, ὅτε ὁ Ἀχιλλᾶς ἐχειροτονήθη ἀρχιεπίσκοπος Νακωλίας)—Θεοδόσιος (863-864)—Εὐγένιος (864)—Θεόδωρος ὁ Σανταβαρηνὸς (864-865, ὁ κατόπιν ἀρχιεπίσκοπος Εὐχαίτων)[108]—Σάββας (865-70?) μεθ' ὃν Κλήμης, εἶτα δὲ Ἰλαρίων· οὗτοι κατὰ τὴν βιογραφίαν τοῦ Νικολάου Στουδίτου. — Ἀνατόλιος (886), μεθ' ὃν (898 ἢ 899) Ἀρκάδιος, «ὃς τοσοῦτον ἐπ' ἀρετῇ καὶ εὐλαβείᾳ περιβόητος ἦν, ὡς καὶ αὐτὸν τὸν βασιλεύοντα αἰδεῖσθαι τούτου τὸ τῆς ἀρετῆς μέγεθος»[109]. Τῷ 1025 ἦν ἐκκλησιάρχης καὶ ἡγούμενος τῆς μονῆς Ἀλέξιος, ὃν ἐξελέξατο πατριάρχην Κωνσταντινουπόλεως Βασίλειος Β' ὁ Πορφυρογέννητος· Ἀλέξιος ὁ Στουδίτης[110] ἱεράτευσεν ἀπὸ τοῦ 1025-1043· ἐπὶ δὲ Μιχαὴλ τοῦ Κηρουλαρίου ἡγούμενος ἦν Μιχαὴλ ὁ Μερμέντουλος, ἐφ' οὗ παρ' ὀλίγον ἐν αὐτῇ τῇ πρωτευούσῃ ἐκκλησιαστικὴ προὐκαλεῖτο ἔρις ἕνεκα δικαίας ἀγανακτήσεως τῶν μοναχῶν, ἰδίᾳ δὲ τοῦ Μερμεντούλου· Μιχαὴλ ὁ Κηρουλάριος τοσαύτην ἀπέχθειαν ἐπεδείκνυτο πρὸς τὴν δυτικὴν Ἐκκλησίαν, ὥστε καὶ κατὰ τοῦ ἐν ἁγίοις Θεοδώρου τοῦ Στουδίτου μηνίων, ἐξέβαλεν ἐκ τοῦ συνοδικοῦ τοῦ τῇ κυριακῇ τῆς Ὀρθοδοξίας ἀναγινωσκομένου τὸ ὄνομα τοῦ Θεοδώρου, ἢ μᾶλλον ἠρνήθη ποτε 'ν' ἀναγνῷ τὸ συνοδικὸν τοῦτο, διότι ἀναφέρει τὸ ὄνομα τοῦ ἀνδρὸς ἐκείνου, προσκειμένου μὲν καθ' οὓς ἤκμασε χρόνους τῷ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης καὶ πρὸς αὐτὸν ἀνενεχθέντος, ἐν πολλαῖς δ' εὐφημίαις ἀναφέροντος συνεχῶς τὸ παπικὸν ἀξίωμα. Τοῦ δὲ Μερμεντούλου ἀνενεχθέντος τῷ βασιλεῖ, ἐξεδόθη διάταγμα αὐτοκρατορικὸν ὅπως τὸ τῇ κυριακῇ τῆς Ὀρθοδοξίας ἀναγινωσκόμενον συνοδικὸν ἀναγνωσθῇ τῇ κυριακῇ τῆς Σαμαρείτιδος· ὁ δὲ Κηρουλάριος, ἀναγνοὺς συνήθει τῇ φωνῇ τὸ συνοδικόν, ἐξεφώνησε φωνῇ μεγάλῃ τὸ τοῦ Θεοδώρου Στουδίτου ὄνομα. Οὕτω νέαι προελήφθησαν ἀτασθαλίαι[111]. Μοναχοὶ τῆς μονῆς ταύτης ὑπῆρξαν οἱ πατριάρχαι Ἀντώνιος Γ', ὁ ἐν τῷ Στουδίῳ βίον διάγων ἀποστολικὸν καὶ σύγκελλος τοῦ πρὸ αὐτοῦ πατριάρχου Βασιλείου Β' τοῦ Σκαμανδρηνοῦ γενόμενος, ἱερατεύσας ἀπὸ τοῦ 973-980[112], καὶ Δοσίθεος, τῷ 1191 πιθανῶς ἱερατεύσας καὶ τὸ γένος ἕλκων ἐκ Βενετίας[113]. Μοναχὸς αὐτῆς ἦν Νικήτας ὁ Στηθάτος, ἀνὴρ λόγιος, «ἀρετῆς εἰς ἄκρον ἐπιμελούμενος, καὶ νηστείᾳ καὶ σκληραγωγίᾳ καὶ πάσῃ ἄλλῃ ἀρετῇ τὸ σῶμα ἐκτήκων, ὡς καί ποτε τεσσαράκοντα ἡμέρας ἄσιτος διατελέσαι», ἀκμάσας ἐπὶ Μιχαὴλ Κηρουλαρίου, σύγχρονος δὲ Θεοδούλου ἡγουμένου τοῦ Ἁγίου Μωκίου καὶ μετὰ ταῦτα ἀρχιεπισκόπου Βουλγαρίας[114]. Σημειωτέον ὅτι ἐπὶ Ἰωάννου Τζιμισκῆ δι' Εὐθυμίου τοῦ Στουδίτου μοναχοῦ συνετάχθη τὸ πρῶτον τυπικὸν τοῦ Ἁγίου Ὄρους[115], τοῦ δευτέρου συνταχθέντος, ὡς γνωστόν, τῷ 1046 διὰ τοῦ μοναχοῦ Κοσμᾶ Τζιντζιλούκη[116]. Καλὸν δὲ 'να γινώσκωμεν ὅτι κατὰ τὸ δεύτερον ἥμισυ τῆς ΙΑ' ἑκατονταετηρίδος τὸ τυπικὸν τοῦ Στουδίου ρωσσιστὶ μεταφρασθὲν ἐγένετο γνωστὸν τοῖς ἐν ταῖς ἀρκτῴαις χώραις καλογήροις[117].

Ἐν πολλοῖς τῶν ἀρχαίων χειρογράφων εὑρίσκονται στουδιτῶν λογίων ὀνόματα, τούτων δὲ πολλοὶ γνωστοί εἰσιν ὡς ὕμνων καὶ κανόνων ποιηταί. Διό, ἐπαναλαμβάνω, *δέον 'να μελετηθῇ ἡ ἱστορία τῆς ἐπιφανεστάτης τοῦ Στουδίου μονῆς, καθὸ* **σχολῆς γραμμάτων καὶ ὡραίων τεχνῶν.**

Ἐντεῦθέν ἐστι βεβαίως συγγνωστὸς ὁ μακρὸς περὶ αὐτῆς λόγος.

* * *

29. Μνήμη τοῦ ἁγίου καὶ ὀρθοδόξου βασιλέως Βασιλείου.

Ἔστι Βασίλειος ὁ Μακεδών, κτίτωρ καὶ ἀνακαινιστὴς πολλῶν ναῶν. Ἐγεννήθη ἐν Χαριουπόλει τῆς Ῥαιδεστοῦ ἐκ μητρὸς Παγκαλλοῦς, ἦρξε δ' ἀπὸ τῆς 24 σεπτεμβρίου 867 μέχρι 1 μαρτίου 886, ὅτε ἀπέθανεν[118]. Ἀναφέρεται κατὰ τὸν Ι' αἰῶνα προέλευσις ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, ὅπου ἦν τεθαμμένος ὁ Βασίλειος, γινομένη τῇ 29 αὐγούστου, καὶ φαίνεται ὅτι ἡ προέλευσις ἡ ἐν τῇ μονῇ τοῦ Στουδίου γινομένη παρέτεινε τὸ ζῆν μέχρι τοῦ αἰῶνος τούτου. Τὴν 20 ἰουλίου καθὼς καὶ τὴν 1 μαΐου, κατὰ τὰς ἑορτὰς τοῦ προφήτου Ἠλιοὺ καὶ τῶν ἐγκαινίων τῆς Νέας ὁ αὐτοκράτωρ ἥπτε κηροὺς ἐνώπιον τῆς εἰκόνος τοῦ «ἁγίου» Βασιλείου τοῦ Μακεδόνος. τὴν δὲ 21 μαΐου ἐθυμία τὸν τάφον αὐτοῦ[119].

§

30. Ἀλεξάνδρου, Ἰωάννου, καὶ Παύλου τοῦ νέου, τῶν πατριαρχῶν Κωνσταντινουπόλεως.

Ἀλέξανδρος ἦν ὁ μετὰ τὸν ἱερὸν Μητροφάνη ἱερατεύσας μεταξὺ τῶν ἐτῶν 325-340, ὡς νομίζω, ἐφ' οὗ Κωνσταντῖνος ὁ ἰσαπόστολος ἀφεῖλε τὴν Πόλιν «ἀπὸ τῆς Εὐρώπης ἐπαρχίας . . . προβαλόμενος ἐν αὐτῇ ἔπαρχον πραιτωρίου καὶ ἔπαρχον πόλεως», δῆλα δὴ μετὰ τὰ ἐγκαίνια αὐτῆς[120].

Ἰωάννης ὁ πατριάρχης ἄγνωστον τίς ἦν· ὁ

105. Ὑποτύπωσις καταστάσεως μονῆς Στουδίου· Migne· τόμ. γΘ', σελ. 1713.

106. Βίος Νικολάου Στουδίτου· Migne, ΡΕ', στ. 869.

107. Στουδίτου Θεοδ. Ἐπιτίμια κοινὰ κτλ. Migne, τ. γΘ', στ. 1740.

108. Συμεὼν μάγιστρος· σελ. 693.

109. Εὐθυμίου βίος· σελ. 4 καὶ 29.

110. Πατριαρχ. Πίνακες· σελ. 317-322. Κεδρ. Β', σελ. 487. Ἐφραίμιος· στ. 10080. Ἀσαφῶς γραφομένων τῶν παρ' Ἀμαρτωλῷ (1229) καὶ ἑτέροις χρονογράφοις, φαίνεται ὅτι ὁ πατριάρχης Ἀλέξιος ἐτάφη ἐν τῇ μονῇ τῶν Μαγγάνων.

111. Κεδρηνός· Β', σελ. 555.

112. Πατριαρχ. Πίνακες· σελ. 310-313. Λέων διάκονος· σελ. 164-165. Ἀμαρτωλός· Migne, τ. ΡΙ', 1212.

113. Πατριαρχ. Πίνακες· σελ. 375-376. Ἱεροσολυμ. Σταχυολογίας Ἀνάλεκτα· τόμ. Α', σελ. 461.

114. Κεδρ. Β', σελ. 556 καὶ 611. Σκυλίτζης· σ. 659

115. Μ. Ι. Γεδεών, «Ὁ Ἄθως»· σελ. 108-110.

116. αὐτόθι· σ. 110-113 καὶ 343, ὅπου γράφω, κατὰ τὸν Κεδρηνὸν (Β', σελ. 533) ὅτι Μιχαὴλ ὁ Παφλαγὼν ἀπεκάρη κληρικὸς ὑπὸ τοῦ Κοσμᾶ τούτου. Προστίθημι δ' ὅτι ὁ γνωστὸς συντάκτης τῆς Ἱεροσλμ. Βιβλιοθήκης, ὁ καὶ τὸν «Ἄθωνα» γινώσκων καὶ τοὺς βυζαντινούς, ποτε συγγραφεῖς ἀναγνοὺς, ἐτόλμησε γράψαι (Ἱεροσλμ. Βιβλιοθ. Β', σελ. 315) «οὐδὲν ἔχω λέγειν περὶ τοῦ συγγραφέως, *ἀγνώστου μοι* **παντάπασιν** *ὄντος*». Ἀλλ' ἐπίσης ὁ κ. Α. Π. Κεραμεὺς ἐν τῷ αὐτῷ τόμῳ (σελ. 395) ἀναφέρων Παύλου τοῦ Μονεμβασίας τὴν γνωστὴν διήγησιν περὶ ἐναρέτων ἀνδρῶν καὶ γυναικῶν, οὐ λέγει ὅτι ἐξέδωκα ταύτην ἐν τῇ «Ἐκκλ. Ἀληθείᾳ» (τόμ. Δ'. σελ. 223-26), τὰ δὲ περιεχόμενα τῆς «Ἀληθείας» ἀκριβῶς γινώσκει ὁ ἀνήρ, καὶ οὔτε ἐπετρέπετο αὐτῷ 'να γράψῃ ἐν σ. 479 τόμ. Β' τῆς Ἱερσλ. Βιβλ. «*Τυπικὸν* **μοναχοῦ τινος** πρός τινα τῶν παίδων αὐτοῦ», καί τοι καλῶς ἐγίνωσκεν ὅτι τοῦτο πληρέστερον τοῦ κειμένου παρὰ Migne ἐν τόμῳ ΡΙΥ', ἐξέδωκα ἐγὼ διὰ τῆς «Ἐκκλ. Ἀληθείας» (τόμ. Γ'. σελ. 53-α-537β) ὡς καὶ ἐν «Ἄθωνι» (σελ. 275-288). ἐπὶ τῇ βάσει (καὶ συμπληρώσας) διὰ τῶν χειρογράφων ΥΝ' καὶ ΦΜΘ' τῆς πατμιακῆς βιβλιοθήκης. Εἰρήσθω δ' ὅτι τὸ ἐπώνυμον Τζιντζιλούκης ἀναφέρεται καὶ κατὰ τὸν ΙΒ' αἰῶνα. Ἄννα Κομνηνή· τόμ. Β, σ. 105 καὶ 107. Νικ. Χωνιάτης· σελ. 65.

117. Θ. Βαλλιάνου. Ἱστορία τῆς ῥωσσικῆς Ἐκκλησίας· ἐν Ἀθήναις, 1851, σελ. 23.

118. Ἀρκετὰ ταῦτα νῦν, ἐπειδὴ εἰς τὸν Θ' καὶ Ι' αἰῶνα ἀναφέρονται τὰ μετ' ὀλίγον ἐκδιδόμενά μοι «Μνημεῖα τῆς βυζαντινῆς Ἐκκλησιαστικῆς ἱστορίας».

119. Πορφυρογεν Ἐκθ. Α, σελ. 118, 121, 533, 780. Ἀναφέρων ὁ μακαρίτης Σκ. Βυζάντιος περὶ τῆς ἑορτῆς ταύτης ὁμιλεῖ που μετὰ εἰρωνείας.

120. Μαλαλᾶς σελ. 323. Πατρ. Πίνακες· σ. 108-111. ὅπου βλέπε τὰς σχετικὰς παραπομπάς. Ἡ περὶ τὸν Ἀλέξανδρον χρονολογία δεῖται πολλῆς ἀκοιβώσεως.

Νικόδημος ἐνόμισεν αὐτὸν εἶναι τὸν ἀπὸ τοῦ 518-520 ἱερατεύσαντα, τὸν καὶ τῇ 25 αὐγούστου τιμώμενον· ἐπειδὴ ὅμως εὗρον παρὰ Θεοφάνει τὸν θάνατον Ἰωάννου Γ′ τοῦ ἀπὸ σχολαστικῶν, ἱερατεύσαντος ἀπὸ τοῦ 566 μέχρι 577, σημειούμενον τῇ 31 αὐγούστου, ἔγραψα ὅτι τοῦ Γ′ τούτου τῶν Ἰωαννῶν ἄγει τὴν μνήμην ἡ Ἐκκλησία τῇ 30 αὐγούστου[121]. Ἀλλὰ τὸν πατριάρχην Ἰωάννην τὸν ἀπὸ σχολαστικῶν εὕρομεν ἑορταζόμενον ἐν ἑτέρᾳ ἡμέρᾳ· τῶν δὲ λοιπῶν ὁμωνύμων ὀρθοδόξων πατριαρχῶν ἐν οἰκείοις τόποις γίνεται μνεία· ὥστε πιθανὸν ὅτι ὁ Ἰωάννης οὗτός ἐστιν ἢ ὁ Ξιφιλῖνος, φήμην ἁγιότητος κεκτημένος, τοῦθ' ὅπερ οὐκ ἔλαθέ με καὶ ἄλλοτε[122], ἀνὴρ ἀκτήμων, ἀγνότατος, ἐλεήμων εἰς ἄκρον, πολλοὺς ἐν Κωνσταντινουπόλει ναοὺς τῷ χρόνῳ σαθρωθέντας ἀνακαινίσας, συντάξας τὰ κατὰ τὴν διατήρησιν τῶν πτωχῶν τῆς πρωτευούσης, καὶ θεμέλιόν τι προκαταβαλὼν θεολογικῆς τινος ἀκαδημίας[123]. Ἐτάφη ὁ Ἰωάννης Ξιφιλῖνος «ἐν περατικῇ μονῇ τῇ καλουμένῃ Ἀγγουρίᾳ» — «τοῦ Ἀγγουρίου, κατὰ τὸ δεξιὸν μέρος τῷ ἀναπλέοντι τὸν οὕτω καλούμενον Στενὸν πορθμόν»[124].

Παῦλος δὲ ὁ νέος ἦν, κατὰ τὸν Νικόδημον, ὁ ἐπὶ τῆς Πενθέκτης Συνόδου, ἱερατεύσας ἀπὸ τοῦ 686-693[125]. Ἐπειδὴ δ' ὅμως ὁ Θεοφάνης γράφει περὶ Παύλου τοῦ Δ′ ὡς ἀνδρὸς ὁσίου, ἁγιωτάτου, σεβασμίου, πάσης αἰδοῦς ἀξίου, ὅτι οὗτος παρῃτήσατο τὸν θρόνον καὶ τὴν ἀρχιερωσύνην τῇ 31 αὐγούστου 784, ἀποσυρθεὶς ἐν τῇ μονῇ τοῦ Φλώρου καὶ μοναχὸς ἀποκαρεὶς ἐν αὐτῇ, «θρῆνον πολὺν καταλιπὼν τῇ τε πολιτείᾳ καὶ τοῖς εὐσεβέσιν ἀνθρώποις»[126], νομίζω ὅτι Παῦλος ὁ νέος ἐστὶν ὁ ἱερατεύσας ἀπὸ τοῦ 780-784, τοῖς ἁγίοις δὲ γενόμενος ἐναρίθμιος ὡς *ἐξ ἡμισείας εὐσεβήσας*, ἤτοι μετὰ τὴν ἀνάρρησιν Εἰρήνης καὶ Κωνσταντίνου τὴν περὶ τῶν ἁγίων Εἰκόνων ὀρθὴν αὐτοῦ δοξασίαν ἀποκαλύψας.

Τὴν μνήμην τῶν τριῶν τούτων ἱεραρχῶν ἀρχαιότερον ἐγέραιρεν ἡ Ἐκκλησία τῇ 31 αὐγούστου[127].

ξ

31. Τὰ καταθέσια τῆς τιμίας Ζώνης τῆς Θεοτόκου.

κατὰ τὸ Βασιλειανόν,

ἡ κατάθεσις τῆς τιμίας Ζώνης·

κατὰ τὸ Μηναῖον,

ἀνάμνησις τῆς ἐν τῇ ἁγίᾳ σορῷ καταθέσεως τῆς τιμίας Ζώνης τῆς ὑπεραγίας Θεοτόκου ἐν τῷ σεβασμίῳ αὐτῆς οἴκῳ τῷ ὄντι ἐν τοῖς Χαλκοπρατείοις, ἀνακομισθείσης ἀπὸ τῆς ἐπισκοπῆς Ζήλας ἐπὶ Ἰουστινιανοῦ τοῦ βασιλέως· ἔτι δὲ καὶ τοῦ γεγονότος θαύματος διὰ τῆς ἐπιθέσεως τῆς τιμίας Ζώνης εἰς τὴν βασιλίδα Ζωήν, τὴν σύζυγον Λέοντος τοῦ βασιλέως.

Τὸ φερόμενον ἐν τῷ Μηναίῳ συναξάριον ἀνατρέπει τὴν χρονολογίαν. Κατὰ τὸ λεγόμενον Βασιλειανόν, τὴν τιμίαν Ζώνην, ἀποθησαυρισθεῖσαν ὑπὸ τῆς Πουλχερίας ἐν τοῖς Χαλκοπρατείοις ἐν τῇ ἁγίᾳ Σορῷ[128], Θεοδόσιος ὁ Β′ ἀνεκόμισεν εἰς Κωνσταντινούπολιν ἐξ Ἱεροσολύμων, φυλαττομένην μετὰ τῆς ἐσθῆτος «ὑπὸ παρθένου γυναικός τινος . . . καὶ κατέθετο ἐν λαμπρᾷ θήκῃ, ἣν καὶ ἐκάλεσεν ἁγίαν Σορόν». Μετὰ τετρακόσια καὶ δέκα ἔτη, Ζωῆς τῆς συζύγου τοῦ Σοφοῦ Λέοντος ἀσθενούσης, ἀπεσφραγίσθη ἡ ἁγία Σορός, εὑρέθη δ' ἡ Ζώνη στίλβουσα λαμπρῶς, ὡς νεοῦφαντος, σὺν αὐτῇ δὲ τὸ κωδίκελλον, δηλοῦν ἡμέραν τε καὶ χρόνον τῆς εἰς Κωνσταντινούπολιν ἀνακομιδῆς· δι' ἧς ἰάθη ἡ βασιλίς.

Κατά τινα σλαυϊκὴν ἐν Θράκῃ ἐπιδρομὴν ἐπὶ Ἰσαακίου τοῦ Ἀγγέλου, ἱερεύς τις ἔρριψεν ἐν τῷ ποταμῷ τὸν «βασιλικὸν Σταυρὸν ἐκ χρυσοῦ κατεσκευασμένον, φέροντα δὲ μέσον ἐκ τοῦ ἁγίου ξύλου, εἰς σταυροῦ σχῆμα τετυπωμένον, θήκας δὲ μικρὰς παμπόλλας ἔχοντα, ἐν οἷς λειψανά τε πρόσεστι τῶν περιφανεστέρων μαρτύρων, τῆς Θεομήτορος τὸ γάλα καὶ μέρος τι τῆς ζώνης αὐτῆς»[129].

* * *

31. Μνήμη τῆς ἀνακαινίσεως τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου ἐν τῷ Νεωρίῳ.

121. Πατριαρχ. Πίνακες· σελ. 230-231.

122. αὐτόθι· σελ. 328 κ. ἑξ. καὶ κυρίως 333.

123. Ψελλοῦ, ἐπιτάφιος εἰς Ξιφιλῖνον, παρὰ Κ. Ν. Σάθᾳ· Μεσαιων. Βιβλιοθ. τόμ. Δ′, σελ. 453.

124. Ἀμαρτωλός· Migne. τόμ. PI′, 1248. Ficheri, Κατάλογος πατριαρχῶν· ἀνατύπωσις «Ἐκκλ. Ἀληθείας», τόμ. Ε′, σελ. 275β-276α.

125. Πατριαρχ. Πίνακες· σελ. 252.

126. Θεοφ. Α′, σελ. 701, 708 καὶ 709.

127. Morcelli, Kalendarium· τόμ. Β′, σελ. 224.

128. Κάλλιστος Ἐκκλ. Ἱστορ. ΙΕ′, ιδ′.

129. Γεώργ. Ἀκροπολίτης· σελ. 22.

Παρά τε τῷ Συναξαριστῇ καὶ τοῖς Μηναίοις ἡ ἱστορία τοῦ ναοῦ τούτου κατὰ τὸν Θ′ καὶ Ι′ αἰῶνα γράφεται πως ἐκτενῶς. Ἐκ τοῦ σχετικοῦ ὑπομνήματος μανθάνομεν ὅτι, ἐπὶ Μιχαὴλ καὶ Θεοδώρας Ἀντώνιος ὁ πατρίκιος, οἰκίαν κεκτημένος ἐν τῇ αὐλῇ τοῦ Νεωρίου (περὶ τὸ Μπαγτζὲ-καπὶ τῆς σήμερον) μετὰ ἀρχαίου ναοῦ, οὗ τὰς εἰκόνας ἐξήλειψαν οἱ εἰκονσμάχοι, ἀνακαινίσας τὸν ναὸν «λουτρὸν πάνυ σμικρότατον ὑποκάτω τούτου πεποίηκε, πρὸς σωματικὴν αὐτοῦ παραμυθίαν, ἄνωθεν δὲ τούτου ἡ τοῦ Θεοῦ δοξολογία ἀεὶ ἐπετελεῖτο. Ἐπεσκίασεν οὖν ἐν αὐτῷ ἡ χάρις τοῦ παναγίου Πνεύματος, διὰ τῆς πανάγνου μητρὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἤρξαντο γίνεσθαι ἰάματα οὐκ ὀλίγα διαφόρων νοσημάτων. Ἀλλὰ καὶ φιλόθεοί τινες ἐπισυναχθέντες ἠτήσαντο τὸν πατρίκιον ποιεῖν αὐτοὺς λοῦμα ἅπαξ τῆς ἑβδομάδος, λόγῳ τῶν ἐν Χριστῷ ἀδελφῶν· καὶ συγκροτούμενοι ὑπὸ τοῦ πατρικίου ἐποίουν τοῦτο μετὰ πίστεως». Μετὰ θάνατον Ἀντωνίου τοῦ πατρικίου, τὸ μὲν ὑπὸ τὸν ναὸν λουτρὸν περιῆλθεν εἰς ἀφανισμόν, ὁ δὲ ναὸς ὑφ' ἑνὸς ἱερέως ἐλειτουργεῖτο, πτωχὸς ὤν· ἀλλ' αὐτόν τε καὶ τὸ λοῦμα μείζονα Ῥωμανὸς Α′ ὁ Λακαπηνὸς ἀνεκαίνισεν, ὁρίσας αὐτῷ διὰ χρυσοβούλλου χορηγίαν ἐτησίαν πρὸς ἄνετον διατήρησιν, καὶ προσηλώσας εἰς τὴν ἄνω τῆς Χρυσοπόλεως μονὴν τοῦ Ῥαίκτορος ὡς μετόχιον αὐτῆς· ἐν τούτοις ὅμως ἀναφέρεται ὅτι οἱ μοναχοὶ τῆς μονῆς τῶν Γαλακρηνῶν ἐπὶ Νικηφόρου τοῦ Φωκᾶ κατέφυγον εἰς τὸν ναὸν τοῦτον τῆς Θεοτόκου τοῦ Νεωρίου, διότι ἦν μετόχιον τῆς τῶν Γαλακρηνῶν μονῆς. Ἐνταῦθα γίνεται φανερὸν ὅτι ἡ μονὴ τοῦ Ῥαίκτορος, ἣν ὁ φιλοπονώτατος καὶ γνώστης τῶν παρ' ἡμῖν βιθυνικῶν μερῶν Ξ. Σιδερίδης[130] ἔθηκε πλησίον τῆς τῶν Γαλακρηνῶν, ἦν αὐτὴ ἡ τῶν Γαλακρηνῶν, ἡ γνωριζομένη ὑπὸ δύο ὀνόματα, ἡ μίαν μετ' ἐκείνης ἀποτελοῦσα μονὴν ὑπὸ τὴν διοίκησιν ἑνὸς ἡγουμένου.

ΣΕΠΤΕΜΒΡΙΟΣ

1. Μνήμη τοῦ μεγάλου ἐμπρησμοῦ.

Κατὰ τὸν Συναξαριστὴν καὶ τὸ Μηναῖον, ἡ μεγάλη αὕτη πυρκαϊὰ συνέβη ἐπὶ Λέοντος τοῦ θρακὸς, δηθεν τῷ 450, καὶ διήρκεσεν ἡμέρας ἑπτά· ἀλλὰ τοῦ Χρονικοῦ Πασχαλίου σαφῶς ὁρίζοντος τὸν ἐμπρησμὸν γενόμενον κατὰ τὴν Ζ′ ἰνδικτιῶνα, φανερὸν ὅτι ἐγένετο τῷ 468, καίτοι Θεοφάνης καὶ Κεδρηνὸς ὁρίζουσι τὸ τέταρτον ἔτος Λέοντος τοῦ θρακὸς, τὴν 2 σεπτεμβρίου τῆς ΙΕ′ ἰνδικτιῶνος=461· «ἀπὸ τοῦ Νεωρίου ἕως τοῦ Ἀποστόλου Θωμᾶ τῶν Ἀμαντίου», ὅτε φοβηθεὶς ὁ Λέων ἐξῆλθε πέραν εἰς τὸν Ἅγιον Μάμαντα, ἤ, κατὰ τὸ Πασχάλιον, Ἅγιον Μαμᾶν, καὶ ἔμεινε καθήμενος ἓξ μῆνας[1]. Ὁ Εὐάγριος ἐν τῷ ιγ′ κεφαλαίῳ τοῦ Β′ βιβλίου τῆς Ἐκκλησιαστικῆς Ἱστορίας περιγράφει τὸν ἐμπρησμὸν ἀκριβῶς, τετραήμερον διαρκέσαντα καὶ πᾶσαν ἄμυναν ὑπερβεβηκότα, ὥστε μετὰ ταῦτα μεῖναι τὴν πόλιν ἄγνωστον καὶ τοῖς οἰκήτορσιν αὐτῆς· ἐλέγετο δὲ «τὸ μεσαίτατον ἅπαν τῆς πόλεως ἀπὸ τοῦ ἀρκτῴου μέχρι τοῦ νοτίου κλίματος δαπανηθῆναι, ἐπὶ πέντε μὲν σταδίους τὸ μῆκος, δεκατέσσαρας δὲ τὸ πλάτος· ὡς μηδὲν μεταξὺ καταλειφθῆναι, μὴ δημοσίων, μὴ ἰδιωτικῶν οἰκοδομιῶν, μὴ κίονας, μὴ τὰς ἐκ λίθων ψαλίδας· ἀλλὰ πᾶσαν κατεσκληκυῖαν ὕλην, ὥςπερ τι τῶν εὐεξάπτων κατακαυσθῆναι· τοῦτο δὲ τὸ κακὸν γενέσθαι ἐν μὲν τῷ βορείῳ κλίματι, ἐν ᾧ καὶ νεώρια τῆς πόλεως καθεστᾶσιν, ἀπὸ τοῦ καλουμένου Βοὸς-πόρου μέχρι τοῦ παλαιοῦ Ἀπόλλωνος ἱεροῦ· ἐν δὲ τῷ νοτίῳ ἀπὸ τοῦ Ἰουλιανοῦ λιμένος μέχρις οἰκιῶν οὐ πολὺ κειμένων τοῦ εὐκτηρίου, τῆς ἐπίκλην Ὁμονοίας ἐκκλησίας· ἐν δὲ τῷ μεσαιτάτῳ τῆς πόλεως μέρει, ἀπὸ τοῦ Κωνσταντίνου προσαγορευομένου φόρου μέχρι τῆς τοῦ Ταύρου καλουμένης ἀγορᾶς, οἰκτρὸν πᾶσι θέαμα καὶ εἰδεχθέστατον». Ὁ δὲ Κεδρηνὸς ὁρίζει τὸ πεδίον τῆς καταστροφῆς ἀπὸ τοῦ Νεωρίου μέχρι τοῦ Ἁγίου Θωμᾶ τῶν Ἀμαντίου «κατ' ἀνατολὰς ἀπὸ τοῦ Νεωρίου μέχρι τοῦ Ἁγίου Ἰωάννου τοῦ Πτωχοῦ πρὸς δύσιν· ἐπὶ δὲ μεσημβρίας ἐν τῇ μέσῃ τῆς πόλεως ἀπὸ τοῦ Λαύσου μέχρι τοῦ Ταύρου . . . . . ἄχρι τοῦ ναοῦ Σεργίου καὶ Βάκχου». Ὥστε φαίνεται ἐκταθὲν τὸ κακὸν ἀπὸ τοῦ Ἀγιάσμα-καπὶ περίπου μέχρι τοῦ Κάτεργα-λιμὰν καὶ μέχρι τοῦ Ἱπποδρόμου.

Εἰκάζω ὅτι ἡ παρὰ Κωδινῷ λιτανεία τοῦ πατριάρχου μετὰ τῶν ἁγίων εἰκόνων ἡ γινομένη τῇ 1 σεπτεμβρίου «εἰς τὸ πορφυροῦν

130. Ἀρχαιολογ. Παράρτημα τόμ. ΙΘ′ Ἑλλην. Φιλολ. Συλλόγου· σελ. 23.

1. Πασχάλ. Χρον. σελ. 598. Μαλαλᾶς· σ. 372. Θεοφ. Α′, σελ. 174. Θεόδ. Ἀναγν. Ἐκκλ. Ἱστορία, Β′, 23.

κιόνιον, ἐφ' οὗ ὁ Σταυρὸς ἵσταται, ὃ πάλαι Φόρος ἐκαλεῖτο », καὶ καθ' ἣν ὁ αὐτοκράτωρ παρῆν[2], ἐγίνετο εἰς ἀνάμνησιν μὲν ἐκείνου τοῦ δυστυχήματος, ἀποτροπὴν δ' ὁμοίου. Ἀνεγράφησαν δὲ καὶ ἐν τοῖς « προλεγομένοις », ἐν τῇ τῶν εὐαγγελικῶν ἀναγνωσμάτων ἀντιβολῇ, τὰ ἐν τῷ Φόρῳ καὶ τὰ ἐν τῷ ναῷ τῶν Χαλκοπρατείων ἀναγινωσκόμενα Εὐαγγέλια.

ℓ

2. Μάμαντος μάρτυρος.

Παφλαγὼν τὴν πατρίδα, υἱὸς **Θεοδότου** καὶ **Ῥουφίνης** ἀθλησάντων ἐν Καισαρείᾳ τῆς Καππαδοκίας. ἤθλησεν αὐτόθι καὶ αὐτὸς τῇ 2 σεπτεμβρίου 272 ἢ 273[3]. Κατὰ τὸν Ε' αἰῶνα ἤγετο τὴν 2 σεπτεμβρίου ἡ μνήμη αὐτοῦ: « ἐν τῇ συναξει τοῦ ἁγίου Μαμᾶ »[4].

Ναὸν μονῆς ἁγίου Μάμαντος « ἀγχοῦ τοῦ τείχους, ᾧ Ξυλόκερκος ὄνομα». ἔκτισε Φαρασμάνης ὁ ἑκτομίας. ὁ θαλαμηπόλος τοῦ Μ. Ἰουστινιανοῦ, ἴσως ὁ παρὰ Προκοπίῳ « κόλχος ἀνὴρ διαφερόντως ἀγαθὸς τὰ πολέμια »[5]. αὕτη δ' ἐσῴζετο καὶ κατὰ τὸν Ι' αἰῶνα, οὖσα ἀνδρεία. «πλησίον τῆς Ξηροκέρκου λεγομένης πύλης »[6]. ἔξω τῶν Βλαχερνῶν βεβαίως· ἀλλ' ὅσοι γινώσκουσι τὰ κατὰ τὸν ἅγιον Ἰωάννην τὸν Χρυσοστομον καὶ ὅτι οἱ ὀπαδοὶ αὐτοῦ οἱ ξυλοκερκῖται κληθέντες ἐποιοῦντο τὰς συνάξεις ἐν τῷ Ξυλοκέρκῳ, συμπεραίνει ὅτι ναός τις, ἴσως τοῦ ἁγίου Μάμαντος, ὑπῆρχεν ἐν τῷ Ξυλοκέρκῳ ἀπὸ τῶν ἀρχῶν τοῦ Ε' αἰῶνος. Τὴν μονὴν (ἴσως ταύτην) τοῦ ἁγίου Μάμαντος ἀνῳκοδόμησεν Ἰσαάκιος ὁ Ἄγγελος, ἀποθησαυρίσας ἐν αὐτῇ τὴν κεφαλὴν τοῦ μάρτυρος[7]· εἴδομεν δ' ὅτι κατὰ τὰ τελευταῖα ἔτη τοῦ Ι' αἰῶνος ἐπεσκεύασεν αὐτὴν ὁ νέος θεολόγος Συμεών, ὡς ἐγράφη τῇ 12 μαρτίου· 2) Μάμαντος ἄρα καὶ Βασιλίσκου ναον εἴδομεν ἐν τοῖς Δαρείου· 3) γινώσκομεν δὲ καὶ ναὸν ἐν τῷ Σιγματι· 4) ἀλλ' ἐν τούτοις ἀναφέρονται ναὸς καὶ παλάτιον ἁγίου Μαμαντος κείμενα κατὰ τὴν Προποντίδα, ἀλλ' ἂν ὦσιν αὐτὰ, παρ' οἷς τοὺς ἱππικοὺς ἀγῶνας ἐτέλει Μιχαὴλ ὁ Τραυλὸς, ταῦτα, κατὰ τὴν ἐκ προστάγματος Κωνσταντίνου τοῦ Πορφυρογεννήτου συνταχθεῖσαν χρονογραφιαν. ἔκειντο ἐν τῷ Εὐξείνῳ[8]. Ἐντεῦθεν ἄγομαι 'να πιστεύσω, καθὼς ἄλλοτε ἔγραψα, ὅτι πρόκειται περὶ παλατίου καὶ ναοῦ κειμένων μεταξὺ τῶν χωρίων Μακροχωρίου καὶ Ἁγίου Στεφάνου καταστραφέντων ἐν ἀρχαῖς τοῦ Θ' αἰῶνος[9]· εἰς τοῦτον δὲ πιθανῶς τὸν Ἅγιον Μάμαντα Μιχαὴλ ὁ τοῦ Θεοφίλου περιώρισε Δαμιανὸν τὸν παρακοιμώμενον, διότι ποτὲ καθήμενος ἐν τῷ Ὡρολογίῳ οὐκ ἀνηγέρθη. διερχομένου ἐκεῖθεν τοῦ πανισχύρου Βάρδα[10].

Σημ. Μονήν τινα τοῦ ἁγίου Μάμαντος παρημελημένην καὶ σχεδὸν ἐρείπιον, ἔχουσαν δὲ δύο ἱερεῖς περιοδεύοντας πρὸς ἐπαιτείαν ἄρτου, ἔλαβε τῷ 1147 πρὸς σκοπὸν ἀνοικοδομῆς. ἀδεία τοῦ πατριάρχου Κοσμᾶ Β' τοῦ Ἀττικοῦ, Γεώργιος Καππαδόκης ὁ μυστικὸς, ὡς καὶ πράγματι ἤγειρεν αὐτὴν ἐκ νέου, συναριθμηθεῖσαν τοῖς πατριαρχικοῖς μοναστηρίοις διὰ σιγιλλίου τοῦ πατριάρχου Νικολάου τοῦ Μουζάλωνος. ἐπικυρωθέντος διὰ χρυσοβούλλου λόγου Μανουὴλ τοῦ Κομνηνοῦ. πλουτισθεῖσαν δ' ὑπὸ τοῦ νέου δομήτορος ἀργυροῖς καὶ χρυσοῖς σκεύεσιν, ἱεραῖς εἰκόσι, βιβλίοις καὶ οἰκοδομαῖς. ὡς καὶ ὑδραγωγείου, οὗ ἐστερεῖτο· καλέσας δ' ὁ Καππαδοκης ἡγούμενον τῆς μονῆς τοῦ ἁγίου Μάμαντος Ἀθανάσιον τὸν τέως μοναχὸν καὶ οἰκονόμον τῆς τοῦ Φιλανθρώπου μονῆς, ὥρισε τὸν ἀριθμὸν τῶν μοναχῶν τῆς ἀνακαινισθείσης μονῆς εἰς εἴκοσιν, ὧν δυο διάκονοι, δύο δ' ἢ τρεῖς ἱερεῖς. Ἐκ τοῦ τυπικοῦ τῆς μονῆς, ἢ μᾶλλον τοῦ τὸ τυπικὸν ἐπικυροῦντος σημειώματος ἐκδεδομένου κατὰ νοέμβριον τοῦ 1158, μανθάνομεν ὅτι ἡ μονὴ τοῦ ἁγίου Μάμαντος αὕτη ἔκειτο *κατάντικρυ μὲν τῆς κοινοβιακῆς γυναικείας μονῆς τῆς Ἀριστηνῆς, πλησίον δὲ τῆς σεβασμίας μονῆς τοῦ Ἰασίτου*[11]. Τὴν τοποθεσίαν ταύτην ὑπέμνησεν ὁ μακαρίτης Ἀνδρόνικος Δημητρακόπουλος ἐπὶ τῇ βάσει τοῦ 203 χειρογράφου τῆς πατριαρχικῆς βιβλιοθήκης τῶν Ἱεροσολύμων[12]. Καὶ ἐκ τούτων μὲν οὐδὲν δυνάμεθα 'να ὁρίσωμεν, ὡς οὐδὲν ἠδυνήθη καὶ ὁ φίλος Οὐσπένσκης· ἀλλ' ὁ Παχυμέρης, γράφων περὶ τοῦ πατριάρχου Γρηγορίου Κυπρίου, γίνεται χρήσιμος ἡμῖν ἀρωγὸς πρὸς ὁρισμὸν τοῦ τόπου[13], διότι, ἀναφέρων τὴν κατὰ τὸ 1289 παραίτησιν τοῦ πατριάρχου Γρηγορίου Β' τοῦ Κυπρίου, γράφει ὅτι ὁ πατριάρχης ἀπεσύρθη εἰς τὴν μονὴν τῆς Ἀριστηνῆς, ἥτις ἔκειτο πλησίον τῆς μονῆς τοῦ ἁγίου Ἀνδρέου ἐν τῇ Κρίσει, δῆλα δὴ τοῦ σήμερον Κοδζὰ Μουσταφᾶ δζαμὶ, ἐν τῇ συνοικίᾳ Δζουμαὰ-παζὰρ τῶν Ὑψωμαθείων. Ἔκειτο ἄρα ἐν Ὑψωμαθείοις ἡ μονὴ τοῦ ἁγίου Μάμαντος αὕτη.

Ἐπισημ. Ἴσως ἀποδειχθῇ σὺν τῷ χρόνῳ ὅτι τὸ πλησίον τῆς μονῆς τῶν Γαστρίων κείμενον τέμενος Ἰησὰ-καπὶ-μεσδζητὶ[14] ἐπέχει τὸν τόπον τῆς μονῆς Ἰασίτου.

* * *

2. Παύλου τοῦ νέου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως·

ταῦτ' αὐτολεξεὶ κεῖνται παρὰ τῷ Συναξαριστῇ τοῦ Μαργουνίου, ὅστις προστίθησι κατὰ τὴν αὐτὴν ἡμέραν καὶ: μνήμην

Παύλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ.

Ἐν τούτοις πρόκειται περὶ Παύλου τοῦ Γ', ἐφ' οὗ συνῆλθεν ἡ Πενθέκτη Σύνοδος, ἱερατεύσαντος ἀπὸ τοῦ 686-693[15].

* * *

2. Ἰωάννου πατριάρχου Κωνσταντινουπόλεως τοῦ νηστευτοῦ.

Ἱεράτευσεν ἀπὸ τῆς 12 ἀπριλίου τοῦ 582 — 2 σεπτεμβρίου 595, φήμην θαυματουργοῦ κτησάμενος. «Χαράκτης τὴν τέχνην ὤν, διὰ τὴν πολλὴν αὐτοῦ ἀρετὴν, πατριάρχης γέγονε τῆς αὐτῆς μεγαλοπόλεως· ἐγένετο δὲ φιλόπτωχος καὶ ἐλεήμων καὶ συμπαθὴς . . . . . τὴν Ἐκκλησίαν καλῶς διακυβερνήσας ἐπὶ ἔτη δέκα καὶ τρία καὶ μῆνας πέντε»· ταῦτα δὲ κατὰ τὸ λεγόμενον Βασιλειανόν. Ὁ πατριάρχης Ἰωάννης ἐτάφη ἐν τῷ θυσιαστηρίῳ τῶν Ἁγίων Ἀποστόλων τῶν μεγάλων, ἐν ᾧ βεβαίως ἐτελεῖτο καὶ ἡ σύναξις αὐτοῦ[16].

ℓ

3. Ἀνθίμου ἱερομάρτυρος ἐπισκόπου Νικομηδείας.

Ἤθλησεν ἐπὶ Μαξιμιανοῦ.

Ναοὶ ἐπ' ὀνόματι τοῦ ἁγίου Ἀνθίμου γινώσκονται 1) ὁ κατέναντι τοῦ Κοσμιδείου κείμενος ἐν τῇ ἑτέρᾳ τῶν ἀκτῶν τοῦ Κερατίου κόλπου, τὸ πρῶτον οἰκοδομηθεὶς ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ πρὸ τῆς θαλάσσης, αὐλὴν μαρμαρίνην ἔχων πρὸ αὐτοῦ, κίοσι δὲ μαρμαρίνοις ὡραϊζόμενος καὶ χρυσῷ[17]. — 2) τὸ ἐν τῇ μονῇ τῆς Χώρας εὐκτήριον ἐπὶ τοῦ Μ. Ἰουστινιανοῦ καὶ τοῦτο οἰκοδομηθὲν ὑπὸ τοῦ πρώτου κτίτορος αὐτῆς Θεοδώρου, καθὼς ἐν ἀνεκδότῳ αὐτοῦ βιογραφίᾳ φαίνεται· 3) κατὰ τὸν Η' αἰῶνα ἀναφέρεται καὶ ἕτερος πλησίον τοῦ Ἁγίου Μωκίου ἐν Κωνσταντινουπόλει ναὸς Ἀνθίμου τοῦ θείου, ἐν ᾧ διέμενεν ἔγκλειστος Ἰωσὴφ ὁ ὑμνογράφος[18].

* * *

3. Τοῦ ἐν ἁγίοις βασιλέως Κωνσταντίνου τοῦ νέου ἐν τοῖς Ἁγίοις Ἀποστόλοις.

Φρονῶ ὅτι οὗτός ἐστιν ὁ Πωγωνάτος, ἐφ' οὗ συνῆλθεν ἡ κατὰ μονοθελητῶν ΣΤ' οἰκουμενικὴ Σύνοδος τῷ 680.

* * *

Στεφάνου ἡγουμένου Τριγλίας τοῦ ὁμολογητοῦ.

Τὴν μνήμην αὐτοῦ εὑρίσκω τὴν 3 σεπτεμβρίου παρὰ τῷ Σταυρονικητηνῷ Συναξαριστῇ.

ℓ

4. Μωϋσέως τοῦ θεόπτου προφήτου.

Ἡ ῥάβδος τοῦ Μωϋσέως ἀπεθησαυρίζετο ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Θεοδώρου τῷ παρὰ τῷ Χρυσοτρικλίνῳ τοῦ παλατίου[19].

* * *

4. Βαβύλα τοῦ διδασκάλου καὶ τῶν σὺν αὐτῷ παίδων.

Ἤθλησαν ἐπὶ Μαξιμιανοῦ ἐν Νικομηδείᾳ· οἱ δὲ χριστιανοὶ « τὰ λείψανα ἐν ἀκατίῳ ἐμβαλόντες εἰς τὸ Βυζάντιον ἀποκομίζουσι, καὶ ἐν τῷ βορείῳ μέρει ἔξω τειχέων ἐν τρισὶ λάρ-

2. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 79-80.

3. Ἄθλησις Μάμαντος, ἐν Μνημείοις ἁγιολογικοῖς Θεοφίλου Ἰωάννου· σελ. 338-351.

4. Πασχάλ. Χρον. σελ. 595.

5. Προκοπίου Ἱστορίαι· τόμ. Α', σελ. 39.

6. Ζωναρᾶς· ΙΔ', 14· (Δινδόρφ. Γ', 300). Theoph. Contin. σελ. 404. Κάλλιστος· Ἐκκλ. Ἱστορ. ΙΗ', μα'.

7. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· Α'. σελ. 600.

8. Γενέσιος· σελ. 102. Theoph. Contin. σελ. 197.

9. Μ. Ι. Γεδεών, Λίθοι καὶ Κεράμια· σελ. 77.

10. Συμεὼν μάγιστρος· σελ. 675.

11. ταῦτα κατὰ τὰ ὑπὸ τοῦ διδάκτορος Θ. Οὐσπένσκη ἐκδοθέντα ἀποσπάσματα τοῦ Τυπικοῦ τοῦ Ἁγίου Μάμαντος· ἐν Ὀδησσῷ, 1896. Βλέπε κυρίως τὰς σελ. 10-12, 17-18 καὶ 22.

12. Ὀρθόδοξος Ἑλλάς· σελ. 57, σημ. β'.

13. Παχυμέρης· τόμ. Β', σελ. 139.

14. Πασπάτη, Μελέται· σελ. 361-363.

15. Πατριαρχ. Πίνακες· σελ. 252.

16. αὐτόθι· σελ. 232-236. Θεοφ. Α', σ. 387. Θεοφύλ. Σιμοκάττης· σελ. 280.

17. Προκοπίου, Περὶ κτισμάτων· σελ. 194.

18. Δουκαγγίου, Σημειώσεις εἰς Ζωναρᾶν· τ. Ϛ', σ. 149.

19. Πορφυρογεν. Ἔκθ. Α', σελ. 640.

ναξι καταθέντες, ἔνθα ἐστὶ μονὴ Χώρα ἐπονομαζομένη, δόξαν καὶ εὐχαριστίαν τῷ Θεῷ ἀναπέμπουσι»[20].

Ναὸν ἐπ' ὀνόματι τοῦ ἁγίου Βαβύλα ἀναφέρει τὸ 426 Εὐαγγέλιον τῇ 5 ἰουνίου· καὶ ἐπειδὴ πρόκειται λόγος περὶ λιτῆς γινομένης ἐν τῷ Κάμπῳ, νομίζω ὅτι ὁ ναὸς τοῦ ἁγίου Βαβύλα ἠγείρετο αὐτόθι.

Κατὰ τὸν Θ' αἰῶνα τὰ λείψανα τοῦ ἁγίου Βαβύλα καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντων παίδων ἐφυλάττοντο ἐν τῇ «Καταφυγῇ» τοῦ ναίσκου τοῦ ἁγίου ἱερομάρτυρος Ἀνθίμου ἐν τῇ μονῇ τῆς Χώρας, ὡς ἀναγινώσκομεν ἐν ἀνεκδότῳ βιογραφίᾳ Μιχαὴλ τοῦ συγκέλλου.

* * *

4. Ἑρμιόνης θυγατρὸς Φιλίππου τοῦ ἀποστόλου.

Μονὴν τῆς ἁγίας Ἑρμιόνης ἐν τοῖς Ἐλεβίχου γινώσκομεν ὑπάρχουσαν ἐπὶ τοῦ πατριάρχου Μηνᾶ[21].

§

5. Ζαχαρίου τοῦ προφήτου.

Τῇ 11 φεβρουαρίου, καθὼς εἶπον, ἑώρταζεν ἡ μεγάλη ἐκκλησία τὴν εὕρεσιν τοῦ λειψάνου αὐτοῦ.

* * *

5. Τῶν ἁγίων μαρτύρων τῶν ἐν Βυζαντίῳ.

Τὰς λέξεις ταύτας ἀναγινώσκω ἐν τῷ Σταυρονικητηνῷ Συναξαριστῇ, τιθέντι τὴν μνήμην αὐτῶν τὴν 29 τοῦ μηνός· ὁ κοινὸς Συναξαριστὴς καὶ τὰ Μηναῖα τὴν 5. Ἦλθησαν τῷ 369 καέντες ἐντὸς πλοίου ἀπὸ Νικομηδείας ἄχρι Δακιβύζης· «χωρίον δὲ τοῦτο τῆς παραλίου Βιθυνίας» καὶ κατὰ Σωκράτην ἐπίνειον. Ἦσαν δὲ πάντες *ἄνδρες ἱερατικοὶ* ὀγδοήκοντα, πρεσβείαν ἀποτελοῦντες σταλεῖσαν εἰς Νικομήδειαν πρὸς τὸν Οὐάλεντα[22].

* * *

5. Μνήμη τοῦ Ἁγίου ἀποστόλου Πέτρου ἐν τῷ Ἀθύρᾳ.

Ἦγετο τῶν ἐγκαινίων ἡ μνήμη. Εἰς τὸν Ἀθύραν (Μπουγιουκ-τζεκμεδζὲ) Ἰουστινιανὸς ὁ Μ. ἔκτισε δεξαμενὴν ὑδάτων ἀνακαινίσας καὶ τὸ τεῖχος[23]. Ὁ ναὸς τοῦ ἀποστόλου Πέτρου ἐν τῷ Ἀθύρᾳ ἀναφέρεται ἐπὶ τοῦ Μ. Ἰουστινιανοῦ[24].

§

6. Τὰ ἐγκαίνια τῆς ὑπεραγίας Θεοτόκου εἰς τὸ Δεύτερον ἐν τῷ οἴκῳ τῆς ἁγίας Εἰρήνης.

§

7. Λουκᾶ τοῦ ἐκ τῆς Λυκαόνων ἐπαρχίας, τρίτου δὲ ἡγουμένου ὄντος τῆς μονῆς τοῦ Σωτῆρος τῆς ἐπιλεγομένης τοῦ Βαθέως Ῥύακος.

Ἤκμασε μικρὸν μετὰ τὸν Νικηφόρον Φωκᾶν, ὡς γράφεται εἰς τὴν 27 σεπτεμβρίου.

§

8. Τὸ γενέσιον τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ παρθένου Μαρίας.

Μέχρι τοῦ Ι' αἰῶνος ἀναφέρεται γινομένη προέλευσις ἐν τῇ Θεοτόκῳ τῶν Χαλκοπρατείων, τῆς ἐπὶ τούτῳ λιτῆς ἀπὸ τοῦ Φόρου κατερχομένης εἰς τὰ Χαλκοπρατεῖα σὺν τῷ αὐτοκράτορι· κατὰ τοὺς τελευταίους ὅρους αἰῶνας ἡ προέλευσις ἐγίνετο ἐν τῇ Θεοτόκῳ τοῦ Λιβὸς[25], ἥτις ἑώρταζεν ἄρα κατὰ τὸ γενέσιον τῆς Θεοτόκου. Τὴν ἐν τῷ ναῷ τῶν Χαλκοπρατείων σύναξιν ἐξηγῶ διὰ τῆς ἐν αὐτῷ καταθέσεως τῆς θαυματουργοῦ εἰκόνος τῆς Θεοτόκου τῆς Ῥωμαίας, ἣν εἰκόνα, σταλεῖσαν ὑπὸ Γερμανοῦ τοῦ πατριάρχου, κατὰ παράδοσιν, εἰς τὸν πάπαν Ῥώμης Γρηγόριον, πρὸς ὃν αὐτὴ μόνη πλεύσασα διαπόντιος ἀφίκετο, καὶ κατατεθεῖσαν ἐν τῷ ναῷ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων αὐτόθι, ἀπέδωκε τῇ Κωνσταντινουπόλει πάλιν ἡ παλαιὰ Ῥώμη θαυματουργοῦσαν· «ὡρίσθη δὲ τὴν ἀνάμνησιν ταύτην τελεῖσθαι κατ' αὐτήν γε τὴν ἑόρτειον ἡμέραν τοῦ σεβασμίου γενεθλίου αὐτῆς, ἣν ὁ σεπτέμβριος μὴν τῆς ἑαυτοῦ ὀγδόης δοξάζων δοξάζεται»[26].

---

20. ταῦτα κατὰ τὸν τοῦ Σταυρονικήτα Συναξαριστήν· τὸ Μηναῖον τῇ 4 σεπτεμβρίου γράφει *χειλέων* ἀντὶ *τειχέων*.

21. Δουκαγγίου, Const. Christ. σελ. 102, XVIII.

22. Σωκράτης· Ἐκκλ. Ἱστ. Δ', ιστ'. Σωζόμενος· ΣΤ', ιδ'. Θεοδώρητος· Ἐκκλ. Ἱστ. Δ', κδ'. Θεοφ. Α', σελ. 91.

23. Προκοπίου, Περὶ κτισμάτων· σελ. 296.

24. βλ. σημ. 89 τοῦ μηνὸς ἰουνίου.

25. Πορφυρογ. Ἐκθ. Α', σελ. 189, 191 καὶ 782. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 80.

26. ἰδὲ σελ. 282, στήλην β' τόμου Γ' τῆς «Ἐκκλησ. Ἀληθείας», ἔνθα ἐξέδωκα τὸ τῷ Μεταφραστῇ Συμεὼν ἐπιγραφόμενον «Ὑπόμνημα εἰς τὴν ἐπωνυμίαν τῆς ἀχράντου καὶ προσκυνητῆς εἰκόνος τῆς παναμώμου δεσποίνης ἡμῶν

§

9. Ἰωακεὶμ καὶ Ἄννης τῶν γονέων τῆς Θεοτόκου.

Τὸν τίτλον τοῦτον, ὡς καὶ τὸν τῆς 8 παραλαμβάνω ἐκ τοῦ Βασιλειανοῦ λεγομένου. Φρονῶ δ' ὅτι ὁ ναὸς τῆς ἁγίας Ἄννης ἐν τῷ Δευτέρῳ, πανηγυρίζων τῇ 25 ἰουλίου, ἑώρταζε καὶ τὴν 9 σεπτεμβρίου.

* * *

9. Χαρίτωνος μάρτυρος, Ἡ σύναξις ἐν τῷ Δευτέρῳ.

Τὴν τοῦ ναοῦ γνῶσιν ὀφείλομεν τῷ Συναξαριστῇ μόνον[27].

* * *

9. Μνήμη τῆς ἁγίας οἰκουμενικῆς Γ' Συνόδου τῶν ἁγίων Σ' πατέρων τῶν ἐν Ἐφέσῳ συναχθέντων καὶ καθελόντων τὸν ἀσεβῆ Νεστόριον[28].

§

10. Μηνοδώρας, Μητροδώρας, καὶ Νυμφοδώρας τῶν μαρτύρων.

Ἤθλησαν ἐπὶ Μαξιμιανοῦ κατοικοῦσαι ἐν γηλόφῳ τινὶ τῶν Πυθίων θερμῶν οὐ πόρρῳ[29], ἄρα ὑπεράνω τῶν λουτρῶν τοῦ σημερινοῦ χωρίου Κουρί.

Ναὸς ἐπ' ὀνόματι τῶν ἁγίων Μηνοδώρας, Μητροδώρας καὶ Νυμφοδώρας, προϋπάρχων ὡς μονὴ γυναικεία, ἀνηγέρθη ἐκ βάθρων αὖθις ὑπὸ τοῦ δομεστίκου Φωκᾶ Μαρούλλη μικρῷ πρὸ τοῦ 1341 ἐπὶ σκοπῷ ἵνα μεταβληθῇ εἰς μονὴν ἀνδρείαν ἐπ' ὀνόματι τῆς Θεομήτορος. Ὁ ναὸς κεῖται πλησίον τῆς πύλης τοῦ ἁγίου Ῥωμανοῦ, τῆς σήμερον Τὸπ-καπί, καὶ κατὰ τὸν Πασπάτην ἐστὶ τὸ Μοναστὴρ-μεσδζιτὶ τῆς σήμερον[30].

Ἐκ τοῦ λειψάνου τῆς ἁγίας Μηνοδώρας τὴν κεφαλὴν ἐδωρήσατο «διὰ θείου αὐτοῦ χρυσοβούλλου» Κωνσταντῖνος ὁ Μονομάχος εἰς τὴν ἐν Ἁγίῳ Ὄρει μονὴν μεγίστην Λαύραν[31].

Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τῆς Ῥωμαίας», ἀπὸ σελ. 211β 215α καὶ 229β-234β.

27. ὁ Συναξαριστὴς τοῦ Σταυρονικήτα μνήμην Χαρίτωνος ἀναγράφει τῇ 10 σεπτεμβρίου σὺν τῇ τῆς Πουλχερίας.

28. ἡ μνήμη παρὰ τῷ Νικοδήμῳ.

29. Ἄθλησις Μηνοδώρας κλπ. ὑπὸ Συμεὼν Μεταφραστοῦ· Migne, τόμ. ΡΙΕ', στ. 653.

30. Πασπάτη, Μελέται· σελ. 376-377.

31. Σάββα σκευοφύλακος, Προσκυνητάρ. Λαύρας· σ. 33.

* * *

10. Πουλχερίας τῆς αὐγούστης.

Ἀδελφὴ Θεοδοσίου τοῦ Β' καὶ συνάρχουσα αὐτῷ, διεκρίθη ἐπ' εὐσεβείᾳ καὶ συνέσει, συνάρξασα καὶ τῷ Μαρκιανῷ καὶ γενομένη σύζυγος αὐτοῦ κατ' ὄνομα μόνον. Ἐγεννήθη τῇ 19 ἰανουαρίου 399 καὶ ἀπεβίωσεν ἐν ἡλικίᾳ πεντήκοντα τεσσάρων ἐτῶν τῷ 453· «σοφωτάτη τυγχάνουσα καὶ θεῖον νοῦν κεκτημένη» ἔκτισε ναοὺς πολλοὺς καὶ μονὰς καὶ πτωχοκομεῖα καὶ νοσοκομεῖα «πάντα τὰ ἑαυτῆς πτωχοῖς καταλείψασα»[32]. Ἀναφέρεται δ' ὅτι Τράπεζαν ἁγίαν ἐκ χρυσοῦ κατασκευάσασα καὶ λίθων τιμίων «ἀνέθετο ἐν τῇ ἐκκλησίᾳ Κωνσταντινουπόλεως»[33], ἴσως τῆς τοῦ Θεοῦ Σοφίας.

* * *

10. Πέτρου ἐπισκόπου Νικαίας.

Παρὰ τῷ Συναξαριστῇ ἁπλῆ τοῦ ὀνόματος μνεία μετὰ τῆς σημειώσεως *ἐν εἰρήνῃ τελειοῦται*. Θεοδώρου τοῦ Στουδίτου γινώσκομεν ἐπιστολάς τινας πρὸς Πέτρον τὸν Νικαίας, ζῶντα ἔτη τινὰ μετὰ τὸν θάνατον Μιχαὴλ τοῦ Συνάδων· ἐν δὲ τῷ «Συνοδικῷ» τῆς Κυριακῆς τῆς Ὀρθοδοξίας ἀναγράφεται «Θεοφυλάκτου, Πέτρου, Μιχαὴλ, καὶ Ἰωσὴφ τῶν μακαρίων μητροπολιτῶν αἰωνία ἡ μνήμη»[34].

§

14. Ἡ ἀνάμνησις τῆς ὑψώσεως τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

Αἱ λέξεις αὗται παρὰ τῷ λεγομένῳ Βασιλειανῷ, καθ' ὃ εὑροῦσα τὸν τίμιον Σταυρὸν ἐν Ἱερουσαλὴμ ἡ μακαρία Ἑλένη προσεκύνησε μετὰ τῆς συγκλήτου· ἐπειδὴ δ' ἐζήτησε καὶ ὁ λαὸς ἵνα προσκυνήσῃ, διὰ πολλὴν πλήθους συρροὴν «ἠτήσατο κἂν ἰδεῖν αὐτόν· καὶ ἤρξατο κράζειν ὁ λαός, Κύριε ἐλέησον· καὶ ἐτυπώθη εἰς ὕψωσιν», εἰ καὶ, κατὰ παλαιὰν ἐπίσης παράδοσιν, ἡ ὕψωσις ἑωρτάζετο τῇ 14 σεπτεμβρίου πρὸς ἀνάμνησιν πρῶτον μὲν τῆς εὑρέσεως τῶν τιμίων ξύλων ὑπὸ τῆς μακαρίας Ἑλένης, δεύτερον δ' ὅτε μετεκομίσθησαν ἀπὸ

---

32. Χρον. Πασχάλ. σελ. 567. Θεοφ. Α', σελ. 126 καὶ 164. Φιλοστόργιος· ΙΒ', 7. Κάλλιστος· Ἐκκλησ. Ἱστορ. ΙΔ', Β'. Θεόδ. Ἀναγνώστης· Α', 5.

33. Σωζόμενος· Ἐκκλ. Ἱστ. Θ', α', γ'.

34. σελ. 10 τῆς ὑπὸ τοῦ διδάκτορος Θ. Οὐσπένσκη ἐκδόσεως τοῦ Συνοδικοῦ τούτου· ἐν Ὀδησσῷ, 1893.

'Απαμείας ἐπὶ 'Ιουστίνου «καὶ προσκυνοῦνται τῇ μεσονηστίμῳ»[35]· ἐγένετο δ' ἡ τῶν τιμίων ξύλων εἴσοδος ἀπὸ τῆς 'Απαμείας τῆς δευτέρας Συρίας εἰς Κωνσταντινούπολιν τῷ 574[36].

Τὰς περὶ τοῦ σχήματος τοῦ Σταυροῦ θεωρίας τῶν ἀρχαιολόγων ἢ καινολόγων καταλιπὼν τοῖς περὶ τὰ τοιαῦτα δεινοῖς, οἵοι παρ' ἡμῖν οὔκ εἰσι, τὰς δὲ δημώδεις παραδόσεις τῷ περὶ ταύτας δεινῷ Νικοδήμῳ, προσέχω τοῖς ἱστοριογράφοις, καθ' οὓς τὸ ἥμισυ τοῦ τιμίου Σταυροῦ ἐν ἀργυρᾷ θήκῃ θησαυρίσασα ἀπέθετο ἐν 'Ιεροσολύμοις ἡ ἁγία 'Ελένη· τὸ δ' ἕτερον ἥμισυ, σταλὲν εἰς Κωνσταντινούπολιν, ὁ Κωνσταντῖνος Α' «τῷ ἑαυτοῦ ἀνδριάντι κατέκρυψεν, ὃς ἐν τῇ ἀγορᾷ Κωνσταντίνου ἐπὶ τοῦ πορφυροῦ κίονος ἵδρυται· *τοῦτο μὲν ἀκοῇ γράψας ἔχω*· τοὺς ἥλους δὲ χαλινούς τε καὶ περικεφαλαίαν ποιήσας ἐκέχρητο»[37].

Τῇ 14 σεπτεμβρίου 614 (τῆς Γ' ἰνδικτιῶνος) συνυψώθη κατὰ τὴν τρίτην ὕψωσιν τοῦ τ μίου Σταυροῦ ἐν τῷ ναῷ τῆς τοῦ Θεοῦ Σοφίας ὁ τίμιος **Σπόγγος**, περφθεὶς ὑπὸ Νικήτα πατρικίου· ὅστις ἔπεμψε καὶ τὴν τιμίαν **Λόγχην**· «καὶ τῇ τρίτῃ καὶ τετάρτῃ προσεκυνήθη ὑπ' ἀνδρῶν, ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, πέμπτῃ δὲ καὶ παρασκευῇ ὑπὸ γυναικῶν» (=31 ὀκτωβρίου-3 νοεμβρίου)[38]· ἡ τιμία Λόγχη κατὰ τὸν Ι' αἰῶνα ἀναφέρεται θησαυριζομένη ἐν τῷ ναῷ τῆς Θεοτόκου τοῦ Φάρου, παρὰ τῷ βεστιαρίῳ τοῦ παλατίου[39]. Εἰς τῶν **τιμίων Ξύλων** ἀναφέρεται σῳζόμενος ἐν Κωνσταντινουπόλει ἐπὶ 'Αλεξίου Κομνηνοῦ ἄγνωστον ὅμως ἐν τίνι μονῇ[40]. Παράδοσις δ' ὑπῆρχεν ὅτι τοὺς Ξύλους πάντας ὁ Μ. Κωνσταντῖνος ἔθετο ἐπὶ τοῦ ἀνδριάντος τοῦ ἱσταμένου ἐπὶ τοῦ κίονος τοῦ Κωνσταντινιανοῦ φόρου[41]. Προστεθείσθω ὅτι περὶ τὰ μέσα τῆς ΣΤ' ἑκατονταετηρίδος ἐσῴζετο ἐν 'Απαμείᾳ «ξύλον πηχυαῖον τοῦ Σταυροῦ μέρος» ἐντὸς ξυλίνης θήκης χρυσῷ καὶ λίθοις τιμίοις κεκοσμημένης· ἔν τινι δὲ τῆς πόλεως συμφορᾷ Θωμᾶς ὁ 'Απαμείας, αἰτήσει τῶν κατοίκων, ἐξήγαγε πρὸς προσκύνησιν· περιαγομένου δ' ἐν τῷ ναῷ τοῦ τιμίου ξύλου «ὕπερθεν αὐτοῦ σέλας πυρὸς ἐπεφέρετο . . . βαδίζοντός τε τοῦ ἱερέως (ἐπισκόπου δῆλα δή) πανταχῇ τοῦ νεὼ συμπροήει τὸ σέλας»[42]. Κατὰ τὸν Ι' αἰῶνα ὁ μέγας Σταυρὸς τοῦ Μ. Κωνσταντίνου ἀπέκειτο ἐν τῷ ναῷ τοῦ ἁγίου Στεφάνου τῆς Δάφνης[43].

Εἰκὼν τῆς σταυρώσεως τοῦ Σωτῆρος ἐν Βηρυττῷ σῳζομένη μετηνέχθη περὶ τὸ 975 εἰς Κωνσταντινούπολιν ὑπὸ 'Ιωάννου τοῦ Τζιμισκῆ καὶ ἀπεθησαυρίσθη ἐν τῷ ναῷ τοῦ Σωτῆρος ἐν τῇ Χαλκῇ[44].

Ναὸς τοῦ τιμίου Σταυροῦ ᾠκοδομήθη ἐν 'Ιεροσολύμοις ὑπὸ τοῦ Μ. Κωνσταντίνου ἐπὶ Μακαρίου πατριάρχου τῆς ἁγίας πόλεως· τοῦ ναοῦ τούτου τῷ 344 «γέγονε τὰ ἐγκαίνια μηνὶ σεπτεμβρίου ιζ'· ἐντεῦθεν ἤρξατο ἡ Σταυροφάνεια»[45].

Τῆς ἐν τῇ ὑψώσει τοῦ Σταυροῦ νηστείας τὸν λόγον ἀκριβῶς οὐδεὶς τῶν πάλαι βυζαντινῶν λογίων ἐγίνωσκεν· *ἐκ κοινῆς παραδόσεως ταύτην παρελάβομεν*[46].

Ἡ κατὰ τὴν ἑορτὴν ταύτην προέλευσις ἐγίνετο ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ[47]. Λέγεται ὅτι Νικηφόρος ὁ Φωκᾶς ἀφιέρωσεν εἰς τὴν ἐν 'Αγίῳ Ὄρει μονὴν Λαύρας τεμάχιον τοῦ τιμίου Σταυροῦ, μικρότερον δὲ τούτου μέρος Μιχαὴλ ὁ Δούκας «διὰ σεπτοῦ αὐτοῦ χρυσοβούλλου»[48].

* * *

14. Πλακίλλης τῆς εὐσεβεστάτης βασιλίσσης, συζύγου γενομένης τοῦ μεγάλου Θεοδοσίου.

Αἱ λέξεις παρὰ τῷ Σταυρονικητηνῷ Συναξαριστῇ. Εὐσεβὴς οὖσα καὶ φιλόπτωχος, ἐποιεῖτο φροντίδα τῶν λελωβημένων, καὶ ἐπισκεπτομένη «τῶν ἐκκλησιῶν τοὺς ξενῶνας, τοὺς κλινοπετεῖς δι' ἑαυτῆς ἐνοσήλευε»· πρὸς ἀπονομὴν δὲ δικαιοσύνης προτρέπουσα τὸν ἑαυτῆς σύζυγον «τῶν θείων αὐτῷ συνεχῶς ἀνεμίμνησκε νόμων», κατὰ Θεοδώρητον. 'Απεβίωσε, κατὰ Βαλέσιον, τῷ 385, καὶ κατὰ Θεοφάνη τῷ 391[49]. Γρηγόριος ὁ Νύσσης ἐν τῷ εἰς αὐτὴν ἐπιταφίῳ ἐγκωμιάζει τὸ φιλόπτωχον καὶ τὴν ἐν γένει τῆς ψυχῆς αὐτῆς ἀγαθότητα, καλῶν «ἀνθρωπίνην[50] ψυχὴν ἐν γυναικείῳ τῷ σώματι»· τοιαύτην δὲ παρίστησιν ὁ μέγας τῆς 'Εκκλησίας πατὴρ τὴν ἔξοχον γυναῖκα: «οἴχεται τὸ τῆς δικαιοσύνης πηδάλιον, ἡ τῆς φιλανθρωπίας εἰκών, τὸ τῆς σωφροσύνης ἁγνὸν ἀνάθημα, ἡ εὐπρόσιτος σεμνότης, ἡ ἀκαταφρόνητος ἡμερότης, ἡ ὑψηλὴ ταπεινοφροσύνη· ὁ τῆς πίστεως ζῆλος, ὁ τῆς 'Εκκλησίας στύλος, ὁ τῶν θυσιαστηρίων κόσμος, ὁ τῶν πενομένων πλοῦτος, ἡ πολυαρκὴς δεξιά, ὁ κοινὸς τῶν καταπονουμένων λιμήν. . . . . Πόσοι τοῖς ἐνδύμασι τοῖς παρ' αὐτῆς ἐσκεπάσθησαν! πόσοι τῇ μεγάλῃ ἐκείνῃ δεξιᾷ διετράφησαν! πόσοι τῶν κατακλείστων οὐκ ἐπισκέψεως μόνον, ἀλλὰ καὶ παντελοῦς ἀφέσεως ἠξιώθησαν! πόσοι δι' ἐκείνην τὴν τῆς ἀναστάσεως χάριν ἐφ' ἑαυτῶν ἐγνώρισαν, οἳ τοῖς νόμοις ἀποθανόντες, καὶ τὴν ἐπὶ τῷ θανάτῳ ψῆφον δεξάμενοι, πάλιν δι' αὐτῆς εἰς τὴν ζωὴν ἀνεκλήθησαν!»[51].

* * *

14. Ἡ κοίμησις 'Ιωάννου τοῦ Χρυσοστόμου· ἐν ταύτῃ γὰρ ἀνεπαύσατο, ἀλλὰ διὰ τὴν ἑορτὴν τοῦ τιμίου Σταυροῦ μετετέθη ἡ τούτου ἑορτὴ εἰς τὸν νοέμβριον μῆνα.

Ἴδε εἰς τὴν 13 νοεμβρίου.

* * *

14. Μνήμη τῶν συνελθόντων ἁγίων πατέρων ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ΣΤ' Συνόδῳ ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου, υἱοῦ 'Ιουστινιανοῦ τοῦ μικροῦ τοῦ τὴν ῥῖνα τμηθέντος. . . . . ἥτις ἐπὶ μὲν Κωνσταντίνου συνηθροίσθη, ἡ δὲ τῶν κανόνων αὐτῆς ἔκδοσις ἐπὶ 'Ιουστινιανοῦ τοῦ υἱοῦ αὐτοῦ γέγονε.

Ταῦτα αὐτολεξεὶ κεῖνται ἐν τῷ Σταυρονικητηνῷ Συναξαριστῇ.

ℰ

15. Νικήτα μάρτυρος.

Ἤθλησε παρὰ τοῖς γότθοις ἐπὶ τοῦ Μ. Κωνσταντίνου.

Κατὰ τὸν ΙΒ' αἰῶνα ἀναφέρεται ναὸς τοῦ ἁγίου Νικήτα ἐν Κωνσταντινουπόλει, καὶ ἐν αὐτῷ πολλοὶ προσεκάθηντο «μετὰ ἀλύσεων», ὡς φαίνεται *προσποιούμενοι δαιμονᾶν*· τούτους πατριάρχαι τινὲς συλλαβόντες ἐνέκλεισαν ἐν δημοσίαις φρουραῖς, συμφώνως τῷ κανόνι[52]. Ἄγνωστος ὁ τόπος, ἐν ᾧ ὁ ναός.

* * *

15. Ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου.

Βλέπε εἰς τὴν 2 αὐγούστου καὶ εἰς τὴν 27 δεκεμβρίου.

ℰ

16. Εὐφημίας μάρτυρος.

Θυγάτηρ συγκλητικοῦ τινος Φιλόφρονος καὶ Θεοδωρησιανῆς, ἤθλησεν ἐν Χαλκηδόνι ἐπὶ Διοκλητιανοῦ[53].

Ἀναφέρεται τῷ 400 μαρτύριον ὁσίας Εὐφημίας «τιμῆς διὰ τὴν περὶ τὸν Χριστὸν θρησκείαν ἀξιωθείσης»[54], ἣν δὲ τοῦτο ὁ ἐν Χαλκηδόνι ναός, οὗ περιγραφὴ κεῖται παρ' Εὐαγρίῳ σύντομος καὶ ἐν ᾧ καὶ τὰ λείψανα αὐτῆς ἐν ἀργυρᾷ σορῷ ἀπεθησαυρίζοντο[55]. Ὁ τάφος αὐτῆς ἦν ἀργύρῳ κεκοσμημένος, ἐξέχεε δὲ κατὰ τὴν ἡμέραν τῆς ἑορτῆς αὐτῆς αἱμάτων θρόμβους, οὓς συνῆγεν ὁ τῆς Χαλκηδόνος ἱεράρχης· τῷ 594 Μαυρίκιος ὁ αὐτοκράτωρ, «ῥᾳδιουργικαῖς ἐπινοίαις ἀνθρώπων ἀνατιθεὶς τὸ μυστήριον», γυμνώσας ἀπὸ τῶν ἀργυρῶν κόσμων τὸν τάφον ἐπέστησε φύλακας· ἀλλὰ καὶ γυμνὸν μεῖναν τὸ λείψανον ἀνέβλυσε πάλιν αἷμα[56]. Περὶ τῶν θρόμβων τούτων τοῦ αἵματος ὁ Εὐάγριος γράφει ὅτι τὸ φαινόμενον τοῦτο «τελεῖται θεοπρεπῶς οὐ κατά τινα διωρισμένην περίοδον, ἀλλ' ὡς ἂν ἡ τοῦ προεδρεύοντος[57] βιοτὴ καὶ τῶν τρόπων ἡ σεμνότης βούλεται· φασὶ δ' οὖν ὅτε τῶν εὐσχημόνων τις κυβερνῴη καὶ ταῖς ἀρεταῖς ἐπίσημος, τοῦτο τὸ θαῦμα καὶ μάλιστα συχνῶς γίνεσθαι· ὅτε δὲ τῶν οὐ τοιούτων, σπανίως τὰς τοιαύτας θεοσημείας προΐεναι»[58].

Τὸ λείψανον τῆς ἁγίας Εὐφημίας, περὶ οὗ

---

35. 'Ιεροσλμ. Βιβλιοθ. Β', σελ. 483.
36. Κεδρηνός· Α', σελ. 685.
37. Σωκράτης· 'Εκκλ. 'Ιστ. Α', ιζ'. Σωζόμενος, Β', α'.
38. Πασχάλ. Χρον. σελ. 705.
39. Πορφυρογεν. Ἐκθ. Α', σελ. 179-180.
40. Ἄννα Κομνηνή· Α', σελ. 421.
41. κατὰ τὸν βίον 'Ανδρέου τοῦ διὰ Χριστὸν σαλοῦ. Δουκαγγίου σημειώσεις εἰς Ζωναρᾶν· (Δινδορφ. ΣΤ', 31).
42. Προκοπίου, 'Ιστορίαι· Α', σελ. 200-201. παράβαλε Εὐάγριον· 'Εκκλ. 'Ιστ. Δ', κστ'.
43. Πορφυρογεν. Ἐκθ. Α', σελ. 640.
44. Λέων διάκονος· σελ. 166· καὶ περὶ τῶν Θαυμάτων τῆς εἰκόνος ταύτης ἀπὸ σελ. 166-168.
45. Πασχάλ. Χρον. σελ 531.
46. Νίκωνος περὶ νηστειῶν· Migne, τόμ. ΡΚΖ', 528. Σύντ. Κανόνων, Δ', σελ. 591.
47. Πορφυρογεν. Ἐκθ. Α', σελ. 782.
48. Σάββα σκευοφύλακος, Προσκυνητάριον Λαύρας· σελ. 33 καὶ 36.
49. Θεοφ. Α', σελ. 112. Θεοδώρητος· 'Εκκλ. 'Ιστ. Ε', ιθ', κ', ἃ καὶ μεταγράφει Κεδρηνός· Α', σελ. 561.
50. μᾶλλον **ἀνδρικὴν** ἢ **ἀνδρείαν**, ἐσφαλμένως ἀναγνωσθέντος τοῦ χειρογράφου.
51. Γρηγορίου Νύσσης, 'Επιτάφιος εἰς Πλακίλλαν βασίλισσαν· Migne, τόμ. ΜΣΤ', στ. 878 - 892.
52. Βαλσαμῶνος, ἑρμηνεία εἰς Ξ' κανόνα Πενθέκτης.
53. Μεταφραστοῦ, Ἄθλησις Εὐφημίας· Migne, τόμ. ΡΙΕ', στ. 713 - 732.
54. Ζώσιμος· σελ. 270.
55. Εὐάγριος· 'Εκκλ. 'Ιστ. Β' γ'. Θεοφ. Α', σελ. 118.
56. Θεοφύλ. Σιμοκάττης· σελ. 345.
57. ἐννοεῖ τὸν μητροπολίτην Χαλκηδόνος.
58. Εὐαγρίου 'Εκκλ. 'Ιστ. Β', γ'.

διφασία παράδοσις ἐσώζετο κατὰ τὸν ΙΒ' αἰῶνα, ἀποκρυβὲν ἐν Λήμνῳ τῷ 766, ἀνεκομίσθη τῷ 797 εἰς Κωνσταντινούπολιν[59] καὶ λέγεται ὅτι ἐτηρεῖτο μέχρι τοῦ 1204 ἐν τῷ παρὰ τῷ Ἱπποδρόμῳ ναῷ τῆς μάρτυρος, ὁπότε μετηνέχθη εἰς Σηλυβρίαν, κἀκεῖθεν ὑπὸ Γενναδίου τοῦ Σχολαρίου τῳ 1454 μετακομισθὲν ἀπετέθη ἐν τοῖς Ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις, ἐκεῖθεν ἐν τῷ ναῷ τῆς Παμμακαρίστου μέχρι τοῦ 1586, ἔκτοτε ἐν τῷ ναῷ τοῦ Βλὰχ-σεραγίου μέχρι τοῦ 1597, ἐκεῖθεν ἐν τῷ ναῷ τοῦ ἁγίου Δημητρίου κατὰ τὴν Ξυλόπορταν, ὁπόθεν τῷ 1601 ἀπεθησαυρίσθη ἐν τῷ σήμερον πατριαρχικῷ ναῷ· τὸν ἐν αὐτῷ δὲ μεγαλοπρεπέστερον πανηγυρισμὸν τῆς ἑορτῆς τῆς ἁγίας Εὐφημίας τοῦ Ὄρου εἰσήγαγε κατὰ ἰούλιον τοῦ 1704 ὁ πατριάρχης Γαβριὴλ Γ' ὁ ἀπὸ Χαλκηδόνος[60].

Πλὴν τοῦ ἐν Χαλκηδόνι ναοῦ τῆς ἁγίας Εὐφημίας ἀναφέρονται 2) ὁ ἐν τῷ Πετρίῳ ἔσω τοῦ Ἁγιᾶ-καπί, ἀναφερόμενος ἐπὶ τοῦ Μ. Θεοδοσίου[61], ὁ αὐτὸς τῷ ναῷ τῷ ἐν τῇ Πέτρᾳ, καθὼς νομίζω, καὶ κατὰ τοὺς παραδοξογράφους κτισθεὶς ἀμέσως μετὰ τὴν ἅθλησιν τῆς ἁγίας Εὐφημίας· ὁ ναὸς ἀναφέρεται μέχρι τῶν μέσων που τοῦ Ι' αἰῶνος[62]· 3) ὁ ἐν τοῖς Ὀλυβρίου, κτισθεὶς, μετὰ τὸ 464 πιθανῶς, ὑπὸ τοῦ τῆς Ῥώμης ἄρξαντος Ὀλυβρίου μετὰ τῆς συζύγου αὐτοῦ Πλακιδίας[63]· ὁ τόπος τοῦ ναοῦ ἄγνωστος, ἴσως δὲ δύναται 'να ζητηθῇ κατὰ τὴν μεγάλην ἔκτασιν τὴν μεταξὺ τῶν λόφων τοῦ Τσερπερλῆ-τὰς καὶ τοῦ τεμένους Σουλτὰν Μεχμέτ[64]· 4) ὁ ἐν τῷ Ἱπποδρόμῳ, μεταβληθεὶς εἰς οἰκοδόμημα κοινῆς χρήσεως ὑπὸ Κωνσταντίνου τοῦ Κοπρωνύμου καὶ πάλιν ὑπὸ τῆς Εἰρήνης ἀνεγερθείς[65]· 5) ὁ πλησίον τοῦ Νεωρίου λιμένος εἰς τὴν Ἁγίαν Δύναμιν, οὗ ψιλὴν τὰ Μηναῖα ποιοῦνται μνείαν τῇ 16 μαΐου.

59. Θεοφ. Α', σ. 679. Ζωναρᾶς· ΙΕ', 8· (Δινδ. Γ', 355).

60. βλ. τὸ συνοδικὸν γράμμα ἀπὸ σελ. 179-183 τῶν ἐμῶν Χρονικῶν τοῦ πατριαρχικοῦ οἴκου καὶ τοῦ ναοῦ· ἐν Κωνσταντινουπόλει, 1884· περὶ δὲ τοῦ λειψάνου αὐτῆς ἀπὸ σελ. 102-105 τοῦ αὐτοῦ βιβλίου.

61. Θεόδ. Ἀναγνώστης· Ἐκκλ. Ἱστ. Β'. 62.

62. Λέων γραμματικός· σελ. 303. Theoph. Contin. σελ. 397. Γεώργιος μοναχός· σελ. 890.

63. Πασχάλ. Χρον. σελ. 594. Ἐν τούτοις γνωστοί εἰσιν ὕπατοι Νέας Ῥώμης Ὀλύβριοι τῷ 378-379 καὶ τῷ 394-395· αὐτόθι· σελ. 561 καὶ 565.

64. Πορφυρογ. Ἐκθ. Α', σ. 50· «ἀπὸ τοῦ Ἁγίου Πολυεύκτου πρὸς τὸ Φιλαδέλφιον».

65. Δουκαγγίου, Const. Christ. σελ. 100-101.

Σημ. Ἡ κατὰ τὸν Ι' αἰῶνα σῳζομένη μονὴ Εὐφημίας τῆς Εὐμόρφου[76] ἄγνωστον ἂν ᾖ τις τῶν ἄνω σημειωθεισῶν, ἢ διάφορος ἐκείνων. Ὁ δὲ ἐπὶ Μηνᾶ «Διόσκουρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας μάρτυρος Εὐφημίας» ἀνήκει προδήλως εἰς τὴν ἐν Χαλκηδόνι.

ꕥ

15—21. Κυριακῇ μετὰ τὴν Ὕψωσιν ἐπιτελεῖ ἡ μεγάλη ἐκκλησία καὶ μνήμην τῆς ΣΤ' Συνόδου—16, μνήμη τῶν ἁγίων πατέρων τῶν ἐν τῇ ΣΤ' Συνόδῳ.

Βλέπε τὸ τοῖς προλεγομένοις τοῦ παρόντος βιβλίου προσαρτηθὲν Μορσελλιανὸν Ἑορτολόγιον μετὰ συμπλήρωσιν· καὶ πρόσχες εἰς τὴν 3 σημείωσιν τῆς 16 σεπτεμβρίου (ἥτις ἐσφαλμένως ἐγράφη 19).

ꕥ

17. Χαραλάμπους καὶ Παντολέοντος καὶ τῆς συνοδίας αὐτῶν. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

ꕥ

20. Ὑπατίου ἐπισκόπου καὶ Ἀνδρέου πρεσβυτέρου τῶν ὁμολογητῶν.

Λυδοὶ τὴν πατρίδα· ὁ Ὑπάτιος ἐπίσκοπος ἐγένετο μιᾶς ὑπὸ τὸν Ἐφέσου μητροπολίτην ἐπισκοπῆς, ὁ δὲ Ἀνδρέας πρεσβύτερος. Ἠθλησαν ἐπὶ Λέοντος Ἰσαύρου, κατὰ τὸν Συναξαριστήν.

* * *

20. Ἀνδρέου, Παύλου καὶ Πέτρου τοῦ ἐν Βλαχέρναις, τῶν μαρτύρων.

Φαίνεται ὅτι συνήθλησαν τῷ Πέτρῳ τῇ 16 μαΐου 761· ἴσως ὁ Πέτρος ἐστὶν αὐτὸς ὁ παρὰ Θεοφάνει ἀοίδιμος στυλίτης ὁ ἀπὸ Πέτρας[67]. Τοῦ δὲ τῷ Πέτρῳ συναθλήσαντος Παύλου τὸ λείψανον ἐν τῇ μονῇ τοῦ Παντεπόπτου σῳζόμενον μετεκομίσθη τῷ 1221 εἰς Βενετίαν[68].

* * *

20. Μαρτίνου πάπα Ῥώμης.

Θῦμα Κωνσταντίνου τοῦ Πωγωνάτου ἀπήχθη εἰς τὴν Χερσῶνα, καὶ τὸ ἅγιον αὐτοῦ λείψανον ἐτέθη ἔξω τοῦ κάστρου Χερσῶνος ἐν τῷ ἱερῷ ναῷ τῆς Θεοτόκου τῶν Βλαχερνῶν»[69].

66. Πορφυρογ. Ἐκθ. Α', σελ. 648.

67. Λέων διάκονος· Annotationes Hasii, σ. XXIV. Migne, τόμ. ΡΙΕ', στ. 1084 καὶ 1100. Στεφάνου βίος· Migne, τόμ. Ρ', στ. 1165. Θεοφ. Α', σελ. 683.

68. Δουκαγγίου, Const. Christ. σελ. 53β.

ꕥ

[21]. Τῆς ὑπεραγίας Θεοτόκου ἐν τῇ Πέτρᾳ.

Ἀναγράφουσι τὴν ἑορτὴν τὰ ἀρχαιότερα κωνσταντινουπολιτικὰ Εὐαγγέλια[70].

Εἰκάζω ὅτι ναὸς τῆς ὑπεραγίας Θεοτόκου τῆς Πέτρας ἐστὶν ὁ κατὰ τὸ Σαλμᾶ-τομβρουκ κατακεχωσμένος ὑπὸ τὸ δάπεδον τοῦ τεμένους Ὀδαλὰρ-μεσδζιτί.

* * *

Λαυρεντίου καὶ Ἀγνῆς.

Ἐπὶ Θεοδοσίου τοῦ νέου «ἀπετέθησαν τὰ λείψανα τῶν ἁγίων Στεφάνου καὶ Λαυρεντίου καὶ Ἀγνῆς ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Λαυρεντίου, τῇ εἰκοστῇ πρώτῃ τοῦ σεπτεμβρίου μηνός· καὶ *τελεῖται μέχρι σήμερον ἐκεῖσε τῇ αὐτῇ ἡμέρᾳ ἡ μνήμη αὐτῶν*»[71].

Περὶ τοῦ Ἁγίου Λαυρεντίου τῇ 2 αὐγούστου ἐγράφησαν ὅσα μοι γνωστά· τὰ λείψανα δ' εὑρέθησαν ὑπο Πουλχερίας τῆς κτιτορίσσης τοῦ Ἁγίου Λαυρεντίου[72].

ꕥ

22. Φωκᾶ ἱερομάρτυρος.

Ἠθλησεν ἐπὶ Τραϊανοῦ.

Ναοὶ ἐπ' ὀνόματι τοῦ ἁγίου Φωκᾶ, ἴσως τούτου, ἀναφέρονται 1) ὁ πλησίον τῆς ἀκροπόλεως τοῦ Βυζαντίου κατὰ τὰ τέλη τοῦ Ι' αἰῶνος σῳζόμενος[73], καὶ 2) ὁ ἔν τινι προαστείῳ περὶ τὴν Προποντίδα «ἐν τῷ καλουμένῳ Στενῷ τὸν αὐχένα τοῦ Εὐξείνου» ἢ «κατὰ τὸ εὐώνυμον μέρος τοῦ ἐκπλεομένου Εὐξείνου»[74]. Ταύτην τὴν μονὴν ᾠκοδόμησε τὸ πρῶτον Βασίλειος ὁ Μακεδὼν μετὰ τοῦ ναοῦ τοῦ ἁγίου Φωκᾶ, κτήματα πολλὰ καθοσιώσας αὐτῇ, πρὸς τοῦτο ἀγοράσας πρὸ τῆς εἰς τὴν ἀρχὴν ἀναρρήσεως τὴν μεγαλοπρεπῆ οἰκίαν τοῦ πατριάρχου Ἰωάννου τοῦ Γραμματικοῦ, ἥτις, ὡς γνωστόν, ἔκειτο ἐν προαστείοις εἰς τόπον λεγόμενον Τροῦλον, οὕτως ὀνομαζόμενον ἕνα καὶ πλέον αἰῶνος μετὰ τὸν Ἰωάννην[75]· καὶ γινώσκομεν μὲν ὅτι τὸ προάστειον Ψιχὰ, ἕτερον παρὰ τὸν Τροῦλον, ἀνῆκεν εἰς τὸν πατριάρχην Ἰωάννην καὶ καθὸ προάστειον ἔκειτο ἔξω τῆς πόλεως—εἰ καὶ γινώσκομεν τοποθεσίαν Ψιχῶν ἐν αὐτῇ τῇ Κωνσταντινουπόλει πλησίον τῶν ἀγορῶν κηροπωλείων καὶ γουναρείων[76]· ἀλλ' οἱ παρὰ τοῖς λοιποῖς χρονογράφοις ὁρισμοὶ τῶν τοποθεσιῶν «αὐχένος» καὶ «Στενοῦ» καὶ «ἐκπλεομένου Εὐξείνου» καταντῶσιν ἀσαφεῖς, ἐπιτρέποντες 'να εἰκάσωμεν ὅτι ὁ ναὸς ἔκειτο πολὺ μακρὰν τοῦ σήμερον Ὀρτάκιοϊ τοῦ Βοσπόρου, ὅπου κατὰ συνθήκην οἱ μέχρι τοῦδε γράφοντες ἐνομίζομεν αὐτόν. Τῆς μονῆς ἴσως ταύτης ἡγούμενος καὶ σακελλάριος ἐχρημάτιζε Παῦλος ὁ Παφλαγὼν ἐν ἀρχαῖς τοῦ Ι' αἰῶνος, ἀνὴρ ὁσιώτατος, ἔχων ἀνεψιὸν τὸν παφλαγόνα Νικήτα τὸν φιλόσοφον[77]. Ἀναφέρεται δὲ καὶ τῷ 1086 Λουκᾶς ἡγούμενος τοῦ Ἁγίου Φωκᾶ[78].

Σημ. Ὁ ἐπὶ Ἰουστινιανοῦ Ἰουλιανὸς ἀρχιμανδρίτης τοῦ ἐν ὁσίοις Φωκᾶ καὶ ὁ ἐπὶ τοῦ πατριάρχου Μηνᾶ Δημήτριος ἡγούμενος τῶν Φωκᾶ προδήλως ἐκπροσωποῦσι μονὰς ὀνομασθείσας ἀπὸ τῶν ἱδρυτῶν αὐτῶν.

ꕥ

23. Ἡ σύλληψις τοῦ προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου.

ꕥ

24. Θέκλης τῆς ἀποστόλου καὶ πρωτομάρτυρος.

Ἠθλησεν ἐν Ἰκονίῳ κατὰ τὸν Α' αἰῶνα, μαθήτρια γενομένη τοῦ ἀποστόλου Παύλου.

Τὴν μνήμην τῆς Θέκλης ἑώρταζόν τινες τὴν 6 μαρτίου κατὰ τὸν Θ' αἰῶνα[79].

69. αἱ λέξεις παρὰ τῷ Σταυρονικητηνῷ Συναξαριστῇ. Συνδύασον πρὸς τὸν βίον Μαξίμου τοῦ ὁμολογητοῦ (21 ἰανουαρίου).

70. καὶ τὸ Σταυρονικητηνὸν καὶ τὸ 426 Εὐαγγέλιον, καὶ ἱεροσολυμιτικὸν τοῦ Θ' αἰῶνος (Ἱεροσλμ. Βιβλιοθ. Β', σ. 472) καὶ ἕτερα, ἃ εἶδον, εἰσὶ σύμφωνα.

71. Θεόδ. Ἀναγν. Β', 64.

72. Κάλλιστος· Ἐκκλ. Ἱστορ. ΙΔ', ι'.

73. Λέων διάκονος· σελ. 146.

74. Ἄννα Κομνηνή· Α', σελ. 419. Theoph. Contin. σελ. 156 καὶ 340.

75. Theoph. Contin. σελ. 157. Συμεὼν μάγιστρος· σελ. 635.

76. Συμεὼν μάγιστρος· σελ. 649, 744. Γεώργιος μοναχός· σελ. 911. Ὁ δὲ Σκ. Βυζάντιος («Κωνσταντινούπολις», τόμ. Β', σελ. 102) τὰ Ψηφὰ, καίπερ ταυτίζων τῷ τόπῳ Ψιχὰ, τίθησιν ἐν τῷ Ὀρτάκιοϊ· ἀλλὰ γινώσκει ὅμως ὅτι τὰ Ψιχὰ ἦσαν ἐν Κωνσταντινουπόλει, δῆλον οὖν ἐντὸς τῆς πόλεως, ἀλλ' ἦν καὶ προάστειον, ἤγουν ἔπαυλις· ἔστι μοι δ' ἄπορον πῶς ὑπῆρχον ἐπαύλεις ἐν Κωνσταντινουπόλει.

77. Εὐθυμίου βίος· σελ. 56.

78. Migne, τόμ. ΡΚΖ', στ. 976.

79. Ἱεροσλμ. Βιβλιοθ. Β', σελ. 472.

Ναοὶ ἐπ' ὀνόματι τῆς ἁγίας Θέκλης γινώσκονται τρεῖς· 1) ὁ καὶ ἀρχαιότερος ἐν Συκαῖς, ἀναφερόμενος ἐπὶ τοῦ θρᾳκὸς Ἀναστασίου[80]. 2) ὁ ἐν τῷ Ἰουλιανοῦ λιμένι, κτισθεὶς πρὸ τοῦ 527 ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ[81]. 3) ὁ κατὰ τὰς Βλαχέρνας ἱδρυμένος πολλῷ πρὸ τοῦ Ἰσαακίου Κομνηνοῦ, οὐχὶ ὅμως ὑπὸ Θεκλης τῆς τοῦ Θεοφίλου θυγατρός, οὔτε ὑπὸ Ἰσαακίου, καθὼς ἔγραψεν ὁ μακαρίτης Πασπατης, παρεξηγήσας τὰς πηγὰς καὶ πεισθεὶς εἰς τὴν ἀσυγχώρητον μεγαλορρημοσύνην τῆς Κομνηνῆς Ἄννης· ἡ ἐκ προστάγματος Κωνσταντίνου τοῦ Πορφυρογεννήτου συνταχθεῖσα χρονογραφία λέγει περὶ τῆς τοῦ Θεοφίλου θυγατρὸς Θέκλης ὅτι ἔκτισε «τὸ κατὰ τὰς Βλαχέρνας κουβούκλιον εὐμορφότατον, ἔνθα καὶ τῆς πρωτομάρτυρος Θέκλης *εὐκτήριον ἵδρυται*», τὸ δὲ ἱδρυται τοῦτο γραφόμενον ἕνα αἰῶνα καὶ πλέον πρὸ τῆς Ἄννης ἀναφέρεται εἰς τὸν Θ' αἰῶνα[82]. Φαίνεται δὲ ὅτι οὐτός ἐστιν ὁ παρὰ Ζωναρᾷ «ἐντὸς τῶν βασιλείων»[83]. Τὰ δὲ γραφόμενα τῶν παραδοξολόγων περὶ ναοῦ ἁγίας Θέκλης εἰς τὰ Κοντάρια[84], ἐγράφησαν μόνον ὅπως πιστευθῶσιν ὑπὸ τῶν εὐπίστων, ἵνα μὴ εἴπω τι ἕτερον, διότι εἰσὶν ἄπεπτα παντὶ ἀρτίῳ ἐγκεφάλῳ.

ℓ

25. Ἡ ἀνάμνησις τῶν φόβων τοῦ μεγάλου σεισμοῦ καὶ τῆς τοῦ παιδὸς ἐν ἀέρι ἁρπαγῆς.

Αἱ λέξεις παρὰ τῷ Βασιλειανῷ λεγομένῳ, καθ' ὃ δῆθεν «ἐπὶ τοῦ Μ. Θεοδοσίου . . . . . καὶ πᾶς ὁ λαὸς σὺν τῷ βασιλεῖ καὶ τῷ πατριάρχῃ ἐξῆλθον ἐν τῷ Κάμπῳ πλησίον τοῦ Ἑβδόμου». Μέγας σεισμὸς ἀναφέρεται γενόμενος ἐν Κωνσταντινουπόλει τῇ 26 σεπτεμβρίου 486, ἀλλ' αὐτὸς γράφεται «δεύτερον πάθος» τῆς πόλεως[85]· ἔστιν ἄρα προγενέστερος τούτου ὁ ἐν τῷ Συναξαριστῇ καὶ τῷ Μηναίῳ τῇ 25 ἀναφερόμενος· ὁ Θεοφάνης καὶ μετ' αὐτὸν ὁ Κεδρηνὸς ἀναφέρουσι σεισμὸν φοβερὸν ἐν Κωνσταντινουπόλει γενόμενον τῇ 25 ἀκριβῶς σεπτεμβρίου, ἀλλ' ἐπιγράφουσι τοῦτον εἰς τὸ ἔτος 477, ὅτε πολλοὶ ναοὶ κατηνέχθησαν εἰς ἔδαφος, ἔμβολοι καὶ οἶκοι πολλοί, θανόντος *ἀναριθμήτου* πλήθους ἀνθρώπων· ἐπὶ τοσούτῳ δὲ πολὺν χρόνον ἐπεκράτησεν ὁ σεισμός. *ὥστε τὴν πόλιν ἐποζέσαι*· κατὰ τούτους ὅμως οὐκ ἀναφέρεται ἡ θρυλουμένη τοῦ παιδὸς ἁρπαγὴ[86], γνωστὸν δ' ὅτι αἱ περὶ Τρισαγίου ἔριδές εἰσιν Ἀναστασίῳ τῷ θρᾳκὶ (491-518) σύγχρονοι· καὶ τοῦτο φαίνεται ζητεῖ 'να συμβιβάσῃ ὁ Μαλαλᾶς[87] γράφων ἄνευ ἔτους «ἐπὶ Ζήνωνος ἔπαθεν ὑπὸ θεομηνίας σεισμοῦ τὸ δεύτερον αὐτῆς πάθος Κωνσταντινούπολις ἐπὶ ὀλίγον διάστημα ἕως τοῦ Ταύρου»· ὁ δὲ Σκ. Βυζάντιος γράφει ὅτι ἡ τοῦ παιδὸς ἀνάληψις ἐγένετο τῇ 24 σεπτεμβρίου 446 μετὰ τῆς ἀμφιβολίας ἐὰν ἦ αὐτὸς ὁ σεισμὸς ὁ κατὰ τὴν 26 ἰανουαρίου ἀναφερόμενος[88].

Τὸ Σταυρονικητηνὸν Εὐαγγέλιον γράφει κατὰ τὴν ἡμέραν ταύτην τὴν διάταξιν:

«**Εἰς τὴν λιτὴν τοῦ Κάμπου διὰ τὸ Τρισάγιον.** Ἐμ μὲν τῷ Τριβουναλίῳ λέγεται Εὐαγγέλιομ ἐκ τοῦ κατὰ Λουκᾶμ· ζήτει τῇ Δ' τῆς δ' ἑβδομάδος τοῦ Λουκᾶ· εἰς δὲ τὴμ λειτουργίαμ κάτω ἐμ τῷ μαῷ τοῦ Θεολόγου ἀμαγιμώσκεται Εὐαγγέλιομ κατὰ Λουκᾶμ· ζήτε τῇ Δ' τῆς στ' ἑβδομάδος τοῦ Λουκᾶ. Ποτὲ δὲ λέγεται τὸ γεγραμμέμομ τῇ ἑωαύριομ, τουτέστι τὸ τῆς μμ'μης τοῦ Θεολόγου».

Παρομοίας διατάξεως ἐποιησάμην μνείαν ἐν προλεγομένοις τοῦ παρόντος συγγράμματος ἀπαριθμῶν διαφερούσας τινὰς περικοπὰς εὐαγγελικῶν ἀναγνωσμάτων.

ℓ

26. Ἡ μετάστασις τοῦ ἀποστόλου Ἰωάννου τοῦ Θεολόγου.

Ἡ κατὰ τὴν ἡμέραν ταύτην προέλευσις ἐγίνετο κατὰ τὸν Ι' αἰῶνα εἰς τὸν ἐν τῷ Διππείῳ ναὸν αὐτοῦ, σῳζόμενον μέχρι τέλους τοῦ ΙΒ' αἰῶνος[89].

ℓ

27. Ἰγνατίου ἡγουμένου τῆς μονῆς τοῦ Σωτῆρος Χριστοῦ τοῦ Βαθέως Ῥύακος.

Ἤκμασεν ἐπὶ Νικηφόρου τοῦ Φωκᾶ καὶ Ἰωάννου Τζιμισκῆ, καταγόμενος ἐκ Καππαδοκίας· μαθητὴς Βασιλείου τοῦ κτίτορος τῆς μονῆς, ἐπλούτισεν αὐτὴν κτίσας καὶ ναοὺς Ἡλιοῦ τοῦ θεόπτου καὶ τοῦ ταξιάρχου Μιχαὴλ, ἔν τινι δὲ μετοχίῳ τῆς μονῆς ναὸν τῶν ἁγίων ἀποστόλων ἐπὶ διαμονῇ καλογραιῶν, ὡς ἔοικε.

80. Μαλαλᾶς· σελ. 405.
81. Προκοπίου, Περὶ κτισμάτων· σελ. 196.
82. Theoph. Contin. σελ. 48. Ἄννα Κομνηνή· σελ. 168-169. Πασπάτη, Μελέται· σελ. 358, στ. 16-20.
83. Ζωναρᾶς· ΙΙΙ', 6. (Δινδορφ. Δ', 195).
84. Κωδινοῦ, Περὶ κτισμάτων· σελ. 51 καὶ 85.
85. Πασχάλ. Χρον. σελ. 605.
86. Θεοφ. Α', σελ. 195. Κεδρηνός· Α', σελ. 618.
87. Μαλαλᾶς· σελ. 385.
88. «Κωνσταντινούπολις», τόμ. Α', σελ. 27.
89. Πορφυρογεν. Ἐκθ. Α', σ. 560. Χωνιάτης· σ. 307.

ΟΚΤΩΒΡΙΟΣ

1. Ῥωμανοῦ τοῦ ποιητοῦ τῶν κοντακίων.

Ἐν Ἐμέσῃ τῆς Συρίας γεννηθεὶς ἦλθεν εἰς Κωνσταντινούπολιν ἐν τοῖς χρόνοις Ἀναστασίου, πολὺ πιθανῶς τοῦ θρᾳκὸς, ἤτοι τοῦ ἀρχαιοτέρου, διὸ καὶ τὰ κατὰ Ῥωμανὸν φαίνονταί πως μυθικά, οὐδὲ ἔμελλον εἶναι τοιαῦτα, εἴπερ ἤκμαζεν ἐπὶ Ἀναστασίου τοῦ Β', ἤτοι ἀπὸ τοῦ 713-716· ὥστε μᾶλλον ἐν τέλει τοῦ Ε' αἰῶνος τὴν Κωνσταντινούπολιν καταλαβών, ἔμενεν «ἐν τῷ ναῷ τῆς ὑπεραγίας Θεοτόκου εἰς τὰ Κύρου . . . . καὶ διανυκτερεύων καὶ λιτανεύων ἐν τῇ παννυχίδι τῶν Βλαχερνῶν, ὑπέστρεφε πάλιν εἰς τὰ Κύρου», κατὰ τὸ λεγόμενον Βασιλειανόν. Θεόθεν προτραπεὶς συνέταξε χιλιάδα κοντακίων, ἀρξάμενος ἀπὸ τῆς Χριστοῦ γέννης.

* * *

1. Ἰωάννου Κουκουζέλη.

Τὰ γραφόμενα περὶ αὐτοῦ συγκεχυμένα καὶ ἐπὶ πηγῆς οὐδεμιᾶς στηριζόμενα. Κατὰ τὴν παράδοσιν, ἣν ἀλβανὸς ἐν Δυρραχίῳ γεννηθεὶς· ἀνατραφεὶς ἐν τῷ παλατίῳ καὶ τὴν ἑλληνικὴν ἐκμαθὼν ἐδιδάχθη καὶ τὴν μουσικὴν, γραφόμενος ἐν ἀρχαίοις χειρογράφοις μαγίστωρ, οὐχὶ βεβαίως τῆς μουσικῆς, διότι νομίζω τοὺς μαγίστορας ἕτερον ἔργον ἔχοντας. Ἐγένετο μοναχὸς τῆς ἐν Ἁγίῳ Ὄρει μεγίστης Λαύρας, ἐν ᾗ καὶ ἀπεβίωσεν.

Ὁ χρόνος τῆς ἀκμῆς ἄγνωστος· ἄγνωστον δέ μοι καὶ πόθεν ἤντλησε Κύριλλος ὁ λαυριώτης τὴν εἴδησιν ὅτι Φιλόθεος ὁ πατριάρχης παραιτησάμενος (τῷ 1355) τὸν θρόνον καὶ ἀναχωρήσας εἰς Ἅγιον Ὄρος μετὰ τετραέτη ἱερατείαν, ὅπερ ἐστὶ ψεῦδος, εὗρεν ἐκεῖ τὸν Κουκουζέλην·

> Τότε δὴ συνευρίσκετο ἐκεῖ ὁ θεῖος κύκνος, Ἰωάννης ὁ μελῳδὸς Κουκουζέλης ἐκεῖνος, μελίχρους καὶ ἡδύφωνος ἡ σειρήνιος γλῶσσα[1].

Προδήλως οἱ μοναχοὶ τῆς Λαύρας εἰσήγαγον τὸν Κουκουζέλην εἰς τὸ Ἑορτολόγιον.

ℓ

2. Κυπριανοῦ ἱερομάρτυρος καὶ Ἰουστίνης τῆς παρθένου. Ἡ σύναξις ἐν τῷ παρτυρείῳ, ὄντι πέραν ἐν τοῖς Σολομῶντος.

Ἤθλησαν ἐν Νικομηδείᾳ ἐπὶ Δεκίου· τοῦ δὲ ναοῦ αὐτῶν γνῶσιν λαμβάνομεν ἀπὸ τῶν Μηναίων. Τὰ Σολομῶντος ἐκειντο ἀπέναντι τῆς Κωνσταντινουπόλεως, ἀλλ' ὁ τόπος ἐπακριβῶς οὐχ ὁρίζεται.

* * *

2. Θεοφίλου τοῦ ὁμολογητοῦ.

Ἤκμασεν ἐπὶ Λέοντος τοῦ Ἰσαύρου· ὑπέρμαχος τῆς προσκυνήσεως τῶν ἁγίων Εἰκόνων, ἀπέθανεν ὑπερόριος, κατὰ τὸ Μηνολόγιον.

ℓ

3. Διονυσίου ἱερομάρτυρος τοῦ ἀρεοπαγίτου. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

ℓ

6. Θωμᾶ τοῦ ἀποστόλου.

Ναοὶ τοῦ ἀποστόλου Θωμᾶ γινώσκονται· 1) ὁ ἐν τοῖς Ἀμαντίου, ἀναφερόμενος τῷ 438 ἐπὶ τῆς ἀνακομιδῆς τοῦ λειψάνου τοῦ Χρυσοστόμου καὶ μικρῷ μετὰ τὰ μέσα τοῦ Ε' αἰῶνος, καὶ κείμενος ἐν τῇ τοποθεσίᾳ Ἀμαντίου, ὀνομασθείσῃ βεβαίως ἀπὸ τοῦ τῷ 344-345 ὑπάτου τῆς νέας Ῥώμης, οὐχὶ δὲ ἀπὸ τοῦ πραιποσίτου Ἀμαντίου τοῦ ἀκμάσαντος ἐπὶ Ἀναστασίου τοῦ θρᾳκός. Πυρποληθέντα αὐτὸν ἀνῳκοδόμησε λαμπρὸν Λέων ὁ Σοφὸς, κείμενον πλησίον τῆς Σιδηρᾶς κειμένης καὶ ταύτης πλησίον τῶν Σοφιῶν, ἤτοι περὶ τὸ σήμερον Κάτεργα-λιμάν[2]· 2) ὁ ἐν τοῖς Μοδέστου, οὗ γινώσκομεν τὸν ἡγούμενον Ἰωάννην πρεσβύτερον ἀκμάζοντα ἐπὶ Μηνᾶ τοῦ πατριάρχου· ἡ μονὴ τοῦ ἀποστόλου Θωμᾶ αὕτη, κειμένη πρὸς δυσμὰς τοῦ Μυρελαίου (Μπουδρούμ-δζαμὶ) παρὰ τῇ κινστέρνῃ τοῦ Μοδέστου (τῇ τοῦ Φωκᾶ;)[3], ἔστι πιθανῶς αὐτὴ *ἡ πλησίον τῆς κιστέρνης*, ἧς ἡγούμενος ἦν ἐπὶ Ἰουστινιανοῦ

1. τὸ χειρόγραφον ἐν τῇ βιβλιοθήκῃ τῆς Λαύρας.
2. Πασχάλ. Χρον. σ. 534. Θεοφ. Α', σ. 174 καὶ 255. Συμ. μάγιστρος· σ. 700, 755. Γεώργιος μοναχός· σ. 850.
3. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τ. Α', σ. 281.

Σάββας[4]· 3) ὁ ἐν τοῖς Βρόχθοις (μή τοι Προόχθοις:), ἀναφερόμενος ἐν τῇ βιογραφίᾳ τῆς ὁσίας Ὀλυμπιάδος ὡς σῳζόμενος ἐν ἀρχαῖς τοῦ Ε′ αἰῶνος· (204 α 2) «πρὶν δὲ κηδευθῆναι τὸ ἅγιον αὐτῆς σῶμα φαίνεται κατ' ὄναρ τῷ μητροπολίτῃ τῆς Νικομηδέων πόλεως[5] λέγουσα· «ἀπόθου τὸ ἐμὸν λείψανον ἐν γλωσσοκόμῳ καὶ βάλε αὐτὸ εἰς πλοῖον καὶ ἀπόλυσον εἰς τὸν πλοῦν· καὶ ἐν ᾧ δ' (204 β 1) ἂν τόπῳ στῇ τὸ πλοῖον, ἐξελθόντες εἰς τὴν γῆν, ἐκεῖ με κατάθεσθε». Ποιήσαντος δὲ τοῦ μητροπολίτου τὸ παρ' αὐτῆς ἐν τῇ ὀπτασίᾳ αὐτῷ λεχθὲν, καὶ βαλόντος τὸ σῶμα σὺν τῷ γλωσσοκόμῳ ἐν τῷ πλοίῳ καὶ ἀπολύσαντος εἰς τὸν πλοῦν, φθάνει κατὰ τὴν ὥραν τοῦ μεσονυκτίου τὸ πλοῖον εἰς τὸν αἰγιαλὸν, ἔμπροσθεν τῆς τροπικῆς τοῦ εὐαγοῦς οἴκου τοῦ ἁγίου ἀποστόλου Θωμᾶ τοῦ ὄντος ἐν Βρόχθοις καὶ ἵσταται ἐκεῖ». Ἐπειδὴ δὲ θέλομεν ἰδεῖ μετ' ὀλίγον ναὸν Ἀρχαγγέλου Μιχαὴλ ἐν Προόχθοις, κείμενον ἀπέναντι τοῦ Μεγάλου-Ῥεύματος τοῦ Βοσπόρου, φαίνεταί μοι πως παράδοξον ὅτι τὸ λείψανον ἀπεστάλη ἐκ Νικομηδείας εἰς μονὴν κειμένην ἐν τῷ Βανίκιοϊ τῆς σήμερον, ἢ τῷ Κανδυλλί, καίτοι πρόκειται περὶ θαύματος, ὅτε περιττὴ ἡ κρίσις περὶ τῆς θαλασσοδρομίας τοῦ λειψάνου· ἄλλως δὲ τούτου τοῦ ναοῦ πλησιέστερος τῇ Νικομηδείᾳ ἦν 4) ὁ ἐν τοῖς Βοραιδίου, κτισθεὶς ὑπὸ τοῦ τῆς Ῥώμης ἄρξαντος Ἀνθίμου ἢ Ἀνθεμίου τῷ 454 (ἢ τῷ 468) — 5) ἢ 4) ὁ ἐν τοῖς Ἀνθεμίου. Ἂν μὴ ὑπάρχῃ σύγχυσίς τις — οὐχὶ περὶ τοποθεσιῶν, ἀλλὰ περὶ ναῶν ἁγίου Θωμᾶ — φαίνεται ὅτι ὁ ναὸς οὗτος ἦν εἷς, κτισθεὶς ὑπὸ τοῦ Ἀνθίμου ἢ Ἀνθεμίου τούτου *πλησίον τοῦ Βοραιδίου ἐπιλεγόμενος τὸ Ἀποστολεῖον* καὶ ὑπὸ τῶν αὐτῶν χρονογράφων λεγόμενος *οἶκος ἁγίου Θωμᾶ τοῦ ἀποστόλου, τὰ λεγόμενα Ἀνθιμίου, πλησίον τῶν Βορραΐδου*[6]. Τὸν ναὸν τοῦτον, δῆλα δὴ τὴν ἐν τοῖς Ἀνθεμίου μονὴν ἁγίου Θωμᾶ, ἀνῳκοδόμησεν ἐπὶ Θεοφίλου ὁ τούτου γαμβρὸς ἐπὶ Μαρίᾳ τῇ νεωτέρᾳ τῶν θυγατέρων Ἀλέξιος ὁ Μωσηλὲ, μοναχὸς μετὰ θάνατον τῆς συζύγου γενόμενος μετὰ τὸ 836, ὡς συμπεραίνει τις ἐκ τοῦ εἱρμοῦ τῆς ἱστορικῆς ἀφηγήσεως[7]. Εἶπον καὶ ἐπαναλαμβάνω· ὅτι τὰ Βοραιδίου ἔκειντο πλησιέστατα τῶν Ἀνθεμίου καὶ λίαν ἐγγὺς τῷ βουνῷ τοῦ Αὐξεντίου· γείτονα δ' ἦσαν τὰ Ἀνθεμίου τοῖς Εὐτροπίου, δῆλα δὴ τῇ τοποθεσίᾳ τῇ καλουμένῃ σήμερον Καλαμίτζᾳ, ἄρα κατὰ τὴν βιθυνικὴν παραλίαν τὴν πρὸς τὴν Προποντίδα, οὐχὶ τὴν ἐν τῷ Βοσπόρῳ. Εἴδομεν ὅτι ἡ μονὴ τοῦ ὄρους τοῦ Αὐξεντίου ἐσεμνύνετο ἐπ' ὀνόματι τῶν ἁγίων Ἀποστόλων, ὁ δὲ πατριάρχης Λεόντιος ὁ Θεοτοκίτης, πρότερον *ἡγούμενος τῶν Ἁγίων Ἀποστόλων ἐν τῷ βουνῷ τοῦ ἁγίου Αὐξεντίου*, σύγχρονος ἐγένετο Θεοδοσίου τοῦ Βοραιδιώτου, προδήλως ὀνομασθέντος ἐκ τῆς τοῦ ἁγίου Θωμᾶ τῶν Βοραιδίου μονῆς, καὶ κατά τινα πατριαρχικὸν κατάλογον, ἀσκητὴς τοῦ βουνοῦ τοῦ ἁγίου Αὐξεντίου. Τὰ γραφόμενα τῶν καταλόγων καὶ τῶν χρονογράφων ἀλλήλοις ἀντιβαλλόμενα καὶ συνδυαζόμενα δεικνύουσιν ὅτι τὰ Βοραιδίου ἢ Βοραδίου ἔκειντο πλησίον τῶν Ἀνθεμίου, ἀλλὰ καὶ τόσον ἐγγὺς τῆς ἐπὶ τοῦ βουνοῦ τοῦ Αὐξεντίου μονῆς τῶν ἁγίων Ἀποστόλων, ὥστε οἱ βοραιδιῶται μοναχοὶ ἐλέγοντο καὶ μοναχοὶ τοῦ βουνοῦ τοῦ ἁγίου Αὐξεντίου. Γνωστὸν ἐπίσης ὅτι ὁ λιμὴν Εὐτροπίου (Καλαμίτζα) ἐλέγετο καὶ Ἀνθεμίου· καὶ μέχρι τοῦ λιμένος τούτου ἐποιεῖτο περιπάτους Ἀλέξιος ὁ Μωσηλὲ ἐκ τοῦ κατὰ τὴν Χρυσόπολιν μοναστηρίου[8]. Ἐπομένως ἀδυνατῶ ἵνα παραδεχθῶ τὰ γραφόμενα τοῦ πολυμαθεστάτου καὶ φίλου συντάκτου τοῦ «Νεολόγου» Σ. Ι. Βουτυρᾶ αἴροντος τὰ Ἀνθεμίου καὶ Βοραιδίου ἀπὸ τῆς πρὸς τὴν Προποντίδα παραλίας καὶ μεταφέροντος εἰς τὸν Βόσπορον, ὅπου γινώσκομεν τοὺς Προόχθους — οὓς ἐὰν ἀποδεξώμεθα αὐτοὺς ὄντας τοὺς

4. Δουκαγγίου, Constant. Christ. 80, XXXVI—XXXVII. Morcelli, Kalendar. Β′, σ. 214.

5. Ἦν οὗτος ἴσως ὁ Πανσόφιος, ἀνὴρ εὐλαβὴς καὶ πρᾶος, ἄλλοτε διδάσκαλος τῆς αὐγούστης Εὐδοξίας, χειροτονηθεὶς ὑπὸ τοῦ Χρυσοστόμου, παύσαντος τὸν μητροπολίτην Γερόντιον τὸν ἰατρὸν, ἢ πολὺ πιθανῶς ὁ Διόδωρος ὁ μετὰ Πανσόφιον· Πατριαρχ. Πίνακες· σελ. 147. Τὸ περὶ τοῦ ἐν Βρόχθοις ναοῦ τεμάχιον ῥύσθην ἐκ τῆς βιογραφίας τῆς ὁσίας Ὀλυμπιάδος, τῆς ἐν τῷ 1453 χειρογράφῳ τῆς Ἐθνικῆς Βιβλιοθήκης τῶν Παρισίων.

6. Πασχάλ. Χρον. σελ. 591 καὶ 598. Βοραΐδιος ἦν ἀρχαιότερος βεβαίως τοῦ τῷ 532 ἀναφερομένου Βορραΐδου, ἀνεψιοῦ τοῦ. Μ. Ἰουστινιανοῦ. Προκοπίου, Ἱστ. Α′, σ. 129.

7. Ζωναρᾶς· ΙΕ′, 27· (Δινδόρφ. Γ′, 410).

8. Banduri, Imper. Orient. σελ. 169, 176, 189. Θεοφ. Α′, σελ. 608, καὶ Goar σημειώσεις εἰς Θεοφάνη, τόμ. Β′, σελ. 520. Theoph. Contin. σ 109. Συμεὼν μάγιστρος· σελ. 632. Λέων γραμματικός· σελ. 250. Μιχαὴλ Γλυκᾶς· σελ. 510. Νικ. Χωνιάτης· σ. 315 καὶ 529. Ἐφραίμιος· στίχ. 10191. Α. Γ. Πασπάτη, Τὰ ἀνατολικὰ προάστεια τοῦ Βυζαντίου, ἐν τόμῳ ΙΒ′ Ἑλλ. Φιλολ. Συλλόγου· σελ. 44. Μ. Ι. Γεδεὼν, Πατριαρχ. Πίνακες· σ. 369 καὶ 374.

Βρόχθους, συνάγομεν τὸν ὕπαρξιν δύο ναῶν ἁγίου Θωμᾶ ἐν τῇ βιθυνικῇ παραλίᾳ, πολλῷ μακρὰν ἀλλήλων ἀφισταμένων[9]· φαίνονταί μοι δ' ἀδόκιμα τὰ περὶ τῶν Ἀνθεμίου, ὡς ἐν Κωνσταντινουπόλει κειμένων, γραφόμενα τοῦ διδάκτορος A. Mordtmann[10].—5) ἢ 6) ὁ ναὸς τοῦ ἁγίου Θωμᾶ ὁ ἐν τῇ Δρυπείᾳ, τῷ κατόπιν ὀνομασθέντι χωρίῳ Γρύπες καὶ κοινότερον Τζιφοὺτ-μπουργάζι[11], ἀναφερόμενος ἐπὶ Ἰωάννου τοῦ Χρυσοστόμου· 7) ἢ 6) ὁ κατὰ τὸν Ι′ αἰῶνα σῳζόμενος ἐν τῇ γυναικείᾳ μονῇ τὰ Ἰουστίνου[12]. Ἄγνωστον ἂν ἢ διάφορος αὐτῶν ὁ ναὸς τοῦ ἁγίου Θωμᾶ ὁ ἐν τοῖς Ὀλύμπου, οὗ γίνεται μνεία ψιλὴ τῇ 23 ἰουλίου.

ℰ

7. Σεργίου καὶ Βάκχου μαρτύρων.

Ἤθλησαν ἐπὶ Μαξιμιανοῦ ἐν Ῥώμῃ.

Ναὸς ἐπ' ὀνόματι τῶν ἁγίων Σεργίου καὶ Βάκχου, ἐν τοῖς Ὀρμίσδου κείμενος, ἠγέρθη τὸ πρῶτον ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ (ἐν ᾧ τόπῳ πρότερον ἦν ἡ οἰκία αὐτοῦ) πλησίον ἔχων τὸ ἀποστολεῖον Πέτρου καὶ Παύλου. Ἐν τῷ ναῷ τούτῳ, περὶ ὃν κατῴκουν μοναχοί, ἐκλείσθη Θεοφάνης ὁ ὁμολογητής· ἐν αὐτῷ δὲ κατῴκησαν Βιγίλιος ὁ πάπας τῷ 551, Γρηγόριος ἐπίσκοπος Ἀκραγαντίνων μοναχὸς ἔτι ὤν, ὅτε ἦλθεν ἐκ Σικελίας ἐπὶ τοῦ Β′ Ἰουστινιανοῦ, καὶ Γρηγόριος ὁ δεκαπολίτης σὺν Ἰωσὴφ τῷ ὑμνογράφῳ ἐπὶ Θεοφίλου[13]. Κατὰ τὰ τέλη τοῦ Θ′ αἰῶνος προυτίθετο ἵνα παραχωρήσῃ ταύτην Εὐθυμίῳ τῷ συγκέλλῳ, τῷ κατόπι πατριάρχῃ, Λέων ὁ Σοφός[14].

Ἐν τῷ ναῷ Σεργίου καὶ Βάκχου ἠκροάτο τῆς λειτουργίας ὁ αὐτοκράτωρ κατὰ τὴν τρίτην τῆς Διακαινησίμου[15].

Κατὰ τὸν μυθογράφον Ἀντώνιον, ἐκ τῶν λειψάνων Σεργίου καὶ Βάκχου αἱ κεφαλαὶ ὡς καὶ μία χεὶρ καὶ ὀλίγον αἷμα τοῦ Σεργίου ὑπῆρχον ἐν ἀρχαῖς τοῦ ΙΓ′ αἰῶνος ἐν τῷ ναῷ αὐτῶν, ὅπου εἶδε καὶ αἷμα τοῦ ἁγίου μάρτυρος Ἐπιμάχου[16].

* * *

Μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ.

Τὴν μνήμην εὑρίσκω παρὰ τῷ Σταυρονικητηνῷ Συναξαριστῇ· ὑπονοῶ ὅτι τὸ συναξάριον ἀναφέρεται εἰς τὸν κατὰ ὀκτώβριον τοῦ 525 γενόμενον ἐν Κωνσταντινουπόλει σεισμὸν, καθ' ὃν ἡ πόλις ὀλίγον ἔπαθεν, εἰ καὶ σοβαρῶς, ἡ δ' Ἀντιόχεια τοῦτ' αὐτὸ κατεστράφη· ἀλλ' ἐπίσης ἀναφέρεται μέγας σεισμὸς τῷ 986 ἐν ὀκτωβρίῳ μηνὶ πολλὰς οἰκίας καὶ ναοὺς ἐν Κωνσταντινουπόλει ζημιώσας[17].

ℰ

9. Πέτρου στρατιώτου.

Ἤκμασεν ἐπὶ Θεοφίλου· γαλάτης ἐκ Μικρασίας· υἱὸς Εὐδοκίας καὶ Θεοφίλου, Λέων κατὰ κόσμον καλούμενος, τιμήσας τὰς ἐμπιστευθείσας αὐτῷ ἀρχὰς, ἐμόνασεν ἐν τῇ μονῇ τοῦ Δαφνῶνος, ὕστερον ἐν Ὀλύμπῳ, καὶ μετὰ ταῦτα, προσκλήσει Βασιλείου τοῦ Μακεδόνος, ἐν τῇ μονῇ τοῦ ἁγίου Φωκᾶ ἐν Κωνσταντινουπόλει. Ἐκοιμήθη ἐν εἰρήνῃ.

ℰ

10. Βασιανοῦ τοῦ ὁσίου.

Σύρος ὢν, ἦλθεν εἰς Κωνσταντινούπολιν ἐπὶ Μαρκιανοῦ τοῦ αὐτοκράτορος, ὅστις ἐτίμησεν αὐτὸν ὡς πατέρα καὶ ναὸν ἔκτισεν ἐπ' ὀνόματι αὐτοῦ, ζῶντος ἔτι, σῳζόμενον καὶ κατὰ τὸν Ι′ αἰῶνα, δῆλον οὖν ἐπὶ τῶν τοῦ Βασιλειανοῦ συντακτῶν· «ὃς καὶ μέχρι τῆς σήμερόν ἐστιν». Ὁ ἀριθμὸς τῶν μαθητῶν αὐτοῦ ἀνῆλθεν εἰς τριακοσίους, ἐν οἷς ἦν καὶ ἡ Ματρώνα. Ἐκοιμήθη ὑπέργηρως ἐν εἰρήνῃ, ταφεὶς ἐν τῷ ναῷ τῆς μονῆς, ἥτις ἐτέλει βεβαίως τῇ 10 ὀκτωβρίου σύναξιν.

Ἡ μονὴ τοῦ Βασιανοῦ, οὖσα ἐν τέλει τοῦ Ε′ αἰῶνος μία τῶν ἐν Κωνσταντινουπόλει ἐπισημοτέρων μονῶν, ἣν ᾠκοδομημένη ὀκταετίαν μετὰ τὸν θάνατον τοῦ αὐτοκράτορος Μαρκιανοῦ, ἤτοι τῷ 465, ὅτε ἔζη καὶ αὐτὸς ὁ ἱδρυτὴς Βασιανὸς, ὃν τοσοῦτον ἐσέβετο ὁ ὑπατικὸς

9. «Νεολόγου Ἑβδομαδιαία Ἐπιθεώρησις»· ἔτους Β′, σελ. 561-564 καὶ 581-584.

10. Esquisse topogr. § 101 καὶ 113.

11. Morcelli, Kalendarium· Α′, σελ. 181.

12. Πορφυρογ. Ἔκθ. τόμ. Α′, σελ. 646.

13. Πασπάτη, Μελέται· σελ. 332. Προκοπίου, Περὶ κτισμάτων· σελ. 186. Κεδρηνός· Α′, σ. 641. Fragmenta κτλ. Migne, τόμ. ΠΕ′, στ. 1821. Βίος Ἀκραγαντίνου ὑπὸ Μεταφραστοῦ· Migne, τόμ. ΡΙΣΤ′, στ. 217, 265. Ἰωάννου διακόνου καὶ ῥήτορος, Βίος Ἰωσήφ· Migne, τόμ. ΡΕ′, στήλη 953. Ζώσιμος· σελ. 140.

14. Εὐθυμίου βίος· σελ. 12.

15. Πορφυρογ. Ἔκθ. σελ. 87.

16. Ποικίλη Στοὰ τοῦ 1884· σελ. 360.

17. Κεδρηνός· Α′, σελ. 640. Β′, σελ. 438.

Ἰωάννης ὁ τῶν Βιγκομάλου, ὥστε ἔταξεν ἑαυτὸν ὡς μοναχὸν παρὰ τῷ Βασιανῷ, μὴ παρορῶν καὶ τὰς πολιτικὰς ὑπουργίας· ὅθεν καὶ «προήρχετο ἀεὶ ἐν τῷ παλατίῳ ὡς εἷς τῶν συγκλητικῶν, καὶ ἀναχωρῶν μέχρι τῆς μονῆς τοῦ Βασιανοῦ ὡς ὑπατικὸς ὠψικεύετο· ἔνδον δὲ γενόμενος εὐθὺς τὴν μοναχικὴν σισύραν περιβαλλόμενος, μαγειρείου καὶ σταύλου καὶ τῶν παραπλησίων τὴν διακονίαν ἐπλήρου»[18]. Κατὰ τὰ πρῶτα ἔτη τοῦ ΣΤ' αἰῶνος γινώσκομεν τὸν ἡγούμενον τῆς μονῆς καὶ ἀρχιμανδρίτην Μαρτύριον, καὶ ἐπὶ τοῦ πατριάρχου Μηνᾶ τὸν ἀββᾶν Ἐλπίδιον.

* * *

10. Θεοφίλου καὶ Λογγίνου τῶν ὁμολογητῶν.

Θεόφιλος ὁ κτίτωρ μονῆς τινος οὐ μακρὰν τῆς Τιβεριουπόλεως, πολλὰ παθὼν ὑπὲρ τῶν ἁγίων Εἰκόνων ἐπὶ Λέοντος Ἰσαύρου σὺν τῷ στυλίτῃ Λογγίνῳ, ἀπεβίωσεν ἐν εἰρήνῃ.

ℰ

11. Νεκταρίου, Ἀρσακίου, Ἀττικοῦ, καὶ Σισινίου, τῶν πατριαρχῶν Κωνσταντινουπόλεως.

Ἡ μνήμη τῶν τεσσάρων τούτων πατριαρχῶν παρὰ πᾶσι τοῖς ἀρχαίοις χειρογράφοις καὶ τῷ 426 Εὐαγγελίῳ γράφεται κατὰ τὴν ἡμέραν ταύτην[19].

Νεκτάριος ὁ ἀπὸ συγκλητικῶν ἐκλεγεὶς πατριάρχης, καθ' ὑπόδειξιν Διοδώρου ἐπισκόπου Ταρσοῦ, τὴν πατρίδα ταρσεύς, ἱεράτευσεν ἀπὸ τοῦ 381 μέχρις 27 σεπτεμβρίου 397, ὅτε ἀπέθανε. Σύνεδρος τῆς Β' Οἰκουμενικῆς Συνόδου εἶδε κληρουμένην τῷ πατριάρχῃ Κωνσταντινουπόλεως τὴν θρακικὴν διοίκησιν[20].

Ἀρσάκιος ὁ ταρσεὺς ἦν ἀδελφὸς τοῦ Νεκταρίου· πατριάρχης χειροτονηθεὶς τῇ 26 ἰουνίου 404 ὑπερογδοηκοντούτης ἱεράτευσε μέχρι τῆς 11 νοεμβρίου 405, ὅτε ἀπέθανε. Πρεσβύτερος πρότερον τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, ἦν εὐλαβὴς καὶ πρᾶος, ἀλλ' ἐλέγετο ἠλίθιος.

Ἀττικός, ἐκ Σεβαστείας τοῦ Πόντου, πρεσβύτερος τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως καὶ αὐτός, μετρίως πεπαιδευμένος, ἀλλ' εὐφυής, μελετῶν τοὺς δοκιμωτέρους τῶν Ἑλλήνων συγγραφέων, ἐλέγετο τὸν βίον ἀσκητικός· ἱεράτευσεν ἀπὸ τοῦ τέλους τοῦ 405 ἢ ἀπ' ἀρχῆς τοῦ 406 μέχρι τῆς 10 ὀκτωβρίου 425, ὅτε ἀπεβίωσε[21].

Σισίνιος ὁ Α', ἱερεὺς πρότερον ἐν Ἐλαίᾳ (περὶ τὸν Τὸπ-χανὲ τῆς σήμερον), ἐχειροτονήθη πατριάρχης τῇ 28 φεβρουαρίου 426, ἱεράτευσε δὲ μέχρι τῆς 24 δεκεμβρίου τοῦ 427, ὅτε ἀπέθανε[22].

ℰ

11. Θεοφάνους τοῦ Γραπτοῦ, μητροπολίτου Νικαίας.

Γνωστὸς ὑμνογράφος τῆς Ἐκλησίας ὁ Θεοφάνης, σύρος τὴν πατρίδα, γεννηθεὶς τῷ 778, πεπαιδευμένος ἀνήρ, ἐχειροτονήθη μητροπολίτης Νικαίας ὑπὸ Μεθοδίου τοῦ πατριάρχου τῷ 842, καὶ ἀπεβίωσε τῇ 11 ὀκτωβρίου 845 ἐν ἡλικίᾳ ἐτῶν ἑξήκοντα σὺν ἑπτά, καὶ ἐτάφη ἐν τῇ μονῇ της Χώρας παρὰ τῷ τάφῳ Γερμανοῦ τοῦ πατριάρχου. Καὶ ταῦτα μὲν γράφονται κατὰ τὴν ἀνέκδοτον καὶ πολλῆς προσοχῆς ἀξίαν βιογραφίαν Μιχαὴλ συγκέλλου, συνταχθεῖσαν μικρῷ μετὰ τὸν θάνατον αὐτοῦ καὶ παρασυναπτομένην τῷ μετὰ χεῖρας Ἑορτολογίῳ κατ' ἐκλογήν. Ὅλως ἄπορα δέ μοι φαίνονται τὰ περὶ τῶν ἀδελφῶν Γραπτῶν γραφόμενα τῶν χρονογράφων[23].

ℰ

11-17. Κυριακῇ μετὰ τὴν 10 ὀκτωβρίου·

Μνήμη τῶν ἁγίων ΤΞΕ' Πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων τὸ δεύτερον κατὰ τῶν δυσσεβῶς καὶ ἀμαθῶς καὶ ἀπερισκέπτως τὴν Ἐκκλησίαν τοῦ Θεοῦ εἰδωλολατρεῖν εἰπόντων καὶ τὰς σεπτὰς καὶ ἁγίας Εἰκόνας καταβαλόντων.

Τὸ Βασιλειανὸν ἀριθμεῖ ΤΞΖ'. Σημειωτέον ὅτι ἡ πρώτη τῆς Ζ' Οἰκουμενικῆς Συνόδου συνεδρίασις ἐγένετο τῇ 11 ὀκτωβρίου 787 «ἐν τῇ καθολικῇ Ἁγίᾳ Σοφίᾳ τῆς Νικαίας»[24].

ℰ

12. Πρόβου, Ταράχου, καὶ Ἀνδρονίκου τῶν μαρτύρων.

Ἤθλησαν ἐπὶ Διοκλητιανοῦ.

Ναὸν εἰς τιμὴν αὐτῶν μετὰ ξενῶνος ᾠκοδόμησε, κατὰ Ζωναρᾶν, ὁ ἐπὶ τοῦ Φωκᾶ πατρίκιος Ναρσῆς, ἢ, κατὰ τοὺς παραδοξογράφους, ἐπὶ Ἰουστίνου Β'[25]. (ἴδε μαΐου 4).

ℰ

13. Κάρπου καὶ Παπύλου μαρτύρων. Ἡ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν μαρτυρείῳ τῷ ὄντι πλησίον Ἐλενιανῶν[26].

Ἤθλησαν ἐν ταῖς Σάρδεσι τῆς Λυδίας ἐπὶ Δεκίου, κατὰ τὰ μέσα δῆλα δὴ τοῦ Γ' αἰῶνος, ὄντες ἰατροὶ τὸ ἐπάγγελμα, Θυατείρων ἐπίσκοποι ὁ Κάρπος, διάκονος ὁ Πάπυλος. Συνήθλησαν αὐτοῖς Ἀγαθονίκη ἡ ἀδελφὴ τοῦ Παπύλου καὶ Ἀγαθόδωρος ὁ θεράπων αὐτῶν.

Ἄγνωστος ὁ κτίτωρ τοῦ ναοῦ αὐτῶν, κειμένου ἐν ταῖς Ἐλενιαναῖς, αἵτινες ἔκειντο μὲν ἐν Ὑψωμαθείοις, ἦσαν δὲ τοποθεσία παρὰ τὴν θάλασσαν[27].

* * *

13. Νικήτα πατρικίου τοῦ ὁμολογητοῦ.

Παφλαγὼν τὴν πατρίδα, γεννηθεὶς τῷ 763, νομίζεται συγγενὴς Εἰρήνης τῆς ἀθηναίας καὶ δῆθεν καταγόμενος ἀπὸ τοῦ οἴκου Θεοδώρας τῆς αὐγούστης (τῆς τοῦ Ἰουστινιανοῦ πιθανῶς). «Ἐκδοθεὶς εἰς διδασκάλους καὶ παιδευθεὶς εἰσῆλθεν ἐν τῇ βασιλευούσῃ δέκα ἑπτὰ χρόνων ὑπάρχων (τῷ 780), Εἰρήνης τὰ σκῆπτρα κρατούσης καὶ τὸν παῖδα ἀναμαθούσης εὐνοῦχον εἶναι». Παρέστη ἐκ προσώπου τῆς Εἰρήνης εἰς τὴν Ζ' ἐν Νικαίᾳ Σύνοδον. ὕστερον ἐγένετο στρατηγὸς καὶ πατρίκιος τῆς Σικελίας, ὅπου ἠλέει τὰ ὀρφανὰ καὶ τὰς χήρας. Ἐπιθυμῶν πρὸ πολλοῦ ν' ἀσπασθῇ τὸν μοναχικὸν βίον ἐκωλύετο ὑπὸ τοῦ αὐτοκράτορος Νικηφόρου τοῦ ἀπὸ γενικῶν, «ὕστερον δὲ κρατήσαντος τῆς βασιλείας Μιχαὴλ, μόλις οὗτος παρακληθεὶς κατένευσε μοναχὸν μὲν γενέσθαι, τῆς πόλεως δὲ μὴ ἐξελθεῖν· ἀλλ' εἰς τὴν λεγομένην Χρυσῆν Πόρταν, δοὺς αὐτῷ μονὴν τὴν λεγομένην Χρυσονίκην, ἐν αὐτῇ προσμένειν ἐκέλευσε· πεντήκοντα δὲ χρόνων ἦν καθ' ὃν καιρὸν ἀποκαρεὶς (813) . . . ἐν τῇ μονῇ διῆγεν ἄχρι τῆς βασιλείας Λέοντος τοῦ εἰκονομάχου. . . . εἰς προάστειον ἀπῆλθεν, ὃ τῇ μονῇ αὐτὸς ἐδωρήσατο . . . . ἀπῆλθεν εἰς ἕτερον προάστειον ἀγχοῦ κείμενον· καὶ . . . . καταλαμβάνει τὸ Παντείχιον . . . . ὁ ἅγιος πρὸς Ἐρίβολον ὑπέστρεψεν· ὡς δὲ καὶ ἐκεῖσε ἐδυσχέρανον . . . . πρὸς τὸ προάστειον Ζηλουπᾶς οὕτω καλούμενον ἐκεῖσε παρεγένετο. . . . Μεταβὰς οὖν ἐκεῖθεν ἀφίκετο πρὸς Κατισίαν, καὶ τόπιον εὑρὼν μικρὸν ἐξωνήσατο τοῦτο, καὶ εἰς ὄνομα τῶν Ἀσωμάτων δειμάμενος ναὸν, χρόνους ἱκανοὺς μετα τῶν συνόντων αὐτῷ ἀδελφῶν διαβιβάσας, τελευταῖον εἰς τὸ παρὰ τὴν θάλασσαν ἀφίκετο μοναστήριον, ἐν ᾧ . . . τὸ ἑβδομηκοστὸν πέμπτον ἔτος τῆς ζωῆς αὐτοῦ πανευσεβῶς διαβιβάσας πρὸς Κύριον ἐξεδήμησε»[28], τῷ 838. Φρονῶ ὅτι ὁ Νικήτας οὗτός ἐστιν ὁ πρὸς ὃν γράφει τὴν ΚΖ' (μστ') ἐπιστολὴν ὁ Στουδίτης. Τὸν οἶκον τοῦ Νικήτα Θεοκτίστη τῆς αὐγούστης Θεοδώρας ἡ μήτηρ ἀγοράσασα, μετεποίησεν εἰς ἀνάκτορον, τὸ κατόπιν εἰς μονὴν μεταβληθὲν, τὴν τῶν Γαστρίων[29].

ℰ

14. Ναζαρίου μάρτυρος.

Ἤθλησεν ἐπὶ Νέρωνος ἐν Μεδιολάνοις.

Τὸν ναὸν αὐτοῦ τέλεον ἠφανισμένον ἀνήγειρεν ἐκ βάθρων Βασίλειος ὁ Μακεδών[30].

ℰ

17. Ἀνακομιδὴ τοῦ λειψάνου τοῦ ἁγίου καὶ δικαίου Λαζάρου

δῆλα δὴ κατὰ τοὺς χρόνους Λέοντος τοῦ Σοφοῦ.

---

18. Θεοφ. Α', σελ. 177 καὶ 219.

19. χειρόγραφον ἁγιοταφιτικὸν 156 τοῦ Ἁγίου Σάβα, ὅπου ὁ ἀξιότιμος κ. Ἀθ. Π. Κεραμεὺς ἀνέγνω *Ἀκακίου* ἀντὶ *Ἀρσακίου*, τοῦ χειρογράφου πιθανῶς σφαλλομένου· Ἱεροσλμ. Βιβλιοθ. Β', σελ. 429.

20. Πατρ. Πίνακες· σ. 133-141 καὶ ὅπου παραπέμπω.

21. αὐτόθι· σελ. 164-172, ὅπου βλέπε τὰς σχετικὰς παραπομπάς.

22. Σωκράτης· Ἐκκλ. Ἱστορ. Ζ', κστ', κη'. Πατριαρχ. Πίνακες· σελ. 172-174.

23. Γεώργιος μοναχός· σελ. 806-807. Συμεὼν μάγιστρος· σελ. 641-643· κατ' αὐτὸν, ὁ ἕτερος τῶν Γραπτῶν φαίνεται διαμείνας μικρόν τινα χρόνον ἐν Καρταλιμένι· κατὰ τὸν Συναξαριστὴν, ὁ Θεοφάνης ἔμενεν ὑπερόριος ἐν Θεσσαλονίκῃ. Βλ. εἰς τὴν 27 δεκεμβρίου πλείονα περὶ τῶν πολυμαθῶν Γραπτῶν ἀδελφῶν.

24. Θεοφ. Α', σελ. 717.

25 Banduri, Imp. Or. σελ. 43 καὶ 113. Δουκαγγίου, Const. Christ. σελ. 92, LXXXII.

26. ἡ μνήμη τῆς συνάξεως παρὰ Morcelli, Kalend. τόμ. Α', σελ. 191.

27. οὕτως ὁρίζει τὴν τοποθεσίαν ὁ βιογράφος Ἰσαακίου τοῦ τῶν Δαλμάτων ἡγουμένου. Banduri, Imp. Orient. σελ. 511α.

28. μεταγράφω ταῦτα ἀπὸ τοῦ Σταυρονικητηνοῦ Συναξαριστοῦ· ταὐτὰ δὲ γράφουσι καὶ τὰ Μηναῖα.

29. Teoph. Contin. σελ. 90. Στουδίτου ἐπιστολαί· Migne, τόμ. γθ', στ. 993.

30. Theoph. Contin. σελ. 324.

§

18. Λουκᾶ τοῦ εὐαγγελιστοῦ.

Τὸ λείψανον τοῦ ἀποστόλου Λουκᾶ μετακομισθὲν εἰς Κωνσταντινούπολιν ἀπετέθη τῇ 3 μαρτίου 357 ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων[31].

Ναὸς εἰς τὸν εὐαγγελιστὴν Λουκᾶν ἠγείρετο δυτικώτερον τοῦ ναοῦ τοῦ ἀποστόλου Φιλίππου πλησίον τῆς Μωκησίας κινστέρνης ἐν Ἐξωκιονίῳ (ἡ κινστέρνα ἐστὶ τὸ Τσικοὺρ-μποστάν), ἀνακαινισθεὶς σχεδὸν ἐκ βάθρων ὑπὸ Βασιλείου τοῦ Μακεδόνος[32].

§

20. Ἀρτεμίου μάρτυρος.

Πατρίκιος τὴν ἀξίαν ἐπὶ τοῦ Μ. Κωνσταντίνου, ἤθλησεν ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου. Τὸ λείψανον αὐτοῦ «ἀνεκομίσθη ἐν Κωνσταντινουπόλει παρέχον ἰάματα», σταλὲν ὑπὸ τῆς ἐν Ἀντιοχείᾳ μενούσης Ἀρίστης τῆς διακόνου «καὶ διέμεινεν ἐς δεῦρο τῷ τοῦ Προδρόμου ναῷ»· χειρόγραφον δέ τι ἱεροσολυμιτικὸν γράφει ὅτι τὸ λείψανον τοῦ ἁγίου Ἀρτεμίου ἐλέγετο θησαυριζόμενον «εἰς τὸν Ἅγιον Ἰωάννην τὸν Βαπτιστὴν εἰς τὴν Ὀξεῖαν πλησίον τῶν Δομνίνου ἐμβόλων[33], δῆλα δὴ μεταξὺ τοῦ Ἀτ-μεϊδὰν καὶ τοῦ Μεχμὲτ-πασᾶ-δζαμισί.

* * *

20. Ἀνδρέου ὁσιομάρτυρος τοῦ ἐν τῇ Κρίσει.

Ἤθλησεν ἐπὶ Κωνσταντίνου τοῦ Κοπρωνύμου τῇ 21 ὀκτωβρίου 767 ἴσως, καὶ τὸ λείψανον αὐτοῦ εὑρέθη μετὰ ταῦτα, ταφὲν ἐν τόπῳ Κρίσις τὸ ὄνομα[34].

Ὁ ναὸς τοῦ ἁγίου Ἀνδρέου ἐν τῇ Κρίσει (Κοδζᾶ-Μουσταφᾶ-πασᾶ-δζαμὶ τῆς σήμερον) ἀπίθανόν μοι φαίνεται ὅτι ἠγέρθη πρὸς τιμὴν τοῦ Ἀνδρέου τούτου, καὶ νομίζω ὅτι ἐτιμᾶτο ἐπ' ὀνόματι τοῦ πρωτοκλήτου τῶν ἀποστόλων.

Ἡ μονὴ τῆς Κρίσεως ἦν κατὰ τὰ τέλη τοῦ ΙΔ' αἰῶνος[35] καὶ μέχρι τοῦ 1400 γυναικεία.

Τὴν μνήμην Ἀνδρέου τοῦ ἐν τῇ Κρίσει τὸ 426 καὶ τὰ ἀρχαιότερα Εὐαγγέλια γράφουσι τῇ 20 τοῦ μηνός· τὰ δ' ἐν χρήσει τῇ 17.

§

23. Ἰακώβου τοῦ ἀδελφοθέου.

Ναὸς Ἰακώβου τοῦ ἀδελφοθέου ἀναφέρεται κείμενος ἐν τῷ σεβασμίῳ ναῷ τῆς ἁγίας Θεοτόκου πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας· περὶ τοῦ ναοῦ τούτου βλέπε εἰς τὴν 9 δεκεμβρίου.

Τὸ ὠμοφόριον τοῦ ἱεροῦ Ἰακώβου τοῦ ἀδελφοθέου ἀναφέρεται ἐν τῇ κατόπι μνήμῃ.

* * *

23. Ἰγνατίου πατριάρχου Κωνσταντινουπόλεως.

Γεννηθεὶς τῷ 799, υἱὸς Μιχαὴλ κουροπαλάτου τοῦ Ῥαγκαβὲ καὶ Προκοπίας, Νικήτας κατὰ κόσμον, εὐνουχίσθη βίᾳ μοναχὸς γενόμενος κατὰ τὸ θέρος τοῦ 813. Ἀνάδοχον ἔσχεν ἐν τῷ βαπτίσματι Λέοντα τὸν κατόπιν αὐτοκράτορα. Μονάζων ἐπεδείξατο βίον αὐστηρότατον, καὶ, πολλῶν πρὸς αὐτὸν τότε συρρεόντων, αἱ πριγκήπιοι νῆσοι Ὄφιος, Πλάτη, καὶ Τερέβινθος «ταῖς ἐκείνου προνοίαις οἰκιζόμεναι εἰς ἐκκλησίας Κυρίου καὶ εὐαγεῖς μοναχῶν καθίσταντο μονάς»· ἐχειροτονήθη διάκονος καὶ πρεσβύτερος ὑπὸ Βασιλείου ἐπισκόπου Παρίου τοῦ ὁμολογητοῦ, πιθανῶς ἐπὶ Θεοφίλου, ἢ Μιχαὴλ Τραυλοῦ. Μετὰ Μεθόδιον ἐξελέγη πατριάρχης, ἐξωρίσθη δ' εἰς Τερέβινθον, τῇ 23 νοεμβρίου 857· ὕστερον (μετὰ τὸν νοέμβριον 857) εἰς τὰ Προμήτου, κατὰ αὔγουστον τοῦ 858 εἰς Μιτυλήνην, ἀφ' ἧς περὶ τὸ ἔαρ 859 πάλιν εἰς Τερέβινθον ἐπανήχθη· φαίνεται δ' ὅτι τότε ληστρικὸς στόλος ῥὼς κατεσύλησε τὰς μονὰς τῶν τριῶν νησίδων. Τῇ 26 σεπτεμβρίου 867 προσεκλήθη εἰς Κωνσταντινούπολιν ὑπὸ Βασιλείου τοῦ Μακεδόνος, ὑφ' οὗ καὶ ἐγκαθιδρύθη ἐν τῷ πατριαρχικῷ θρόνῳ τὸ δεύτερον τῇ 23 νοεμβρίου 867. Διορθῶν τά τε τῶν μοναχῶν καὶ λαϊκῶν ἤθη καὶ πρὸς εὐσέβειαν παρορμῶν, ἀπεβίωσε τῇ 23 ὀκτωβρίου, κατὰ τὴν μνήμην Ἰακώβου τοῦ Ἀδελφοθέου, οὗ τὴν ἱε-

31. Πασχάλ. Χρον. σελ. 542-543. Βλ. μνήμην Τιμοθέου τοῦ ἀποστόλου τῇ 22 ἰανουαρίου. Φιλοστόργιος· Γ', 2.

32. Theoph. Contin. σ. 323. Δουκαγγίου, Const. Christ. σελ. 77. XVIII.

33. Βασιλειανὸν Μηνολόγιον. Μεταφραστοῦ, Ἄθλησις Ἀρτεμίου· Migne, τόμ. PIE', στ. 1212. Ἱεροσλμ. Βιβλιοθ. Β', σελ. 55. Ἀλλὰ καὶ ὁ Σταυρονικητηνὸς Συναξαριστὴς γράφει· «ἀνεκομίσθη τὸ τίμιον αὐτοῦ σῶμα ἐν Κωνσταντινουπόλει παρά τινος Ἀρίστης διακόνου καὶ κατετέθη ἐν τῇ Ὀξείᾳ».

34. Ἄθλησις Ἀνδρέου· Migne, τ. PIE', 1109-1128.

35. Acta Patriarch. Β', σελ. 353 καὶ 506.

ρὰν ἐπωμίδα «ἣν πρὸ χρόνων τινῶν ἐξ Ἱεροσολύμων ἀποσταλεῖσαν αὐτῷ οὕτως ἐτίμα καὶ πανευλαβῶς ἐσέβετο» περιέβαλον αὐτὸν καὶ ἐν ξυλίνῳ κραββάτῳ τεθὲν ἤχθη μὲν εἰς τὸν ναὸν τῆς τοῦ Θεοῦ Σοφίας πρὸς ἀσπασμόν, εἶτα δ' εἰς τὸν τοῦ ἁγίου Μηνᾶ τὸ λείψανον, ὅπου ἡ νεκρώσιμος ἐψάλη ἀκολουθία· μεθ' ὃ κομισθὲν εἰς τὸν ναὸν Ἀρχιστρατήγου τοῦ Ἀνατέλλοντος ἐτέθη ἐν μαρμαρίνῃ σορῷ πρὸς τοῖς δεξιοῖς τοῦ ναοῦ. Θαύματά τινα ἀναγράφει Νικήτας ὁ Δαβὶδ ὁ τῷ Φωτίῳ πολεμιώτατος, καὶ φαίνεται ὅτι καὶ ἡ περὶ τὴν σορὸν ἅλυσος ἰᾶτο καὶ αὐτὴ νόσους[36]. Ὁ πατριάρχης Ἰγνάτιος ἱεράτευσεν ἀπὸ τοῦ θέρους τοῦ 846-23 νοεμβρίου 857 καὶ ἀπὸ τῆς 23 νοεμβρίου 867-23 ὀκτωβρίου 878, ὅτε ἀπέθανε.

Περὶ τῶν ἱδρυθεισῶν ὑπὸ Ἰγνατίου μονῶν ὀλίγα γινώσκομεν, ἤτοι ἄγνωστον εἰς ὄνομα τίνος τῶν ἁγίων ἐπεφήμισε τὰς ἐν Ὑάτρῳ (Νεμάνδρῳ) καὶ Τερεβίνθῳ ταῖς πρὸ τῆς Πριγκήπου μικραῖς νήσοις ὑπαρχούσας μονάς· ὁ Σκ. Βυζάντιος ἐξ ἐπιγράμματος «εἰς εἰκόνα τοῦ ἀρχαγγέλου ἐν Πλάτῃ» ὁρμώμενος κρίνει ὅτι ὁ ἐν τῇ Πλάτῃ ναὸς ἐπεγράφετο εἰς τὸν ἀρχάγγελον Μιχαήλ, ἀλλ' οὗτος βεβαίως ὑπῆρχε πρὸ τῶν χρόνων τοῦ Ἰγνατίου· ὥστε ὁ Ἰγνάτιος ἤγειρε τὸν ἐν Πλάτῃ ναὸν τῶν Μ' μαρτύρων μετὰ τοῦ παρακειμένου αὐτῷ εὐκτηρίου τῆς Θεοτόκου. Ἐν δὲ τῇ νήσῳ Τερεβίνθῳ (νῦν Ἀντεροβίθῳ) γινώσκομεν ὅτι νέαν ἤγειρε μονὴν, πιθανῶς περὶ τὰ 1170-1180, ὁ πατριάρχης Θεοδόσιος ὁ Βοραιδιώτης, ἤτοι, πιθανώτατα, τὴν τοῦ Ἰγνατίου παλαιὰν ἀνεκαίνισε μονὴν, καίτοι ὁ ἱστορικὸς γράφει «ἐδομήσατο μονὴν κατὰ τὴν νῆσον τὴν Τερέβινθον»[37]. Ἀλλ' ὁ Ἰγνάτιος ᾠκοδόμησε (τῷ 873) τὴν μονὴν τοῦ Ἀρχιστρατήγου τοῦ Ἀνατέλλοντος, κατέναντι τῶν πρώην ὑπ' αὐτοῦ κτισθεισῶν ἐν Ὀξείᾳ καὶ Τερεβίνθῳ «εἰς τὸ ἐμπόριον Σάτωρος περικαλλῆ μονὴν πεποίηκεν ἀνδρείαν, ἔνθα καὶ τὸ σῶμα αὐτοῦ ἀπόκειται»[38]. Ταύτην δὲ Νικήτας ὁ ἀμετροεπὴς Παφλαγὼν ἀντικρὺ Πλάτης, Ὑάτρου καὶ Τερεβίνθου γράφει κειμένην, ἣν ὁ Ἰγνάτιος «τελευταίαν ἀνεστήσατο καὶ καθηγίασε τῷ Θεῷ· ἧς τὴν ἐπισημότητα καὶ περιφάνειαν, τοῦ τε ναοῦ τὴν ὑπέρκαλον ἀγλαΐαν καὶ μεγαλοπρέπειαν ὡς λόγου κρείττω ταῖς ὄψεσι παραχωροῦντες» κλπ.[39]. Κατὰ παράδοσιν σῳζομένην ἕνα αἰῶνα καὶ πλέον, ἦν πρότερον ναὸς εἰδωλικὸς, ἐξ ἐπιγραφῆς δ' ἀνευρεθείσης καθ' ὃν καιρὸν ᾠκοδομεῖτο καὶ λεγούσης ὅτι θυσιαστήριον ἦν ἐκεῖ τοῦ ἀρχιστρατήγου Μιχαὴλ τοῦ Ἀνατέλλοντος ὠνομάσθη οὕτω. Ἔκειτο δ' ἐκεῖσε ναὸς εἰδωλικὸς τοῦ Σατύρου, καὶ ἐκ τῆς ὕλης τούτου, σωζομένης, ὡς ἔοικεν, ἀλυμάντου, Θεόφιλος ὁ αὐτοκράτωρ κατεσκεύασε τὸ παλάτιον τοῦ Βρύαντος ἐν τῷ Μάλτεπε[40]. Ἡ μονὴ τοῦ ἀρχιστρατήγου τοῦ Ἀνατέλλοντος ἔκειτο μεταξὺ τῶν σημερινῶν χωρίων Μποσταντζῆ-κιοπροὺ καὶ Μάλτεπε.

§

24. Πρόκλου πατριάρχου Κωνσταντινουπόλεως.

Ἱεράτευσεν ἀπὸ τῆς 12 ἀπριλίου 434 μέχρι τοῦ 447. Ὁ ἀοίδιμος Πρόκλος, Ἰωάννου τοῦ Χρυσοστόμου μαθητὴς, ἐχειροτονήθη τῷ 426 μητροπολίτης Κυζίκου· τῶν κυζικηνῶν ὅμως μὴ στερξάντων τὴν τοῦ Πρόκλου χειροτονίαν, ἔμενε σχολάζων ὁ ἱερὸς ἀνὴρ ἐν Κωνσταντινουπόλει καὶ κηρύττων τὸν θεῖον λόγον. Πατριάρχης γενόμενος καὶ κατορθώσας ν' ἀνακομίσῃ ἐκ Κομάνων τὸ λείψανον τοῦ ἱεροῦ Χρυσοστόμου, ἀπήλαυε τοῦ σεβασμοῦ τοῦ λαοῦ.

§

24. Μαρκιανοῦ καὶ Μαρτυρίου τῶν νοταρίων, μαρτύρων.

Ὑποδιάκονος ὁ Μαρτύριος, ἀναγνώστης δὲ τῶν θείων Γραφῶν καὶ ψάλτης ὁ Μαρκιανὸς, ἐφονεύθησαν, ὡς ἔοικε, τῷ 360. Κωνσταντινουπολῖται, πεπαιδευμένοι καὶ χρηστοὶ τὸν τρόπον, ἐχρημάτισαν ὑπογραμματεῖς Παύλου τοῦ τῆς Κωνσταντινουπόλεως ἀρχιεπισκόπου[41]. Τὰ λείψανα αὐτῶν κατετέθησαν «ἐν τῷ ἄκρῳ τοῦ τείχους»[42], «ἐντίμως, ἐν ἐπισήμῳ λόφῳ, παρὰ τῷ τῆς πόλεως τείχει»[43], «καὶ θάπτονται ἐν τῇ Μελανδησίᾳ πύλῃ, ἐν αὐτῇ Κωνσταντινουπόλει, τοποθεσίᾳ τοῦ Δευτέρου»[44].

36. Ἰγνατίου βίος ὑπὸ Νικήτα Δαβίδ· Migne, PE', στ. 488-573. Πατρ. Πίνακες· σελ. 279-281 καὶ 287-289.

37. Νικ. Χωνιάτης· σελ. 315. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις», τόμ. Β', σελ. 320.

38. Λέων γραμματικός· σελ. 255.

39. Ἰγνατίου βίος· Migne, τόμ. PE', στ. 497.

40. Λέων γραμματικός· σελ. 255. Theoph. Contin. σελ. 21.

41. Σωζόμενος· Δ', γ'. Κάλλιστος· Θ', λ'.

42. κατὰ τὸ Βασιλειανὸν λεγόμενον.

43. Μεταφραστοῦ, Ἄθλησις Μαρκιανοῦ καὶ Μαρτυρίου· Migne, τόμ. PIE', στ. 1289-1293.

44. ταῦτα κατὰ χειρογράφους Συναξαριστὰς καὶ τὰ Μη-

Ὁ ναὸς τῶν ἁγίων νοταρίων, κείμενος ἔνδον καὶ πλησίον τῆς Μελανδησίας πύλης, ἐθεμελιώθη μὲν ὑπὸ τοῦ ἱεροῦ Χρυσοστόμου, συνετελέσθη δὲ ὑπὸ Σισινίου τοῦ πατριάρχου, κατὰ τὴν μαρτυρίαν τοῦ Σωζομένου, καὶ τῶν Μηναίων καὶ Συναξαριστῶν.

§

26. Δημητρίου μάρτυρος.

Ἤθλησεν ἐπὶ Μαξιμιανοῦ καὶ Διοκλητιανοῦ ἐν Θεσσαλονίκῃ.

Τοῦ λειψάνου αὐτοῦ μέρος ἐζήτησαν ὁ Μ. Ἰουστινιανὸς καὶ κατόπιν ὁ Μαυρίκιος ὅπως ἀποθησαυρίσωσιν ἐν Κωνσταντινουπόλει, ἀλλ' οἱ θεσσαλονικεῖς ἠρνήσαντο, χῶμα μόνον ἀποστείλαντες ἐκ τῆς σοροῦ τοῦ μάρτυρος, ὡς γράφει Εὐσέβιος ὁ κατὰ τὰ τέλη τοῦ ΣΤ' αἰῶνος μητροπολίτης Θεσσαλονίκης[45].

Εἰκών ἀρχαιοτέρα τοῦ ἁγίου Δημητρίου ἀναφέρεται ἐν ἀρχαῖς τοῦ Θ' αἰῶνος· Ἰωάννης ὁ σπαθάριος κεκτημένος αὐτὴν ἔταξεν ἀνάδοχον τοῦ τέκνου αὐτοῦ ἀντὶ παντὸς φυσικοῦ προσώπου· τοῦτο κατὰ τὴν ἀντίδρασιν τῶν εἰκονοφίλων πρὸς τοὺς εἰκονομάχους[46].

Ναοὶ ἁγίου Δημητρίου γινώσκονται 1) ὁ κατὰ τὴν βορείαν ἄκραν τοῦ Βυζαντίου, βεβαίως ἐν τῇ περιοχῇ τοῦ παλατίου καὶ πλησιέστατα τοῦ ναοῦ τῆς Θεοτόκου τοῦ Φάρου, σῳζόμενος μέχρι τοῦ 1350 «ἔνθα πύργοι δύο ἀνῳκοδόμηνται λίθων λευκῶν καὶ ἀπεξεσμένων»[47]. — 2) ὁ ἐν τῷ Δευτέρῳ, ἀνακαινισθεὶς εὐπρεπέστερος ὑπὸ Βασιλείου τοῦ Μακεδονος[48]. 3) ὁ παρὰ τῷ ναῷ τῆς μονῆς Κεχαριτωμένης (ἴδε εἰς τὴν 26 δεκεμβρίου)· 4) ὁ ναὸς τοῦ ἁγίου Δημητρίου τοῦ Νικολάου Ῥαδηνοῦ, κτισθεὶς ἐν τῷ ΙΔ' αἰῶνι[49]. — 5) ὁ παρὰ τὴν πύλην τοῦ Κυνηγοῦ, αὐτὸς βεβαίως ὁ Ἅγιος Δημήτριος ὁ Κανάβης (ὁ τῆς Ξυλοπόρτης) δοθεὶς τῷ 1334 εἰς Γεώργιον τὸν Πεπαγωμένον, ἀναλαβόντα 'να χορηγῇ τὰ πρὸς διατήρησιν τοῦ ναοῦ ἔξοδα[50]. — 6) ὁ κατὰ τὰ μέσα τοῦ ΙΔ' αἰῶνος ὑπὸ Δημητρίου τοῦ Ἐλαφροῦ κτισθείς, ὑπ' αὐτοῦ δὲ παραχωρηθεὶς τῷ μητροπολίτῃ Λήμνου· ἐπειδὴ δ' ὁ Λήμνου παρεχώρησεν αὐτὸν εἰς τὸν μοναχὸν Λουκᾶν, θανόντος τοῦ τελευταίου τούτου κατόχου, Φιλόθεος ὁ πατριάρχης, τῷ 1367 κατὰ φεβρουάριον, ἐχορήγησε τὸν ναὸν εἰς τὴν ἐν Ἄθῳ μεγίστην Λαύραν ὡς μετόχιον, ἔχουσαν ἀνάγκην τοιούτου μετοχίου κειμένου ἀπαντικρὺ τοῦ Γαλατᾶ «περὶ τὴν πλατεῖαν τῆς μεγάλης πύλης» (κατὰ τὰ ἀπὸ Μπαγτσὲ-καπὶ πιθανῶς μέχρι Βαλοὺκ-παζὰρ μέρη)[51]. — 7) ὁ ναὸς τῆς μονῆς τῶν Παλαιολόγων, ὃς ἐνομίσθη τῷ τε καθηγητῇ Τρωΐσκῃ καὶ τῷ Δουκαγγίῳ αὐτὸς ὁ ἐν τῷ παλατίῳ. Κατὰ τὸ ὑπ' ἀριθμὸν 27 χάρτινον χειρόγραφον τῆς ἐνταῦθα βιβλιοθήκης τοῦ Παναγίου Τάφου γραφὲν ἐν τέλει τοῦ ΙΖ' αἰῶνος, ὡς ἄλλοτε ἤγγειλα[52]. ἀπαριθμουμένων τῶν ναῶν Τζιβαλίου, Μουχλίου, Ποτηρᾶ καὶ Βλαχ-σεραγίου κατὰ σειράν, ἀμέσως σημειοῦται ὅτι ὑπῆρχε καὶ *ἡ μικρὴ ἐκκλησια Παναγία τοῦ Παλαιολόγου*· ταύτης ἐν ἀρχαῖς τῆς ΙΗ' ἑκατονταετηρίδος οὐδ' ἴχνη ἐσῴζοντο· καὶ φαίνεται κατὰ τὴν τῆς ἀριθμήσεως ταξιν μεταξὺ Φαναρίου καὶ Βαλατᾶ. Καὶ ἀληθὲς μὲν ὅτι ἐτιμᾶτο ἐπ' ὀνόματι τῆς Θεοτόκου οὐχὶ δὲ τοῦ ἁγίου Δημητρίου, ἀλλα πολὺ πιθανῶς ἤλλαξεν ὄνομα, διότι μέχρι πρὸ ὀλίγων ἐτῶν ἡ μεταλλαγὴ τοῦ ὀνόματος συνήθης ἦν παρ' ἡμῖν, οἵτινες γινώσκομεν ὅτι μέχρι μὲν τοῦ τέλους τοῦ παρελθόντος αἰῶνος (ΙΗ') ἡ Ἀνάληψις τῶν Ὑψωμαθείων ἐκαλεῖτο Χρυσαληθινὴ (Θεοτόκος)· ἐπ' ὀνόματι τοῦ ἁγίου Πολυκάρπου ἐτιμᾶτο ὁ Ἅγιος Μηνᾶς, ναὸς τῆς αὐτῆς συνοικίας· ἄχρι δ' αὐτῶν τῶν πρώτων ἐτῶν τῆς ἡμετέρας ἑκατονταετηρίδος ὁ ναὸς τῶν Ταξιαρχῶν ἐν Βαλατᾷ ἐκαλεῖτο Ἅγιος Νικόλαος τῶν Ἀχριδανῶν· 8) ὁ τοῦ ἁγίου Δημητρίου ἐν Γαλατᾷ, σῳζόμενος μέχρι τοῦ 1683, ὁ κατὰ τὴν παράδοσιν ἐν Κασὴμ-πασᾷ κείμενος[53]. — 9) δέον 'να τάξωμεν τὴν ἐν Ἀκρίτᾳ μονὴν τοῦ ἁγίου Δημητρίου τὴν παρὰ τὰ Τοῦζλα τῆς Βιθυνίας σήμερον κειμένην· αὕτη ἀναφέρεται ἐν τῷ χρυσοβούλλῳ λόγῳ, δι' οὗ Μανουὴλ ὁ Κομνηνὸς τῷ 1158 κατὰ μάρτιον ἐπεκύρωσε τὰ ἐπὶ τῶν κτημάτων αὐτῶν δικαιώματα τῶν ἐν τῷ κόλπῳ τῆς Βιθυνίας (τῷ Ἀστακηνῷ) βυζαντινῶν μοναστηρίων. Προστίθημι ἐνταῦθα ὅτι τὰ περὶ τὴν μονὴν τοῦ ἁγίου Δημητρίου καὶ τὴν τοῦ Νικητιάτου μέρη πυκνὸν εἶχον τὸν οἰκισμόν, ὡς ἀπέδειξα ἄλλοτε καὶ νῦν διὰ τῶν ἐκδεδομένων ἐπιγραφῶν, ἐλάχιστον ἀποτελουσῶν μέρος μεγάλης συλλογῆς ἣδε κἀκεῖσε διασπαρείσης· τὰς μέχρι τοῦ νῦν ἐν τῷ χωρίῳ σῳζομένας ἐκδίδωμι νῦν ὧδε συμπληρώσας· τούτων ἡ πέμπτη ἔστιν ἀπόσπασμα ἐπιγραφῆς δηλούσης βεβαίως τὸν τάφον τοῦ κτίτορος μονῆς τινος ἢ ναοῦ· εἰσὶ δ' αἱ μετὰ χεῖρας:

Ἡ ἐπὶ τῇ ἑορτῇ προέλευσις μέχρι τῶν Παλαιολόγων ἐγίνετο ἐν τῷ ἀποστολείῳ τοῦ κορυφαίου Πέτρου, τῷ πλησίον τῆς Ἁγίας Σοφίας, ἔκτοτε δὲ ἐν τῇ μονῇ τῶν Παλαιολόγων[54].

Σημ. Τῶν πέντε τούτων τοῦ Νικητιάτου ἐπιγραφῶν ἐλήφθησαν ὑπ' ἐμοῦ ἀντίτυπα, καθ' ἃ καὶ ἐκδίδονται ἐνταῦθα συμπληρούμεναι· εἰρήσθω δ' ὅτι τῆς 2 τὸ τελευταῖον τοῦ β' στίχου στοιχεῖον ἔδει 'να ᾖ Η συνηνωμένον τῷ Μ. Τῆς δὲ ὑπ' ἀριθ. 5 ἡ συμπλήρωσις ἐγένετο κατὰ τοὺς νενομισμένους ὀρθογραφικοὺς κανόνας, οὐχὶ δὲ κατὰ τοὺς τῶν τότε χρόνων:

ἀριθ. 1.

54. Πορφυρογεν. Ἐκθ. Α', σελ. 123. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 80.

50. αὐτόθι· Α', σελ. 568.

51. Ἡ Ζωοδ. Πηγὴ καὶ τὰ προσαρτήματα αὐτῆς· σ. 74.

52. Περὶ τῶν ἐν Κωνσταντινουπόλει κατὰ τὸν ΙΖ' αἰῶνα σῳζομένων βυζαντινῶν ναῶν, ἐν ΚΓ' τόμῳ Ἑλλ. Φιλολ. Συλλόγου· σελ. 40.

53. αὐτόθι· σελ. 41. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Β', σελ. 24.

ναΐα. Ἡ χρονολογία Παύλου τοῦ ὁμολογητοῦ ἐστι συγκεχυμένη, δυσκόλως δ' ὁρίζεται καὶ τὸ ἔτος τοῦ Θανάτου τῶν νοταρίων τούτων· ἴσως ἦν τὸ 342.

45. ἁγίου Δημητρίου Θαύματα· Migne, τόμ. ΡΙΣΤ', στ. 1240-1241.

46. Στουδίτου ἐπιστολαί· Migne, τόμ. γΘ', στ. 961.

47. Νικηφ. Γρηγορᾶς· Β', σελ. 860. Πασπάτη, Βυζαντινὰ ἀνάκτορα· σ. 183-185. Δουκάγγιος· Const. Christ. σελ. 84, XXXIII.

48. Theoph. Contin. σελ. 324.

49. Acta Patriarch. Β', σελ. 404.

ἀριθμ. 2.



ἀριθμ. 3.



ἀριθμ. 4.



ἀριθμ. 5.



* * *

26. Μνήμη τῆς ἀπὸ Θεσσαλονίκης εἰς τὴν ἐν Κωνσταντινουπόλει μονὴν τοῦ Παντοκράτορος εἰσελεύσεως τῆς ἱερᾶς εἰκόνος τῆς ἐπικειμένης τῇ μυροβλύτῳ σορῷ τοῦ ἁγίου Δημητρίου.

Τὴν εἰσέλευσιν οὐχὶ τῆς εἰκόνος μόνον, ὡς εἶπεν ὁ Νικόδημος, καὶ ἐφ' ἧς ὁ ἅγιος Δημήτριος ἐζωγραφεῖτο ὄρθιος, οὐχὶ ἔφιππος, ἀλλὰ καὶ τοῦ περικαλύμματος τῆς σοροῦ, ἀναφέρουσιν οἱ χειρόγραφοι Συναξαρισταί, ἀφ' ὧν καὶ Νικόδημος μετέγραψεν· οὑτωσὶ δὲ γράφουσιν· «Ἔτει ἑξακισχιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ ἑβδόμῳ, κατὰ μῆνα μάρτιον, ἰνδικτιῶνος δωδεκάτης» = 1149, ἐπὶ Ἰωσὴφ ἡγουμένου τοῦ Παντοκράτορος· τὰ λοιπὰ καθὼς παρὰ Νικοδήμῳ· «διακομισθέντος τούτου ἐν τῇ καθ' ἡμᾶς βασιλικῇ μονῇ τοῦ Παντοκράτορος κατὰ τὴν εἰκοστὴν τρίτην τοῦ ὀκτωβρίου μηνός, ἰνδικτιῶνος τρισκαιδεκάτης» = 1149, «ἀδιακόπως εἶχε τὸ ἐνεργὸν ἡ προσκύνησις ἄχρι τῆς ἡμέρας τῆς ἑορτῆς[55]· τοιαύτη γέγονεν ὑπέρλαμπρος συγκροτηθεῖσα καὶ διὰ τῆς συνελεύσεως τῶν μεγαλοδοξοτάτων ἀνδρῶν, καὶ αὐτοῦ τοῦ πανσεβάστου σεβαστοῦ καὶ δικαιοδότου τοῦ Ταρωνίτου, καὶ τῶν λοιπῶν συγκλητικῶν ἀρχόντων, καὶ ἐκ τῶν τῆς συνόδου οὐκ ὀλίγων»[56].

* * *

26. Μνήμη τοῦ μεγάλου καὶ φρικώδους σεισμοῦ.

Εὐτυχῶς σημειοῦται παρὰ τοῖς Συναξαρισταῖς καὶ Μηναίοις ὅτι ἐγένετο «τῷ εἰκοστῷ τετάρτῳ ἔτει Λέοντος τοῦ Ἰσαύρου, ἰνδικτιῶνος ἐννάτης, εἰκοστῇ ἕκτῃ ὀκτωβρίου» ἤτοι τῷ 740. Διήρκεσεν ὁ σεισμὸς οὗτος ἕνδεκα μῆνας ἢ δώδεκα, καταρρίψας οἰκίας πολλὰς καὶ ναοὺς καὶ μονὰς καὶ τὰ χερσαῖα τείχη, καὶ πολλοὺς ἀνθρώπους θανατώσας, ὅτε καὶ πολλαὶ πόλεις ἐζημιώθησαν ἐν Θράκῃ καὶ τῆς Βιθυνίας ἡ Νίκαια, ἡ Νικομήδεια καὶ Πραίνετος[57].

Κατὰ τὸ Βασιλειανὸν Μηνολόγιον «τὴν ἀνάμνησιν τοῦ τοιούτου φοβεροῦ σεισμοῦ ἑορτάζοντες (τὴν 25 ὀκτωβρίου) λιτανεύομεν καὶ ἀπερχόμεθα ἐν τῷ τῆς ἀειπαρθένου Μαρίας μεγάλῳ καὶ ἱερῷ ναῷ τῷ ἐν Βλαχέρναις».

Ἐν τούτοις ἀναφέρεται ὅτι τὴν 25 πρὸς τὴν 26 ὀκτωβρίου 975 μέγας ἐπίσης σεισμὸς ἐγένετο, καθ' ὃν πολλοὶ μὲν ἐφονεύθησαν ἐν Κωνσταντινουπόλει, πολλὰ δὲ τῶν πέριξ αὐτῆς χωρίων κατεστράφησαν[58].

* * *

27. Πρόκλης συζύγου τοῦ Πιλάτου.

Μονὴ τῆς ἁγίας Πρόκλης ἀναφέρεται τῷ 1259 ἐν Κωνσταντινουπόλει κειμένη[59].

* * *

28. Τερεντίου, Ἀφρικανοῦ, Μαξίμου, καὶ Πομπηΐου, μαρτύρων.

Ἤθλησαν ἔν τινι πόλει τῆς Ἀφρικῆς ἐπὶ Δεκίου.

Τὰ λείψανα Ἀφρικανοῦ καὶ Τερεντίου ἐκομίσθησαν ἐν Κωνσταντινουπόλει τῇ 21 σεπτεμβρίου (ἀγνώστου ἔτους) ἐπὶ τοῦ Μ. Θεοδοσίου καὶ ἀπετέθησαν «εἰς τὸ μαρτύριον τῆς ἁγίας

55. ἀπὸ τοῦ μαρτίου δῆλα δὴ τοῦ ἔτους τούτου (1149) μέχρι τῆς 26 ὀκτωβρίου.

56. μετέγραψα ταῦτα προχείρως ἀπὸ τοῦ Σταυρονικητηνοῦ Συναξαριστοῦ.

57. Θεοφ. Α', σελ. 634. Κεδρ. Α', σελ. 801.

58. Λέων διάκονος· σελ. 175-176.

59. Ἱεροσλμ. Βιβλ. Α', σελ. 131.

Εὐφημίας ἐν τῇ Πέτρᾳ»[60], ὅπου βεβαίως ἐτελεῖτο καὶ ἡ ἐπὶ τῇ ἑορτῇ ταύτῃ σύναξις.

* * *

28. Φεβρωνίας, θυγατρὸς Ἡρακλείου τοῦ βασιλέως.

* * *

28. Ἀθανασίου πατριάρχου Κωνσταντινουπόλεως.

Ἱεράτευσε δίς· τὸ πρῶτον ἀπὸ 14 ὀκτωβρίου 1289 — 16 ὀκτωβρίου 1293, καὶ τὸ δεύτερον ἀπὸ τοῦ τέλους αὐγούστου 1303 — 1311. Συνέστησεν ἐν Κωνσταντινουπόλει δύο μοναστήρια, ἀνδρεῖον καὶ γυναικεῖον, ὧν ἓν ἔκειτο πιθανῶς ἐν τῷ Ξηρολόφῳ (νῦν Ἀβρὰτ-παζάρ)· ἐδείχθη λίαν αὐστηρὸς πρὸς τοὺς ἀμελοῦντας τῶν καθηκόντων αὐτῶν κληρικοὺς καὶ λαϊκούς· διακριθεὶς δ' ἐπὶ αὐστηρότητι βίου ὡς μοναχὸς ἐν Ἁγίῳ Ὄρει καὶ ἐν ταῖς μοναῖς τοῦ Γάνου, ἤσκει λιτότητα διαίτης καὶ ὡς πατριάρχης, συνεχεῖς ἄγων παννύχους ἀγρυπνίας[61]. Καθ' ἕτερα χειρόγραφα, ἡ μνήμη αὐτοῦ τῇ 22 ὀκτωβρίου.

ℓ

29. Ἄννης ὁσίας τῆς μετονομασθείσης Εὐφημιανός.

Θυγάτηρ διακόνου τινος τῶν Βλαχερνῶν, ἐγεννήθη ἐν Κωνσταντινουπόλει, θεῖον ἔχουσα μοναχὸν ἐν Ὀλύμπῳ διάσημον ὑπὲρ τῶν ἁγίων Εἰκόνων πολλὰ παθόντα. Στολὴν ἀνδρικὴν περιβληθεῖσα, προσῆλθεν εἴς τινα μονὴν ἐν Ὀλύμπῳ ὑπὸ τὸ ὄνομα Εὐφημιανοῦ· διαπρέπων δ' ἐν ἀσκήσει ἐγνωρίσθη τῷ πατριάρχῃ Ταρασίῳ ὁ Εὐφημιανός, «καὶ λαβὼν διὰ δωρεᾶς αὐτοῦ (τοῦ Ταρασίου) τόπον ἐρείπιον, τὸν νῦν ἡ μονὴ τῶν Ἀβραμιτῶν λεγόμενον, δι' ὀλίγου χρόνου ἐξ αὐτῶν τῶν κρηπίδων φροντιστήριον ἀποκαταστήσας εἰς πολλῶν ψυχῶν σωτηρίαν, ἐν αὐτῷ τὴν ἁγίαν (Εὐφημιανὸν) τὸν λειπόμενον αὐτῇ δρόμον ἀσκητικὸν διανῦσαι παρεσκεύασεν . . . . . προσκληθεῖσα ἐν Βυζαντίῳ παρά τινων μοναχῶν ἐπὶ τὰ μέρη τοῦ Σίγματος[62], ἐκεῖσε . . . . . πρὸς Κύριον ἐξεδήμησεν».

60. Θεόδ. Ἀναγνώστης· Β', σελ. 62.

61. Πατρ. Πίνακες· σελ. 402-404, 405-411 καὶ 441. Νικηφ. Γρηγορᾶς· Α', σελ. 181-186 καὶ 191-193. Παχυμέρης· Β', σελ. 342-343, 518-520 καὶ 581. Acta Patriarch. Β', σελ. 80-83.

62. Κατὰ τὸ Μηναῖον *Ῥεύματος*.

Ἡ μονὴ τῶν Ἀβραμιτῶν ἦν ἀρχαία· ἐπειδὴ κατὰ τὰ μέσα τοῦ Ε' αἰῶνος καὶ μικρὸν μετὰ ταῦτα ἀναφέρεται μοναχός τις Ἀκάκιος «ἀνὴρ ἐπ' εὐλαβείᾳ περιφανής, ὃς καὶ τῆς εἰς τὸ Τρίτον μονῆς τοῦ θεοφόρου Ἀβραμίου ποιμὴν ἐτύγχανεν»[63], ἦν δ' ὁ Ἀκάκιος τῷ Βασιανῷ σύγχρονος, ἄρα ὁ Ἀβράμιος ἤκμαζε πολλῷ πρὸ τοῦ Βασιανοῦ. Ἡ μονὴ τῶν Ἀβραμιτῶν ἡ λεγομένη καὶ «Ἀχειροποίητος», ἠγείρετο πλησιέστατα τῆς Χρυσῆς πόρτης, ἐτιμᾶτο δ' ἐπ' ὀνόματι τῆς Θεομήτορος[64]· οἱ μοναχοὶ αὐτῆς, διαλεχθέντες ὑπὲρ τῶν ἁγίων Εἰκόνων πρὸς τὸν αὐτοκράτορα Θεόφιλον μετὰ τόλμης πολλῆς, ἠναγκάσθησαν 'να καταφύγωσιν εἰς τὴν ἐν Εὐξείνῳ πόντῳ μονὴν Ἰωάννου τοῦ Φοβεροῦ, ἐκεῖσε δ' ἀπέθανον μαστιγωθέντες οἰκτρῶς[65]· φαίνεται δ' ὅτι κατὰ τοὺς χρόνους τῶν πρώτων εἰκονομάχων ἐκλαϊκευθεῖσα μόνον ὄνομα μονῆς ἔσῳζεν. Ἀβραμῖται μοναχοὶ ἀναφέρονται κατὰ τὰ τέλη τοῦ Θ' αἰῶνος καὶ κατὰ τὸν Ι' ἔτι αἰῶνα μέχρι Νικηφόρου τοῦ Φωκᾶ[66]· γινώσκεται δὲ καὶ σφραγὶς τῆς Ἀχειροποιήτου κατὰ τὸν Ι'-ΙΑ' αἰῶνα[67].

ℓ

30. Ἰωσὴφ πατριάρχου Κωνσταντινουπόλεως.

Ἱεράτευσεν ἀπὸ τῆς 28 δεκεμβρίου 1267 μέχρι μαΐου 1275, καὶ ἀπὸ 31 δεκεμβρίου 1282 — μαρτίου 1283, ὅτε ἀπέθανεν. Μοναχὸς καὶ ἡγούμενος τῶν ἐν Γαλησίῳ μονῶν, διεκρίθη διὰ τὴν φιλοπτωχίαν αὐτοῦ καὶ τὴν πραότητα, τὸν τρόπον ὢν ἁπλοῦς, τῆς δὲ θύραθεν παιδείας ἀμέτοχος. Μετὰ τὴν ἀπὸ τῆς πρώτης ἐφημερίας παραίτησιν ἀπεσύρθη πρῶτον μὲν εἰς τὴν τῆς Περιβλέπτου μονήν, ὕστερον εἰς τὴν τοῦ Κοσμιδείου καὶ κατόπιν εἰς τὴν ἐν τῷ Βοσπόρῳ μονὴν τοῦ Ἀρχιστρατήγου. Ἐτάφη ἐν τῇ μονῇ τοῦ ἁγίου Βασιλείου[68].

* * *

30. Κυριακοῦ πατριάρχου Κωνσταντινουπόλεως.

63. Βίος τῆς ὁσίας Ματρώνης, ὑπὸ Συμεὼν Μεταφραστοῦ· Migne, τόμ. ΡΙΣΤ', στ. 928.

64. Πορφυρογ. Ἔκθ. Α', σελ. 438 καὶ 501.

65. Theoph Contin. σελ. 101.

66. Εὐθυμίου βίος· σ. 17. Πορφυρογ. Ἔκθ. ἔνθ' ἀνωτ.

67. Schlumberger, Sigillographie· σελ. 134.

68. Πατριαρχ. Πίνακες· σελ. 393-394 καὶ 397. Νικηφ. Γρηγορᾶς· Α', σελ. 95, 107, 125, 128 καὶ 160. Παχυμέρης, Α', σελ. 305· Β', σελ. 38.

Ἡ μνήμη τῇ 30, κατὰ τὸ 426 Εὐαγγέλιον, κατὰ δὲ τοὺς Συναξαριστὰς καὶ τὰ Μηναῖα τῇ 27. Ἱεράτευσεν ὁ Κυριακὸς ἀπὸ τοῦ σεπτεμβρίου 595 μέχρις 29 ὀκτωβρίου 605, κηδευθεὶς τῇ 30 τοῦ αὐτοῦ μηνὸς, ἡμέρᾳ κυριακῇ, «καὶ ἀπετέθη τὸ αὐτοῦ λείψανον πρὸς συνήθειαν εἰς τοὺς Ἁγίους Ἀποστόλους». Πρότερον ἦν πρεσβύτερος καὶ οἰκονόμος τῆς Ἁγίας Σοφίας [69].

ꝺ

31. Στάχυος ἀποστόλου,

πρώτου κατὰ τὴν παράδοσιν ἐπισκόπου τοῦ Βυζαντίου μετὰ τὸν πρωτόκλητον Ἀνδρέαν. Ἡ ἑορτὴ πάντως εἰσήχθη μετὰ τὸν ΣΤ' αἰῶνα· κατὰ τὰ Μηναῖα καὶ τοὺς χειρογράφους Συναξαριστὰς, ὁ Στάχυς «διαβιοὺς ἐπὶ ἔτεσι δέκα καὶ ἓξ ἐν εἰρήνῃ ἐκοιμήθη».

* * *

31. Ἰακώβου ἐπισκόπου Μυγδονίας ἑνὸς ὄντος ἐκ τῶν ΤΙΗ' θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ.

Περὶ τούτου γράφουσιν οἱ Συναξαρισταὶ ὅτι μετὰ τὰς ἐργασίας τῆς Συνόδου «εἰσῆλθεν ἐν Κωνσταντινουπόλει πρὸς τὸν μέγαν Μητροφάνη, καὶ κοιμηθέντα κηδεύσας αὐτὸν ὑπέστρεψεν εἰς τὸν ἑαυτοῦ θρόνον, καὶ μικρὸν ἐπιβιοὺς ἀνεπαύσατο ἐν Κυρίῳ», δεικνύοντες οὕτως ὅτι ὁ ἱερὸς Μητροφάνης ἀπεβίωσε τῷ 325 ἢ 326.

ΝΟΕΜΒΡΙΟΣ

1. Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἀναργύρων, υἱῶν Θεοδότης τῆς ἐξ Ἀσίας.

Μετερχόμενοι τὴν ἰατρικὴν δωρεὰν, ἐκοιμήθησαν ἐν εἰρήνῃ ἐν τῇ πόλει Φερεμὰν τῆς Ἀσίας. Οἱ τῇ 1 ἰουλίου ἑορταζόμενοι Κοσμᾶς καὶ Δαμιανὸς ἐγεννήθησαν ἐν Ῥώμῃ.

Ἡ συνήθης προέλευσις τῇ 1 νοεμβρίου ἐπὶ τῇ μνήμῃ Κοσμᾶ καὶ Δαμιανοῦ τῶν ἀσιανῶν ἀναργύρων ἐτελεῖτο μέχρι τοῦ Ι' αἰῶνος ἐν τοῖς Βασιλίσκου[1], ὅπου ὁ ναὸς φαίνεται τούτοις ἰδιάζων, ἀλλ' ἀκριβῶς οὐδὲν εἰπεῖν ἔχω εἴπερ ἐγένετο σύγχυσις τῶν ναῶν καὶ τῶν ἐν αὐτοῖς συνάξεων ἐν τοῖς μετὰ ταῦτα χρόνοις, ὡς οὔτε βέβαιόν ἐστιν ἂν ὁ ναὸς Κοσμᾶ καὶ Δαμιανοῦ ὁ ἐν τοῖς Δαρείου, ἢ ὁ ἐν Γαλατᾷ, ἢ ὁ τῷ 1399 σῳζόμενος ἀνήκωσιν εἰς τοὺς Ῥωμαίους ἢ εἰς τοὺς ἀσιανοὺς ἀναργύρους.

ꝺ

2. Ἀκινδύνου καὶ τῶν σὺν αὐτῷ μαρτύρων.

Ἔζων ἐπὶ τοῦ Μ. Κωνσταντίνου ἐν Περσίᾳ· φαίνεται ὅτι ναὸς αὐτῶν ἠγείρετο ἐν τῷ Δευτέρῳ, ἐν ᾧ ἐφυλάττετο ἡ κεφαλὴ τοῦ ἁγίου Ὀνουφρίου. Γνωστὸν ὅμως ὅτι ὑπῆρχε καὶ ἐν τῷ μεταξὺ Γενὴ-δζαμὶ καὶ Βαλουκπαζὰρ διαστήματι ναὸς ἁγίου Ἀκινδύνου τῷ 1206 ἀναφερόμενος.—Ὁ ῥῶσσος μυθογράφος Ἀντώνιος γράφει ὅτι τὴν τοῦ ἁγίου Ἀκινδύνου κεφαλὴν εἶδεν ἐν τῷ Κοσμιδείῳ [2].

ꝺ

(4.) Τὰ ἐγκαίνια τῆς ὑπεραγίας Θεοτόκου ἐν τοῖς Κύρου [3].

Ὁ ναὸς τῆς Θεοτόκου ἐν τοῖς Κύρου ἀναφέρεται τῷ 602, ἀλλ' ἐσῴζετο καὶ κατὰ τὰ τέλη τοῦ ΙΒ' αἰῶνος [4], ἀμάρτυρον δ' ἔστιν ὅτι ὠνομάσθη ἀπὸ Κύρου τοῦ τῷ 445 θανόντος πρότερον μὲν πατρικίου κατόπι δὲ μητροπολίτου Κοτυαιείου, ὃν ἔλεγον ἐν τοῖς χρόνοις αὐτοῦ «φιλόσοφον, ἄνδρα σοφώτατον ἐν πᾶσιν, ἦν γὰρ καθαριώτατος» [5], ὅπου αἱ λέξεις σοφώτατος καὶ καθαριώτατος δηλοῦσι τὴν ἀκεραιότητα τοῦ χαρακτῆρος. Ὁ ναὸς τῆς Θεοτόκου τοῦ Κύρου ἐνομίσθη αὐτὸς ὁ τοῦ Ἐγρικαπίου, ἐνῷ προτιμότερον ἠδύνατό τις εἰπεῖν ὅτι ἔκειτο ὅπου σήμερον ὁ ναὸς τῆς Θεοτόκου τοῦ Τεκὺρ-σεραγίου· τοιοῦτον ἐνδοιασμὸν διετύπωσε καὶ ὁ μακαρίτης Σκ. Βυζάντιος [6].

* * *

4. Ἰωαννικίου τοῦ μεγάλου.

---

69. Πατρ. Πίνακες· σελ. 236. Πασχ. Χρον. σελ. 697.

1. Πορφυρογ. Ἔκθ. Α', σελ. 562.

2. Πασπάτη. Μελέται· σελ. 167. Προλεγόμενα εἰς τὸν βίον Ἀκινδύνου καὶ τῶν σὺν αὐτῷ, ἐν Acta Sanctorum· τόμ. Α' νοεμβρίου, σελ. 57, στ. β', καὶ 58, στ. α'. Ποικίλη Στοὰ τοῦ 1884, σελ. 357.

3. Σταυρονικητηνὸν Εὐαγγέλιον· Ἱεροσολυμ. Βιβλιοθ. τόμ. Β', σελ. 472.

4. Θεοφ. Α', σελ. 445. Βαλσαμῶνος ἑρμηνεία εἰς ΛΓ' κανόνα τῆς Πενθέκτης.

5. Μαλαλᾶς· σελ. 361. Θεοφ. Α', σελ. 148. Μ. Ι. Γεδεὼν, Κῦρος ὁ Κοτυαείου· ἐν «Ἐκκλ. Ἀληθείᾳ», τόμ. Δ' σελ. 92.

6. «Κωνσταντινούπολις»· τόμ. Α', σελ. 354.

(Κατ' ἀρχαιότερα χειρόγραφα, ἑωρτάζετο τῇ 3 τοῦ μηνός). Ἐγεννήθη τῷ 754 ἐν τῇ κώμῃ Μαρυκάτου τῆς Βιθυνίας ἐκ πατρὸς Μυριτζικοῦ καὶ μητρὸς Ἀναστασοῦς· ἀπέθανε τῷ 846 τῇ 4 νοεμβρίου. Καταταχθεὶς ἐν τῷ στρατῷ, εἰσῆλθε τριακοντούτης εἰς τὴν ἐν Προύσῃ μονὴν τῶν Ἀγαύρων· ἐδιδάχθη στοιχειώδη παίδευσιν ἐν τῇ ἐν Ὀλύμπῳ μονῇ Τελάου· διατρίψας ἐπ' ὀλίγον ἐκεῖ, καὶ μεταβὰς ἀμέσως εἰς τὴν τοῦ Ἀντιδίου μονὴν, κἀκεῖθεν ἀναχωρήσας ἠσκεῖτο εἰς τὸ ὄρος Τριχάλικα, ἄνω τῆς μονῆς τῶν Ἀγαύρων, καὶ ἀλλαχοῦ· ἐπεσκέψατο (797 ἢ 798) τὴν Ἔφεσον καὶ ἄλλους τόπους, ἐπανῆλθε δ' εἰς τὸ ὄρος τοῦ Τριχάλικος μικρὸν πρὸ τοῦ 820, Εὐστρατίου τοῦ ἁγιωτάτου προϊσταμένου τῆς τῶν Ἀγαύρων μονῆς, ἔνθα ἦν μετόχιον τοῦ προφήτου Ἠλιοὺ, καὶ ὅπου τότε μετέβησαν παρὰ τῷ Ἰωαννικίῳ Ἰωάννης μητροπολίτης Χαλκηδόνος ὁ Καμουλιανὸς, Πέτρος ὁ μητροπολίτης Νικαίας καὶ Θεόδωρος ὁ Στουδίτης, καὶ μετ' οὐ πολὺ Ἀντώνιος ὁ ἡγούμενος τῶν Ἐλαιοβώμων (Ἐλεγμῶν τῆς σήμερον) [7]. Ζητηθεὶς δὲ ὑπὸ Μιχαὴλ καὶ Θεοδώρας ὅπως ἀναλάβῃ τὴν προστασίαν τοῦ πατριαρχικοῦ θρόνου Κωνσταντινουπόλεως ὑπέδειξεν ὡς πατριάρχην κατάλληλον, συμφώνως τῷ ἐπίσης ζητηθέντι Μιχαὴλ συγκέλλῳ, τὸν ἱερὸν Μεθόδιον. Τὸ λείψανον αὐτοῦ ἀπετέθη ἐν τῇ μονῇ τοῦ Ἀντιδίου [8].

ꝺ

(5.) Τὰ ἐγκαίνια τοῦ Ἁγίου μάρτυρος Θεοδώρου ἐν τοῖς Φωρακίου.

Ἡ μνήμη ἀναφέρεται μόνον ἐν τῷ Σταυρονικητηνῷ Εὐαγγελίῳ.

ꝺ

6. Παύλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ.

Τὴν τοῦ Παύλου μνήμην ἦγεν ἡ Ἐκκλησία τῇ 6 νοεμβρίου καὶ κατὰ τὸν Θ' αἰῶνα [9]. Ἡ χρονολογία τῆς ἱερατείας αὐτοῦ δυσχερῶς ὁρίζεται· ἴσως ἱεράτευσεν ἀπὸ τοῦ 340-341 τὸ πρῶτον, 342-344 τὸ δεύτερον, καὶ 348-350 τὸ τρίτον, ὅτε ἐστάλη ὑπερόριος εἰς Κουκουσὸν, φονευθεὶς αὐτόθι ὑπὸ τῶν ἀρειανῶν. Καταγόμενος ἐκ Θεσσαλονίκης ἐγεννήθη τῷ 313 πιθανῶς· λέγω πιθανῶς, διότι κατὰ τὴν ἐν Νικαίᾳ Σύνοδον ἐνομίζετο δωδεκαετὴς, ἀλλ' ἦν νοτάριος τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως. Τὸ λείψανον αὐτοῦ μέχρι τοῦ 1204 ἐσῴζετο ἐν τῇ μονῇ τοῦ Παντεπόπτου [10].

* * *

6. Μνήμη τῆς μετὰ φιλανθρωπίας κατενεχθείσης κόνεως ἐπὶ Λέοντος τοῦ μεγάλου.

Κατὰ τοὺς χειρογράφους Συναξαριστὰς, ἡ κόνις ἐπηνέχθη «τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς αὐτοκρατορίας αὐτοῦ, πέμπτῃ τοῦ νοεμβρίου μηνὸς, περὶ τὰς μεσημβρινὰς ὥρας», ἤτοι τῷ 474, δι' ὃ καὶ τὸ τοῦ Σταυρονικήτα Συναξάριον τίθησι τὴν μνήμην εἰς τὴν 5 τοῦ νοεμβρίου· οἱ χρονογράφοι εἰσὶν ἀσύμφωνοι εἰς τὸ ἔτος, διότι κατὰ μὲν τοὺς ἀρχαιοτέρους τῇ 11 νοεμβρίου 468 «ἔβρεξεν ἐν Κωνσταντινουπόλει κονίαν ἀντὶ βροχῆς . . . . . ἐπὶ παλαιστὴν ὕψους εἰς τὰς κεράμους» καὶ ἔλεγον ὅτι πῦρ ἦν καὶ ἐσβέσθη, Θεοῦ φιλανθρωπίᾳ· καὶ ἐπὶ τούτῳ ἐγίνοντο λιτανεῖαι τότε [11], κατὰ δὲ τοὺς νεωτέρους ἐγένετο τῷ 473, ἐπίσης ἀναφερομένης τῆς ἐπὶ τῇ μνήμῃ λιτῆς, ἥτις τῷ 513 ἐγένετο ἐν τῷ Τρικόγχῳ, διότι ἡ μνήμη τοῦ γεγονότος ἑωρτάζετο κατὰ τὸν Ϛ' αἰῶνα [12].

ꝺ

8. Ἡ σύναξις τῶν ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριὴλ καὶ τῶν λοιπῶν οὐρανίων ταγμάτων.

Ναὸν ἐπ' ὀνόματι τῶν οὐρανίων Δυνάμεων ᾠκοδόμησεν ὁ πατριάρχης Μιχαὴλ ὁ Κηρουλάριος «κατὰ τὰ ἑσπέρια μέρη τῆς πόλεως»· ἐν αὐτῷ δ' ὁ Κομνηνὸς Ἰσάακιος τὸν νεκρὸν τοῦ Μιχαὴλ κατέθηκε μετακομίσας ἀπὸ τῆς Προκονήσου [13]. Πιθανῶς ὁ ναὸς ἔκειτο ἔξω τῶν

7. κατὰ τούτους τοὺς χρόνους ἀναφέρεται καὶ τις περὶ τὴν Κωνσταντινούπολιν περιβόητος γυναικεία μονὴ, τοῦ Κλουβίου. Βιογρ. Ἰωαννικίου, § 33. καὶ § 57 ἑτέρας βιογραφίας.

8. ταῦτα κατὰ τὰς βιογραφίας, ἃς ἐξέδωκεν ἐν τόμῳ Β' τοῦ νοεμβρίου (σελ. 311-435) τῶν Acta Sanctorum, ἐν Βρυξέλλαις. 1894. ὁ πολυμαθέστατος καὶ φίλος βολλανδιστὴς J. Van Den Gheyn ὁ ἐκ τῆς ἑταιρίας τοῦ Ἰησοῦ. Εὐγνωμονῶ δ' αὐτῷ λίαν ἐφ' οἷς ἐν σελίδι 325, στήλῃ α' γράφει περὶ τῶν «Ἐγγράφων Λίθων καὶ Κεραμίων» μου, καθ' ὑπερβολὴν εὐνοίας.

9. Στουδίτου βίος, ὑπὸ Μιχαὴλ μοναχοῦ· Migne, τόμ. υθ', στ 228.

1 . Πατριαρχ. Πίνακες· σελ. 111-114, 117, 119, καὶ ὅπου παραπέμπω. Πασπάτη. Μελέται· σελ. 314.

11. Πασχάλ. Χρον. σελ. 598.

12. Θεοφ. Α', σ. 185, 245, 357. Κεδρηνός· Α', σ. 714

13. Μιχαὴλ Ἀτταλειάτης· σελ. 63 καὶ 66.

χερσαίων τειχῶν, διότι γράφεται ὡς ἕτερος, οὐχὶ δὲ ὁ 2) ναὸς τῆς ἀνδρείας μονῆς τῶν Ἐννέα ταγμάτων, κτισθείσης ὑπὸ Θεοδώρας τῆς Πορφυρογεννήτου ἀδελφῆς Ζωῆς τῆς αὐτοκρατείρας[14] καὶ κειμένης πλησιέστατα τῶν χερσαίων τειχῶν, παρὰ τὸ παλάτιον τὸ κοινῶς τοῦ Βελισσαρίου λεγόμενον· διότι εἴπερ ἦν ἡ αὐτὴ μονὴ οὐδέποτε ἤθελε γράψει ὁ Ἀτταλειάτης, ὁ γινώσκων ἄλλως τε τὴν μονὴν τῆς Πορφυρογεννήτου Θεοδώρας, ὅτι Μιχαὴλ ὁ Κηρουλάριος ἤγειρε μονὴν τῶν Ἐννέα Ταγμάτων· 3) ὁ ἐν τοῖς Εὐσεβίου ναὸς τοῦ Ἀρχιστρατήγου[15], ἀναφερόμενος ἐπὶ Μιχαὴλ καὶ Θεοδώρας, καὶ σῴζων εἰκόνα τοῦ ἀρχαγγέλου Μιχαὴλ, θαυματουργοῦσαν διὰ τοῦ ἐλαίου τῆς πρὸ αὐτῆς κρεμαμένης καντήλης· ὁ ναὸς εἶχε καὶ λουτῆρα πλησίον, καθ' ἃ διηγεῖται Παντολέων ὁ διάκονος καὶ χαρτοφύλαξ ἐν λόγῳ περὶ τῶν θαυμάτων τοῦ Μιχαὴλ ἀρχαγγέλου[16]. Τὰ Εὐσεβίου ἄγνωστον ποῦ ἔκειντο· οἱ παραδοξογράφοι λέγουσιν ὅτι ἐκτίσθησαν ὑπὸ Εὐσεβίου πατρικίου ἐν τοῖς χρόνοις Ἰουστίνου τοῦ Β', οὐδεὶς δ' ἡμῖν ἐφίσταται χειραγωγὸς εἰς ἀνίχνευσιν. Οὐ μακρὰν τοῦ Ζεϊρὲκ-δζαμὶ σῴζεται ἐν ὑπογείῳ τουρκικῆς οἰκίας ὡραῖον βυζαντινὸν λοῦμα, οὗ τὸ ὕδωρ ἄγνωστον πόθεν ἔρχεται καὶ ποῦ διοχετεύεται· ἔστι δὲ γλυκὺ τὴν γεῦσιν, πληροῦν μεγάλην θολοσκέπαστον δεξαμενὴν, φέρουσαν πρὸ αὐτῆς εἰσέτι ἀρχαιότατον μονόγραμμα, τοῦτο: μετὰ γλυφῶν βυζαντινῶν· σχῆμα τοῦ λούματος τούτου, δεικνύον ἡμῖν οἷον ἕφερον τύπον τὰ λούματα τῶν βυζαντινῶν παρασυνάπτεται ἐν ἰδίῳ πίνακι ἐν ἀντιβολῇ πρὸς τὰ γνωστὰ λούματα τῶν Βλαχερνῶν καὶ τῆς Ζωοδόχου Πηγῆς, οἷα φαίνονται σήμερον· 4) ὁ ναὸς τοῦ Ἀρχιστρατήγου ὁ ἐν τῷ παλατίῳ, κατὰ τὸν Η' ἀναφερόμενος αἰῶνα[17]· 5) ὁ ἐν τῇ μονῇ τοῦ Χρυσοβαλάντου, ἑορτάζων τῇ 26 ἰουλίου, τιμώμενος ἐπ' ὀνόματι τοῦ Γαβριὴλ ἀρχαγγέλου· 6) ὁ ἐν τῷ παλατίῳ ὁ πλησίον τῆς Νέας Ἐκκλησίας ὡς παρεκκλήσιον κτισθεὶς ὑπὸ Βασιλείου τοῦ Μακεδόνος, τιμώμενος ἐπ' ὀνόματι Μιχαὴλ τοῦ ἀρχαγγέλου, (περὶ οὗ ἴδε εἰς τὴν 1 μαΐου)· 7) ὁ περὶ τὴν ἐνορίαν τοῦ Εὐγενίου ναὸς τοῦ ἀρχαγγέλου Μιχαὴλ ἀναφερόμενος τῷ 1401[18] καὶ κείμενος παρὰ τῷ Γιαλὴ-κιοσκοὺ-καπὶ, ἐὰν διὰ τῆς λέξεως *ἐνορίας* ὁ γράφων ἐννοῇ συνοικίαν κειμένην παρὰ τῇ πύλῃ τοῦ Εὐγενίου· 8) ὁ ἐν τοῖς Ἀδδὰ ἢ Ἀδδὼ, ὁ κατά τινα παραδοξογράφον πρότερον ναὸς τοῦ ἁγ. Θωμᾶ τῶν Ἀμαντίου[19], καὶ, ἐὰν ἀληθείας ἔχηται τοῦτο, κείμενος περὶ τὸ Κάτεργα-λιμάν· 9-10) οἱ ἐν Ἀρκαδιαναῖς ἐπ' ὀνόματι Μιχαὴλ (καὶ Γαβριὴλ), κτισθέντες ὑπὸ Βασιλείου Μακεδόνος[20]· — 11) ὁ ἐν τοῖς Πουσαίου ἀναφερόμενος ἐν ἀρχαῖς τοῦ Ϛ' αἰῶνος· 12) ὁ ἐν τῷ Κογχύλῳ· 13) ὁ ἐν τῷ Αἰθρίῳ ὑπάρχων ἐπὶ τοῦ πατριάρχου Μηνᾶ[21]. — 14) ὁ ἐν Γαλατᾷ, κατὰ τὸν Σκ. Βυζάντιον, ἐν ᾧ τόπῳ σήμερον ἐγείρεται τὸ Χαβιαρόχανον[22]· — 15) ὁ τοῦ Ἀρχαγγέλου ἐν τῇ μονῇ Κοσμᾶ καὶ Δαμιανοῦ ἐν Ὑψωμαθείοις

14. Πασπάτη, Μελέται· σελ. 62. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· Α', σελ. 366.

15. μνεία τοῦ ναοῦ καὶ τινος ἐν αὐτῷ θαύματος γίεται ἐν τῇ διηγήσει Παντολέοντος διακόνου περὶ τῶν θαυμάτων τοῦ ἀρχιστρατήγου Μιχαὴλ, ἣν ἀνέγνων ἐν τῷ ΧΛΔ' χειρογράφῳ τῆς ἐν Πάτμῳ βιβλιοθήκης.

16. ὁ Παντολέων ἤκμασε περὶ τὰ μέσα τοῦ ΙΓ' αἰῶνος, ὢν χαρτοφύλαξ τῆς Μ. Ἐκκλησίας. Βλ. Casimiri Oudini Commentarius de scriptoribus Ecclesiae antiquis. Λειψίᾳ, 1722, τόμ. Γ', στ. 229-230.

17. Θεοφ. Α', σελ. 729.

18. Acta Patriarch. Β', σελ. 467.

19. Δουκαγγίου, Const. Christ. σελ. 65, III.

20. Γεώργιος μοναχὸς ἐν βίῳ Βασιλείου τοῦ νέου.

21. Περὶ τῶν τριῶν τούτων βλέπε Δουκαγγίου Const. Christ. σελ. 66 καὶ 67, VI, IX καὶ XI.

22. Σκ. Βυζαντίου «Κωνσταντινούπολις»· Β', σελ. 56. Τὸν ναὸν τοῦτον εἶδε σῳζόμενον ἔτι ὁ Γύλλιος μικρῷ πρὸ τοῦ ΙΣΤ' αἰῶνος, ὡς ὁ Σκ. Βυζάντιος γράφει· ἀλλ' ἐὰν ἀναφέρηται εἰς τὰ τοῦ Γυλλίου ταῦτα: «Forum vero in planitie vicina Portui, ubi nunc Xenodochium ædificatum est in fundamentis templi divi Michaelis, quod integrum extabat, cum venissem Byzantium», ἀγνοῶ ἂν ἐπικυρῶνται τὰ τοῦ Βυζαντίου καὶ κυρίως ὅτι ἐπὶ τοῦ τόπου τοῦ ναοῦ ἐκτίσθη τὸ σημερινὸν Χαβιαρόχανον. Gyllii, Topogr. Constantinopoleos, παρὰ Banduri, Imp. Or. ἐκδόσεως Βενετίας τοῦ 1729, σελ. 30. Ἐὰν διὰ τῆς λέξεως «ξενοδοχεῖον» ὁ βυζαντινίζων Γύλλιος ἐννοῇ νοσοκομεῖον, πολὺ πιθανῶς ὁ ναὸς ἔκειτο πλησίον τοῦ νοσοκομείου, ὅπερ ἐν ἀρχαῖς τοῦ ΙϚ' αἰῶνος συνέστησεν ἐν Γαλατᾷ, ὅπου νῦν τὸ μέγα Ἐθνικὸν χάνιον, ὁ Δούκας Πέτρου Σοφιανὸς, ὡς ἀποδεικνύει ἡ ἐπικύρωσις τῆς διαθήκης αὐτοῦ, χορηγηθεῖσά μοι μὲν κατὰ τὴν ἐκ τοῦ ἀραβικοῦ μετάφρασιν ὑπὸ τοῦ παναγιωτάτου πατριάρχου πρώην Κωνσταντινουπόλεως Ἰωακεὶμ Γ', ἐκδοθεῖσα δ' ἐν τῷ βιβλίῳ μου τῷ φέροντι τίτλον: «Εὐγενίου Ἡ Ζωοδόχος Πηγή».

μικρὸν πρὸ τοῦ 890 κτισθεὶς ὑπὸ Εὐθυμίου τοῦ ἀπο συγκέλλων, εὐκτήριον ὢν τοῦ μεγάλου ναοῦ τῆς μονῆς (ἴδε εἰς τὴν 1 ἰουλίου)· — 16) ὁ παρὰ τῇ μονῇ τοῦ Σωτῆρος Χριστοῦ τοῦ Βαθέως Ῥύακος, κτισθεὶς ὑπὸ Ἰγνατίου δευτέρου ἡγουμένου, ἐπὶ Νικηφόρου Φωκᾶ καὶ Ἰωάννου Τζιμισκῆ (ἴδε 27 σεπτεμβρίου)·—17) ὁ ἐν τῷ Ἀνάπλῳ ναὸς τοῦ ἀρχαγγέλου Μιχαὴλ, ἐξ οὗ καὶ τὸ χωρίον ὠνομάσθη Μιχαήλιον, καθὰ νομίζεται κοινῶς τὸ Μέγα Ῥεῦμα. Ἡ κατὰ τὸν Θ' αἰῶνα παράδοσις ἐπίστευε τὸν ναὸν τοῦτον κτίσμα τοῦ Μ. Κωνσταντίνου[23], κατὰ δὲ τὸν Ε' αἰῶνα ἐπιστεύετο «Μιχαὴλ ἐπιφαίνεσθαι τὸν θεῖον ἀρχάγγελον· τοῦτο δὲ κἀγὼ, εὐεργετημένος τὰ μέγιστα, ἀληθὲς εἶναι σύρημι», λέγει Ἑρμείας ὁ Σωζόμενος[24]. Τὸν ναὸν, τῷ χρόνῳ παθόντα καὶ γενόμενον ἄβατον, ἀνήγειρεν ἐκ βάθρων ὁ Μ. Ἰουστινιανὸς, κτίσας πρὸ αὐτοῦ προκυμαίαν, περιβαλὼν αὐλῇ ἐκ λευκῶν ἐστρωμένῃ μαρμάρων, κυκλώσας στοᾷ τὰς τρεῖς πλευρὰς (πλὴν τῆς ἀνατολικῆς), ποικιλοχρόοις μαρμάροις στρώσας τὸ τοῦ ναοῦ δάπεδον, καὶ τροῦλλον αὐτῷ κατασκευάσας. Ἦν ἐπιθαλάσσιος καὶ χρυσῷ κεκοσμημένος[25], ἐπεσκεύασε δὲ καὶ διεκόσμησεν αὐτὸν Ἰσαάκιος ὁ Ἄγγελος (1185-1195), ὅστις ἐγύμνωσε ναοὺς ἑτέρους πρὸς ἐξωραϊσιν ἐκείνου· «Εἴ τις ἐν πλαξὶ τοῖς βασιλείοις δόμοις ὑπέστρωτο καὶ περιηρπίσχε τοὺς τοίχους, καλλίστη τε τῇ στιλπνότητι καὶ ῥανίσιν ἐστιγμένη ποικιλοχρόοις, ἐκεῖσε μετακεκόμικεν· ἀλλὰ καὶ τὰ τοῦ Ἀρχαγγέλου διὰ χρωμάτων καὶ ψηφίδων τυπώματα, ὁπόσα ἡ πόλις ἔστεγεν, ἢ κώμαις καὶ χώραις ἀνέκειντο φυλακτήρια, χειρὸς ἀρχαίας καὶ θαυμασίας ἔργα, κατὰ τὸ αὐτὸ συνήθροισε τέμενος»[26]. Ἐπειδὴ δὲ πρὸς οἰκοδομὴν τοῦ ῥουρίου τοῦ Ῥούμελι-ἰσὰρ ἐχρησιμοποιήθησαν, κατὰ τὰ μέσα δῆλα δὴ τοῦ ΙΕ' αἰῶνος, κίονες μετενεχθέντες *ἀπὸ τῶν ἐρειπίων* τοῦ ναοῦ τοῦ ταξιάρχου Μιχαὴλ, ἦν ἄρα κατεστραμμένος ὁ ναὸς ἐν ἀρχαῖς τοῦ αἰῶνος τούτου[27]. Τὴν κατὰ τὸν *Ἀπλοῦν λαῦραν ἢ μονὴν*, βεβαίως ταύτην, Μιχαὴλ ὁ Παλαιολόγος παρεχώρησεν ὡς μετόχιον εἰς τὸν πατριαρχικὸν θρόνον τῆς Ἀλεξανδρείας, ὅστις καὶ μέχρι τοῦ 1300 κατεῖχεν αὐτήν[28]· — 18) ὁ ἐν τῷ Σωσθενίῳ, τῇ σημερινῇ Στένῃ, ναὸς τοῦ ταξιάρχου Μιχαὴλ, ἀναφερόμενος, ἐφ' ὅσον οἶδα, τὸ πρῶτον ἐπὶ τοῦ θρακὸς Ἀναστασίου κατὰ τὰς ὑπὸ Βιταλιανοῦ δημιουργηθείσας ἀκαταστασίας[29], ἐρείπιον δὲ ὢν κατὰ τὸν Θ' αἰῶνα, ὅτε Βασίλειος ὁ Μακεδὼν ἀνήγειρε καὶ κατεκάλλυνεν αὐτὸν[30]. Σωσθενίου μονὴ κατὰ τὸν Ἀνάπλουν ἐπ' ὀνόματι τοῦ ταξιάρχου Μιχαὴλ ἀναφέρεται τῷ 1337[31], ἐν τῇ μονῇ δὲ ταύτῃ Βασίλειος Β' ὁ Πορφυρογέννητος, ὅστις, ὡς εἰκάζω, προστάτης αὐτῆς ἀνεδείχθη, κατέθετο τυπικόν τι μᾶλλον τὰς πρὸς τοὺς Βουλγάρους καὶ Βλάχους σχέσεις αὐτοῦ διαρρυθμίζον ἢ τὴν ἐκκλησιαστικὴν κατάστασιν[32]·—19) ὁ τοῦ Μιχαὴλ ἐν τοῖς Προόχθοις, πλησίον βεβαίως τοῦ Ἁγίου ἀποστόλου Θωμᾶ (ἴδε εἰς τὴν 8 ὀκτωβρίου) πρὸ τοῦ Ϛ' αἰῶνος ὑπάρχων, ὃν παλαιωθέντα καὶ ἑτοιμόρροπον ἤγειρεν ἐκ βάθρων ὁ Μ. Ἰουστινιανὸς εὐπρεπέστερον καὶ πολυτελῆ[33]· — 20) ὁ τῆς Κατασκέπης, ὃν ἀνήγειρε Μανουὴλ ὁ Κομνηνὸς πολὺ πιθανῶς μεταξὺ Βαθυρρύακος καὶ Ῥούμελι-καβάκ, «φροντιστήριον ἱερὸν περί που τὸ τοῦ Πόντου στόμα, εἰς τόπον τινὰ Κατασκέπην λεγόμενον εἰς ὄνομα τοῦ ἀρχιστρατήγου Μιχαὴλ», ἐκ τῶν τότε μοναστῶν τοὺς ὀνομαστοτέρους ἐν αὐτῷ συνελάσας· θέλων ὅμως τοὺς μοναχοὺς ἀφρόντιδα βίον διάγειν, οὐδὲν ἐδωρήσατο τῇ μονῇ ταύτῃ κτησίδιον, οὔτε μὴν ἀμπελῶνας καὶ ἀγροὺς, ἀλλ' ὥρισε χρηματικὴν ἐκ τῶν βασιλικῶν ταμείων χορηγίαν πρὸς διατροφὴν αὐτῶν καὶ καθόλου συντήρησιν[34]. Τοῦτον ὁ Σκ. Βυζάντιος ὑπονοεῖ συγχεόμενον ἑτέρῳ, κειμένῳ ἐν τῇ ἀνατολικῇ ἀκτῇ τοῦ Βοσπόρου, ἢ ἴσως καὶ ἐπὶ τῶν θεμελίων τῆς μονῆς τοῦ πατριάρχου Ταρασίου[35]· —21) ὁ ἐν τῇ ἀκτῇ τοῦ Μωκαδίου, οὐ μακρὰν τοῦ Ἱεροῦ, πιθανῶς ἐν τῷ σήμερον Οὐμοὺρ-γερῇ[36], ναὸς τοῦ Ἀρχαγγέλου, Μιχαὴλ ἴσως, κτισθεὶς ἐκ βάθρων ὑπὸ τοῦ Μ. Ἰουστι-

23. Θεοφ. Α', σελ. 34.

24. Ἐκκλ. Ἱστορ. Β', γ', εἰ καὶ ὁ Σωζόμενος φαίνεται συγχέων τὸν τοῦ Μιχαηλίου ναὸν τῷ τοῦ Σωσθενίου.

25. Προκοπίου, Περὶ κτισμάτων· σελ. 198.

26. Νικήτας Χωνιάτης· σελ. 581.

27. Μιχαὴλ Δούκας· σελ. 242.

28. Παχυμέρης· Α', σ. 399, 413, 419. Β', σ. 203, 579.

29. Μαλαλᾶς· σελ. 403 καὶ 405· «ἐπὶ τὸ λεγόμενον Σωσθένιν, ἐν τῷ εὐκτηρίῳ τοῦ ἀρχαγγέλου Μιχαήλ».

30. Theoph. Contin. σελ. 340.

31. Acta Patriarch. Α', σελ. 168.

32. Νικ. Χωνιάτης· σελ. 488.

33. Προκοπίου, Περὶ κτισμάτων· σελ. 199.

34. Νικ. Χωνιάτης· σελ. 270.

35. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· Β', σ. 203.

36. αὐτόθι· σελ. 206-207.

νιανοῦ καὶ κατὰ τὴν μεγαλοπρέπειαν ὅμοιος τοῖς ἐν Ἀνάπλῳ καὶ Βρόχοις ναοῖς[37]. — 22) ὁ ἐν τοῖς Τζήρου, ὅστις ἁγνῶ εἰ ἔκειτο ἐντὸς τῆς Κωνσταντινουπόλεως ἢ οὔ· τοῦτον ἐκόσμησε Βασίλειος ὁ Μακεδών, καθιερώσας αὐτῷ καὶ προσόδους πολλὰς ἐπὶ διατροφῇ τῶν πενήτων[38]. — 23) ὁ ναὸς τοῦ ταξιάρχου Μιχαὴλ πέραν ἐν Σκάλλαις (ἴδε 25 ἰουλίου)· — 24) ὁ τοῦ ταξιάρχου Γαβριὴλ πέραν ἐν Χάλδαις (ἴδε αὐτόθι), ἀμφότεροι κείμενοι ἔξω τῆς Κωνσταντινουπόλεως· — 25) ὁ ἐν τοῖς Προμώτου, δῆλον οὖν ἐν τοποθεσίᾳ ὀνομασθείσῃ ἀπὸ τοῦ τῷ 388-389 ὑπάτου τῆς νέας Ῥώμης Προμώτου, ἴσως τοῦ κατὰ τὰ ἔτη 383 ἕως 386 στρατηγοῦ τῶν ἐν Ἴστρῳ στρατευμάτων[39]. Τὸν ναὸν τοῦτον, ὑπὸ τῶν ἀβάρων ζημιωθέντα[40] τῇ 5 ἰουνίου τοῦ 623, γράφομεν κατὰ συνθήκην κείμενον ἐν τῇ πρὸς τὴν Προποντίδα βιθυνικῇ παραλίᾳ· ἐπειδὴ δ' ἐν τῇ βιογραφίᾳ Ἰγνατίου τοῦ πατριάρχου γράφει Νικήτας ὁ Παφλαγὼν ὅτι *διεπέρασαν* τὸν Ἰγνάτιον ἀπὸ τῆς Ἱερείας (Φενὲρ-μπαγτζὲ) εἰς τὰ Προμώτου, τὸ δὲ *διεπέρασαν* δεικνύει μέρος ἀπέναντι τῆς Ἱερείας κείμενον, πρέπει 'ν' ἀποδεξώμεθα τὰ Προμώτου κείμενα μᾶλλον εἰς τὸ Μόδα-μπουρνοῦ τῆς σήμερον· τὸν εἰς τὰ Προμώτου ναὸν οὐδένα λόγον ἔχομεν 'να συγχέωμεν τῇ μονῇ τοῦ Σατύρου, δῆλον οὖν τῇ τοῦ ἀρχιστρατήγου Μιχαὴλ Ἀνατέλλοντος, γνωστῇ τῷ Νικήτᾳ Παφλαγόνι, ὅστις περὶ Προμώτου γράφων ἠδύνατο 'να εἴπῃ ὅτι ἦν ἡ αὐτή[41]. — 26) ὁ τοῦ Ἀνατέλλοντος, περὶ οὗ ἐλέχθησαν (τῇ 23 ὀκτωβρίου) ἐν βίῳ Ἰγνατίου ὅσα μοι γνωστά· — 27) ὁ ἐν τῇ μονῇ τοῦ βουνοῦ τοῦ Αὐξεντίου μέχρι τοῦ 1280 τιμώμενος ἐπ' ὀνόματι τῶν ἁγίων Ἀποστόλων, ἔκτοτε δ' ὑπὸ Μιχαὴλ Παλαιολόγου τῷ ταξιάρχῃ Μιχαὴλ ἀνατεθειμένος[42]. — 28) ὁ ἐν τῇ Ὀξείᾳ, τῇ μικρᾷ πρὸ τῆς Κωνσταντινουπόλεως νήσῳ, ἀναφερόμενος τῇ 13 ἰανουαρίου καὶ τῇ 3 ἰουνίου, σῳζόμενος ἐν τῷ ΙΒ' αἰῶνι καὶ ἀνήκων βεβαίως εἰς τὴν αὐτόθι μονήν, ἧς ἦν ἡγούμενος ὁ τῷ 1143 πατριάρχης ἐκλεγεὶς Μιχαὴλ Β' ὁ Κουρκούας· ἴσως αὐτὴ ἦν ἡ κατὰ τὰ μέσα τοῦ ΙΒ' αἰῶνος ἀναφερομένη σεβασμία μονὴ τῶν Βουλγάρων, ἧς τῷ ἡγουμένῳ Γρηγορίῳ ἐπέστελλε Θεόδωρος ὁ Πρόδρομος[43]· τῆς μονῆς ταύτης τῆς Ὀξείας ἦν κατὰ τὸν ΙΓ' αἰῶνα μετόχιον τὸ «πρὸς τῇ θαλάσσῃ κελλύδριον τοῦ θαυματουργοῦ Νικολάου»[44]. — 29) ὁ ἐν τῇ Πλάτῃ τῇ μικρᾷ νήσῳ ναὸς τῆς αὐτόθι μονῆς, ἐν ᾗ διήνυσε τὰς τελευταίας ἡμέρας αὐτοῦ Μιχαὴλ ὁ Ῥαγκαβέ, μοναχὸς γενόμενος καὶ μετονομασθεὶς Ἀθανάσιος, ζήσας δὲ μέχρι τοῦ 844, καὶ ἐν ᾗ ἐμόνασαν Εὐστράτιος ὁ υἱὸς αὐτοῦ, ζήσας μέχρι τοῦ 859, καὶ Ἰγνάτιος ὁ κατόπι γενόμενος πατριάρχης[45]

30) Ναοὶ τῶν Ἀρχαγγέλων, περὶ ὧν ἔξεστιν ἀμφιβάλλειν, εἰσὶ 1) ὁ τῶν Στείρων ἢ Σπείρων ἐν τῇ Δαματρύῃ, ἀναφερόμενος τῷ 906, ἀλλ' ὑπὸ τῶν παραδοξογράφων ἐπιγραφόμενος εἰς Ἀρχάγγελον, κείμενος δ' ἴσως ἐν Ἀλεμ-δάγ, διότι ὑπονοῶ ὅτι αὐτός ἐστιν ὁ ἐν τοῖς Τζήρου, ὑπὸ τὰ ὀνόματα Στείρου καὶ Τζήρου γνωριζόμενος[46]· ἡ μονὴ τοῦ Στείρου ἦν μετόχιον ἱεροσολυμιτικὸν σῳζόμενον ἐν ἀρχαῖς τοῦ ΙΓ' αἰῶνος[47]. 2-3) ὁ Ἀρχιστράτηγος Τὰ Ἀβάκια καὶ ὁ μικρὸς Ἀρχιστράτηγος, ἀναφερόμενοι παρὰ τοῖς παραδοξογράφοις, οἵτινες ἀναφέρουσι καὶ 4) τὸν Ἀρχιστράτηγον εἰς τὸν Ἅγιον Ἰουλιανόν, διότι νομίζω ὅτι ὁ εἰς τὸν Ἅγιον Ἰουλιανὸν Ἀρχιστράτηγος οὗτος συγχέεται τῷ ναῷ τῷ ἐν τοῖς Ἀδδὰ καὶ τῷ Ἁγίῳ Θωμᾷ ἐν τοῖς Ἀραντίου παρὰ τὸν Ἰουλιανοῦ λιμένα· 5) ἡ παρὰ Παχυμέρει μονὴ τοῦ Ἀρχιστρατήγου τοῦ Βασιλέως φέρει τοσοῦτον ἀόριστον ὀνομασίαν, ὥστε εἰκάζω ὅτι ἔστι μία τῶν ἀπὸ τοῦ ἀριθμοῦ 1)—12) σημειωθεισῶν ἐντὸς τῆς πόλεως.

Εἰκόνες ἀρχαῖαι ἀναφέρονται· 1) ἡ παρὰ Παντολέοντι χαρτοφύλακι ἐν τῷ ναῷ τῶν Εὐσεβίου· 2) ἡ ἐν τῷ ναῷ τῆς νήσου Πλάτης,

37. Προκοπίου, Περὶ κτισμάτων· σελ. 201 καὶ 197, ὅπου γράφεται· «Προόχθους μὲν ἐκάλουν οἱ παλαιοὶ ἄνθρωποι τὴν ἀκτήν, ὅτι δὴ προβέβληται, οἶμαι, κατὰ πολὺ τῆς ταύτῃ ἠϊόνος· νῦν δὲ Βρόχοι ἐπικαλεῖται, διαφθειρούσης τὰ ὀνόματα τῆς τῶν ἐπιχωρίων ἀγνοίας τῷ μήκει τοῦ χρόνου».

38. Theoph. Contin. σελ. 339.

39. Πασχ. Χρον. σ. 564. Ζώσιμος· σ. 214, 218, 219.

40. Πασχάλ. Χρον. σελ. 713.

41. βλέπε περὶ ναοῦ ἐν τοῖς Προμώτου τὸν Δουκάγγιον· Const. Christ. σελ. 130, XXX.

42. Τυπικὸν Ἀδξεντίου κτλ. σελ. 14-15, 47 καὶ 54.

43. Προδρόμου ἐπιστολὴ κλπ. Migne, τόμ. ΡΛΓ', στ. 1289. Νικ. Χωνιάτης· σελ. 70.

44. Παχυμέρης· Α', σελ. 270.

45. Theoph. Contin. σελ. 19-20.

46. Ξ. Σιδερίδου, Περὶ τῆς μονῆς Σπειρῶν ἢ Στειρῶν (Στήρου=Τσήρου; = ? Τζήρου) ἐν Ἀρχαιολογικῷ Παραρτήματι ΙΖ' τόμου Ἑλλ. Φιλολ. Συλλόγου, σελ. 130-131.

47. Ἱεροσολμ. Σταχυολογία· Β', σελ. 367.

εἰς ἣν ὑπάρχει καὶ ἐπίγραμμα μετεκδοθὲν ὑπὸ Σ. Βυζαντίου[48]. **Ἀνδριὰς** δὲ χαλκοῦς τοῦ ἀρχαγγέλου Μιχαὴλ ἀνεστηλοῦτο πλησίον τοῦ ναοῦ τῶν Ἁγίων Πάντων· κατὰ ἰούλιον τοῦ 1296 σεισμὸς τρομερὸς ἀποστεγάσας τὸν ναὸν ἀπεκεφάλισε καὶ τὸν ἀνδριάντα[49]. Πρόσθες ὅτι τὸν ναὸν τῶν Ἁγίων Πάντων κτισθέντα μὲν ὑπὸ Λέοντος τοῦ Σοφοῦ, παρ' ἡμέραν δ' ἀπολλύμενον, *κατέαξεν* Ἰωάννης ὁ Παλαιολόγος[50]. Ἐν αὐτῷ κατέθηκεν ὁριστικῶς ὁ Νικηφόρος Φωκᾶς τὸν ἅγιον Κέραμον καὶ τὸν Ὁλκὸν τοῦ τιμίου Αἵματος καὶ Ὕδατος, ὃν εὗρε τῷ 966 ἐν Ἱεραπόλει τῆς Φρυγίας[51].

Κατὰ τὸν Ι' αἰῶνα, τῇ 8 νοεμβρίου, ὁ αὐτοκράτωρ ἠκροᾶτο τῆς λειτουργίας ἐν τῷ ναῷ τοῦ ἀρχαγγέλου Μιχαὴλ ἐν τῷ παλατίῳ[52].

§

9. Ματρώνης τῆς ὁσίας.

Ἐκ Πέργης τῆς Παμφυλίας ἦλθεν εἰς Κωνσταντινούπολιν ἐπὶ Λέοντος τοῦ θρακὸς σὺν τῷ συζύγῳ Δομετιανῷ καὶ τῇ θυγατρὶ αὐτῆς, δεκαπενταέτις· τὴν πολιτείαν Εὐγενίας τῆς παρθένου μιμηθεῖσα, στολὴν ἀνδρικὴν ἐνδυσαμένη, φεύγουσα τὸν σύζυγον, εἰσῆλθεν ὡς Βαβύλας μοναχὸς ἐν τῇ μονῇ τοῦ Βασιανοῦ. ἀλλὰ μετά τινα ἔτη, ἐν ὁράματι καὶ διὰ γραφῆς Ἀκακίου τινὸς ξένου μοναχοῦ, τὸ αὐτὸ χρηματισθέντος καθ' ὕπνον, ὁ Βασιανὸς ἔμαθε τὸ μυστικόν· ὅθεν ἀπεστάλη παρ' αὐτοῦ εἰς τὸ ἐν Ἐμέσῃ γυναικεῖον μοναστήριον, ὁπότε κατὰ θείαν εὐδοκίαν ἐντὸς στάμνου ὑπὸ γῆν εὑρέθη ἡ τιμία τοῦ Προδρόμου κεφαλή. Ἐκεῖθεν ἀναχωρήσασα καὶ μέρη πολλὰ διελθοῦσα ἡ Ματρώνα, ἦλθε καὶ πάλιν εἰς Κωνσταντινούπολιν, πρῶτον μὲν εἰς τὸν πρὸς θάλασσαν ναὸν τῆς ἁγίας Εἰρήνης, ἤδη γηράσασα, ὕστερον δ' εἰς τόπον χωριστὸν ὑπὸ Βασιανοῦ καταστα-θεῖσα καὶ μεταπεμψαμένη καὶ ἃς εἶχε συνασκουμένας ὁσίας ἐν Βηρυττῷ μοναχάς· πολλὴν δ' εὐλάβειαν ἐνέπνευσεν ἡ Ματρώνα πᾶσιν ἐν Κωνσταντινουπόλει καὶ Βηρίνῃ τῇ συζύγῳ Λέοντος τοῦ θρακὸς, ἥτις ἐφοίτα παρ' αὐτῇ. Παρὰ τὴν τοῦ Βασιανοῦ μονὴν μέγαν τόπον ἡ σύζυγος Σφωρακίου τοῦ πατρικίου δωρησαμένη εὐηργέτησε τὴν μονὴν τῆς Ματρώνης, ἀνεγείρασα νέαν τοιαύτην παρὰ τὴν θάλασσαν, ἐν τόπῳ λεγομένῳ Τὰ Σευηριανά. Μετὰ ταῦτα πλουσία γυνή τις, Ἀθανασία, μονάσασα ἐν τῇ μονῇ, πάντα τον πλοῦτον αὐτῆς ἔδωκεν εἰς τὴν Ματρώνην, ἥτις οὕτω τριόροφον ἀποδείξασα τὸ ἀσκητήριον περιέβαλε τείχει, καὶ πολλὰ τοῖς ἐν Ἱεροσολύμοις σεμνείοις ἐκ τῶν χρημάτων τούτων ἀνήλωσε δωρησαμένη. Ἀλλ' αἱ τρεῖς ὁροφαὶ αὗται, περὶ ὧν ὁ βιογράφος ἀναφέρει, φαίνονταί μοι παράξενοι, διότι γράφει ὅτι ἦσαν, ἡ πρώτη καὶ περὶ τὴν γῆν πρὸς τάφους ἀφωρισμένη· ἡ μέση, μετὰ ναοῦ, πρὸς κατοικίαν ἐν ὥρᾳ χειμερινῇ· ἡ τρίτη, μετὰ ναοῦ καλλίστου, *πρὸς τὸ εὐρίζειν εὖ διακειμένη*[53]. Φαίνεται δ' ὅτι ἦν τὸ τριώροφον τοῦτο παράρτημά τι τῆς μονῆς. Ἡ ὁσία Ματρώνα ἀπέθανε σχεδὸν ἑκατοντοῦτις. Κατὰ τὰ τέλη τοῦ Ε' αἰῶνος ἐν τῇ μονῇ αὐτῆς (Τὰ Ματρώνης) διαμένουσα, μὴ κοινωνοῦσα σὺν ταῖς σὺν αὐτῇ ἀσκητρίαις, διὰ τὸ *ἑρωτικὸν*, Ζήνωνι, παράδοξα πολλὰ ἐνεδείξατο, Χρυσαορίου διακόνου τῆς Ἐκκλησίας αὐτὴν ἀναγκάζοντος. Ἦν δ' ἡ μονὴ αὐτῆς τότε μία τῶν ἐπισημοτέρων μονῶν ἐν Κωνσταντινουπόλει[54].

* * *

9. Εὐστολίας καὶ Σωπάτρας.

Ἡ μὲν Εὐστολία ἐν Ῥώμῃ γεννηθεῖσα ἦλθεν εἰς Κωνσταντινούπολιν, ὅπου ἐγένετο πνευματικὴ μήτηρ τῆς Μαυρικίου τοῦ βασιλέως θυγατρὸς Σωπάτρας, γνωρισθείσης αὐτῇ ἐν τῷ ναῷ τῶν Βλαχερνῶν. Ἡ Σωπάτρα, κατὰ τὸν Συναξαριστὴν, ἐζήτησε καὶ ἔλαβεν ἀπὸ τοῦ πατρὸς αὐτῆς τόπον πρὸς ἵδρυσιν μονῆς, ἥτις οὐ γράφεται ποῦ ἔκειτο· οὐδ' ἀναφέρεται, ἐφ' ὅσον οἶδα, μονὴ Σωπάτρας.

* * *

9. Συμεὼν τοῦ Μεταφραστοῦ.

Ἡ μνήμη παρὰ τῷ Νικοδήμῳ. Συμεὼν ὁ Μεταφραστὴς ἦν βυζάντιος, ἀρθεὶς εἰς ἀνώτατα τῆς πολιτείας ἀξιώματα· μοναχὸς γενόμενος ἐνησχολήθη εἰς συλλογὴν τῶν ἐν διαφόροις ἐκκλησίαις τῆς Κωνσταντινουπόλεως καὶ τῶν ἐπαρχιῶν εὑρισκομένων ἁγιολογικῶν ὑπομνημάτων, ἅτινα μετέγραψεν εἰς ἴδιον ὕφος καὶ

48. Σκ. Βυζαντίου· «Κωνσταντινούπολις»· Β', σ. 320.

49. Παχυμέρης· Β', σελ. 234.

50. Μιχαὴλ Δούκας· σελ. 47.

51. Δουκαγγίου, Σημειώσεις εἰς Ζωναρᾶν (Δινδορφίου, ΣΤ', 161.

52. Πορφυρογεν. Ἔκθ. Α', σελ. 121.

53. Ματρώνης βίος, ὑπὸ Συμεὼν μεταφραστοῦ· Migne, τόμ. ΡΙΣΤ', στ. 921-953.

54. Θεοφ. Α', σελ. 219.

λεκτικόν, ἐξ οὗ καὶ τὴν ὀνομασίαν ἔσχε τοῦ μεταφραστοῦ (ὀρθότερον μεταφράστου). Λέγεται ἀκμάσας ἐπὶ Λέοντος Σοφοῦ, ἀλλὰ τὰ περὶ αὐτοῦ γραφόμενα ἥκιστα δύνανται 'να χειραγωγήσωσιν ἡμᾶς πρὸς ὁρισμὸν τοῦ χρόνου, καθ' ὃν ἤκμασεν· ἐκ τοῦ εἰς αὐτὸν ἐγκωμίου Μιχαὴλ τοῦ Ψελλοῦ συνάγεται μόνον βέβαιον ὅτι ἔζη πρὸ τοῦ ΙΑ' αἰῶνος [55].

ℰ

11. Βικεντίου μάρτυρος.

Ἤθλησεν ἐπὶ Μαξιμίνου, διάκονος ὢν ἐν Αὐγουστοπόλει τῆς Ἱσπανίας.

Ναὸς αὐτοῦ ὑπῆρχεν ἐν Κωνσταντινουπόλει, κρημνισθεὶς ὑπὸ σεισμοῦ τῇ 4 δεκεμβρίου τοῦ 557 [56].

* * *

11. Θεοδώρου ἡγουμένου τῶν Στουδίου τοῦ ὁμολογητοῦ.

Ἐγεννήθη ἐν Κωνσταντινουπόλει τῷ 759 ὑπὸ γονέων εὐσεβῶν καὶ πλουσίων, Φωτεινοῦ καὶ Θεοκτίστης. Μέτοχος τῆς ἱερᾶς παιδεύσεως, ἐκάρη μοναχὸς ὑπὸ τοῦ πρὸς μητρὸς θείου αὐτοῦ Πλάτωνος· ἐξελθὼν τῷ 781 μετὰ τῶν ἀδελφῶν αὐτοῦ Ἰωσὴφ καὶ Εὐθυμίου εἰς ἰδιόν τινα ἀγρὸν Βοσκήτιον καλούμενον, γειτονεύοντα δὲ τόπῳ τινὶ καλουμένῳ τοῦ Σακκωδίωνος, αὐτόθι ἠσκεῖτο, ὅπου ὁ Πλάτων ὑπὸ τὴν ἐπιστασίαν τοῦ Θεοδώρου, συγχρόνως τῇ Ζ' οἰκουμενικῇ Συνόδῳ, ναὸν ἤγειρε χαριέστατον ἐπ' ὀνόματι Ἰωάννου τοῦ Θεολόγου· διάκονος καὶ πρεσβύτερος ὑπὸ τοῦ πατριάρχου Ταρασίου τῷ 784 χειροτονηθείς, ἐγκαθιδρύθη τῷ 794 τῆς νέας ταύτης μονῆς ἡγούμενος ὑπὸ Πλάτωνος, νοσήσαντος· ἀντιστὰς εἰς τὸν γάμον τοῦ Κωνσταντίνου ΣΤ' μετὰ τῆς Θεοδότης, κατεδικάσθη τῷ 795 εἰς ὑπερορίαν ἐν Θεσσαλονίκῃ, ἀφ' ἧς ἦλθεν εἰς Κωνσταντινούπολιν μετὰ τὴν καθαίρεσιν τοῦ Κωνσταντίνου καὶ κατέλαβε τὴν μονὴν τοῦ Στουδίου, σχεδὸν ἔρημον ὑπὸ τοῦ Κωνσταντίνου τοῦ Κοπρωνύμου πρότερον γενομένην· ἀντιστὰς σὺν τοῖς ὑπ' αὐτὸν μοναχοῖς εἰς τὴν ἀθρόον ἀπὸ λαϊκοῦ χειροτονίαν τοῦ πατριάρχου Νικηφόρου καὶ ἀποσχίσας ἑαυτὸν τῆς κοινωνίας τοῦ πατριάρχου, κατεδικάσθη μετὰ τοῦ θείου Πλάτωνος εἰς ὑπερορίαν ὑπὸ συνόδου, συνελθούσης ἐν Κωνσταντινουπόλει τὸν ἰανουάριον τοῦ 809· Μιχαὴλ ὁ Ῥαγγαβὲ ἐπανήγαγεν αὐτὸν εἰς τὴν πρωτεύουσαν τῷ 812· ἀλλὰ Λέων ὁ Ε' περιώρισεν εἰς τὸ κατὰ τὴν Ἀπολλωνίαν *ἀντίπεραν τῆς Λίμνης κάστρον, ὃ καλεῖται Μέτωπα*, κἀκεῖθεν εἰς ἕτερον φρούριον, *Βόρτα* καλούμενον· τρία δ' ἔτη μείνας ἐκεῖ πέμπεται εἰς Σμύρνην, κἀκεῖ δὲ μένει ἔτος ἓν καὶ ἥμισυ, ἐπιστρέψας ἐπὶ Μιχαὴλ τοῦ Τραυλοῦ, διελθὼν διά τινων χωρίων καὶ διὰ τῆς Προύσης. Ἐξελθὼν ἐκ Κωνσταντινουπόλεως ἡσύχασε μικρὸν μετὰ τῶν μαθητῶν αὐτοῦ ἐν τοῖς τόποις τοῦ Κρίσκεντος ἢ Κρισκεντίου, κειμένοις ἐν τῷ κόλπῳ τῆς Νικομηδείας, μεθ' ὃ καὶ πάλιν εἰσῆλθεν εἰς Κωνσταντινούπολιν τῷ 822, καὶ τῷ ἑπομένῳ ἔτει ἀπῆλθεν εἰς τὴν κατὰ τὸν Ἀκρίταν χερσόνησον τοῦ ἁγίου Τρύφωνος, ἀφ' ἧς συνεχῶς εἰς ἐπίσκεψιν μετέβαινε τοῦ πατριάρχου Νικηφόρου, ἐκεῖ πλησίον ἰδιάζοντος. Ἀπέθανε τῷ 426 (11 νοεμβρίου «ἐν ᾗ καὶ ἡ τοῦ μάρτυρος Μηνᾶ ἐτελεῖτο μνήμη») ἐν ἡλικίᾳ ἐτῶν ἑπτὰ πρὸς τοῖς ἑξήκοντα, ταφεὶς ἐν Πριγκήπῳ. Μετὰ δέκα καὶ ὀκτὼ ἔτη Μεθόδιος ὁ πατριάρχης ἀνακομίσας τὸ τοῦ Θεοδώρου λείψανον, ἄρτιον καὶ σῷον εὑρεθέν, ἔθαψεν ἐν τῇ μονῇ τοῦ Στουδίου τῷ 844, ἐν ᾗ ἐσῴζετο μέχρι τῶν πρώτων ἐτῶν τῆς ΙΓ' ἑκατονταετηρίδος [57].

καὶ περὶ μὲν τῆς τοῦ Στουδίου μονῆς ἐλέχθησαν τὰ γνωστά μοι. Συνήθεια δ' ἐπεκράτει ἐν τῇ μονῇ 'ν' ἀναγινώσκωνται καθ' ἑβδομάδα τρεῖς περικοπαὶ λόγων ἐκ τῆς Μικρᾶς τοῦ Θεοδώρου Κατηχήσεως, ἤτοι κατηχήσεις τρεῖς [58].

τὸ **Ἑορτολόγιον** τῆς τοῦ Στουδίου μονῆς, τὸ παρὰ τῷ πρεσβυτέρῳ Emm. Auvray κείμενον, βλέπε συμπεπληρωμένον μετὰ τὰς βιογραφίας τοῦ δεκεμβρίου μηνός.

55. Casimiri Oudini, Commentarius κλπ. τόμ. Β', στήλη 1301-1383, ὅπου πολλὰ πειρᾶται 'ν' ἀποδείξῃ τὸν Συμεὼν ἀκμάσαντα κατὰ τὸν ΙΒ' αἰῶνα, καίπερ γινώσκων τὴν περὶ Συμεώνων διατριβὴν τοῦ πολλοῦ Ἀλλατίου. Ὁ δὲ Θεόφιλος Ἰωάννου ἐν προλεγομένοις Ἁγιολογικῶν Μνημείων πειρᾶται 'να συγχωνεύσῃ εἰς ἓν τοὺς δύο Συμεῶνας, τὸν Μεταφραστὴν τοῦτον καὶ τὸν χρονογράφον καὶ μάγιστρον. Νομίζω τὸν Μεταφραστὴν ἀκμάσαντα ἐπὶ Κωνσταντίνου Πορφυρογεννήτου.

56. Θεοφ. Α', σελ. 357.

57. Θεοδώρου Στουδίτου βίος, ὑπὸ Μιχαὴλ μοναχοῦ· Migne, τόμ. γθ', 113 232. Βίος ἕτερος, παρασυναφθεὶς ἐκείνῳ· αὐτόθι, στ. 233-328, ᾧ ὑποτάσσονται σημειώσεις τοῦ Sirmondi. Θεοφ. Α', σελ. 752 καὶ 769. Γεώργιος μοναχός· σελ. 767. Στουδίτου Μικρὰ Κατήχησις· ἔκδοσις Emmanuel Auvray· προλεγόμενα A. Tougard, σελ. IX-XXXIII.

58. Στουδίτου βίος, ὑπὸ Μιχαήλ· Migne, γθ', 152.

ℰ

12. Νείλου τοῦ ἀσκητοῦ.

Ἤκμασεν ἐπὶ Ἰουστίνου, γενόμενος ἔπαρχος Κωνσταντινουπόλεως, ἀνὴρ λόγιος· ἐκ κοινῆς συμφωνίας ἐγένοντο μοναχοί, αὐτὸς παραλαβὼν τὸν υἱὸν Θεόδουλον καὶ ἡ σύζυγος αὐτοῦ τὴν θυγατέρα. «Κεῖται δέ, ὥς φασιν, αὐτὸς καὶ ὁ υἱὸς αὐτοῦ Θεόδουλος ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐν τῷ Ὀρφανοτροφείῳ ὑποκάτωθεν τοῦ θυσιαστηρίου, ὑπὸ Ἰουστίνου βασιλέως κατατεθέντες» [59] (ἰδὲ 14 ἰανουαρίου).

* * *

12. Λέοντος πατριάρχου Κωνσταντινουπόλεως.

Ἱερεὺς καὶ οἰκονόμος τῆς μεγάλης ἐκκλησίας ὁ Λέων ἐξελέγη πατριάρχης τῷ 1134, ἱερατεύσας ἄχρι τοῦ 1143 [60].

ℰ

13. Ἡ ἀνάμνησις τῆς ἐξορίας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Αἱ λέξεις εἰσὶ τοῦ Βασιλειανοῦ· κατὰ δὲ τὰ Μηναῖα καὶ τοὺς Συναξαριστὰς γίνεται μνήμη τοῦ θανάτου αὐτοῦ σήμερον ἀντὶ τῆς 14.

Ὁ πατριάρχης Ἰωάννης Α' ὁ Χρυσόστομος ἐγεννήθη ἐν Ἀντιοχείᾳ τῆς Συρίας μεταξὺ τῶν ἐτῶν 344-347. Υἱὸς Σεκούνδου στρατηλάτου καὶ Ἀνθούσης, ἐσπούδασεν ἐν Ἀντιοχείᾳ καὶ κατόπιν ἐν Ἀθήναις· ἐμόνασεν ἔν τινι παρὰ τὴν Ἀντιόχειαν ὄρει ἀπὸ τοῦ 375-380, ὅτε ἐχειροτονήθη διάκονος ὑπὸ τοῦ Μελετίου Ἀντιοχείας καὶ μετὰ μικρὸν πρεσβύτερος ὑπὸ Φλαβιανοῦ· ἐξελέγη πατριάρχης Κωνσταντινουπόλεως τῇ 15 δεκεμβρίου 397 [61], ἐχειροτονήθη δὲ τῇ 26 φεβρουαρίου 398 ὑπὸ Θεοφίλου πατριάρχου Ἀλεξανδρείας ἐν Κωνσταντινουπόλει παρεπιδημοῦντος· ἐπαύθη τῷ 402 ὑπὸ συνόδου σχηματισθείσης ἀκανονίστως, ἐπανήχθη δ' ἀπὸ τῆς ὑπερορίας τὸν νοέμβριον τοῦ αὐτοῦ ἔτους, καὶ τῇ 20 ἰουνίου 404 παυθεὶς ἐξωρίσθη· ἀπέθανεν ἐν Κομάνοις τῇ 14 σεπτεμβρίου 407. Ὁ βίος ὅλος τοῦ Χρυσοστόμου καὶ ἡ πολιτεία διεκρίθησαν ἐπὶ τῇ διορθώσει τῶν ἠθῶν, τῇ καταδιώξει τῶν ἀντευαγγελικῶς ζώντων, ἐν γένει δ' ἐπὶ τῇ μετ' αὐστηρότητος ἐκπληρώσει τοῦ καθήκοντος· διεκρίθη διὰ τὸν ὑπὲρ τῆς διαδόσεως τοῦ χριστιανισμοῦ ζῆλον αὐτοῦ καὶ διὰ τὴν τάσιν πρὸς αὔξησιν τῆς δικαιοδοσίας τοῦ πατριάρχου Κωνσταντινουπόλεως· ὁμολογητέον δὲ ὅτι ἡ εὔρυνσις τῆς δικαιοδοσίας ταύτης εἰς τὸν Χρυσόστομον ὀφείλεται καὶ ταύτην ἐκύρωσεν ἡ κατόπι συνήθεια [62].

Ἡ μνήμη τοῦ Χρυσοστόμου ἤρξατο πανηγυριζομένη ἐν πάσαις ταῖς ἐκκλησίαις τῷ 427· μεγαλοπρεπέστερον δὲ πανηγυρισμὸν τῆς ἑορτῆς γινώσκομεν ἀρξάμενον ἐπὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου [63].

Περὶ τοῦ λειψάνου Ἰωάννου τοῦ Χρυσοστόμου βλέπε εἰς τὴν 27 ἰανουαρίου.

Ναὸς Ἰωάννου τοῦ Χρυσοστόμου ἀναφέρεται κατὰ τοὺς χρόνους Θεοδώρου τοῦ Στουδίτου, στιχουργήσαντος ἐπ' αὐτῷ δίστιχον ἐπίγραμμα [64].

Κατὰ τοὺς τελευταίους τῶν βυζαντινῶν χρόνους ἡ λειτουργία τῆς ἑορτῆς τοῦ Χρυσοστόμου ἐγίνετο ἐν τῇ Μ. ἐκκλησίᾳ, παρόντος τοῦ αὐτοκράτορος καὶ κατὰ τὴν ἀγρυπνίαν [65].

ℰ

14. Φιλίππου τοῦ ἀποστόλου.

59. ταῦτα κατὰ χειρογράφους Συναξαριστάς.

60. Πατριαρχ. Πίνακες· σελ. 350-351. Ὁ Σταυρονικητηνὸς Συναξαριστὴς τῇ 12 νοεμβρίου γράφει· *Λέοντος καὶ Φλαβιανοῦ τῶν ἁγιωτάτων πατριαρχῶν Κωνσταντινουπόλεως.* Ὁ δὲ Ζαυμάσιος ἐπ' ἀκρισίᾳ Νικόδημος, ὁ ἀλλαχοῦ δύο Πολυεύκτους δημιουργήσας, οὐχὶ δὲ καὶ δύο Λέοντας, γράφει ἐν ὑποσημειώσει εἰς τὴν 12 νοεμβρίου· «ὁ Λέων οὗτος *φαίνεται* ὅτι ἦτον ὁ ἐπικαλούμενος Στύππης», ἑνῷ μέχρι σήμερον ἕνα μόνον πατριάρχην Κωνσταντινουπόλεως γινώσκομεν φέροντα τὸ ὄνομα τοῦτο. Ἐπιτραπήτω μοι δὲ 'να σημειώσω ὅτι τὸ ἐπώνυμον τοῦ Στυππῆ, ὅπερ ἔφερεν ὁ Λέων, ἀναφέρεται, ἐφ' ὅσον οἶδα, τῷ 1042, ἔφερε δ' αὐτὸ ὁ τῇ 11 ἰουνίου τοῦ ἔτους τούτου τὸν τοῦ Κωνσταντίνου Μονομάχου μετὰ τῆς Ζωῆς γάμον εὐλογήσας πρωτοπρεσβύτερος τῆς Νέας Ἐκκλησίας (Κεδρηνός· Β', σ. 542). Ἐπὶ δὲ Βασιλείου τοῦ Μακεδόνος, ἀναφέρεται στρατηγὸς Ἀνδρέας ὁ Στυπιώτης, καὶ πατρίκιος «ἀρχηγέτης θρᾳκῶν καὶ μακεδόνων» ὁ Λέων, ὃν *ἀπὸ Στυπίου ἐκάλουν*. Κεδρ. Β', σ. 217 καὶ 231. Λέων γραμματικός· σελ. 261.

61. τὰ Μηναῖα γράφουσιν ὅτι ἐχειροτονήθη κατ' αὐτὴν τὴν ἡμέραν· ἀλλ' ἐπειδὴ κατὰ Σωκράτη (Ἐκκλ. Ἱστ. ΣΤ', β') ἐχειροτονήθη τῇ 26 φεβρουαρίου, Συναξαρισταὶ καὶ Μηναῖον χειροτονίαν ἐννοοῦσι προδήλως τὴν ψῆφον.

62. Πατριαρχ. Πίνακες· σελ. 141-161, ὅπου βλέπε τὰς σχετικὰς μαρτυρίας.

63. Κεδρ. Α', σ. 592. Theoph. Contin. σελ. 457.

64. Migne, τόμ. γθ', στ. 1801.

65. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 80.

Ναὸς ἐπ' ὀνόματι Φιλίππου τοῦ ἀποστόλου ἀναφέρεται κείμενος πλησίον τῆς κινστέρνης τοῦ Ἁγίου Μωκίου, δῆλα δὴ κατὰ τὰ Ἐξ-Μάρμαρα, καὶ μάλιστα ὡς μονὴ τῷ 513 σῳζόμενος, τοῦτον δ' ἤγειρε σχεδὸν ἐκ βάθρων Βασίλειος ὁ Μακεδών[66]. Ἄγνωστον ἂν ὁ ἐπὶ Μηνᾶ πατριάρχου φερόμενος « Ἀναστάσιος πρεσβύτερος καὶ δευτεράριος μονῆς τοῦ ἁγίου Φιλίππου τοῦ ἐν Βρεφοτροφείῳ » ἀνήκῃ εἰς τὴν ἐν λόγῳ μονήν, διότι ἐπίσης ἄγνωστον ποῦ ἔκειτο τὸ Βρεφοτροφεῖον τοῦτο· 2) μονὴ τοῦ ἁγίου Φιλίππου ὑπῆρχεν ἐν τῷ χωρίῳ Νεαπόλει ἐν τῷ Ἀνάπλῳ μετὰ τὰ μέσα τοῦ ΙΑ′ αἰῶνος, ἀναφερομένη ἐν ἀνεκδότῳ βιογραφίᾳ Κυρίλλου τοῦ Φιλεώτου· 3) εἴδομεν δὲ τῇ 11 φεβρουαρίου ναὸν Φιλίππου τοῦ ἀποστόλου ἐν τοῖς Μελτιάδου· φρονῶ δ' ὅτι οὗτος ἦν ἕτερος παρὰ τὸν τῆς Μωκησίας κινστέρνης, ἀλλ' ἐν τοποθεσίᾳ καὶ οὗτος ἀγνώστῳ μοι.

Ἐκ τοῦ λειψάνου τοῦ ἀποστόλου Φιλίππου ἡ κεφαλὴ ἐσῴζετο μέχρι τοῦ 1214 ἐν τῇ μονῇ τῆς Παναχράντου[67].

* * *

14. Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ Παλαμᾶ.

Ἐν τοῖς προλεγομένοις ἐγράφη πότε καὶ τίς ἤρξατο 'να ἑορτάζῃ τὴν μνήμην αὐτοῦ.

ℓ

15. Ἰουστίνου καὶ Θεοδώρας τῶν εὐσεβῶν βασιλέων.

Τὰ ὀνόματα ἀναγινώσκονται παρά τε τῷ Συναξαριστῇ καὶ τοῖς Μηναίοις· ἐν τούτοις τὸ Σταυρονικητηνὸν Εὐαγγέλιον εἰς τὴν 14 νοεμβρίου γράφει:

Μνήμη Ἰουστινιανοῦ καὶ Θεοδότης τῶν βασιλέων,

τὸ δὲ παρὰ Morcelli βυζαντινόν:

Ἰουστινιανοῦ καὶ Θεοδώρας.

Θεοδώρα ἡ τοῦ Ἰουστινιανοῦ «ἐκοιμήθη εὐσεβῶς μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος ἑνδεκάτης »[68], ἤτοι τῷ 548· καίτοι δὲ παρίστησιν αὐτὴν ὁ Εὐάγριος ἐναντίαν τῇ ἐν Χαλκηδόνι Συνόδῳ[69], οὐδεμίαν ἔχω ἀμφιβολίαν ὅτι κατετάχθη εἰς τὸ ἑορτολόγιον, τοὐλάχιστον τῶν ὑπὸ τοῦ συζύγου αὐτῆς ἱδρυθεισῶν μονῶν. Εἰ καὶ ἀναφέται δ' ἔν τισι χειρογράφοις Θεοδότη, ὡς σύζυγος Ἰουστίνου τοῦ Α′, ἣν ἐν τούτοις ἕτεροι καλοῦσι Μαρκιανήν, ὡς εἴδομεν, ἢ Εὐφημίαν, δέον 'ν' ἀποδεξώμεθα ὅτι ἡ Θεοδώρα αὕτη ἦν ἡ σύζυγος τοῦ Μ. Ἰουστινιανοῦ, ὅστις ἀπέθανε τῇ 13 ἢ 14 νοεμβρίου 566[70], καὶ ὅτι τινὲς μὲν τῶν ναῶν καὶ τῶν μονῶν ἐώρταζον τὸ ζεῦγος τοῦτο, τινὲς δὲ τὸν Ἰουστῖνον Α′ καὶ τὴν δευτέραν αὐτοῦ σύζυγον Θεοδώραν· ἐλέγετο δὲ ὁ Ἰουστῖνος οὗτος «εὐσεβὴς ἀνὴρ, ζηλωτὴς τῆς ὀρθοδόξου πίστεως »[71].

* * *

15. Θωμᾶ τοῦ νέου, πατριάρχου Κωνσταντινουπόλεως.

Ἱεράτευσεν ἀπὸ τοῦ ἔαρος τοῦ 665-668, ἦν δὲ πρότερον διάκονος καὶ νοτάριος τοῦ Πατριαρχείου, καὶ διευθυντὴς γηροκομείου τινὸς καὶ πτωχοτροφείου[72].

ℓ

16. Ματθαίου τοῦ εὐαγγελιστοῦ.

Τὸ ἰδιόγραφον αὐτοῦ Εὐαγγέλιον εὑρεθὲν ἐν Κύπρῳ τῷ 478 καὶ κομισθὲν ἐν Κωνσταντινουπόλει ἀπετέθη ἐν τῷ ναῷ τοῦ ἁγίου Στεφάνου τῆς Δάφνης.

ℓ

17. Λαζάρου τοῦ ζωγράφου.

Κατὰ τοὺς Συναξαριστάς, ὁ Λάζαρος εἶχε πρεσβυτέρου βαθμόν, πολλοὺς δ' αἰκισμοὺς ὑποστὰς ἐκ μέρους Θεοφίλου τοῦ εἰκονομάχου, ἀπεκλείσθη εἰς τὴν ἐν Εὐξείνῳ μονὴν Ἰωάννου Προδρόμου τοῦ Φοβεροῦ, ἐν ᾗ καὶ θεραπευθεὶς ἀπὸ τῶν κατὰ τὰς χεῖρας πληγῶν « εἰκόνα διέγραψε τοῦ Προδρόμου τὴν καὶ μέχρις ἡμῶν διασῳζομένην τε καὶ ἰάσεις ἐπιτελοῦσαν πολλάς»· μετὰ δὲ τὸν τοῦ Θεοφίλου θάνατον «οἰκείαις χερσὶν ἀνεστήλωσε τὴν ἐν Χαλκῇ εἰκόνα τοῦ Θεανθρώπου Ἰησοῦ Χριστοῦ»· ἀπεβίωσε μεταβαίνων εἰς Ῥώμην, εἰς ἣν ἕνεκα δογματικῶν ὑποθέσεων ἀπεστέλλετο, «καὶ τὸ τίμιον αὐτοῦ λείψανον ἀνακομισθὲν ἐν τῇ μονῇ τῶν

66. Κεδρ. Α′, σελ. 631. Theoph. Contin. σ. 323.
67. Πασπάτη, Μελέται· σελ. 323.
68. Θεοφ. Α′, σελ. 350.
69. ἐν ι′ κεφ. τοῦ Δ′ βιβλίου τῆς Ἐκκλ. Ἱστορ. αὐτοῦ.
70. Δουκαγγίου, Familiæ Augustæ Byzantinæ· σελ. 78β.
71. Κεδρ. Α′, σελ. 636, 639.
72. Πατριαρχ. Πίνακες· σελ. 246.

Εὐάνδρου κατετέθη». Ἐπειδὴ οἱ τὸν Θεοφάνη συνεχίσαντες συνείρουσι τὸν περὶ Λαζάρου λόγον τῷ λόγῳ περὶ τῶν ἀβραμιτῶν μοναχῶν ἐξορισθέντων εἰς τὴν μονὴν τοῦ Φοβεροῦ, καθὼς εἴδομεν, εἰκάζω ὅτι καὶ ὁ Λάζαρος ἦν μοναχὸς τῆς μονῆς τῶν ἀβραμιτῶν[73].

* * *

17. Γενναδίου καὶ Μαξίμου πατριαρχῶν Κωνσταντινουπόλεως·

ἴδε εἰς τὴν 20 νοεμβρίου.

ℓ

18. Πλάτωνος μάρτυρος. Ἡ σύναξις ἐν τῷ σεπτῷ αὐτοῦ μαρτυρείῳ τῷ ὄντι ἐν τοῖς Δομνίνου ἐμβόλοις[74].

Ἤθλησεν ἐν Ἀγκύρᾳ τῆς Γαλατίας περὶ τὰ τέλη τοῦ Γ′ αἰῶνος.

Ναὸς τοῦ ἁγίου Πλάτωνος, κείμενος οὐ πολλῷ μακρὰν τοῦ Κωνσταντινιανοῦ φόρου, ἐκτίσθη πρὸ τοῦ 527 ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ, ἀναφέρεται δὲ καὶ τῷ 562, ὅτε τῇ 24 δεκεμβρίου ἐν αὐτῷ ἐγένετο ἡ παννυχὶς τῶν ἐγκαινίων τῆς Ἁγίας Σοφίας[75]. Βασίλειος ὁ Μακεδὼν κατεσκεύασε τῷ ναῷ τούτῳ νέον ὄροφον καὶ διὰ τοίχων νέων ἐστερέωσεν αὐτόν[76].

* * *

18. Ῥωμανοῦ μάρτυρος.

Ἤθλησεν ἐν ἀρχαῖς τοῦ Δ′ αἰῶνος.

Ναὸς ἐπ' ὀνόματι τοῦ ἁγίου Ῥωμανοῦ ὑπῆρχε πρὸ τοῦ Θ′ αἰῶνος, ἀλλὰ κατεστραμμένος· ἤγειρε δ' αὐτὸν ἐκ βάθρων Βασίλειος ὁ Μακεδών, ἴσως παρὰ τὴν ὁμώνυμον πύλην[77].

ℓ

20. Γρηγορίου τοῦ Δεκαπολίτου.

Ἐγεννήθη ἐν Εἰρηνοπόλει τῆς ἐν Ἰσαυρίᾳ Δεκαπόλεως, υἱὸς Σεργίου καὶ Μαρίας· ὀκταετὴς ἤρξατο σπουδάζειν τὰ κοινὰ γράμματα καὶ τούτοις ἀρκεσθεὶς ἐφοίτα τοὐντεῦθεν, δεκαέτης ἴσως, εἰς τοὺς ναούς, ἐν οἷς «τὴν τῶν δαυϊτικῶν μελῳδημάτων ἀνέκρουε φόρμιγγα». Τὴν ἐφηβικὴν ἡλικίαν παραλλάττων ἠσπάσατο τὸν μοναχικὸν βίον καὶ, διαμείνας ἐν δυσὶ μοναῖς, ὧν ἐν τῇ τελευταίᾳ δεκατετραετίαν ὅλην, εἰσῆλθεν εἰς ἀπηωρημένον καὶ κρημνῶδες σπήλαιον καί τινα χρόνον ἀσκήσας ἐν αὐτῷ, μετέβη καὶ, διαχειμάσας εἴς τι τῶν περὶ τὴν Ἔφεσον μοναστηρίων, ἀπῆρεν εἰς Βυζάντιον, ἔαρος φανέντος· ἀλλὰ παρέμεινεν ἐν Προκονήσῳ παρά τινι πένητι σιτιζόμενος, ὃν ηὐλόγησε καὶ ἔκτοτε ὁ πένης ἐκέρδαινε πλείω τῶν προτέρων· ἀπελθὼν ἐκεῖθεν εἰς Αἶνον, ἀφίκετο κατόπιν εἰς Χριστόπολιν, κἀκεῖθεν ποταμῷ τινι πλησιάσας «περιέπεσε λῃσταῖς Σκλαβηνοῖς τὰ προσπίπτοντα τῶν πλοίων ληΐζομένοις»· οὗτοι μηδὲν βλάψαντες διεπέρασαν τὸν ὅσιον εἰς τὴν ἀντίθετον ὄχθην, ὁδοιπορήσας δ' ἦλθεν εἰς Θεσσαλονίκην, μείνας ἔν τινι μονῇ, ἧς τὸ τοῦ ἡγουμένου μόνον ὄνομα (Μάρκου) γινώσκομεν· μοναχῷ δέ τινι συνοδεύσας ἐκεῖθεν ἦλθεν εἰς Κόρινθον πεζῇ, διὰ θαλάσσης ἀκολούθως εἰς Ῥήγιον, κατόπιν εἰς Ῥώμην, ἐφησυχάζων τρίμηνον ἐν κελλίῳ τινί, καὶ ἀπὸ ταύτης εἰς Συρακούσας, ὅπου φαίνεται μείνας ἔν τινι πύργῳ παραλίῳ ἕνα ἢ δύο χρόνους· ἀνεχώρησε καὶ ἐκεῖθεν εἰς Ὑδροῦντα (Otrando), ἧς ὁ ἐπίσκοπος ἐτύγχανεν εἰκονομάχος· ὅθεν, μικρὸν προσμείνας ἀφίκετο καὶ πάλιν εἰς Θεσσαλονίκην, διαμείνας βραχὺν χρόνον εἰς τὸν ναὸν Μηνᾶ τοῦ μάρτυρος, ὕστερον δ' ἐν ἰδίοις κελλίοις, συμμοναστάς τινας ἔχων. Τέλος ἐκ Θεσσαλονίκης ἦλθεν εἰς Βυζάντιον, ἀφ' οὗ ἐξῆλθεν εἰς τὸν Ὄλυμπον καὶ πάλιν ὑπέστρεψε πρὸς τὴν πόλιν μένων ἐκεῖ καὶ θαυμάσια ἐργαζόμενος· δῆλον οὖν ἐν Θεσσαλονίκῃ. Κατέλαβε δὲ καὶ πάλιν, ἀσθενὴς ὤν, τὸ Βυζάντιον, πόθῳ Συμεὼν μοναχοῦ, πολλὰ παθόντος ἕνεκα τῆς πρὸς τὰς ἁγίας Εἰκόνας τιμῆς ὑπὸ Θεοφίλου. Ἦν δ' ὁ Συμεὼν οὗτος ἐκ μητρὸς συγγενὴς αὐτοῦ, ἀρχιμανδρίτης τῶν πρὸς τῇ Δεκαπόλει μοναστηρίων, δεσμώτης Θεοφίλου. Ἀπεβίωσεν ὁ Γρηγόριος τῇ 20 νοεμβρίου ἐν Κωνσταντινουπόλει, μεταξὺ τῶν ἐτῶν 830-842[78].

* * *

20. Τοῦ ἁγίου μάρτυρος Θεοκτίστου τῇ θέσει εὐνούχου, ὃς ἦν ἐπὶ Θεοδώρας αὐγούστης.

Ἡ διάκρισις αὕτη δηλοῦσα τὸν χρόνον τῆς

73. Theoph. Cont. σελ. 102-103. Ἐφραίμιος· στ. 2309. Συναξαριστὴς καὶ Μηναῖον.
74. τὴν μνήμην τῆς συνάξεως εὑρίσκω παρὰ Morcelli· Kalendarium· Α′, σελ. 235.
75. Προκοπίου, Περὶ κτισμάτων· σελ. 190. Θεοφ. Α′, σελ. 369.
76. Theoph. Contin. σελ. 324.
77. αὐτόθι.
78. Γρηγορίου Δεκαπολίτου βίος, ἐν Μνημείοις ἁγιολογ. Θεοφίλου· σελ. 131-160.

ἀκμῆς ἐτέθη λίαν καλῶς ἐν τοῖς χειρογράφοις Συναξαρισταῖς, διότι κατὰ τὸ 821 Θεόδωρος ὁ Στουδίτης μετέβαινεν ἀπὸ Χαλκηδόνος ἐπισκεψόμενος «τὸν πάλαι μάγιστρον Θεόκτιστον, ὑπ' αὐτοῦ (τοῦ Στουδίτου δῆλα δή) πρώην ἀποκαρθέντα, καὶ τηνικαῦτα τῷ ἰδίῳ προσκαρτεροῦντα μοναστηρίῳ»· ἦν ἄρα τὸ μοναστήριον τοῦτο πλησίον Χαλκηδόνος ἐν μέρεσι χαμηλοῖς, διότι «ἐκεῖθεν ἀνέρχεται πρὸς τὸν ἀοίδιμον πατριάρχην Νικηφόρον» ὁ Στουδίτης· διέπρεπε δ' ὁ Θεόκτιστος ἐπ' ἀρετῇ καὶ βίου ὀρθότητι[79]. — Θεόκτιστος ὁ πατρίκιος, ὅστις εἶχεν ἔθος 'ν' ἀπέρχηται συνεχῶς «ἐν τῷ λούσματι τῶν 'Αρεοβίνδου», ἴσχυεν ἐπὶ Λέοντος Ε', καὶ ἴσως ὑπ' αὐτοῦ, ἢ ὑπὸ τοῦ Θεοφίλου «τῷ τοῦ πατρικίου τετίμητο ἀξιώματι, καὶ τὴν ἐπὶ τοῦ βασιλικοῦ καλάμου πρόνοιαν ἐγκεχειρίστο, δι' οὗ κανίκλειος ἐδοξάζετο, ἐφ' ᾧ καὶ τὰ τῆς ἐπιτροπείας τοῦ Μιχαὴλ ὡς εὐγνώμονι ἐβεβαίωτο», συνεπίτροπον ἔχοντι τὸν πρωτομάγιστρον Μανουήλ, ἐφ' ᾧ καὶ λαμπρότατον ἀνήγειρεν ἑαυτῷ μέγαρον ὁ Θεόκτιστος μετὰ λουτροῦ καὶ παραδείσου «ἐν τῇ νῦν Ἀψίδα καλουμένῃ πρὸς τὸ πλησίον αὐτὸν εἶναι τοῦ παλατίου»[80]. Μετὰ τὸν τοῦ Θεοφίλου θάνατον, ὁ Θεόκτιστος, νοσῶν ἐπὶ θάνατον καὶ σχεδὸν ψυχορραγῶν, ὑπισχνεῖτο τοῖς αὐτῷ προσελθοῦσιν ἐναρέτοις καλογήροις τῆς τοῦ Στουδίου μονῆς ὅτι ἀναστηλώσει τὰς ἁγίας Εἰκόνας ἐὰν ἀπὸ τοῦ θανάτου σωθῇ· διὰ δὲ τῶν εὐχῶν τῶν μοναχῶν τούτων ἀναρραίσας παρ' ἐλπίδα συνετέλεσε τὸ ἱερὸν ἔργον τοῦτο σὺν τῷ μαγίστρῳ Μανουήλ· οὐ μόνον δ' ὁ Θεόκτιστος ἐδειλοψύχει περὶ τὴν ἀναστήλωσιν, ἅτε τῷ Θεοφίλῳ προϋποσχόμενος ὅτι τηρήσει τὴν κατάστασιν ὡς εἶχε κατὰ τὴν ἐκείνου βασιλείαν, ἀλλὰ καὶ ἡ Θεοδώρα «διὰ φιλανδρίαν ἴσως παράλογον, εἴτε διὰ τὴν τοῦ τηλικούτου μετάθεσιν πράγματος». Ὁ Θεόκτιστος ἔπεσε μετ' ὀλίγον θύμα ἐπιβουλῆς[81].

* * *

20. Πρόκλου, Μαξίμου, Ἀνατολίου καὶ Γενναδίου, πατριαρχῶν Κωνσταντινουπόλεως,

ὧν τὴν μνήμην ὁρίζουσιν εἰς τὴν 20 νοεμβρίου τὰ παλαιότερα κωνσταντινουπολιτικὰ Εὐαγγέλια.

Ἴδε περὶ Πρόκλου τῇ 24 ὀκτωβρίου· περὶ Μαξίμου, τοῦ καὶ Μαξιμιανοῦ, τῇ 21 ἀπριλίου· περὶ Ἀνατολίου τῇ 3 ἰουλίου. Γεννάδιος δὲ, ὁ τοῦ σεβασμοῦ πάντων ἀπολαύων, ἱεράτευσεν ἀπὸ τῶν μέσων τοῦ 458 μέχρι τέλους πιθανῶς τοῦ 471. Οἱ βυζαντινοὶ χρονογράφοι πολλῶν θαυμάτων ὑπηρέτην ἀναγράφουσι τὸν ἱερὸν Γεννάδιον[82].

§

21. **Τὰ Ἅγια τῶν Ἁγίων.**

Ἡ κατὰ τὴν ἡμέραν ταύτην προέλευσις ἐγίνετο μετὰ τὸν ΙΑ' αἰῶνα ἐν τῇ μονῇ τῆς Περιβλέπτου, τελουμένης ἐκεῖ τῆς πατριαρχικῆς λειτουργίας[83].

§

26. Τὰ ἐγκαίνια τοῦ Ἁγίου Γεωργίου ἐν τῷ Κυπαρίσσῳ.

Γνωστός ἐστιν ὁ Ἅγιος Γεώργιος ὁ Κυπαρισσᾶς ἐν Ὑψωμαθείοις, ὃν κατὰ συνθήκην νομίζομεν τὸν ἐν τοῖς Συναξαρισταῖς καὶ τοῖς Μηναίοις Γεώργιον τὸν ἐν τῷ Κυπαρισσίῳ[84].

§

27. Ἰακώβου μάρτυρος τοῦ Πέρσου.

Ἤθλησεν ἐπὶ Ἀρκαδίου καὶ Ὀνωρίου.

Ναὸς εἰς αὐτὸν ἠγείρετο πλησίον τοῦ Ἁγίου Μωκίου[85].

§

28. Στεφάνου ὁμολογητοῦ τοῦ νέου καὶ τῶν αὐτῷ συναθλησάντων ὑπὲρ τῶν ἁγίων Εἰκόνων Ἀνδρέου, Πέτρου, Ἄννης, Στεφάνου, Ἰωάννου καὶ δύο Γρηγορίων.

Ἤθλησαν τῇ 28 νοεμβρίου 767, γνωστὸν

79. Στουδίτου βίος· Migne, τόμ. γθ', στ. 220, 316.

80. Γεώργιος μοναχός· σελ. 816.

81. Λέων γραμματικός· σελ. 235. Γενέσιος· σελ. 12, 23, 78-80 καὶ 86-90. Ζωναρᾶς· Ιϛ', 1 (Δινδόρφ. Δ', 1).

82. Πατριαρχ. Πίνακες· σελ. 194-198. Θεοφ. Α', σελ. 174 καὶ 175. Θεόδ. Ἀναγνώστης· Β', 65.

83. Κωδινοῦ, Περὶ ὀφφικίων· σελ. 80. Τὴν ἑορτὴν οὕτω σημειοῦσι τὰ ἀρχαιότερα κωνσταντινουπολιτικὰ Εὐαγγέλια.

84. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· Α', σ. 304, ὅπου γράφει παρακείμενον τῷ Ἁγίῳ Γεωργίῳ τὸ μαρτυρεῖον τοῦ ἁγίου Χριστοφόρου καὶ τοῦ ἁγίου Πολυεύκτου, μακρόθεν αὐτὰ μετάγων εἰς Ὑψωμαθεῖα καὶ νομίζων Ἅγιον Πολύευκτον (μετά τινος ἐνδοιασμοῦ) τὸν Ἅγιον Πολύκαρπον, ἀγνοῶν ὅτι ὁ Ἅγιος Πολύκαρπός ἐστιν ὁ Ἅγιος Μηνᾶς τῆς σήμερον. Εἰκονογραφίαν τοῦ Ἁγίου Γεωργίου Κυπαρισσᾶ βλέπε παρὰ Πασπάτῃ· Μελέται, σελ. 387.

85. Πορφυρογεν. Ἐκθ. Α', σελ. 100.

ἐστι δ' ὅτι, ὁ μὲν Ἀνδρέας, ὁ κατὰ Θεοφάνη μονάζων ἐν Βλαχέρναις καὶ προαθλήσας τοῦ Στεφάνου, ἐτάφη ἐν τῷ ἐμπορείῳ τοῦ Λευκαδίου, ὃν ἐκήδευσαν αἱ ἀδελφαὶ αὐτοῦ, ὁ δὲ Στέφανος ἐτάφη εἰς τὰ Πελαγίου[86]. Εἷς τῶν τῷ Στεφάνῳ συμμοναζόντων «ἔγκλειστος ἦν ἐν τῷ Σωσθενείῳ», ὅστις, ἀπειλούμενος τὴν ζωὴν ἔφυγεν εἰς Χαζαρίαν ἐκ Χερσῶνος, εἰς ἣν ἐξωρίσθη, καὶ γέγονε μετὰ καιρὸν ἐπίσκοπος ἐν Χαζαρίᾳ· ὁ ἕτερος Στέφανος ἐξωρίσθη εἰς Σουγδαίαν, οἱ δὲ δύο Γρηγόριοι ἀλλαχοῦ· Ἰωάννης ὁ ἀπὸ Γαλαταρίων ἐξωρίσθη εἰς Δαφνουσίαν, καταγόμενος προδήλως ἐκ τοῦ χωρίου Γαλαταρίων, οὐ μακρὰν τῆς Κωνσταντινουπόλεως κειμένου, πλησίον τοῦ τόπου τῶν Φλωρίων (Τζεκρεβζὲ-Φλώρια). Δυστυχῶς οἱ ἐκδόται τοῦ λεγομένου Βασιλειανοῦ Μηνολογίου, κακῶς ἀναγνόντες, ἔγραψαν ἀπὸ Λεγαταρίων (Ioannes exlegatarius), ὁ δὲ ἄκριτος Νικόδημος ἀρῆκε τὴν λέξιν, ἀγνοῶν ὅτι, καθὼς εἴδομεν ἔν τισι μνήμαις ἁγίων, οἱ ἀνήκοντες εἰς στρατιωτικὰ τάγματα ὀνομάζονται διὰ τῆς ἑλληνικῆς λέξεως στρατιῶται, κυρίως οἱ μετὰ τὸν Ε' αἰῶνα, οὐχὶ δὲ διὰ λατινικῆς. Ἱστέον δὲ ὅτι ἐν τῷ συναξαρίῳ τῆς 28 νοεμβρίου γνωρίζονται οἱ μάρτυρες οὗτοι οὐχὶ ἀπὸ τῶν ἐπαγγελμάτων, ἀλλ' ἀπὸ τῶν τόπων, ἐξ ὧν ὁρμῶνται· οἱ δὲ τὰς ἀκρισίας τοῦ Νικοδήμου δικαιολογοῦντες, οἱ δι' αὐτῶν δημιουργοῦντες ὑπόληψιν ὀλιγομαθείας ἢ πολυμαθείας, δυστυχῶς εἶδον μόνον τὸν Νικόδημον, οὐχὶ δὲ δόκιμα χειρόγραφα, καὶ μάλιστα τὰ παλαιότερα· ἐπὶ παραδείγματι, τὸ 429 μεμβράνινον χειρόγραφον τῆς ἐν Ἁγίῳ Ὄρει μονῆς τῶν Ἰβήρων, γεγραμμένον κάλλιστα κατὰ τὸν ΙΓ' αἰῶνα, ἔχει τὴν γραφὴν διωρθωμένην, ὡς καὶ τὸ Σταυρονικητηνόν. — Ἡ μάρτυς Ἄννα ἀναφέρεται ἐν τῇ βιογραφίᾳ τοῦ Στεφάνου, οὖσα χήρα εὐγενὴς καὶ πλουσία, καὶ διανείμασα διὰ τοῦ Στεφάνου τὴν περιουσίαν αὐτῆς εἰς ἔργα κοινωφελῆ.—Ὁ δὲ Στέφανος ὁ λεγόμενος ὁμολογητής, ἐν ἀληθείᾳ δὲ μάρτυς, ἐγεννήθη ἐν Κωνστ/πόλει τῷ 714 ἐξ εὐσεβῶν γονέων, οἰκούντων ἐν τῷ Σταυρίῳ, ὅπου *πρὸς τὸ κάταντες μέρος εἰσὶν εὐμεγέθεις οἰκίαι προσαγορευόμεναι τὰ Κώνστα*. Τῷ 730 τὸν Στέφανον οἱ γονεῖς αὐτοῦ παραλαβόντες ἦλθον εἰς τὸν ναύσταθμον Χαλκηδόνος, κἀκεῖθεν εἶχοντο τῆς ὁδοῦ τῆς ἐπὶ τὸ ὄρος φερούσης τοῦ ὁσίου Λύξεντίου, ὅπερ ὄρος λέγει «τερπνότατον τοῖς σῴζεσθαι βουλομένοις, ὑψηλὸν παρὰ πάντας τοὺς συγκειμένους λόφους· ψυχρόν τε καὶ ξηρόν, καὶ, ἵνα συνελὼν εἴποιμι, τοῦ οὐρανοῦ ἐφαπτόμενον». Αὐτόθι μετὰ τὸν Λύξέντιον ἐμόνασαν ἐν τῷ Σπηλαίῳ Σέργιος ὁ τούτου μαθητὴς, μεθ' ὃν Βενδεδιανὸς, ὕστερον ἐκείνου Γρηγόριος, καὶ μετ' αὐτὸν Ἰωάννης, *διορατικοῦ χαρίσματος μετασχών*. Τοῦ Ἰωάννου θανόντος, συρρευσάντων δέ τινων ἀσκητῶν, ἕως εἴκοσι, κατεσκεύασεν ὁ Στέφανος οἴκους καὶ δωμάτια καὶ πᾶσαν οἰκοδομὴν χρειώδη, καὶ καθίδρυσε μονὴν, τοῦ ἁγίου Λύξεντίου κληθεῖσαν· περὶ αὐτὴν που κελλίον ἔκτισε στενώτατον δι' ἑαυτόν· εὐσεβοῦς δέ τινος γυναικὸς χρυσίον πολὺ τῷ Στεφάνῳ προσενεγκούσης, οὗτος διέταξε «διανεῖμαι τὸ χρυσίον οἰκείαις αὐτῆς χερσὶν εἰς τὰ συμπαρακείμενα τῇ γειτνιάσει χωρία». Κατὰ τῆς ψευδοσυνόδου τοῦ 754 κηρύττων κατεδιώχθη ὑπὸ τοῦ Κοπρωνύμου, τὸ δὲ μοναστήριον, ὅπερ ἵδρυσεν, ἐμπρησθὲν τότε, ἢ τῷ 755, τῶν καλογήρων τοῦ Ἁγίου Λύξεντίου διασκορπισθέντων· αὐτὸν δὲ διὰ θαλάσσης ἀπήγαγον εἰς τὸ τοῦ Φιλιππικοῦ μοναστήριον. Εἰς Προκόννησον ἀποσταλεὶς τῷ 755 εὗρεν οἴκημα σπηλαιοειδὲς ἐν τῷ νοτιαίῳ τῆς νήσου κρημνῷ Κισσούδᾳ, ἐν ᾧ ναὸς ὑπῆρχε τῆς ἁγίας Ἄννης· αὐτόθι διετίαν ἡσύχασε· μεθ' ὃ μετενεχθεὶς εἰς τὴν ἐν Κωνσταντινουπόλει φυλακὴν τῆς Φιάλης, ὅπου περιωρίσθησαν Ἀντώνιος ὁ ἐκ Κρήτης καὶ Θεοστήρικτος ὁ ἀπὸ τῆς Πελεκητῆς, ἐστενοχωρεῖτο παντοίαις στερήσεσι, καὶ ἀπέθανε τῇ 28 νοεμβρίου 767, ταφεὶς εἰς τὰ Πελαγίου[87]. Οἱ χρονογράφοι λέγουσιν αὐτὸν ἄνδρα ὅσιον καὶ θεοφιλῆ, «περιειργμένον ἐν οἰκιδίῳ στενωτάτῳ» ἐπὶ ἔτη ἑξήκοντα[88]· τὸ δὲ Βασιλειανὸν λεγόμενον γράφει ὅτι ἐτάφη ἐν τόπῳ, ἐν ᾧ καὶ κατάκειται, ὡς καὶ οἱ Συναξαρισταί, καὶ ὅτι σὺν αὐτῷ ἐτάφησαν Ἀνδρέας καὶ Πέτρος· ἀλλ' ἂν ὁ Ἀνδρέας οὗτος ᾖ ὁ μονάζων ἐν Βλαχέρναις, ἐτάφη ἐν τῷ Λευκάτῃ· τοῦ δὲ Στεφάνου τοῦ νέου τὸν ἐγκέφαλον ἀποτεθέντα προσωρινῶς ἐν τῷ ναΐσκῳ τοῦ ἁγίου Στεφάνου τῆς μονῆς τοῦ Δίου ἀναλαβόντες ἐκεῖθέν τινες ἔκρυψαν ἄγνωστόν που, κατὰ τοὺς βιογράφους.

Πλὴν τῆς ἐκδεδομένης βιογραφίας τοῦ Στεφάνου, εὑρίσκεται ἐν τῷ μεμβρανίνῳ χειρογράφῳ Δ78 τῆς ἐν Ἁγίῳ Ὄρει μεγίστης Λαύ-

86. Θεοφ. Α', σελ. 667.

87. Στεφάνου βίος, ὑπὸ Στεφάνου διακόνου· Migne, τ. Ρ', στ. 1070-1185.

88. Νικηφόρος πατριάρχης· σ. 81. Θεοφ. Α', σ. 674.

ρας, γεγραμμένῳ περὶ τὰ τέλη τοῦ ΙΒ′ αἰῶνος ἢ τὰς ἀρχὰς τοῦ ΙΓ′, «Βίος καὶ πολιτεία καὶ ἀγῶνες τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Στεφάνου τοῦ νέου»· ἄρχεται ἀπὸ φύλλου 326α2: «Θεῖόν τι χρῆμα ἡ ἀρετὴ καὶ πολλῶν ἀξία τῶν ἐγκωμίων»· λήγει δὲ εἰς φύλλον 358β2: «ἢ καὶ ἡμεῖς παρασταίημεν, εὐχαῖς αὐτοῦ καὶ πρεσβείαις, διὰ τῆς τοῦ Χριστοῦ χάριτος καὶ τῶν οἰκτιρμῶν» κτλ. Στιχυολογίαν ἐκ τοῦ μακροῦ τούτου βίου ἐνόμισα χρήσιμον τοῖς εἰς τὴν βυζαντινὴν ἱστορίαν καὶ τοπογραφίαν ἀσχολουμένοις.

ℰ

30. Ἀνδρέου τοῦ πρωτοκλήτου.

Τὰ περὶ αὐτοῦ, ὡς πρώτου κηρύξαντος ἐν Βυζαντίῳ τὸν χριστιανισμόν, ἀνάγκη ἵνα μελετηθῶσι καὶ παρ' ἡμῖν μετὰ κρίσεως εὐσεβοῦς· ἐν τούτοις, πρὸς τὸ παρὸν δέον ἵνα γινώσκωμεν ὅτι τὸ Βασιλειανὸν οὐ λέγει τι περὶ τῆς ὑποθέσεως ταύτης.

Τὸ λείψανον Ἀνδρέου τοῦ πρωτοκλήτου τῇ 3 μαρτίου 357 κομισθὲν ἐκ Πατρῶν ἐπὶ Κωνσταντίου, υἱοῦ τοῦ Μ. Κωνσταντίνου, κατετέθη ἐν τοῖς Ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις, ἀρθὲν δὲ κατετέθη πάλιν ἐπὶ τοῖς ἐγκαινίοις τῇ 28 ἰουνίου 547[89].

Ναοὶ ἐπ' ὀνόματι Ἀνδρέου τοῦ πρωτοκλήτου ἀναφέρονται ὡρισμένως, 1) ὁ εἰς τὰ Ἀρκαδίας, κτισθεὶς ὑπὸ Ἀρκαδίας θυγατρὸς Ἀρκαδίου καὶ Εὐδοξίας, αὐτός, φρονῶ, ὁ Ἅγιος Ἀνδρέας ὁ ἐν τῇ Κρίσει, ὁ ὑπὸ Βασιλείου τοῦ Μακεδόνος ἀνανεωθείς, διότι γράφεται δυτικῶς κείμενος τοῦ Ἁγίου Μωκίου, οὐ μακρὰν αὐτοῦ[90]. Τὸν ναὸν τοῦτον ἐν τῷ ΙΔ′ αἰῶνι ἀνεκαίνισε Θεοδώρα Ῥαούλαινα ἡ πρωτοβεστιάρισσα, κατὰ τὰ ἐπιγράμματα[91], εἰ καὶ γνωστὸν ἄλλοθεν ὅτι *ἴδιον ἱερὸν δόμιον ἀνήγειρε κάλλιστον* ἐν τῇ μονῇ τοῦ ἁγίου Ἀνδρέου τοῦ τῆς Κρίσεως[92]. Ἐν τῷ ναῷ τούτῳ ἡμέραν τινα τοῦ αὐγούστου τῷ 1455 λειτουργήσας ὁ πατριάρχης Γεννάδιος ὁ Σχολάριος ἐχειροτόνησε Ῥόδου μητροπολίτην τὸν Νεῖλον[93]. — 2) ὁ πλησίον τοῦ Στύλου, οὗ γνωστὸς ὁ ἡγούμενος Βαβύλας ὁ πρεσβύτερος ἐν ἀρχαῖς τοῦ ΣΤ′ αἰῶνος· 3) ὁ πλησίον τῆς Σατουρνίνου πόρτης σῳζόμενος ἐπὶ τοῦ Μ. Ἰουστινιανοῦ[94]. — 4) ὁ ἐν τῇ φερωνύμῳ νήσῳ τῇ κατέναντι τοῦ Ἀκρίτα προϋπάρχων βεβαίως καὶ δοὺς εἰς τὴν νῆσον τὸ ὄνομα, ἀλλὰ κτισθεὶς καὶ πάλιν μεταξὺ τῶν ἐτῶν 1272-74 ὑπὸ Μελετίου τοῦ Γαλησιώτου (ἴδε 19 ἰανουαρίου). Συνεμερίσατο τῇ μονῇ τοῦ Ἀκρίτα (5 ἰανουαρίου) τὰς αὐτὰς τύχας καὶ τὰ παθήματα, καὶ ἐσῴζετο μέχρι τοῦ 1730 ἢ καὶ μικρῷ κατόπιν.

ΔΕΚΕΜΒΡΙΟΣ

2. Ἀββακοὺμ τοῦ προφήτου.

Τὰ λείψανα τῶν προφητῶν Ἀμβακοὺμ καὶ Μιχαίου ἐκομίσθησαν ἐπὶ τοῦ Μ. Θεοδοσίου εἰς Κωνσταντινούπολιν[1].

* * *

2. Φιλαρέτου τοῦ ἐλεήμονος.

Παφλαγὼν τὴν πατρίδα ὁ Φιλάρετος ἦν υἱὸς Γεωργίου καὶ Ἄννης, εὐσεβὴς καὶ φιλόπτωχος, προαχθεὶς εἶτα μέχρι τῆς ἀξίας ὑπάτου· διὰ τὴν εὐσέβειαν αὐτοῦ καὶ φιλοπτωχίαν «ὁ Θεὸς ἐποίησε τὴν βασίλισσαν (Εἰρήνην) καὶ ἐπῆρε τὴν ἐκγόνην αὐτοῦ Μαρίαν νύμφην εἰς τὸν υἱὸν αὐτῆς Κωνσταντῖνον· καὶ ἀπὸ τότε ἐπλούτησεν ἡ γενεὰ αὐτοῦ . . . . ἀπέθανε καὶ ἐτέθη ἐν τῇ μονῇ τῆς Κρίσεως»[2].

* * *

2. Κυρίλλου τοῦ Φιλεώτου.

Ἐγεννήθη ἐν Φιλέᾳ τῆς ἐπαρχίας Δέρκων τῷ 1016· μοναχὸς γενόμενος ἵδρυσε τὴν ἐν τῷ χωρίῳ Φιλέᾳ μονὴν τοῦ Σωτῆρος μεταξὺ τῶν ἐτῶν 1100-1105, ἧς Ἀλέξιος ὁ Κομνηνὸς ἀνήγειρε τὸν ναὸν μεγαλοπρεπέστερον δωρησάμενος τῇ μονῇ πολλὰ κτήματα. Ὁ ὅσιος Κύριλλος ἀπεβίωσε τῇ 2 δεκεμβρίου 1111[3].

89. Φιλοστόργιος· Γ′, 2. Πασχ. Χρον. σ. 542 καὶ 546. Μαλαλᾶς· σελ. 484. Θεοφ. Α′, σελ. 352.

90. Πασχ. Χρον. σ. 566. Theoph. Contin. σ. 323.

91. Banduri, Imp. Orient. σελ. 150-152.

92. Παχυμέρης· Β′, σελ. 83-86. Νικηφόρος Γρηγορᾶς· Α′, σελ. 167.

93. Πατριαρχ. Πίνακες· σελ. 474.

94. Δουκαγγίου, Const. Christ. σ. 76, VI καὶ VII.

1. Πατριαρχ. Πίνακες· σελ. 140.

2. ταῦτα κατὰ τὸ Βασιλειανόν, ὅπερ τίθησι τὴν μνήμην αὐτοῦ τῇ 2 δεκεμβρίου.

3. Μ. Ι. Γεδεών, Δέρκος· σελ. 32-35. Αὐτόθι παρασυνάπτεται πρὸς τὸ τέλος ἐπιτομή τις τῆς βιογραφίας τοῦ Κυρίλλου, μέχρι σήμερον οὔσης ἀνεκδότου.

ℰ

(3.) Τῶν ἁγίων μαρτύρων Μ′, ὄντων ἐν Σοφιαναῖς.

Ἡ μνήμη τούτων ἀναφέρεται μόνον ἐν τῷ Σταυρονικητηνῷ Συναξαριστῇ, δηλοῦσα βεβαίως τὸν ναόν, ὅστις ἦγε πανήγυριν καὶ τῇ 27 αὐγούστου. Νομίζω ὅτι ὁ ναὸς τῶν Μ′ μαρτύρων ἐστὶν ὁ ἐν τῷ παλατίῳ (τοῦ Βουκολέοντος) ναὸς αὐτῶν, τῇ 9 μαρτίου σημειωθείς (ὑπ' ἀριθμ. 2).

ℰ

4. Βαρβάρας μάρτυρος.

Ἠθλησεν ἐπὶ Μαξιμιανοῦ.

Ναὸς εἰς αὐτὴν ἠγέρθη τὸ πρῶτον ἐντὸς τῶν ἀνακτόρων ὑπὸ Λέοντος τοῦ Σοφοῦ κατὰ τοὺς τοῦ Μαρκιανοῦ περιδρόμους, συνημμένον ἔχων τὸν ναὸν τοῦ ἀποστόλου Παύλου[4].

Ὁ ῥῶσσος περιηγητὴς Ἀντώνιος μυθολογεῖ ὅτι ἐν τῷ ναῷ τῆς ἁγίας Βαρβάρας εἶδε λείψανον αὐτῆς[5].

* * *

4. Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ἰωάννης «ὁ καλῶς ἐπικληθεὶς χρυσορρόας διὰ τὴν ἐπανθοῦσαν αὐτῷ τοῦ πνεύματος ἔν τε λόγῳ καὶ βίῳ χρυσαυγῆ χάριν» ἐγένετο «τῷ τε βίῳ καὶ τῷ λόγῳ διδάσκαλος ἄριστος, πάσης γνώσεως θείας τε καὶ ἀνθρωπίνης ἐμπεπλησμένος»[6].

Τὸ λείψανον Ἰωάννου τοῦ Δαμασκηνοῦ κατὰ τὰ τέλη τοῦ ΙΓ′ αἰῶνος ἐσῴζετο ἐν Κωνσταντινουπόλει[7].

ℰ

5. Σάβα τοῦ ὁσίου.

Ἡ βιογραφία αὐτοῦ χρήσιμος εἰς τὴν ἱστορίαν τοῦ ΣΤ′ αἰῶνος· ὁ Σάβας ἐπεσκέψατο τὴν Κωνσταντινούπολιν, χάριν ἐκκλησιαστικῶν ὑποθέσεων, ὅτε διέμεινεν ἐν τῇ μονῇ τῆς Χώρας, ἥτις ἐξ ἐκείνου τοῦ καιροῦ ἐχρησίμευεν ὡς ξενοδοχεῖον τῶν ἐκ Παλαιστίνης εἰς Κωνσταντινούπολιν ἀναβαινόντων μοναχῶν. Ἐκλογή τις ἐκ τῆς ἀνεκδότου τοῦ Σάβα βιογραφίας ἐκδίδοται ἐν ἐπιμέτρῳ τοῦ παρόντος.

4. Theoph. Contin. σελ. 335.

5. Ποικίλη Στοά, 1884· σελ. 359.

6. Θεοφ. Α′, σελ. 643. Κεδρ. Α′, σελ. 799.

7. Παχυμέρης· Β′, σελ. 40.

ℰ

6. Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας.

Ἤκμασεν ἐπὶ τῆς Α′ Οἰκουμενικῆς Συνόδου.

Ναοὶ ἐπ' ὀνόματι τοῦ ἁγίου Νικολάου ἀναφέρονται 1) ὁ ἔξω τῶν Βλαχερνῶν, πλησίον τῆς πύλης τῆς ὑποκάτω τῶν ἀνακτόρων αὐτῶν, ἴσως τῆς Γυρολίμνης, ζημιωθεὶς ὑπὸ τῶν ἀβάρων τοῦ 626 καὶ τῷ 1097 ὑπὸ σταυροφόρων τινῶν· ἐν τῷ εὐκτηρίῳ τούτῳ τοῦ ἁγίου Νικολάου ἐσῴζετο τῷ 900 τὸ λείψανον τοῦ ἁγίου Πέτρου ἐπισκόπου Γορδορυνείας τοῦ ὁμολογητοῦ[8]· — 2) «τὸ τοῦ ἱεράρχου Νικολάου τέμενος, ὃ Προσφύγιον μέχρι τῆς δεῦρο εἰώθασιν ὀνομάζειν, ἀγχοῦ τῆς μεγάλης ἐκκλησίας καὶ πρώην ἐνιδρυμένον πάλαι ἐπὶ σωτηρίᾳ τῶν ἐπ' ἐγκλήμασιν ἁλισκομένων, ὡς μέρος τυγχάνον τοῦ μεγάλου τεμένους, καὶ ἐπίτηδες, οἶμαι, κατασκευασθὲν τοῖς ἀρχαίοις, ἵνα πᾶς ὁ ἐπ' ἐγκλήματι ἁλοὺς, καὶ φθάσας εἴσω τούτου γενέσθαι, τῆς ἐκ τῶν νόμων τηνικαῦτα ἐλευθεροῦται ποινῆς»[9]· — 3) ὁ ἐν τῇ μονῇ τοῦ Μωλιβωτοῦ ἔξωθεν τῆς Χρυσῆς Πόρτης, ἐν ᾗ ἐτάφη ὁ αὐτοκράτωρ Κωνσταντῖνος ὁ Δούκας, ὅστις ἴσως ἐπεσκεύασεν αὐτήν. Ταύτην ἐννοεῖ βεβαίως οὖσαν ὁ μυθολόγος Ἀντώνιος τὸν ἔξω τῶν Χρυσῶν Πυλῶν κείμενον ναὸν τοῦ ἁγίου Νικολάου[10]· — 4) τὸ κελλύδριον τοῦ ἁγίου Νικολάου, ὅπερ κατὰ τὰ τέλη τοῦ ΙΓ′ αἰῶνος «συνίστατο πρὸς τῇ θαλάσσῃ καὶ ὡς μετόχιον τῇ Ὀξείᾳ ἠρμόζετο»[11]· — 5) ὁ κατὰ τὸν ΙΒ′ αἰῶνα σῳζόμενος μεταξὺ τῶν μονῶν Φιλανθρώπου καὶ Κεχαριτωμένης ναὸς τῆς γυναικείας πατριαρχικῆς μονῆς τοῦ ἁγίου Νικολάου, περὶ ἧς ἰδὲ εἰς τὴν 26 δεκεμβρίου[12]· — 6) ὁ ἐν Γαλατᾷ ναός, ἀναφερόμενος τῷ 1303[13]· — 7) ὁ ὑπὸ Κλιβανάρη τοῦ σεβαστοῦ οἰκοδομηθεὶς ἐν τέλει τοῦ ΙΓ′ ἢ ἐν ἀρχαῖς τοῦ ΙΔ′ αἰῶνος[14]· — 8) ὁ ὑπὸ Γλαβᾶ ἱδρυθείς, ὡς ἔοικε, συγχρόνως[15]· — 9) ὁ ἐν Τζιβαλίῳ, ὅστις

8. Ἄννα Κομνηνή· Β′, σ. 48. Πασχάλ. Χρον. σ. 725. Βίος Εὐθυμίου· σελ. 30.

9. Ἄννα Κομνηνὴ, Α′, σελ. 100.

10. Ἀμαρτωλός· Migne, τόμ. ΡΙ′, στ. 1237. Ποικίλη Στοὰ, 1884· σελ. 361.

11. Παχυμέρης· Α′, σελ. 270.

12. Τυπικὸν Κεχαριτωμένης· Migne, τ. ΡΚΖ′, 1120.

13. Πασπάτη, Μελέται· σελ. 218.

14. Manuelis Philæ Carmina, ἔκδ. Emm. Miller· τόμ. Α′, 78.

15. Μ. Γεδεών, «Κωνσταντινούπολις», ἐν τῷ τοῦ «Νεολόγου» Λεξικῷ Ἱστορίας καὶ Γεωγραφίας· τόμ. Γ′, 1048.

ὑπῆρχε τῷ 1453, καθὼς ἐκ τουρκικῶν τινων ἐγγράφων ἐξάγεται.

* * *

6. Μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ.

Ἀναφέρεται τῷ 557 σεισμὸς γενόμενος «ἐν μηνὶ δεκεμβρίῳ» *μέγας*, ἀλλ' ὁ Θεοφάνης γράφει ἡμέρᾳ Ϛ', ἤτοι παρασκευῇ, καὶ μάλιστα πρὸς τὸ ἐξημέρωμα τοῦ σαββάτου. Ἐν τούτοις ὁ Goar μετέφρασεν οὐ καλῶς ταῦτα mensis octobris, die sexto, νομίσας τὴν 6 τοῦ μηνός, ἐνῷ Ϛ' ἐν τοῖς χειρογράφοις δηλοῖ παρασκευήν· τὸ δὲ παρὰ Θεοφάνει «διαφαίνοντος σαββάτου» μετέφρασε: sub sabbati crepusculum, καίτοι πρὸ δύο σελίδων τὸ «διαφαινούσης κυριακῆς» μετέφρασεν: illucescentis jam dominici diei. Καὶ ὁ μὲν Goar οὐ καλῶς ταῦτα, νομίζω, μετέφραζεν· ἀλλὰ μήπως καὶ ὁ Θεοφάνης ἀρά γε τὸ Ϛ' ἰδὼν ἐν ὑπομνήματί τινι ἔγραψε παρασκευὴν ἀντὶ 6 ; [16].

ℰ

7. Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων. Ἡ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

* * *

7. Πρίσκου, Μαρτίνου καὶ Νικολάου τῶν μαρτύρων. Ἡ σύναξις αὐτῶν πλησίον τοῦ τείχους τῶν Βλαχερνῶν.

Ἤθλησαν ἐν ἀγνώστῳ ἡμῖν χρόνῳ.

Ὁ ναὸς τῶν ἁγίων Πρίσκου καὶ Νικολάου ἔκειτο *ἐπέκεινα* τῶν Βλαχερνῶν, προδήλως μεταξὺ αὐτῶν καὶ τοῦ Κοσμιδείου, καινουργηθεὶς ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ· αὐτόσε συνέρρεον οἱ κάτοικοι τῆς πόλεως ἔκ τε σεβασμοῦ πρὸς τοὺς ἁγίους «ἐνδήμους γινομένους» καὶ διὰ τὴν τοῦ τεμένους εὐπρέπειαν, «ἐπεὶ τῆς θαλάσσης τὸ ῥόθιον βιασάμενος ὁ βασιλεὺς ὑπερθέν τε τοῦ κλυδωνίου ἐπὶ μακρότατον ἐνθέμενος τὰ θεμέλια τὸ ἱερὸν κατεστήσατο» [17].

* * *

7. Ἰγνατίου τοῦ κειμένου πλησίον τῶν Βλαχερνῶν.

Ἄγνωστος ὁ χρόνος καθ' ὃν ἔζησεν· οἱ Συναξαρισταὶ καὶ τὰ Μηναῖα σημειοῦσιν ἁπλῶς *ἐν εἰρήνῃ τελειοῦται*. Ἐπειδὴ λέγει τὸν Ἰγνάτιον κείμενον, ἄρα οὐ πρόκειται περὶ ναοῦ.

* * *

7. Τὰ ἐγκαίνια τῆς Ὑπεραγίας Θεοτόκου ἐν τοῖς Κουράτορος.

Ὁ ναὸς ἔκειτο κατὰ τὸ μεταξὺ Τσεμπερλῆτας καὶ Σερασκεράτου διάστημα, κατὰ δὲ τοὺς παραδοξογράφους ἐκτίσθη ὑπὸ Βηρίνης τῆς συζύγου Λέοντος τοῦ θρακός [18].

ℰ

8. Παταπίου τοῦ ὁσίου.

Αἰγύπτιος ὁ ἀνὴρ, ἦλθεν εἰς Κωνσταντινούπολιν «καὶ πρὸς τὸ ἐν Βλαχέρναις τείχει τὴν κατοικίαν θέμενος», ἀπειργάσατο πολλὰ θαύματα· «τὸ δὲ ἀσκητικὸν αὐτοῦ καὶ ἱερὸν λείψανον, χερσὶν ὁσίαις περισταλὲν, ὁ ἱερὸς λαμβάνει τοῦ Προδρόμου νεὼς», τῆς Πέτρας ἴσως, διότι ἐν ἐγκωμίῳ εἰς τὸν ὅσιον Πατάπιον τὸν ἐν τῇ μονῇ τῶν αἰγυπτίων δι' ἀρετῆς καὶ πόνου διαλάμψαντα ἀναφέρεται ναὸς τῆς Θεοτόκου ἐν τοῖς Πέτρου [19].

ℰ

9. Ἡ σύλληψις τῆς ἁγίας Ἄννης, μητρὸς τῆς Θεοτόκου. Ἡ σύναξις ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς Θεοτόκου τῷ ὄντι ἐν τοῖς Εὐορανίος.

Ἐν τῷ Σταυρονικητηνῷ Συναξαριστῇ γράφεται Εὐούνοις στενογραφικῶς· φρονῶ δὲ ὅτι οὔτε Εὐουράνοι, οὔτε Εὐουρανιώτισσα δέον 'να γραφῇ. Τῷ 410 ἀναφέρεται ὕπατος τῆς νέας Ῥώμης Οὐαρανᾶς = Varanes, ὁ αὐτὸς δὲ τῷ 456 ἦν ὕπατος τὸ ἕκτον. Ἐπὶ Μαυρικίου ἀναφέρεται ἡ τοποθεσία «τὰ Οὐαρανᾶς, πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας»· φρονῶ λοιπὸν ὅτι τὰ Οὐαρανᾶς καὶ Οὐαράνου ἐλέγοντο καὶ Ἐν-Οὐαράνου, ὁ δὲ αὐτόθι κτισθεὶς ναὸς τῆς Θεοτόκου ἐλέγετο τῆς Ἐν-Οὐαρανιωτίσσης ἢ Εὐουρανιωτίσσης ἀντὶ τοῦ ὀρθοῦ Varaniotissae, ὅπερ ὄνομα λογιώτατός τις διώρθωσε βραδύτερον Ἐν-ουρανοῖς, ἡ δὲ

16. Θεοφ. Α', 357. Κεδρ. Α', σελ. 675.

17. Προκοπίου, Περὶ κτισμάτων· σελ. 193.

18. Banduri, Imp. Orient. σελ. 34.

19. Παταπίου βίος, ὑπὸ Συμεὼν Μεταφραστοῦ· Migne, τόμ. ΡΙΣΤ', 357-368. Ἀνδρέου Κρήτης, λόγος εἰς Παπάπιον καὶ «Ἐγκώμιον τὸν βίον δηλοῦν τοῦ μακαρίου Παταπίου τέλειον»· Migne, τόμ. γΖ', στ. 1217, 1233, 1244 Ἴδε εἰς τὴν 7 Ἰανουαρίου κατάλογον τῶν ναῶν τοῦ Προδρόμου (ὑπ' ἀριθμὸν ε').

κακὴ γραφὴ μετέβαλεν εἰς Εὐούνοις· οὕτως ἡ μονὴ Σταυρακίου ὠνομάσθη χυδαϊκώτερον Τὰ Βρακᾶ καὶ κατὰ τοὺς τοῦ Ζωναρᾶ χρόνους, «πρὸς τὸ ἑλληνικώτερον δῆθεν ταύτην μεταγόντων, τὰ Ἑβραϊκὰ» ὠνομάζετο [20]. Κατὰ ἰούλιον τοῦ 1400, λαβὼν τὴν Βαρανιώτισσαν, ἀδεία τοῦ πατριάρχου Νείλου, Γεώργιος ὁ Κουνάλης, σεσαθρωμένην οὖσαν, ἐπεσκεύασεν ἐγείρας τὸν ναὸν περικαλλῆ μετὰ κελλίων, κοσμήσας διὰ ζωγραφιῶν καὶ εἰκόνων ἐξ ἀργύρου, καὶ δωρησάμενος πολλὰ κειμήλια καὶ βίβλους [21].

* * *

9. Στεφάνου τοῦ νεολαμποῦς τοῦ ἐν τῷ Ἁγίῳ Ἀντίπᾳ κειμένου.

Ἐγεννήθη ἐν Κωνσταντινουπόλει τῷ 838 καὶ ἐμόναζεν «ἐν τῇ τοποθεσίᾳ τοῦ Ζεύγματος, οὐ μακρὰν τοῦ ναοῦ τοῦ θείου μάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου» (τοῦ ὁμωνύμου χωρίου, ὡς φρονῶ). Μεθόδιος ὁ πατριάρχης ἐχειροτόνησε πρεσβύτερον τῆς μεγάλης ἐκκλησίας τὸν τοῦ Στεφάνου πατέρα Ζαχαρίαν, θανόντα τῷ 856, τὸν δὲ Στέφανον ἀπέκειρε κληρικὸν, ἴσως ἑπταέτη. Μετὰ θάνατον τοῦ πατρὸς, ὁ Στέφανος «ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου καὶ κορυφαίου Πέτρου ἐγκλείσας ἑαυτὸν ἀπρόϊτος ἦν. . . . . Τῷ ιβ' ἔτει τῆς βασιλείας τοῦ εὐσεβοῦς Βασιλείου καὶ τεσσαρακοστῷ τῆς ἡλικίας τοῦ ὁσίου σεισμὸς μέγας γέγονεν, ὑφ' οὗ τοῦ ναοῦ τοῦ ἁγίου Ἀντίπα πανταχόσε διαρραγέντος ἐξῆλθεν ἐκεῖθεν ὁ ὅσιος», ἦν δὲ τότε πρεσβύτερος καὶ αὐτός. Ἔζησεν 73 ἔτη, ὧν ἐν ἀσκήσει τὰ 55, ἀποθανὼν τῷ 912, βεβαίως τῇ 9 δεκεμβρίου [22].

ℰ

10. Μηνᾶ, Ἑρμογένους, καὶ Εὐγράφου.

Ἀθηναῖος τὴν πατρίδα ὁ Μηνᾶς, πεπαιδευμένος ἀνὴρ, ἀπεστάλη εἰς Ἀλεξάνδρειαν ὑπὸ Μαξιμίνου, διαμένοντος ἐν Βυζαντίῳ (πρὸ τοῦ 313). Τὸ λείψανον αὐτοῦ, καθ' ὃν εἶχε πόθον ὁ Μηνᾶς, εὐδοκίᾳ θείᾳ λέγεται καταπλεῦσαν εἰς Βυζάντιον, ὡς φαίνεται μετὰ τῶν λειψάνων Ἑρμογένους τοῦ ἐπισκόπου καὶ Εὐγράφου τοῦ γραμματέως τοῦ Μηνᾶ καὶ κατετέθη ὑπὸ τοῦ τῆς πόλεως ἐπισκόπου «παρὰ τῷ τείχει τῆς ἀκροπόλεως» [23].

Ὁ ναὸς αὐτοῦ, καθὼς εἴδομεν ἐν τῇ βιογραφίᾳ τῆς ὁσίας Ὀλυμπιάδος, ἔκειτο πλησίον τῶν Μαγγάνων, ἴσως δὲ αὐτὸς ἦν ὁ ἀναφερόμενος τῷ 878 καὶ τῷ 1401, ὅτε τόπος, ἐν ᾧ ἠγείρετο, οὐδαμῶς ὑποδεικνύεται [24].

* * *

Ἡ σύναξις τοῦ ἀρχιστρατήγου Μιχαὴλ ἐν τῷ Ἀδδᾶ.

Ἡ μνήμη τῆς ἑορτῆς τοῦ ναοῦ παρὰ τῷ Σταυρονικητηνῷ Συναξαριστῇ.

ℰ

11. Δανιὴλ τοῦ Στυλίτου. Ἡ σύναξις ἐν τῷ Ἀνάπλῳ.

Ἐγεννήθη ἐν Μαραθᾷ τῆς Μεσοποταμίας, υἱὸς Ἡλιοὺ καὶ Μάρθας· πενταέτης γενόμενος μοναχὸς, ἦλθεν ὕστερον εἰς Κωνσταντινούπολιν εὐθὺ πρὸς τὸν ναὸν τοῦ Μιχαὴλ ἀρχιστρατήγου κατὰ τὸν εἴσπλουν τοῦ Πόντου, μετὰ ταῦτα δ' εἰς Φιλέμπορον (προδήλως Φιλέα ἐμπόριον) ἐπὶ τοῦ πατριάρχου Ἀνατολίου. Γεννάδιος ὁ μετ' αὐτὸν πατριάρχης διέταξε τὸν Δανιὴλ 'να καταβῇ τοῦ στύλου, ἀλλ' ἕνεκα θαύματος ἀφῆκεν· ὁ δὲ Λέων ὁ θρᾷξ, τὸν κίονα στερεώσας, ἤγειρε περὶ αὐτὸν οἰκοδομὰς μεγαλοπρεπεῖς καὶ ναὸν καὶ καταγώγιον μοναστῶν περὶ τὸν ὅσιον, ὅστις μετὰ θάνατον τοῦ Λέοντος, ἰδίᾳ δὲ τῷ 476, «τοῦ στύλου ἀποβὰς δι' ἕνθεον ζῆλον Ἀκακίῳ καὶ τῷ λαῷ συνεκκλησίασε . . . . . παραλαβὼν τοὺς μοναχοὺς ἐξῆλθε πρὸς Βασιλίσκον καὶ μετὰ πολλῆς παρρησίας αὐτῷ διελέχθη». Ἄγνωστος ὁ χρόνος τοῦ θανάτου. Ἄνωθεν τοῦ τάφου τοῦ Δανιὴλ, ὑστάτῃ αὐτοῦ θελήσει, ἀπετέθησαν τὰ λείψανα τῶν τριῶν παίδων [25].

Ἡ μονὴ τοῦ στυλίτου Δανιὴλ ἔκειτο, κατὰ τὸν Βυζάντιον, ἐν τῷ Βεσικτᾶς ἢ μᾶλλον Καμπατᾶς τῆς σήμερον. Ἔχω πολλὴν ἐπιθυμίαν

20. Ζωναρᾶς· ΙΕ', 17 (Διονδόρφ. Γ', 375). Πασχ. Χρον. σελ. 571 καὶ 592. Βίος Θεοδώρου Συκεώτου, παρὰ Θεοφίλῳ Ἰωάννου· σελ. 438.

21. Acta Patriarch. Β', σελ. 410, 411, 414.

22. ταῦτα κατὰ τοὺς χειρογράφους Συναξαριστὰς καὶ τὰ Μηναῖα.

23. Ἄθλησις Μηνᾶ· ὑπὸ Συμ. Μεταφραστοῦ· Migne, τόμ. ΡΙΣΤ', στ. 368-416.

24. Ἰγνατίου πατριάρχου βίος, ὑπὸ Νικήτα Δαβίδ· Migne, τόμ. ΡΕ', στ. 560. Acta Patriarch. Β', σ. 525.

25. Βιογραφία Δανιὴλ ὑπὸ Συμ. Μεταφραστοῦ· Migne, τ. ΡΙΣΤ', στ. 970-1037. Μηνολόγιον Βασιλειανόν. Θεοφ. Α', σελ. 188-189. Κάλλιστος· Ἐκκλ. Ἱστορ. ΙΕ', κϐ'. Τὰ παρὰ Κεδρηνῷ (Α', σελ. 598, 612) συμφύρουσι τὰς χρονολογίας.

ἐγὼ 'να ζητήσω ταύτην ὕπερθεν τοῦ Μεγάλου Ῥεύματος.— Ἡ μονὴ τοῦ τῆς ἁγίας μνήμης Δανιὴλ ἐν τῷ Στύλῳ ἐσῴζετο ἐπὶ τοῦ Μ. Ἰουστινιανοῦ[26].

* * *

11. Λουκᾶ τοῦ νέου στυλίτου.

Μικρασιάτης, υἱὸς Χριστοφόρου καὶ Καλῆς, ἤκμασεν ἐπὶ Ῥωμανοῦ Α' τοῦ Λακαπηνοῦ καὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, κατατεταγμένος ἐν τῷ στρατῷ· μονάσας ἐν Ὀλύμπῳ τὸ πρῶτον, ἐμόνασεν ὕστερον ἐν τοῖς πέριξ τῆς Χαλκηδόνος ἐπὶ στύλου, πλέον τῶν τεσσαράκοντα ἐτῶν[27].

* * *

Μνήμη τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου Νικηφόρου τοῦ Φωκᾶ.

Ἡ «Ἀκολουθία» τοῦ ἁγίου Νικηφόρου τούτου εὕρηται ἐν φύλλοις 133-149 μεμβρανίνου κώδηκος (124) τῆς ἐν Ἁγίῳ Ὄρει μονῆς μεγίστης Λαύρας, γεγραμμένου κατὰ τὸν ΙΑ' ἢ ΙΒ' αἰῶνα· ὡς δὲ παρατηρεῖ ἐν ἰδίᾳ πρὸς ἐμὲ σημειώσει ὁ φίλος προηγούμενος Χρυσόστομος Λαυριώτης, ἡ Ἀκολουθία Νικηφόρου τοῦ Φωκᾶ ὡς ἁγίου συνετάχθη προδήλως ἐν Κωνσταντινουπόλει, διὸ καὶ οὐδαμῶς ἐν αὐτῇ γίνεται μνεία τῆς ἐν Ἄθῳ Λαύρας· ἀλλὰ πρὸ τούτου τὴν αὐτὴν γνώμην εἶχον οἱ λόγιοι μοναχοὶ τῆς Λαύρας, ἐπὶ παραδείγματι Σάββας ὁ προηγούμενος καὶ σκευοφύλαξ, ὅστις γράφει πρὸ ἑνὸς αἰῶνος περὶ τοῦ Νικηφόρου Φωκᾶ «τούτου τὴν μνήμην ἑώρταζεν ἡ Ἐκκλησία τὸ παλαιὸν μὲ ἐναρμόνιον καὶ ᾄσματικὴν Ἀκολουθίαν, εἰς τὰς ια' τοῦ δεκεμβρίου, καθὼς φαίνεται εἰς τὰς μεμβράνας»[28].

ꝰ

12. Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος. Ἡ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου Πέτρου τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ.

Μνείαν τῆς εἰς Κέρκυραν μεταφορᾶς τοῦ λειψάνου αὐτοῦ βλέπε ἐν σημειώσει 14 τοῦ μηνὸς φεβρουαρίου.

ꝰ

13. Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου, καὶ Ὀρέστου, τῶν μαρτύρων. Ἡ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

Ἤθλησαν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, πιθανῶς ἐν Νικοπόλει τοῦ πόντου ἢ ἐν Σεβαστείᾳ.

ꝰ

14. Θύρσου, Λευκίου, Καλλινίκου τῶν μαρτύρων. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι πλησίον τῶν Ἐλενιανῶν.

Ἤθλησαν ἐπὶ Δεκίου.

Ναοὶ τιμώμενοι εἰς ὄνομα αὐτῶν ἦσαν 1) ὁ παρὰ τὰ Ἐλενιανὰ (πιθανῶς πλησίον Ψαμαθίων, εἰ οὐχὶ ἐντὸς αὐτῶν) ὑπάρχων ἐπὶ Πουλχερίας, ἐν ᾧ εὑρέθησαν τὰ λείψανα τῶν ἁγίων Μ' μαρτύρων[29]. 2) ὁ ὑπὸ Μ. Ἰουστινιανοῦ ἐγερθεὶς ἄγνωστόν που ἀλλὰ τὸ πρῶτον· δῆλον οὖν, οὐχὶ παλαιὸν ἐκαινούργησεν ὁ Μ. Ἰουστινιανός, ἀλλ' ἤγειρε νέον ναόν· ὥστε δέον 'να ζητηθῇ καὶ τρίτος ναός, ὑπάρχων πρὸ τοῦ Μ. Ἰουστινιανοῦ, ἐπὶ Λέοντος τοῦ θρᾳκός, καὶ κείμενος «οὐ μακρὰν τοῦ δημοσίου ἐμβόλου τοῦ λεγομένου Μαυριανοῦ»[30].

* * *

14. Μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ, ἧς παρ' ἐλπίδα πᾶσαν ἐλυτρώσατο ἡμᾶς ὁ φιλάνθρωπος Κύριος.

Τῇ 14 δεκεμβρίου 557, ἐν μεσονυκτίῳ, πάνυ φοβεροῦ σεισμοῦ συμβάντος, ἐβλάβησαν τὰ τείχη τῆς πόλεως, ἐκρημνίσθησαν δὲ τὰ ἐπέκεινα τοῦ Ἑβδόμου, δῆλα δὴ τὸ Μακροχώριον καὶ ὁ Ἅγιος Στέφανος, «καὶ ὁ Ἅγιος Σαμουὴλ, καὶ ἡ Ἁγία Θεοτόκος τῶν Πεταλᾶ, καὶ τοῦ Ἁγίου Βικεντίου, καὶ πολλὰ θυσιαστήρια ἐκκλησιῶν καὶ κιβώρια ἀπὸ τῆς Χρυσῆς πόρτης ἕως τοῦ Ῥουσσίου. . . . . τὸ Ῥήγιον κατέπεσεν ἕως ἐδάφους, ὥστε μὴ γνωρίζεσθαι αὐτὸ» καὶ οἱ ἐν αὐτῷ ναοὶ τῶν ἁγίων Καλλινίκου καὶ Στρατονίκου . . . . . «καὶ ὁ κίων ὁ πορφυροῦς ὁ ἑστὼς ἔμπροσθεν τοῦ παλατίου Ἰουκουνδιανῶν μετὰ τῆς ἐπικειμένης αὐτῷ

26. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Β', σ. 94· καὶ Δουκαγγίου, Const. Christ. σ. 108, XXXIV.

27. ταῦτα κατὰ τοὺς Συναξαριστάς.

28. Προσκυνητάριον Λαύρας· σελ 15.

29. τὰ τοῦ Σωζομένου (Ἐκκλ. Ἱστ. Θ', β') καὶ Καλλίστου (ΙΔ', ι') φαίνονταί μοι ἀνόητα. Βλ. εἰς τὴν 9 μαρτίου.

30. Προκοπίου, Περὶ κτισμάτων· σελ. 190. Βιογραφία Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ· ὑπὸ Νικηφόρου πρεσβυτέρου· Migne, ΡΙΑ', 833, 836, § ρπζ', ργ'.

στήλης . . . . . καὶ ἡ στήλη Ἀρκαδίου . . . . . ἡ εἰς τὴν ἀψῖδα τοῦ Ταύρου, ἡ εἰς τὸ ἀριστερὸν μέρος ἑστῶσα . . . . . ἔμεινε δὲ σειομένη ἡ γῆ ἡμέρας καὶ νυκτὸς [μετὰ φιλανθρωπίας] ἡμέρας δέκα»[31].

ꝰ

15. Ἐλευθερίου ἱερομάρτυρος. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ Ξηρολόφου.

Ἐν χρυσοβούλλῳ λόγῳ Μανουὴλ τοῦ Κομνηνοῦ τῷ 1158 ἀναφέρεται μονὴ ἁγίου Ἐλευθερίου, κειμένη, ὡς φαίνεται, μεταξὺ τῶν χωρίων Παντειχίου καὶ Ἀκρίτα, ἀνήκουσα δὲ τῷ 1236 ὡς μετόχιον εἰς τὴν ἐν Πυλοπυθίοις μονὴν τῆς Ζιγρίτζας καὶ προσαρτηθεῖσα τότε εἰς τὴν μονὴν τῶν Ῥουφινιανῶν[32]. — Ἐπὶ Λέοντος τοῦ θρᾳκὸς καὶ Γενναδίου τοῦ πατριάρχου ἀναφέρεται ναὸς Ἐλευθερίου τοῦ μάρτυρος ἐν Κωνσταντινουπόλει, πιθανῶς ὁ ἐν τῷ Ξηρολόφῳ· «Ἐλευθερίῳ τῷ μάρτυρι δι' ἕνα κληρικὸν τοῦ ναοῦ αὐτοῦ ἐδήλωσεν ὁ Γεννάδιος ὅτι *ἀτακτεῖ· ἢ διόρθωσον τοῦτον ἢ ἔκκοψον*· ὁ δὲ εὐθὺς ἐτελεύτησεν, ὡς κακότροπος»[33].

ꝰ

16. Τὰ ἐγκαίνια τοῦ Ἁγίου Χριστοφόρου πλησίον τοῦ Ἁγίου Πολυεύκτου.

Ἴδε εἰς τὴν 9 ἰανουαρίου καὶ 9 μαΐου.

* * *

16. Ἡ κοίμησις Νικολάου πατριάρχου Κωνσταντινουπόλεως τοῦ Χρυσοβέργη.

Ἱεράτευσεν ἀπὸ τοῦ 984-995. Τὸ ὄνομα Χρυσοβέργης ἀναγινώσκω ἐν τῷ Σταυρονικητηνῷ Συναξαριστῇ· ὁ ἐλεεινὸς Νικόδημος, συγχέων ἀκρίτως τῷ μυστικῷ Νικολάῳ τὸν Χρυσοβέργην, κρίνει ὅτι ὁ τῇ 16 δεκεμβρίου γεραιρόμενός ἐστιν ὁ Γραμματικός[34].

* * *

16. Θεοφανοῦς τῆς ἀοιδίμου . . . . συζύγου Λέοντος τοῦ σοφωτάτου βασιλέως.

Ἐγεννήθη ἐν Κωνσταντινουπόλει ἐκ πατρὸς Κωνσταντίνου Μαρτινακίου «συγγενοῦς βασιλέων τριῶν» καὶ μητρὸς Ἄννης. Συμβιώσασα τῷ Λέοντι δωδεκαετίαν ἐτελεύτησεν· «ἣν οὐ μετὰ πολλὰς ἡμέρας ἀνέδειξεν ὁ Θεὸς θαυματουργὸν διὰ τὸ ἀζηλότυπον αὐτῆς καὶ ἀμνησίκακον καὶ διὰ τὸ ἐν ἐλεημοσύναις καὶ προσευχαῖς ἀδιαλείπτως προσκαρτερεῖν τῷ Θεῷ καὶ ταῖς ἁγίαις ἐκκλησίαις . . . ἐξωνήσατο δὲ ὁ βασιλεὺς οἰκήματα πλησίον τῶν Ἁγίων Ἀποστόλων, καὶ ἔκτισεν ἐκκλησίαν περικαλλῆ ἐπ' ὀνόματι τῆς προτέρας αὐτοῦ γυναικός, τῆς ἁγίας Θεοφανοῦς». Τὸ λείψανον αὐτῆς ἀπετέθη ἐν τῷ αὐτῇ ἐπωνύμῳ ναῷ. Τὰς χριστιανικὰς αὐτῆς ἀρετὰς καὶ προσευχὰς (κυρίως ἐν τῇ ἁγίᾳ Σορῷ τῶν Βλαχερνῶν) ἀναφέρουσι πάντες οἱ χρονογράφοι· οἱ δὲ τὸν Θεοφάνη συνεχίσαντες κηρύττουσιν αὐτὴν καὶ θαυματουργόν[35].

Τὸν ναὸν τῆς ἁγίας Θεοφανοῦς ὁ ἰατρὸς A. Mordtmann φρονεῖ ὅτι ὑποκαθιστᾷ σήμερον τὸ Ντεμιρτζιλέρ-μεσδζιτι[36], ἐνῷ τὸ εὐκτήριον τοῦτο νομίζεται ὂν ἡ μονὴ τοῦ Λιβός. Κωνσταντῖνος Μαρτινάκιος ὁ πατὴρ τῆς Θεοφανοῦς ἠναγκάσθη ὑπὸ Μιχαὴλ τοῦ Τραυλοῦ, ζηλοτυπήσαντος αὐτὸν, 'ν' ἀποκαρῇ μοναχὸς καὶ 'να μεταβάλῃ τὸν ἴδιον οἶκον εἰς μονήν: τὰ Μαρτινακίου, ἥτις ἐσῴζετο καὶ ἐν ἀρχαῖς τῆς Ι' ἑκατονταετηρίδος[37].

Τὸ λείψανον τῆς ὁσίας Θεοφανοῦς μετηνέχθη ὑπὸ Γενναδίου τοῦ Σχολαρίου εἰς τὸν ναὸν τῶν ἁγίων Ἀποστόλων καὶ ἐκεῖθεν μετεκομίζετο ὅπου καὶ τὸ τῆς ἁγίας Εὐφημίας[38].

ꝰ

17. Τῶν ἁγίων τριῶν παίδων Ἀνανίου, Ἀζαρίου, καὶ Μισαήλ.

Τὰ λείψανα αὐτῶν ἐσῴζοντο κατὰ τὰ τέλη τοῦ Ε' αἰῶνος ἐν τῇ κατὰ τὸν Ἀνάπλουν μάνδρᾳ τοῦ στυλίτου Δανιὴλ, ἥτις ἐτέλει βεβαίως καὶ τὴν τῆς 17 σύναξιν[39].

31. Θεοφ. Α', σελ. 357. Μαλαλᾶς· σελ. 488. Κεδρηνός· Α', σελ. 675.

32. Λίθοι καὶ κεράμια· σελ. 22 καὶ 37.

33. Θεόδωρος Ἀναγνώστης· Α', 16.

34. Πατριαρχ. Πίνακες· σελ. 313.

35. Μηνολόγιον τὸ λεγόμενον Βατιλειανόν. Λέων γραμματικός· σελ. 269, 270 καὶ 274. Theoph. Contin. σ. 361 καὶ 364 Μάγιστρος· σ. 694, 702 καὶ 703. Γεώργιος μοναχός· σ. 856. Ζωναρᾶς· ΙΣΤ', 13 (Δινδόρφ. Δ', 42).

36. Esqisse topogr. § 26.

37. Λέων γραμματικός· σελ. 284. Συμεὼν μάγιστρος· σελ. 635, 694.

38. Χρονικὰ τοῦ πατριαρχικοῦ οἴκου καὶ τοῦ ναοῦ· σ. 100.

39. Βιογραφία Δανιὴλ, ὑπὸ Συμεὼν Μεταφραστοῦ· Migne, ΡΙΣΤ', στ. 1037.

§

18. Φλώρου ἐπισκόπου Ἀμινσοῦ.

Ἤκμαζεν ἐπὶ Ἰουστίνου Β΄, κατὰ τὸ λεγόμενον Βασιλειανόν, καὶ Τιβερίου καὶ Μαυρικίου. Υἱὸς Φλώρου καὶ Εὐφημίας, λόγιος, ἐχρημάτισε νοτάριος τῶν βασιλέων καὶ πατρίκιος· θανούσης δὲ τῆς συζύγου καὶ τῶν τέκνων λοιμῷ, «ἀπῆλθεν εἰς ἓν τῶν κτημάτων αὐτοῦ ἐν τῷ Ἀνάπλῳ, καὶ ἐκαθέσθη»· ἐχειροτονήθη κατόπιν ἐπίσκοπος Ἀμινσοῦ, ἐν ᾗ καὶ ἀπέθανεν.

Ἡ μονὴ τοῦ Φλώρου ἐσῴζετο ἐπὶ Ἰουστινιανοῦ Β΄, ἡγούμενος δ' αὐτῆς ἐν ἀρχαῖς τοῦ Η΄ αἰῶνος ἀναφέρεται Γρηγόριος ὁ καππάδοξ. Ὁ κατὰ τὸ 1156 μέγας χαρτοφύλαξ καὶ ἀρχιδιάκονος τῆς μεγάλης ἐκκλησίας ἐπὶ Λουκᾶ τοῦ Χρυσοβέργη Ἰωάννης ὁ Ἁγιοφλωρίτης πάντως ἦν μοναχὸς τῆς μονῆς ταύτης[40].

* * *

18. Τὰ ἐγκαίνια τοῦ ναοῦ τῆς Θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις.

Ἰδὲ περὶ τοῦ ναοῦ εἰς τὴν 25 μαρτίου.

* * *

Ἀνιστορίστως γράφει κατὰ τὴν ἡμέραν ταύτην ὁ Συναξαριστὴς μνήμην Μιχαὴλ συγκέλλου, ὡς ἀποθανόντος δῆθεν τῇ 18 δεκεμβρίου, ἐνῷ ἀπέθανε τῇ 4 ἰανουαρίου (ἰδὲ ἐκεῖ).

§

19. Ἠλία, Πρόμου (ἢ Πρόβου), Ἄρεως, τῶν μαρτύρων. Ἡ σύναξις αὐτῶν ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Φιλήμονος ἐν τῷ Στρατηγίῳ.

Ἤθλησαν ἐν Ἀσκάλωνι.

Ναὸς ἴδιος εἰς τιμὴν αὐτῶν οὐκ ἠγείρετο.

§

20. Ἰγνατίου ἱερομάρτυρος τοῦ θεοφόρου. Ἡ σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ.

Δεύτερος πατριάρχης Ἀντιοχείας ἀπὸ τοῦ Μάρκου, ἤθλησεν ἐν Ῥώμῃ ἐπὶ Τραϊανοῦ.— Τὴν μνήμην αὐτοῦ καὶ κατὰ τὸν Θ΄ αἰῶνα ἐγέραιρον τῇ 20 δεκεμβρίου. Ναΐσκος Ἰγνατίου τοῦ Θεοφόρου ὑπῆρχεν ἐν τῇ μονῇ τῆς Χώρας ἐπὶ Μιχαὴλ συγκέλλου.

40. Θεοφ. Α΄, σελ. 564. Νικηφόρος πατριάρχης· σελ. 43. Σύνταγμα κανόνων· Ε΄, σελ. 98.

§

21. Ἰουλιανῆς μάρτυρος. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς τῷ ὄντι πλησίον τῆς Ἁγίας Εὐφημίας ἐν τῷ Πετρίῳ.

Ἤθλησεν ἐν Νικομηδείᾳ ἐπὶ Μαξιμιανοῦ.

Γνῶσιν τοῦ ναοῦ τῆς Ἰουλιανῆς λαμβάνομεν ἀπὸ τῶν Μηναίων καὶ Συναξαριστῶν· νομίζω ὅτι ὁ ναὸς Ἰουλιανῆς μάρτυρος ὁ πλησίον τοῦ Στροβίλου (18 αὐγούστου) ἐστὶν αὐτὸς ὁ ἐν τῷ Πετρίῳ, τότε μὲν ἄγων τὴν μνήμην τῶν ἐγκαινίων, νῦν δὲ τὴν μνήμην τῆς ἀθλήσεως τῆς μάρτυρος. Ἐπακριβῶς ἀδύνατον ἵνα ὁρισθῇ ὁ τόπος. Ἡ ἔκτασις τῶν Πετρίων ἦν, κατ' ἐμέ, μεγάλη ἀπὸ τοῦ Ἁγιᾶ-καπὶ μέχρι τοῦ Βαλατᾶ καὶ πέραν αὐτοῦ καὶ ἄνω τῶν Βλαχερνῶν ἴσως: διότι γινώσκομεν παλαιὸν Πετρίν, ἐξ οὗ βεβαίως ἔπεται ὅτι καὶ νέον Πετρὶν ὑπῆρχε· καὶ παλαιὰν Πέτραν· ὅπερ ὑπονοεῖ καὶ νέαν Πέτραν. Ὁ ἰατρὸς Mordtmann λέγει ὅτι ἴσως ὁ ναὸς οὗτος τῆς Ἰουλιανῆς (εἷς, οὐχὶ δύο) ἦν τὸ ἔσω τοῦ Γενὶ-καπὶ (πλησίον τοῦ Ἁγιᾶ-καπὶ) εὐκτήριον (τὸ Σινὰν -πασᾶ μεσδζητί), διότι καὶ ὁ μακαρίτης Πασπάτης οὕτως εἰκάζει[41]· καὶ ἐπειδὴ τὸ στάδιον τῶν εἰκασιῶν ἐστι παντὶ ἐλεύθερον, εἴκασα καὶ ἐγὼ[42] ὅτι τὸ εὐκτήριον Σινὰν-πασᾶ ἦν οὐχὶ τῆς Ἰουλιανῆς, ἀλλὰ τοῦ Προδρόμου ναός, ὁ ἐν τῇ Στροβιλαίᾳ ἀνακαινισθεὶς ὑπὸ Βασιλείου τοῦ Μακεδόνος[43].

§

22. Ἀναστασίας μάρτυρος τῆς φαρμακολυτρίας. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς τῷ ὄντι ἐν τοῖς Δομνίνου ἐμβόλοις.

Ἤθλησεν ἐν Ῥώμῃ ἐπὶ Διοκλητιανοῦ. Τὸ λείψανον αὐτῆς τῷ 458 «ἠνέχθη ἀπὸ Σιρμίου καὶ κατετέθη ἐν τῷ ναῷ αὐτῆς ἐν τοῖς Δομνίνου ἐμβόλοις[44].

Δύο ναοί εἰσι γνωστοί μοι τῆς ἁγίας Ἀναστασίας 1) ὁ μὲν ἐν τῇ τοποθεσίᾳ τῇ καλουμένῃ τὰ Ἁγιάσματα, ὅστις τῷ 1427 ἦν παντελῶς ἀφανής[45]· 2) ὁ δὲ ἐν τοῖς Δομνίνου ἐμβόλοις, οὗ τὰ ἴχνη καὶ τὸν τόπον ἐπιτυχῶς ἀνεῦρε καὶ

41. Mordtmann, Esquisse topograph. § 129. Πασπάτη, Μελέται· σελ. 384.

42. «Κωνσταντινούπολις» τοῦ Λεξικοῦ τῆς Ἱστορίας καὶ Γεωγραφίας· σελ. 1035β.

43. βλ. σημείωσιν 46 τοῦ μηνὸς ἰανουαρίου.

44. Θεόδ. Ἀναγνώστης· Β΄, 65. Θεοφ. Α΄, σ. 172.

45. Ἱεροσλμ. Βιβλιοθήκη· Β΄, σελ. 459.

περιέγραψεν ὁ μακαρίτης Πασπάτης, κείμενος ὅπου σήμερον τὸ κομψὸν τέμενος Μεχμὲτ-πασᾶ τζαμί, οὐ μακρὰν τοῦ Ἱπποδρόμου. Ὁ θέλων ἵνα μάθῃ περὶ τοῦ ναοῦ ἀναγνώτω τὰ τοῦ Πασπάτη[46]. Πρὸ τοῦ Γρηγορίου Θεολόγου ὁ ναὸς οὗτος ἦν μικρὸν εὐκτήριον ἐπ' ὀνόματι τῆς Ἀναστάσεως, ὡς φρονῶ, ὁ δὲ Μαρκιανὸς ὁ οἰκονόμος ἔκτισε παρ' αὐτῷ τὸν μέγαν ναὸν τῆς ἁγίας Ἀναστασίας, ὃν ἐνεούργησε Βασίλειος ὁ Μακεδών, κατακοσμήσας αὐτὸν καὶ λιθίνην ἀντὶ ξυλίνης ἐπιθεῖς ὀροφήν. Εἰς τὸν ναὸν τοῦτον, ὃν ὁ Μαρκιανὸς περιέβαλε ποικίλαις στοαῖς καὶ προαυλίοις, Ἄσπαρ καὶ Ἀρδαβούριος οἱ γότθοι πολλὰ σκεύη προσήνεγκαν ἐξ ἀργύρου καὶ χρυσοῦ πεποιημένα[47]· ὁ πολὺς Δουκάγγιος φρονεῖ ὅτι εἷς ναός ἐστιν ὁ τῆς Ἀναστάσεως καὶ ὁ τῆς Ἀναστασίας. Περὶ τὰ μέσα τοῦ Ε΄ αἰῶνος ἦν εἷς τῶν ὡραιοτέρων καὶ μειζόνων ἐν Κωνσταντινουπόλει ναῶν, φημιζόμενος ἐπὶ τοῖς ἐν αὐτῷ γινομένοις θαύμασιν εἰς ἀρρώστους ἤ πως ἠθικῶς πάσχοντας· ἐπιστεύετο δ' ὅτι αὐτὴ ἡ Θεοτόκος ἐν τῷ ναῷ ἐπεφαίνετο, καὶ ὅτι ἐκλήθη Ἀναστασία, κατὰ μὲν τὴν παράδοσιν, διότι γυνὴ ἐγκύμων ἀπὸ τῆς ὑπερῴου καταπεσοῦσα στοᾶς καὶ θανοῦσα, κοινῇ τῶν ὀρθοδόξων δεήσει, ἀνεστήθη· κατὰ δὲ τὴν Ἑρμείου γνώμην «καθότι τὸ δόγμα τῆς ἐν Νικαίᾳ Συνόδου, πεπτωκὸς ἤδη ἐν Κωνσταντινουπόλει καὶ τεθνηκός, ὡς εἰπεῖν, διὰ τὴν δύναμιν τῶν ἑτεροδόξων, ἐνθάδε ἀνέστη καὶ ἀνεβίω διὰ τῶν Γρηγορίου λόγων»[48]. Ἐπειδὴ δὲ ἐν τοῖς Συναξαρισταῖς, ἤτοι μέχρι τοῦ ΙΒ΄ τουλάχιστον αἰῶνος, ἀναφέρεται σύναξις ἐν τῷ ναῷ τῆς ἁγίας Ἀναστασίας, προδήλως ἡ μονὴ τῆς Ἀναστάσεως ἦν ἑτέρα· Θεόδοτος Α΄, ὁ τῷ 1151 πατριάρχης ἐκλεγείς, ἦν ἡγούμενος τῆς μονῆς τῆς Ἀναστάσεως:

> μονῆς προεστὼς Ἀναστάσεως Λόγου
> τῆς ἐν πόλει νῦν κειμένης βασιλίδι[49].

* * *

22. Τῇ αὐτῇ ἡμέρᾳ τὰ θυρανοίξια τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας. — Τὸ φωτοδρόμιον τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας.

§

23. Τὰ ἐγκαίνια τῆς ἁγίας τοῦ Θεοῦ μεγάλης ἐκκλησίας.

46. Πασπάτη, Μελέται· σελ. 364-375.

47. Migne, τόμ. ΡΙΔ΄, στ. 456.

48. Σωζόμενος· Ε΄, ζ΄, Ζ΄, ε΄. Theoph. Contin. σ. 324. Δουκαγγ. σημειώσεις εἰς Ζωναρᾶν (Δινδορφ. Ϛ΄, 57).

49. Ἐφραίμιος· στ. 10173.

Ἀναφέρονται εἰς τὴν 24 δεκεμβρίου 562, ὅτε ἐγένοντο τὰ δεύτερα ἐγκαίνια· τὰ πρότερα ἐγένοντο τῇ 27 δεκεμβρίου 537 ὑπὸ Μηνᾶ τοῦ Κωνσταντινουπόλεως, συλλιτανεύοντος τῷ λαῷ καὶ τοῦ Μ. Ἰουστινιανοῦ τοῦ κτίτορος τῆς τοῦ Θεοῦ Σοφίας, ὅστις καὶ κατὰ τὰ δεύτερα παρίστατο, ὅτε «ἡ παννυχὶς τῶν αὐτῶν ἐγκαινίων γέγονεν εἰς τὸν Ἅγιον Πλάτωνα, καὶ ἐξῆλθεν ἐκεῖθεν ὁ πατριάρχης Κωνσταντινουπόλεως μετὰ τῆς λιτῆς». Τὰ πρῶτα ἐγκαίνια ἀναφέρονται γενόμενα τῇ 15 φεβρουαρίου 360 καὶ πάλιν ἕτερα τὸν ὀκτώβριον τοῦ 414. Φαίνεται δ' ὅτι τῇ προτεραίᾳ τῶν ἐγκαινίων, ἤτοι τῇ 22 τοῦ μηνός, ἠνεῴχθη ὁ ναὸς καὶ περιῃρέθησαν τὰ πρὸ τῶν θυρῶν καὶ τῶν παραθύρων ἱκριώματα, ἀνοιγέντος τοῦ ναοῦ εἰς τὸ δημόσιον, ἢ ἴσως συνεπληρώθη ἡ ἀνάρτησις τῶν ἀπείρων λυχνιῶν τοῦ ναοῦ[50]. — Ὁ ἀρχαιότερος ναὸς ὁ τῆς τοῦ Θεοῦ Σοφίας ἐπώνυμος ἐκτίσθη ἐν Ἰκονίῳ ὑπὸ τοῦ τῆς πόλεως ταύτης ἐπισκόπου Ἀμφιλοχίου[51].

* * *

23. παρὰ τῷ Συναξαριστῇ τὴν 23 ἀναφέρεται μνήμη Θεοδότης μάρτυρος καὶ τῶν τέκνων αὐτῆς· ταύτην ὅμως ἀνέγραψα τῇ 29 ἰουλίου.

* * *

23. Τῶν ἁγίων Ι΄ μαρτύρων. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Στεφάνου πλησίον τῶν Πλακιδίων.

Ὁ ναὸς οὗτος τοῦ ἁγίου Στεφάνου ἐν Πλακιδιαναῖς, ἃς ὁ Σκ. Βυζάντιος ταυτίζει τῇ τοποθεσίᾳ Πουλχεριαναῖς, ἔκειτο ἐν τοῖς πέριξ τοῦ πέμπτου λόφου· καίτοι ἀναφέρει Πλακιδιανὰς καὶ ἐν τῷ πρώτῳ ῥεγεῶνι[52]· ἀλλ' ὁ ἰατρὸς Mordtmann φαίνεται δεχόμενος τὸν ναὸν οὐ μακρὰν τοῦ Κωνσταντινιανοῦ φόρου κείμενον, κατὰ τὴν μαρτυρίαν Ἀντωνίου τοῦ ῥώσσου μυθογράφου[53].

§

25. **Ἡ κατὰ σάρκα γέννησις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος**

50. Πασχάλ. Χρον. σελ. 543, 572, 687. Θεοφ. Α΄, σ. 338, 469. Βλέπε καὶ Σκ. Βυζαντίου «Κωνσταντινούπολιν», τ. Α΄, σελ. 464-517, καὶ Πασπάτη Μελέτας· σ. 338-343.

51. Ἀμφιλοχίου βίος, ὑπὸ Συμ. Μεταφραστοῦ· Migne, τόμ. ΡΙΣΤ΄, στ. 958.

52. Σκ. Βυζαντίου· «Κωνσταντινούπολις»· Α΄, σελ. 348.

53. Espuisse topogr. § 114, σελ. 64.

ἡμῶν Ἰησοῦ Χριστοῦ.— Ἡ προσκύνησις τῶν μάγων.— Μνήμη τῶν θεασαμένων τὸν Κύριον ποιμένων.

Τὴν ἑορτὴν αἱ ἐκκλησίαι τῆς Ἀνατολῆς ἤρξαντο πανηγυρίζουσαι μετὰ τὸν Δ΄ αἰῶνα, ἐνῷ αἱ τῆς Δύσεως ἐτέλουν ἀρχαιότερον, καίτοι τινὲς μὲν ἑώρταζον τὴν 25 δεκεμβρίου, τινὲς δὲ τὴν 7 ἰανουαρίου· οἱ πατριάρχαι Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων, οἱ τῷ Χρυσοστόμῳ σύμφωνοι, συνεώρταζον αὐτῷ (25 δεκεμβρίου)[54].

Ναοὶ καὶ **μοναὶ** ἐπ' ὀνόματι τοῦ Σωτῆρος ὑπῆρχον ἐν Κωνσταντινουπόλει καὶ τοῖς πέριξ (παραλειπομένων τῶν εἰς ὄνομα τῆς Θεότητος καὶ τῆς Ἁγίας Τριάδος) οἱ ἑξῆς εἰς ἐμὲ γνωστοί: 1) ἡ «κατὰ τὴν Κάμαριν» μονὴ τοῦ Ἀκαταλήπτου (ἴσως αὐτὴ ἡ τοῦ Ἀκαταλύτου) Σωτῆρος, ἧς ἡγούμενος ἀναφέρεται τῷ 1086 Γεώργιος· ἐν αὐτῇ διέμενε σχολάζων ὁ πατριάρχης Φιλόθεος Κωνσταντινουπόλεως τῷ 1366, ὡς ἐν προλεγομένοις εἴδομεν· 2) ἡ ἐν τῇ μικρᾷ νήσῳ Ἀντιγόνῃ, κατὰ τὴν παράδοσιν μονὴ τοῦ Σωτῆρος, ἥτις φρονῶ ὅτι ἐσώζετο κατὰ τὰς ἀρχὰς τοῦ Γ΄ αἰῶνος, διότι τὴν 8 φεβρουαρίου 921 Ῥωμανὸς Α΄ ὁ Λακαπηνὸς περιώρισε καὶ κληρικὸν ἀπέκειρε Στέφανον τὸν τῆς Καλομαρίας· 3) ὁ τοῦ Ἀντιφωνητοῦ (Χριστοῦ βεβαίως) ναός, ἀνεγερθεὶς ἐκ βάθρων ὑπὸ Ζωῆς τῆς πορφυρογεννήτου, ταφείσης ἐν αὐτῷ· 4) ἡ τοῦ Εὐεργέτου μονὴ κειμένη μὲν μεταξὺ τῶν πυλῶν Κυνηγοῦ καὶ Βαλατᾶ, διότι στίφη γενουηνσίων ἐπιτεθέντα τῷ 1348 κατὰ τοῦ ναοῦ τῶν Βλαχερνῶν καὶ ζημιώσαντα τοῦτον «ἐπειράσαντο τὰ ὅμοια δράσειν κἀπὶ τὴν σεβασμίαν τοῦ Σωτῆρος Χριστοῦ τοῦ Εὐεργέτου μονήν, ἐν ᾗ καὶ δέκα πρὸς τοῖς ὀκτὼ λίθους βαλόντες, οὐδεὶς αὐτῶν οὐδὲ τὸν ἐπικείμενον τῇ στέγῃ μόλυβδον ἴσχυσε διατρῆσαι», παραχωρηθεῖσα δὲ μικρῷ πρὸ τοῦ 1300 τῷ πατριαρχικῷ θρόνῳ τῆς Ἀλεξανδρείας ὡς μετόχιον ὑπ' Ἀνδρονίκου τοῦ Παλαιολόγου· 5) ἡ τοῦ Κραταιοῦ (Χριστοῦ βεβαίως) γυναικεία μονή, ἧς τὴν ἐποπτείαν καὶ διαχείρισιν ὁ πατριάρχης Νήφων ὁ Α΄ ἰδιοποιήσατο· 6) ἡ μονὴ τοῦ Σωτῆρος ἀπὸ Λογοθετῶν, ἀναφερομένη κατὰ τὸν ΙΓ΄ αἰῶνα· 7) ἡ τοῦ Σωτῆρος μονὴ τῆς κυρίας Μάρθας, ἱδρυθεῖσα ὑπὸ Μαρίας ἀδελφῆς Μιχαὴλ τοῦ Παλαιολόγου, ὅπου νῦν τὸ Κὶρκ-τζεσμέ, γυναικεία πρὸ τῶν μέσων τοῦ Γ΄ αἰῶνος· 8) ὁ ἐν τῷ παλατίῳ ναὸς τοῦ Σωτῆρος, κτίσμα Βασιλείου τοῦ Μακεδόνος, κεκοσμημένος ἀργύρῳ καὶ χρυσῷ καὶ μαργαρίταις, τὸ δ' ἔδαφος ἔχων ἐξ ἀργύρου σφυρηλάτου καὶ σμάλτου· 9) ὁ ναὸς τοῦ Πανοικτίρμονος, κτῆμα Μιχαὴλ Ἀτταλειάτου κατὰ τὸν ΙΑ΄ αἰῶνα· 10) ἡ μονὴ τοῦ Παντεπόπτου Σωτῆρος, κτισθεῖσα πιθανῶς ὑπὸ τῆς μητρὸς Ἀλεξίου τοῦ Κομνηνοῦ, ἥτις ἐν αὐτῷ καὶ κατῴκησε, καὶ ἧς ἡγούμενον γινώσκομεν ἐν τέλει τοῦ Γ΄ αἰῶνος Λουκᾶν· 11) ἡ τοῦ Παντοκράτορος, περὶ ἧς ἴδε εἰς τὴν 4 αὐγούστου· 12) ἡ τοῦ Πολυελαίου μονή, ἧς ἡγούμενος ἀναφέρεται τῷ 1086 Ἰωάννης ὁ ἐπὶ τοῦ κανικλείου· 13) ἡ μονὴ τοῦ Σωτῆρος (Μεταμορφώσεως) ἐν τῇ νησίδι Πρώτῃ, ὅπου Βαρδάνιος ὁ στρατηγὸς εἶχε «κτῆμα καλῶς πεπονημένον», καὶ ἐν ᾧ ἐκάρη μοναχὸς τῇ 8 σεπτεμβρίου 803, οἰκοδομήσας αὐτόθι μοναστήριον· ἀλλ' αὐτόθι καὶ Ῥωμανὸς ὁ Διογένης ἀνήγειρε (1068-1071) μοναστήριον *(néor grortistήrion)* «κατὰ τὴν ταύτης ἀκρώρειαν», «περὶ τὸ τῆς νήσου μετεωρότερον»· ὥστε, δύο μονῶν ὑπαρχουσῶν ἐν τῇ Πρώτῃ, ἡ τοῦ Ῥωμανοῦ Διογένους ἔκειτο ὅπου σήμερον τὸ κληρικὸν γηροκομεῖον· 14) ἡ μονὴ τοῦ Σωτῆρος ἐν Νοσιαῖς, κτίσμα Λέοντος Σοφοῦ, κειμένη περὶ τὴν Δάματρυν· 15) ἡ μονὴ τοῦ Σωτῆρος τῶν Ῥαδηνῶν, ἧς ἄγνωστος ὁ χρόνος τῆς τε κτίσεως καὶ τῆς ἀκμῆς· 15) ἡ μονὴ τοῦ Σωτῆρος τὰ Σταυρακίου ἀναφερομένη κατὰ τὸν Ι΄ αἰῶνα, ἡ κατὰ παραφθορὰν Στὰ Ἑβραϊκά, λεγομένη καὶ μονὴ τῆς ἁγίας Τριάδος· 17) ἡ μονὴ τοῦ Φιλανθρώπου Χριστοῦ, κτίσμα Ἀλεξίου Κομνηνοῦ, ταφέντος ἐν αὐτῇ, κειμένη τόσῳ πλησίον τῆς (Θεοτόκου) Κεχαριτωμένης (ἴδε), ὥστε ἐχωρίζετο διὰ τοίχου, ἀνακαινισθεῖσα δ' ἐκ βάθρων ὑπὸ τῆς βασιλίδος Εἰρήνης Ἀσκαρίνης τῆς Παλαιολογίνης (εἶτα μοναχῆς Εὐλογίας) καὶ μέχρι τοῦ 1401 ἀναφερομένη· 18) ὁ ναὸς τοῦ Σωτῆρος ἐν τῇ Χαλκῇ, μικρὸς μὲν πρὸ τοῦ 972 καὶ μόλις δεκαπέντε χωρῶν ἀνθρώπους, καὶ τὴν ἄνοδον ἔχων δυσπρόσιτον καὶ σκολιὰν ὡς ἑλικοειδῆ λαβύρινθον, ὑπὸ δὲ τοῦ Τζιμισκῆ ἐκ βάθρων εὐμεγέθης ἀνεγερθείς· 19) ἡ μονὴ τῆς Χώρας, ἧς τὴν ἀρχαιοτέραν ἱστορίαν διαφωτίζει ἡ παρασυναπτομένη διατριβή μου περὶ Θεοδώρου τοῦ κτίτορος αὐτῆς· λεγομένη κοινῶς μονὴ τοῦ Ζωοδότου[55].

54. Μ. Ι. Γεδεών, Ἡ πρώτη ἑορτή, ἐν τόμῳ Δ΄ τῆς «Ἐκκλ. Ἀληθείας», σελ. 168-170.

55. Migne, τόμ. ΡΚΖ΄, στ. 973. Theoph. Contin. σελ. 9, 41, 47, 330, 398. Συμ. μάγιστρος· σ. 731-732.

Σημ. — Οὐδὲν ἀκριβὲς δυνάμεθα εἰπεῖν ἂν εἰς ὄνομα τοῦ Σωτῆρος ἀναγράφωνται αἱ μοναὶ Ὑπομιμνήσκοντος, καὶ Ἀγαθοῦ· καὶ ἂν τὸ ἐν Γαλατᾷ σῳζόμενον τῷ 1400 «περὶ τὴν χώραν τοῦ Γερίου ἐπάνω τοῦ τείχους» κάθισμα τῆς μονῆς τοῦ Παντοκράτορος ἐπ' ὀνόματι τιμώμενον τοῦ Σωτῆρος Χριστοῦ δέον 'να θεωρήσωμεν ναίσκον[56]. Ἴσως πρὸ τοῦ ΙΕ΄ αἰῶνος ὑπῆρχον ἐν Γαλατᾷ καὶ οἱ ναοὶ τοῦ Σωτῆρος, 20) ὁ τοῦ Κρεμαστοῦ Χριστοῦ καὶ 21) ὁ τῶν Μποστανίων.

26. Τὰ ἐπιλόχια τῆς Θεοτόκου.

Οὕτως ἐκαλοῦντο καὶ κατὰ τὸν ΙΒ΄ αἰῶνα. Κατὰ τὴν ἡμέραν ταύτην ἐπειδή τινες, μέχρι τέλους τοῦ Ζ΄ αἰῶνος, ἐξ εὐλαβείας δῆθεν πρὸς τὴν Θεοτόκον, ἔψηνον σεμίδαλι μεθ' ἑτέρων εἰδῶν, «οἷα ἐπὶ ταῖς λοχευομέναις γίνονται γυναιξίν», ἡ Πενθέκτη Σύνοδος διὰ τοῦ ΟΘ΄ κανόνος αὐτῆς ἀπηγόρευσε τὸν τοιοῦτον πανηγυρισμὸν τῆς ἑορτῆς, καθαίρεσιν μὲν τοῖς οὕτω πράττουσιν ἱερεῦσιν, ἀφορισμὸν δὲ τοῖς λαϊκοῖς ἀπειλήσασα[57]. Κατὰ τὸν Δ΄ αἰῶνά εἰσι γνωσταὶ πλάναι τινὲς περὶ τὴν λατρείαν τῆς ἀειπαρθένου Θεομήτορος, ἧς πρὸς τιμὴν παρεσκεύαζον κολλύρια, ἐξ οὗ καὶ οἱ ταῦτα πράττοντες ἐκλήθησαν κολλυριδιανοί, ὡς ὁ ἱερὸς Ἐπιφάνιος μαρτυρεῖ.

Εἰκόνες τῆς Θεοτόκου ἀναφέρονται πολλαὶ ἐν ἁγιολογικοῖς ὑπομνήμασιν· ἡ δὲ παλαιοτέρα ἐξ αὐτῶν ἐπιφανεστέρα ἦν ἡ τῆς Ὁδηγητρίας, περὶ ἧς ἐσώζετο παρὰ τοῖς βυζαντινοῖς ἡ παράδοσις ὅτι ἦν ἔργον τοῦ εὐαγγελιστοῦ Λουκᾶ καὶ ἐπέμφθη ἐξ Ἱεροσολύμων εἰς τὴν Πουλχερίαν ὑπὸ τῆς ἐπ' ἀδελφῷ νύμφης αὐτῆς Εὐδοκίας. Τὴν εἰκόνα τῆς Ὁδηγητρίας, σῳζομένην κατὰ τὸν ΙΔ΄ αἰῶνα ἐν τῇ μονῇ τοῦ Παντοκράτορος, εἶχεν ἐν τῷ παλατίῳ σὺν ἑαυτῷ «παραμύθιον ἀσφαλὲς» ἐν ἀρχαῖς τούτου τοῦ αἰῶνος Ἀνδρόνικος ὁ Παλαιολόγος. Μετέφερον δ' αὐτὴν τῇ Κυριακῇ τῶν βαΐων εἰς τὸ παλάτιον, προϋπαντῶντος τοῦ αὐτοκράτορος, καὶ τῇ Κυριακῇ τοῦ Πάσχα, ἢ μᾶλλον τῇ δευτέρᾳ, παρελαμβάνετο ἀπὸ τοῦ παλατίου, προπεμπομένη «μέχρι καὶ τῶν Ὑψηλῶν ἑκτός», δῆλα δὴ τοῦ παλατίου τῶν Βλαχερνῶν[58].— Ἐπίσης ἀρχαία τῆς Θεοτόκου εἰκὼν ἀναφέρεται κατὰ τοὺς χρόνους τοῦ Λέοντος Ἰσαύρου «ἄνω τῆς τοῦ Βοσπορίου πόρτης» ἀνεστηλωμένη[59].—Τῷ 1394 καὶ τῷ 1401 ἀναφέρονται εἰκόνες τῆς Θεοτόκου Κουβουκλαραίας καὶ τῆς Θεοτόκου Θεραπειωτίσσης[60]· καὶ ἄγνωστον μὲν ἐν τίνι ναῷ αἱ εἰκόνες αὗται ἀπέκειντο· Θεραπείας δὲ παλάτια ἀναφέρονται κατὰ τὸν ΙΙ΄ αἰῶνα[61], ἀλλ' οὐδεὶς ἔχει εἰπεῖν εἴπερ ὠνομάσθησαν ἐκ τοῦ τόπου Θεραπείας (σήμερον Θεραπειὰ) ἢ ἀπὸ τοῦ ναοῦ τῆς Θεοτόκου Θεραπείας, αὐτοῦ, κατ' ἐμέ, τοῦ ναοῦ τοῦ παρὰ τὸ Φανάριον Βλαχσεραγίου.

Ναοὶ καὶ **μοναὶ** εἰς ὄνομα τῆς Θεοτόκου δυσκόλως ἀριθμοῦνται· ἀναγράφω δὲ κατ' ἀλφαβητικὴν τάξιν, ὡς καὶ ἐν καταλόγῳ τῶν ναῶν τοῦ Σωτῆρος, μόνον ἐκείνους, περὶ ὧν εὑρίσκει τις βεβαίαν εἴδησιν ἐν τοῖς ἱστοριογράφοις καὶ ἐν ἁγιολογικοῖς ὑπομνήμασι, καθὼς καὶ ἐν ἐπισήμοις πατριαρχικοῖς ἐγγράφοις. Ὁμολογῶ δὲ ὅτι μετὰ δυσκολίας δύναμαι 'να διακρίνω ἂν ναός τις τῆς Θεομήτορος ἀναφερόμενος ἐν προγενεστέροις χρόνοις, διατηρῇ παρὰ βυζαντινοῖς τὸ ὄνομα αὐτοῦ καὶ ἐν μεταγενεστέροις, ἢ μεταβάλλῃ τοῦτο, νέου ναοῦ κτιζομένου ἐπὶ τῶν ἐρειπίων τοῦ πρώτου. Κατ' ἐμέ, ναοὶ τῆς Θεομήτορος ἀριθμοῦνται 1) ἡ μονὴ τῆς Θεοτόκου τῶν Ἀβραμιτῶν, ἡ κοινότερον Ἀχειροποίητος, περὶ ἧς ἴδε εἰς τὴν 29 ὀκωβρίου· 2) ὁ ναὸς ἐν τῷ Ἀετῷ τοῦ πα-

Ἁμαρτωλὸς καὶ οἱ σὺν αὐτῷ ἐκδοθέντες· Migne, τ. ΡΙ΄, στ. 1232. Τυπικὸν Κεχαριτωμένης· Migne, τόμ. ΡΚΖ΄, στ. 1104, 1109, 1117, 1120. Παχυμέρης· Β΄, σελ. 185, 579. Ἀνάλεκτα Ἱεροσλμ. Σταχυολογίας· Α΄, σελ. 152. Νικηφ. Γρηγορᾶς· τόμ. Α΄, σελ. 260, Γ΄, σελ. 244· Κατακουζ. Β΄, σελ. 222-223, ἔνθα καὶ συγγένειαι τῆς Μάρθας· καὶ Γ΄, σ. 106 καὶ 307. Ζωναρᾶς· ΙΗ΄, 15, 24 (Δινδόρφ. Δ΄, 218, 245), ΙΕ΄, 14, 18 (Γ΄, 369, 379). Κ. Σάθα, Μεσαιων. Βιβλιοθ. τόμ. Α΄, σελ. 3-69. Λέων διάκονος· σελ. 129. Φραντζῆ Χρονικόν· σελ. 36, 141, 191. Acta Patriarch. Β΄, σελ. 525. Νικ. Χωνιάτης· σ. 12. Byzantinische Zeitschrift· Γ΄, σελ. 48-49. Γενέσιος, σ. 10. Θεοφ. Α΄, σ. 746. Μιχαὴλ Ἀτταλειάτης· σελ. 179. Πορφυρογεν. Ἔκθ. Α΄, σ. 647 καὶ 801. Δουκαγγίου, Const. Christ. σελ. 55, VII, VIII. Γεώργιος μοναχός· σελ. 891. Ὁ θέλων δύναται 'ν' ἀναγνῷ καὶ Βυζαντ. Μελέτας Α. Γ. Παπάτη· σελ. 313, 326.

56. Acta Patriarch. Β΄, σελ. 525. Πατριαρχ. Πίνακες· σελ. 461.

57. Ζωναρᾶ καὶ Βαλσαμῶνος ἑρμηνεία εἰς τὸν ΟΘ΄ κανόνα τῆς Πενθέκτης.

58. Θεόδ. Ἀναγνώστης· Α΄, 1. Παχυμέρης· Α΄, σ. 160· Νικηφ. Γρηγορᾶς· Α΄, σελ. 429-430.

59. Μηνολόγιον Βασιλειανόν· εἰς τὴν 15 αὐγούστου.

60. Acta Patriarch. Β΄, σελ. 203 καὶ 513.

61. Θεοφ. Α΄, σελ. 733.

λατίου, «ὡραῖον καὶ πάντερπνον εὐκτήριον», κτίσμα Λέοντος τοῦ Σοφοῦ· 3) ἡ μονὴ τῆς Θεοτόκου ἐν τῷ Ἀκρίτᾳ (ἴδε 5 ἰανουαρίου)· 4) ὁ ναὸς τῆς Θεοτόκου τῶν Ἀμαλφηνῶν, ἀναφερόμενος ἐν τῷ ΙΓ′ αἰῶνι· 5) ὁ ναὸς τῆς Ἀμολύντου (Θεοτόκου) κτῆμα τῆς Παλαιολογίνης Εἰρήνης, τῷ 1401 ἀναφερόμενος· 6) ὁ ναὸς τῆς Θεοτόκου τῶν Ἀρεοβίνδου (ἴδε 10 φεβρουαρίου καὶ 18 μαΐου)·—7) ὁ ἐν τοῖς Ἁρματίου (ἴδε 17 ἰανουαρίου, 27 φεβρουαρίου, 2 μαρτίου, 21 ἰουλίου, καὶ 17 αὐγούστου)· 8) ἡ Βαραγγιώτισσα, μονύδριον ὄπισθεν τοῦ ἱεροῦ βήματος τῆς Ἁγίας Σοφίας, ἀναφερόμενον τῷ 1361, ὅτε παρεχωρήθη εἰς τὸν ἐκ τῶν ἀνακτορικῶν θεραπόντων Ἀλέξιον Σοφιανὸν πρὸς βελτίωσιν· 9) ἡ Θεοτόκος τῶν Βάσσου ἢ Βασσιώτισσα, μονή, ἥτις ἐπὶ Ματθαίου πατριάρχου, κατὰ μάϊον τοῦ 1400, συνοδικῇ διαγνώσει, παρεχωρήθη τῷ ἐκτομίᾳ Ἰωάννῃ τῷ Καλλικρηνίτῃ πρὸς βελτίωσιν[62]· ἡ Θεοτόκος τῶν Βάσσου ἀναφέρεται καὶ κατὰ τὸν Θ′ αἰῶνα ἐν τῷ συναξαρίῳ τῆς ὁσίας Θεοφανοῦς (16 δεκεμβρίου), ἧς ἡ μήτηρ Ἄννα «πυκνῶς ἀπερχομένη καὶ παρακαλοῦσα τὴν ἁγίαν Θεοτόκον τὴν ἐν τοῖς Βάσσου τιμωμένην»[63] κτλ. 10) ἡ Θεοτόκος τὰ Βιγλεντίας (ἴδε 2 αὐγούστου) κατὰ τὸν Δουκάγγιον ναὸς τῆς Θεοτόκου· 11) ἡ Θεοτόκος τῶν Βλαχερνῶν (ἴδε εἰς τὴν 2 καὶ 31 ἰουλίου)· — 12) ἡ Θεοτόκος πλησίον τῶν Βουκολίων, μονὴ ἀναφερομένη ἐπὶ τοῦ πατριάρχου Μηνᾶ· 18) ὁ εἰς ὄνομα Θεοτόκου, Γαβριὴλ, Ἠλιοὺ καὶ Νικολάου ναὸς ἐν τῇ αὐλῇ τῶν ἀνακτόρων, οἰκοδομηθεὶς ὑπὸ Βασιλείου τοῦ Μακεδόνος, ἀργύρῳ τε καὶ χρυσῷ καὶ σηρικοῖς ὑφάσμασιν αὐτὸν κατακοσμήσαντος· 14) ὁ ναὸς τῆς Θεοτόκου ἐν τῇ Γεωργίᾳ (ἴδε μνείαν αὐτοῦ ψιλὴν τῇ 30 ἰανουαρίου)· 15) ἡ μονὴ τῆς Γοργοεπηκόου, ἀναφερομένη τῷ 1349 ἀλλ' ἄγνωστόν που τῆς πόλεως κειμένη· —16) ἡ Θεοτόκος ἐν τῇ Δάφνῃ, ναὸς ἐν τῷ παλατίῳ κείμενος· 17) ἡ Θεοτόκος ἐν τῷ Δευτέρῳ (ἴδε εἰς τὴν 6 σεπτεμβρίου)·—18) ἡ Θεοτόκος τῶν Διακονίσσης, ναὸς κτισθεὶς ὑπὸ τοῦ πατριάρχου Κυριακοῦ καὶ κατὰ Δουκάγγιον ὁ τῆς ὁσίας Ὀλυμπιάδος ἴσως (ἴδε 28 ἰουλίου)·— 19) ὁ ναὸς τῆς Θεοτόκου τῆς Ἐλευούσης (ἴδε 11 αὐγούστου)· — 20) τὸ μονύδριον τῆς Θεοτόκου τῆς Ἐλπίδος τῶν ἀπηλπισμένων (Κοντοσκαλίου;) τῷ 1401 ἀναφερόμενον· 21) ἡ μονὴ τῆς Εὐεργέτιδος, ἡ καὶ μονὴ τῆς Σεβαστοκρατορίσσης λεγομένη, καὶ τῷ 1400 ἀναφερομένη ὡς μονὴ γυναικεία· ἐκτίσθη ὑπὸ Παύλου μοναχοῦ τοῦ βυζαντίου τῷ 1048, ἀνεκαινίσθη δὲ ὑπὸ Τιμοθέου τοῦ δευτέρου ἡγουμένου αὐτῆς[64]·— 22) ὁ ναὸς τῆς Θεοτόκου τῆς Εὐουρανιωτίσσης (ἴδε 9 δεκεμβρίου) διάφορος, τοῦ τῆς Βαραγγιωτίσσης, διότι ἀμφότερα τὰ ὀνόματα διακριδὸν ἀναφέρονται κατὰ τοὺς αὐτοὺς σχεδὸν χρόνους· 23) ἡ μονὴ τῆς Θεοτόκου τῆς Ζωοδόχου, ἣν τῷ 1329 κατὰ ἰανουάριον ἔλαβεν ὁ πατριάρχης Ἡσαΐας ἐφ' ὅρῳ ὅπως προσαρτηθῇ τῇ ἐν Ἄθῳ μεγίστῃ Λαύρᾳ μετὰ θάνατον αὐτοῦ· 24) ἡ Θεοτόκος ἐν τῇ Ἱερείᾳ, ναὸς κτισθεὶς ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ ἐν τῷ Ἡραίῳ (Φενὲρ-μπαγτζὲ), καὶ ὅστις ἴσως ἔλιπε τὸ ζῆν κατὰ τοὺς τοῦ Κωνσταντίνου Πορφυρογεννήτου χρόνους, ὅτε τὰ παλάτια τῆς Ἱερείας χαυνωθέντα κατήντησαν νεκροταφεῖον τῶν Χαλκηδονίων[65]·—25) ἡ Θεοτόκος πλησίον τῶν Ἰώβ, μονύδριον ἀναφερόμενον ἐπὶ τοῦ πατριάρχου Μηνᾶ· 26) ἡ Θεοτόκος τῆς μονῆς τοῦ Καλέως ἢ Καλίου (12 φεβρουαρίου)· — 27) ἡ Θεοτόκος τῶν Καλλιστράτου (ἰδὲ 14 φεβρουαρίου καὶ 18 ἰουλίου)· — 28) ἡ Καστελλιώτισσα, ναὸς ἀναφερόμενος μὲν τῷ 1399, κείμενος δ' ἴσως ἐν Γαλατᾷ, ὅπου γινώσκομεν σῳζόμενον κατὰ τὰ μέσα τοῦ ΙΣΤ′ αἰῶνος ναὸν τῆς Θεοτόκου τῆς Καστελλιωτίσσης, ἐκ βάθρων ἀνεγερθέντα ὑπὸ Ἱεροθέου τοῦ κατόπι μητροπολίτου Μονεμβασίας· προδήλως ὁ ναὸς οὗτός ἐστιν ὁ παρὰ Δουκαγγίῳ (κατὰ Κρούσιον) ναὸς τῆς Θεοτόκου ἐν Γαλατᾷ· 29) ἡ μονὴ τῆς Κεχαριτωμένης, ἡ κατὰ τὰς ἀρχὰς τοῦ ΙΒ′ αἰῶνος ὑπὸ Εἰρήνης τῆς Δουκαίνης ἱδρυθεῖσα γυναικεία μετὰ μοναστριῶν εἰκοσιτεσσάρων, ὧν ὁ ἀριθμὸς ἠδύνατο 'ν' αὐξηθῇ μέχρι τεσσαράκοντα· ἡ μονὴ αὕτη, ἧς ἔχομεν ἐκδεδομένον τὸ Τυπικὸν[66], μέχρι τοῦ 1399 σῳζομένη, καθόσον οἶδα, ἔκειτο πλησιέστατα τῆς τοῦ Φιλανθρώπου μονῆς, οὐ μακρὰν τοῦ ναοῦ τῆς ἁγίας Ἄννης ἐν τῷ Δευτέρῳ· 80) ἡ μονὴ τῆς Θεοτόκου τὰ Κορώνης, ἡ κειμένη πλησίον τῆς κινστέρνης τοῦ Ἄσπαρος, ἴσως ὑπεράνω τοῦ Σαλμὰ-τομβρούκ, ἀναφερομένη κατὰ τὸν Ι′ αἰῶνα ἐν ἀνεκδότῳ βιογραφίᾳ Μαρίας τῆς νέας (ἴδε 2 ἰουνίου)·— 31) ὁ ναὸς τῆς Θεοτόκου ἐν τοῖς Κουράτορος (ἴδε 22 ἰουλίου καὶ 7 δεκεμβρίου)· — 32) ὁ ναὸς τῆς Θεοτόκου τῶν Κύρου (ἴδε 19 μαΐου, 1 ὀκτωβρίου, καὶ 4 νοεμβρίου)· τὸν ναὸν τοῦτον ὁ πολυμαθέστατος Gustave Schlumberger[67] ταὐτίζει τῷ ναῷ τῆς Κυριωτίσσης. ἐνῷ μονὴ μὲν Κυριωτίσσης ἀναφέρεται ἀορίστως πως ἐπὶ τοῦ πατριάρχου Ἰωάννου τοῦ Γλυκέως, ὅστις ἐν αὐτῇ κατεβίωσε καὶ ὑπὲρ αὐτῆς διέθετο τὴν ὀλίγην αὐτοῦ περιουσίαν[68], γνωστὴ δ' ἔστι καὶ μονὴ ὁμώνυμος ἐν Νικαίᾳ[69].— 33) ἡ μονὴ τῆς Θεοτόκου τοῦ Λιβὸς ἱδρυθεῖσα ὑπὸ τοῦ πατρικίου Κωνσταντίνου τοῦ Λιβὸς ἐπὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου καὶ ἀνακαινισθεῖσα κατὰ τὰ τέλη τοῦ ΙΓ′ αἰῶνος ὑπὸ Θεοδώρας τῆς τοῦ Μιχαὴλ Παλαιολόγου συζύγου· κατὰ τὸν ΙΕ′ αἰῶνα ἦν γυναικεία· ἴσως τὸ σήμερον Ντεμιρτζιλὰρ-μεσδζητί· 34) ἡ μονὴ τῆς Θεοτόκου Μαρίας ἐν τῷ Λιθοστρώτῳ, ἀναφερομένη μὲν ἐπὶ τοῦ πατριάρχου Μηνᾶ, σῳζομένη δὲ πάντως ἕως τοῦ ΙΒ′ αἰῶνος, ὅπου συνήρχοντο οἱ συνοδικοὶ ἀρχιερεῖς μετὰ τὰς ἐπὶ ἐκλογῇ ἀρχιερέως κανονικὰς ψήφους[70]· — 25) ἡ μονὴ τῆς Θεοτόκου πλησίον τοῦ Ἁγίου Λουκᾶ, σύγχρονος οὖσα τῇ ἐν τῷ Λιθοστρώτῳ, διχοτομηθεῖσα ὑπὸ τοῦ Δουκαγγίου· 36) ἡ Θεοτόκος ἐν τοῖς Μαρνακίου, ἴσως ἡ αὐτὴ τῇ ἐν Δοκιαναῖς (ἴδε 15 καὶ 16 μαΐου)— 37) ἡ Θεοτόκος ἐν τῷ Μαύρῳ Μόλῳ, σήμερον Καρὰ-τὰς, παρὰ τὸ Ῥούμελι-καβάκ, ἥτις ἔλιπε τὸ ζῆν περὶ τὸ 1713, ὅτε μετεκομίσθη εἰς τὸν ἐν Μεγάλῳ Ῥεύματι ναὸν τῶν Ταξιαρχῶν ἡ μέχρι τοῦ νῦν ἐκεῖ σῳζομένη εἰκὼν τῆς Θεοτόκου Μαυρομολιτίσσης· τὴν μονὴν ταύτην ὁ Σκ. Βυζάντιος νομίζει οὖσαν τὴν ἐν τῷ Στενῷ κτισθεῖσαν ὑπὸ τῆς συζύγου Ῥωμανοῦ Δ′ τοῦ Διογένους Εὐδοκίας, ἤτοι τὸ μονύδριον τὸ λεγόμενον τὸ Πιπεροῦδι, διὸ καὶ, κατὰ τὴν εἰκασίαν ἐκείνου, λείπω ἐκτὸς τοῦ καταλόγου τῶν τῆς Θεοτόκου ναῶν τὸν ναὸν τὸν ἐν τῷ Στενῷ, ὅστις ἔκειτο μᾶλλον κατὰ τὰ ἀπὸ τοῦ Μακροχωρίου μέχρις Ἐπταπυργίου μέρη[71] — 38) ὁ ναὸς τῆς Θεοτόκου τῶν Μητροπολίτου, κείμενος πλησίον τοῦ παλατίου καὶ κρημνισθεὶς ὑπὸ Ἰουστινιανοῦ Β′ τοῦ Ῥινοτμήτου τῷ 694, κτίσαντος ἀντ' αὐτοῦ ἐν τῷ Πετρίῳ ὑπὸ τὸ ὄνομα τῆς Θεοτόκου τῶν Μητροπολίτου ναὸν ἕτερον, σῳζόμενον μέχρι καὶ τοῦ Θ′ αἰῶνος· 39) ἡ μονὴ τῆς Θεοτόκου τοῦ Μυρελαίου, τὸ σήμερον ἐν Βλάγκᾳ Μπουδρούμ-τζαμὶ, σῳζομένη μὲν ἐπὶ Λέοντος τοῦ θρᾳκὸς, ἤτοι κατὰ

62. Φιλοθέου Σηλυβρίας λόγος εἰς τὸν ὅσιον Μακάριον· ἐν Ἑλλην. Ἀνεκδότοις Μαυρογορδ. Βιβλιοθήκης, σελ. 49. Πατριαρχ. Πίνακες· σελ. 460. Σημειώσαι ὅτι Ματθαῖός τις Καλλικρηνίτης ἔζη τῷ 1321, καὶ ἴσως ἦν ὁ κατόπι τιμηθεὶς τῷ ὀφρικίῳ τοῦ *προκαθημένου τοῦ βεστιαρίου*. Συγχρόνως ἀναφέρεται καὶ Γαβριὴλ ἱερομόναχος Καλλικρηνίτης. Acta Patriarch. Α′, σελ. 147, 149. Κατακουζ. Ἱστορ. Α′, σελ. 65, 94.

63. Μηνολόγιον Βασιλειανὸν, εἰς τὴν 16 δεκεμβρίου.

64. Κατάλογος τῶν χειρογράφων τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Ἑλλάδος, ὑπὸ Ι. Σακκελίωνος καὶ Ἀλκ. Ι. Σακκελίωνος. Ἀθήνησι, 1892· σ. 142. Ἐν τούτοις γινώσκομεν ὅτι εἰς Συμεὼν τὸν νέον Θεολόγον, τριάκοντα σχεδὸν ἔτη πρὸ τοῦ Παύλου ἀκμάσαντα, στίχους εὐνοϊκοὺς ἐποίει Βασίλειος πρωτασηκρίτης, ὃς ἐλέγετο κτίτωρ τῆς μονῆς τῆς Εὐεργέτιδος. Migne, τόμ. ΡΚ′, στ. 308.

65. Theoph. Contin. σελ. 451.

66. βλέπε τοῦτο παρὰ Migne· τόμ. ΡΚΖ′, στ. 992—1128· κατ' αὐτὸ, αἱ ἐν (τῷ μεγάλῳ ναῷ βεβαίως) τῇ μονῇ γινόμεναι *ὁλονύκτιοι ἀγρυπνίαι* ἦσαν: αἱ κατὰ τὰς δεσποτικὰς καὶ Θεομητορικὰς ἑορτὰς, ἡ κατὰ τὸν Μ. Κανόνα, ἡ τῶν Ἁγίων Παθῶν, ἡ τῆς Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ, καὶ ἡ τῶν κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου· αἱ κατὰ τὰς κυριακὰς ἤρχοντο τὸ μὲν Ἑσπέρος ἀπὸ τῆς τρίτης ὥρας τῆς νυκτὸς, τὸν δὲ χειμῶνα ἀπὸ τῆς τετάρτης. Ἡ μονὴ πανηγυρικώτερον ἑώρταζε τὰς Θεομητορικὰς ἑορτάς. Τὸ τῆς μονῆς Τυπικὸν ὡρίσθη (διὰ τοῦ ξε′ κεφαλαίου) 'ν' ἀναγινώσκηται καθ' ἑκάστην νουμηνίαν εἰς ἐπήκοον πασῶν τῶν μοναζουσῶν. Ἡ μονὴ ἐτέλει μνημόσυνα: τὸ τοῦ πατρὸς τῆς κτιτορίσσης Ἀνδρονίκου πρωτοπροέδρου τοῦ Δούκα, τῇ 14 ὀκτωβρίου· τὸ τῆς μητρὸς αὐτῆς Μαρίας, τῆς εἶτα Ξένης μοναχῆς, τῇ 21 νοεμβρίου· τοῦ πενθεροῦ αὐτῆς Ἰωάννου, τῇ 12 ἰουλίου· τὸ τῆς πενθερᾶς αὐτῆς Ἄννης τῆς Δαλασσηνῆς, τῇ 1 νοεμβρίου· τὸ τοῦ ἀδελφοῦ αὐτῆς Μιχαὴλ Δούκα τοῦ πρωτοστράτορος, τῇ 9 ἰανουαρίου· τὸ τῆς ἀδελφῆς αὐτῆς Θεοδώρας, τῆς ἀκολούθως Εἰρήνης μοναχῆς, τῇ 20 φεβρουαρίου· τοῦ ἀδελφοῦ αὐτῆς πανσεβάστου σεβαστοῦ Ἰωάννου Δούκα, τοῦ κατόπιν Ἀντωνίου μοναχοῦ, τῆς ἀδελφῆς Ἄννης Δουκαίνης, τοῦ αὐτοκράτορος Ἀλεξίου Κομνηνοῦ, τοῦ υἱοῦ αὐτῆς Ἰωάννου καὶ τῆς συζύγου αὐτοῦ Εἰρήνης, τοῦ δευτέρου υἱοῦ Ἀνδρονίκου, τοῦ ἐπ' ἀδελφῇ γαμβροῦ Νικηφόρου Βρυεννίου, τοῦ τρίτου υἱοῦ Ἰσαακίου, τοῦ ἑτέρου γαμβροῦ Νικηφόρου Κατακαλῶν, ἑτέρου γαμβροῦ Κωνσταντίνου τοῦ Ἀγγέλου, τῆς ἐγγόνης αὐτῆς Εἰρήνης (Συγατρὸς Ἄννης Κομνηνῆς) καὶ τῶν πορφυρογεννήτων Ἄννης, Μαρίας, Εὐδοκίας, Εἰρήνης καὶ Θεοδώρας, *καθ' ἣν ἂν ἡμέραν ἐκδημήσωσι* πάντες καὶ πᾶσαι· (τὰ περὶ μνημοσύνων ἀπὸ στήλης 1092-1096 τοῦ ΡΚΖ′ τόμου τοῦ Migne).

67. Sigillographie· σελ. 39 καὶ 158.

68. Πατριαρχ. Πίνακες· σελ. 415. Νικηφ. Γρηγορᾶς· Α′, σελ. 193, 270.

69. Πατριαρχ. Πίνακες· σ. 384 καὶ ὅπου παραπέμπω.

70. Μ. Ι. Γεδεών, Τυπικὸν τῶν ψήφων παρὰ βυζαντινοῖς. Byzantinische Zeitschrift, τ. Δ′, σ. 581-582.

71. «τὸν ἐῶον πορθμὸν, ὃν Στενὸν οἱ πολῖται κατονομάζουσιν ἐκ τῆς Θέσεως . . . ἐγκαταστήσαντες ταύτην τῷ παρ' αὐτῆς κτισθέντι φροντιστηρίῳ καὶ λεγομένῳ Πιπερούδῃ». Μιχαὴλ Ἀτταλειάτης· σελ. 169.

τὰ τέλη τοῦ Ε΄ αἰῶνος[72], ἀνακαινισθεῖσα δ' ὑπὸ Ῥωμανοῦ τοῦ Λακαπηνοῦ· 40) ὡς τεσσαρακοστὸν δὲ καὶ γειτονικὸν ναὸν προστίθημι τὸν ναὸν τῆς Θεοτόκου τῆς Βλάγκας, ἀναφερόμενον ἐν πατριαρχικῇ τινι ἀπογραφῇ τοῦ ἔτους 1648 καὶ ἔκτοτε οὐδαμῶς, ὃν εἰκάζω ὅτι ἀντικατέστησεν ὁ σήμερον ἐν τῇ συνοικίᾳ ταύτῃ ναὸς τῶν ἁγίων Θεοδώρων· 41) ὁ τῆς Θεοτόκου τοῦ Νεωρίου (ἴδε 31 αὐγούστου) — 42) ὁ τῆς Θεοτόκου τοῦ Νικητιάτου (ἴδε 28 ἰουνίου)· —43) ὁ τῆς Νικοποιοῦ Θεοτόκου· οὕτως ὠνομάζετο κατὰ τὰς ἀρχὰς τοῦ ΙΔ΄ αἰῶνος εἷς τῶν ἐν τῷ παλατίῳ ναῶν· καίτοι δ' ἐν ὑπομνηματισμοῖς εἰς τὸν Γρηγορᾶν ὁ Δουκάγγιος εἰκάζει τοῦτον τὸν ναΐσκον εἶναι τὴν περιώνυμον μονὴν τῶν Ὁδηγῶν, ἐν τούτοις τοσούτῳ γνωστὸν ἦν τὸ ὄνομα αὐτῆς, ὥστε δύσκολον ἦν 'να περιπέσῃ εἰς λήθην μεταβαλλόμενον εἰς Νικοποιόν[73]. — 44) ὁ ναὸς τῆς Θεοτόκου τῶν Ὁδηγῶν, κτισθεὶς κατὰ τὴν παράδοσιν ὑπὸ τῆς Πουλχερίας, κείμενος παρὰ τῷ παλατίῳ καὶ θησαυρίζων τὴν πολύφημον εἰκόνα τῆς Θεομήτορος τὴν ὑπὸ Λουκᾶ ζωγραφηθεῖσαν, κατὰ τὴν παράδοσιν· ἴσως ὁ ναὸς οὗτος ἔλιπε τὸ ζῆν κατὰ τὸν ΙΔ΄ αἰῶνα, οὐδέποτε ὅμως ἦν δυνατὸν 'να συγχέηται τῷ ναῷ τῆς Νικοποιοῦ Θεοτόκου, ἐφ' ὅσον μάλιστα, ἐνῷ τῷ 1086 γινώσκομεν Ἰωαννίκιον ἡγούμενον τῆς τῶν Ὁδηγῶν μονῆς, τῷ 1427 ἀναφέρεταί τις ἀρχιερεὺς Κάλλιστος ἡγούμενος αὐτῆς, γνωριζόμενος ὡς ἡγούμενος τῆς τῶν Ὁδηγῶν μονῆς· ἐπὶ τοῦ πατριάρχου Καλλίστου Α΄ (1355-1363) ἦν αὕτη μετόχιον τοῦ πατριαρχικοῦ θρόνου τῆς Ἀντιοχείας[74]· — 45) ὁ ναὸς τῆς Θεοτόκου ἐν τοῖς Ὀνωράτοις, κτισθεὶς ὑπὸ Ἰουλιάνας τῆς περιφανεστάτης, ἐν ἀρχαῖς τοῦ ΣΤ΄ αἰῶνος, ἄγνωστον ἂν ἐν τῷ Ἐρέγκιοϊ τῆς σήμερον ἢ ἀλλαχοῦ που[75]· — 46) ἡ Θεοτόκος ἐν τοῖς Οὐρβικίου, ἐν τῇ τοποθεσίᾳ τῇ ὀνομασθείσῃ ἀπὸ Οὐρβικίου τοῦ μέγα ἰσχύσαντος ἐπὶ τοῦ θρᾳκὸς Ἀναστασίου[76]· ὁ ναὸς ἀναφέρεται πρὸ τοῦ 530, ὅτε ἔφηβος ὢν ὁ πατριάρχης Εὐτύχιος ἔμενεν ἐν αὐτῷ, ἐσῴζετο δὲ μέχρι τῶν ἀρχῶν τοῦ Ζ΄ αἰῶνος καὶ ἔκειτο πλησίον τοῦ Στρατηγίου, ἤτοι κατὰ τὰ πέριξ τοῦ Τσεμπερλῆ-τὰς μέρη· 47) ἡ Θεοτόκος ἐν τῷ Παγιδίῳ πλησίον τοῦ νέου ἐμβόλου, περὶ οὗ ἴδε εἰς τὴν 25 ἰουλίου· 48) ἡ Παναγία τῶν Παλαιολόγων, ἴσως ὁ πρώην ναὸς τοῦ ἁγίου Δημητρίου (ἴδε 26 ὀκτωβρίου) — 49) ὁ ναὸς τῆς Θεοτόκου ἐν τῷ παλατίῳ, κτισθεὶς ὑπὸ Βασιλείου τοῦ Μακεδόνος, ἐπάνω τοῦ ναοῦ τοῦ ἁγίου ἀποστόλου Πέτρου καὶ λαμπρῶς ὑπ' αὐτοῦ κοσμηθείς· ἄγνωστον δὲ ἂν αὐτὸς ᾖ ὁ τῆς Νικοποιοῦ· 50) ὁ τῆς Θεοτόκου τῆς Παμμακαρίστου, κτισθεὶς κατὰ τὸν ΙΒ΄ αἰῶνα ὑπὸ Μιχαὴλ Δούκα πρωτοστράτορος καὶ Μαρίας Δουκαίνης συζύγου αὐτοῦ καὶ ἀδελφῆς Ἀλεξίου τοῦ Κομνηνοῦ, πατριαρχικὸς ναὸς μέχρι τοῦ 1586· μικρὸν μετὰ τὴν οἰκοδομήν, ἡ Παμμακάριστος γινώσκεται ὡς μονή, ἧς ἡγούμενοι ὑπῆρξαν ὁ κατόπι πατριάρχης Ἰωάννης ΙΒ΄, Νήφων ὁ τῷ 1397 μητροπολίτης Παλαιῶν Πατρῶν γενόμενος, καὶ Θεοφάνης ὁ τῷ 1400 μητροπολίτης Ἡρακλείας· ἔστιν αὕτη τὸ σήμερον Φετιχιὲ-τζαμί· 51) ἡ Θεοτόκος τῶν Παναγίου, ἤτοι ὁ σήμερον ναὸς τοῦ Μουχλίου, ἀναφερομένη κατὰ τὰ μέσα τοῦ Ι΄ αἰῶνος ὡς μονή, ἧς ἡγούμενος περὶ τὰ τέλη τοῦ αἰῶνος ἐκείνου ἐχρημάτισεν Ἀντώνιος ὁ μαθητὴς τοῦ ἁγίου Ἀθανασίου τοῦ κτίτορος τῆς ἐν Ἁγίῳ Ὄρει μεγίστης Λαύρας. Ἐν τῇ τοποθεσίᾳ ταύτῃ, ἥτις ἦν πλησίον τῆς *τοποθεσίας τοῦ Φαγάρι*, Μαρία Δούκαινα ἡ ἀκροπολίτισσα εἶχε κτήματα μετὰ λουτροῦ καὶ ἀμπελώνων καὶ ναοῦ, ἅτινα κατὰ τὰ τέλη τοῦ ΙΓ΄ αἰῶνος ἠγόρασε παρ' αὐτῆς ἡ νόθος θυγάτηρ τοῦ Παλαιολόγου Μιχαὴλ ἡ δέσποινα τῶν Μογγολίων ἢ Μογουλίων Μαρία, ἥτις ἵδρυσε γυναικείαν μονὴν καλουμένην τῷ 1351 μονὴν τῆς Θεοτόκου «τῆς Παναγιωτίσσης», εἰς ἣν προσήλωσεν ἀργυρᾶ καὶ χρυσᾶ σκεύη καὶ βιβλία, καὶ κτήματα, κείμενα ἐν Κωνσταντινουπόλει, καὶ Μηδείᾳ, καὶ Ῥαιδεστῷ. Παρὰ τὸν ναὸν τοῦτον ἔκειτο τὸ ἀρχαῖον νεκροταφεῖον, ἐξ οὗ ἀνωρύχθησαν τῷ 1890 ἐπιγραφαί τινες τοῦ Θ΄-Ι΄ αἰῶνος, ἀνακοινωθεῖσαι μὲν ὑπ' ἐμοῦ τῇ τῶν Μεσαιωνικῶν ἐρευνῶν Ἑταιρίᾳ, δωρηθεῖσαι δ' εἰς τὸ μουσεῖον αὐτῆς ὑπὸ Λαζαράκη Ξανθοπούλου ἰδιοκτήτου τῆς ἀπέναντι τοῦ Ἰωακειμίου παρθεναγωγείου μεγάλης οἰκίας[77]. εἰσὶ δὲ αὗται:





Τὰ ἴχνη τῆς ὑπάρξεως τοῦ Τυπικοῦ τῆς μονῆς τοῦ Παναγίου κατὰ τὸν ΙΑ΄ αἰῶνα εὑρίσκομεν ἐν τῷ ὑπὸ Γρηγορίου τοῦ Πακουριανοῦ συντεταγμένῳ Τυπικῷ τῆς τοῦ Μπατσκόβου μονῆς, ἐκδοθέντι τύποις ἐν τῇ σειρᾷ τῶν Ἰεναίων διατριβῶν, ὑπὸ Γεωργίου Μουσαίου, ἐν Λειψίᾳ, τῷ 1888. Καὶ τὸ μὲν τοῦ Μπατσκόβου Τυπικὸν ἀπελύθη τῷ 1084 ἢ τῷ 1083, ῥητῶς δ' ἐν αὐτῷ ὁ τῆς μονῆς ταύτης ἱδρυτὴς ἀποφαίνεται ὅτι συνέταξε τοῦτο κατὰ τὰς διατάξεις τῆς ἐν Κωνσταντινουπόλει μονῆς τῶν Παναγίου· ἐπιτρέπεται δ' ἡμῖν ἄρα, κατά τινα τῇ ἀληθείᾳ προσέγγισιν, ἐκ τῆς μελέτης τοῦ Τυπικοῦ τοῦ Μπατσκόβου 'να λάβωμεν ἀμυδρὰν γνῶσιν καὶ τοῦ Τυπικοῦ τῆς τοῦ Παναγίου μονῆς. Ταῦτα βλέπει κατ' ἔκτασιν ὁ φιλίστωρ ἀναγνώστης ἀπὸ σελίδος 157-210 τοῦ Δ΄ τόμου τῶν Dissertationes Ienenses. —52) ἡ μονὴ τῆς Παναχράντου, κειμένη *ἐγγύς που τῆς περιοχῆς* τῆς τοῦ Θεοῦ Σοφίας, οὐχὶ δὲ ὅπου ἔθηκεν αὐτὴν ὁ μακαρίτης Πασπάτης, οὔτε ὅπου κατόπιν ἕτερός τις νεανίας ἠμιμαθὴς (ἴδε Ἐπιμέτρου ἀρ. ΚΖ΄, βιογραφίαν τοῦ ἐν τῇ Ἑῴᾳ Μακαρίου)· ἀναφέρεται τὸ πρῶτον τῷ 1073 ἐν τοῖς πατριαρχικοῖς ἐγγράφοις, ἅτινα ἐπίσης ὁ Πασπάτης ἠγνόει· ἐσῴζετο καὶ κατὰ τὰ τέλη τοῦ ΙΓ΄ αἰῶνος ἐπὶ τοῦ πατριάρχου Ἰωάννου τοῦ Βέκκου· 53) ἡ μονὴ τῆς Παντανάσσης, ἀναφερομένη τὸ πρῶτον ἐπὶ

72. «πρὸς εὐκτήριον οἶκον τῆς Ὑπεραγίας Θεοτόκου, τὸν ἐπονομαζόμενον Μυρέλαιον, διὰ τὸ τὸν τίμιον αὐτῆς χαρακτῆρα βλύζειν τὸ μῦρον ὡς ἔλαιον». Βιογρ. Ἀνδρέου τοῦ διὰ Χριστὸν Σαλοῦ· Migne, τόμ. ΡΙΑ΄, στ. 721.

73. Νικηφ. Γρηγορᾶς· Β΄, σελ. 1225.

74. Migne, τόμ. ΡΚΖ΄, στ. 976. Ἱεροσολ. Βιβλιοθ. τόμ. Β΄, σελ. 457 καὶ Α΄, σελ. 244, ὁπόθεν μανθάνομεν ὅτι κατὰ τὸν ΙΔ΄ αἰῶνα ὑπῆρχε καὶ ἐν Ἱεροσολύμοις ναὸς τῆς Παναγίας Ὁδηγητρίας. Πατριαρχ. Πίνακες· σελ. 43) καὶ 421, ἔνθα ἀναφέρεται σύγγρονος ἐν Διυμοτείχῳ μονὴ τῆς Ὁδηγητρίας.

75. Ἴσως ὠνομάσθη ἡ τοποθεσία ἀπὸ Ὀνοράτου ἐπάρχου Κωνσταντινουπόλεως ἐπὶ τοῦ Μ. Θεοδοσίου. Ζωναρᾶς, ΙΓ΄, 18 (Δινδορφ. Γ΄, 228).

76. αὐτόθι, ΙΔ΄, 3 (Γ΄, 258).

77. βλ. κατὰ πλάτος τὸ βιβλίον μου Λίθους καὶ Κεράμια· σελ. ρε΄-ρι΄ καὶ ριβ΄.

Ἰσαακίου Ἀγγέλου (1185-95) ἐντὸς τῆς Κωνσταντινουπόλεως· 54) ὁ ναὸς τῆς Θεοτόκου τῆς Παντανάσσης ἐν τῇ νήσῳ τῆς ἁγίας Γλυκερίας τῇ κατὰ τὸν κόλπον τῆς Νικομηδείας (ἴδε 13 μαΐου) — 55) ἡ μονὴ τῆς Παναγίας Παυσολύπης, ἀναφερομένη τῷ 1401 ἐν τῇ πόλει· 56) ἡ μονὴ τῆς Περιβλέπτου (τὸ νῦν Σουλοὺ-μοναστήρ), κτισθεῖσα τῷ 1031 ὑπὸ Ῥωμανοῦ Γ′ τοῦ Ἀργυροῦ [78] καὶ ἀνακαινισθεῖσα τῷ 1081 ὑπὸ Νικηφόρου τοῦ Βοτανιάτου, ἐν αὐτῇ μοναχοῦ ἀποκαρέντος καὶ ταφέντος παρ' αὐτῇ, καὶ τρίτον ἐπισκευασθεῖσα ὑπὸ τοῦ Παλαιολόγου Μιχαήλ· κατὰ τὰς ἀρχὰς τοῦ ΙΔ′ αἰῶνος ἡ μονὴ τῆς Περιβλέπτου κατεῖχεν ὡς μετόχιον τοὺς τῆς Βιθυνίας Ἐλιγμοὺς, ἀσαφῶς ὅμως τοῦ χρονογράφου λαλοῦντος, ἄγνωστον εἴπερ ὅλον τὸ χωρίον εἶχεν ὡς μετόχιον, ἢ μίαν ἐν αὐτῷ μονήν· γινώσκομεν δὲ σφραγῖδας «ἡγουμένου Θεοδοσίου» καὶ «πρωτοπρεσβυτέρου Βασιλείου» τῆς Περιβλέπτου κατὰ τὸν ΙΑ′ αἰῶνα [79]· ἡγούμενος τῆς μονῆς ταύτης ἦν ὁ τῷ 1450 πατριάρχης ἐκλεγεὶς Ἀθανάσιος Β′· 57) ὁ ναὸς τῆς Θεοτόκου ἐν τῷ Περιτειχίσματι, πλησίον τοῦ Φόρου ἢ μᾶλλον μεταξὺ τούτου (Τσεμπερλῆ-τὰς) καὶ τῆς Φιλοξένου κινστέρνης (Μπὶν-μπὶρ-διρὲκ), ἀναφερόμενος μὲν τῇ 15 μαΐου καὶ 13 καὶ 30 ἰουλίου (ἴδε), πιθανῶς δ' ὧν τὸ ἐπὶ τοῦ θρᾴκὸς Λέοντος εὐκτήριον «τῆς πανυμνήτου Θεοτόκου ἐν τῷ εὐωνύμῳ ἐμβόλῳ τοῦ Φόρου Κωνσταντίνου» [80] — 58) ὁ ναὸς τῆς Θεοτόκου τῶν Πεταλᾶ κείμενος ἐν ἀγνώστῳ (τουλάχιστον ἐμοὶ) τοποθεσίᾳ, κρημνισθεὶς ὑπὸ σεισμοῦ τῷ 557 — [58) ὁ ναὸς τῆς Θεοτόκου ἐν τῷ Πετρίῳ, ὁ ἀναφερόμενος παρὰ Δουκαγγίῳ τῷ 1334, νομίζω ὅτι αὐτός ἐστιν ὁ τῶν Μητροπολιτῶν] — 59) ὁ τῆς Θεοτόκου τῆς Πηγῆς, περὶ οὗ ἐλέχθησαν τὰ δέοντα τῇ 9 ἰουλίου — 60-61) οἱ ἐν τῷ παλατίῳ τῶν Πηγῶν δύο ναοὶ τῆς Θεοτόκου, κτισθέντες ὑπὸ Βασιλείου τοῦ Μακεδόνος· 62) ὁ ναὸς τῆς Θεοτόκου ἐν τῇ νησίδι Πλάτῃ, παρεκκλήσιον τοῦ ναοῦ τῶν Μ′ μαρτύρων, ἀναφερόμενος ἐπὶ τῆς πρώτης ἐφημερίας Ἰγνατίου τοῦ πατριάρχου· 63) ὁ τῆς Θεοτόκου ἐν τοῖς Προόχθοις, ὃν κείμενον «οὐ πολλῷ ἄποθεν» τοῦ ναοῦ τοῦ ἀρχαγγέλου Μιχαὴλ καὶ τῷ χρόνῳ πεπονηκότα ἀνεκαίνισεν ὁ Μ. Ἰουστινιανός· 64) ὁ ναὸς τῆς Θεοτόκου ἐν τῷ Σίγματι, ἀναφερόμενος ἐπὶ Βασιλείου τοῦ Μακεδόνος, κείμενος ἐν τῇ συνοικίᾳ τῶν Ἑξ-μαρμάρων, καὶ οὗ τὴν κινστέρναν ὁ μακαρίτης Πασπάτης ἐξέλαβεν ἀντὶ τοῦ ὑπὸ τὸν ναὸν ὑπογείου, ἐνῷ τὸν ἀληθῆ ναόν, κείμενον οὐ μακρὰν τοῦ ὑπογείου τούτου, ἐγὼ ὑπέδειξα τῷ μακαρίτῃ ἀρχιτέκτονι καὶ βυζαντινολόγῳ Πελοπίδα Κούππα, εὐμνημόνως ἀναγράψαντι τὴν ἐμὴν ὑπόδειξιν ὡς ἑξῆς: «ἐμνήσθημεν δὲ καὶ τῶν γραφέντων παρὰ τοῦ γνώστου τῆς μεσαιωνικῆς ἱστορίας κ. Μ. Γεδεὼν ἔν τινι πρὸς φίλον αὐτοῦ ἐπιστολῇ, ἐχόντων οὕτω: «Τὸ ἐρείπιον τοῦτο κρίνω ὡς δεξαμενὴν, ὑποτιθεὶς τὴν ὕπαρξιν μονῆς ἢ ἐκκλησίας οὐ μακρὰν κειμένης», καὶ ἐν τοῖς ὁποίοις μετ' εὐχαριστήσεως οὐχὶ σμικρᾶς εἴδομεν ἐπιτυχοῦσαν τὴν προφρατικότητα αὐτοῦ» [81] — 65) ὁ εἰς τὰ κατηχούμενα τοῦ ναοῦ τῶν ἁγίων Σεργίου καὶ Βάκχου ναΐσκος· 66) ὁ ναὸς τῆς Θεοτόκου ἐν ταῖς Συκαῖς ἢ τῷ Γαλατᾷ κατὰ τὰ τέλη τοῦ ΣΤ′ ἢ τὰς ἀρχὰς τοῦ Ζ′ αἰῶνος, ἴσως ὁ κατόπιν ἐν τῷ ΙΖ′ αἰῶνι ἀναφερόμενος ναὸς τῆς Θεοτόκου τῆς Ἐλεούσης· 67) ὁ τῆς Θεοτόκου ἐν τῷ Σωσθενίῳ, πιθανῶς εὐκτήριον τοῦ ναοῦ τοῦ ἀρχαγγέλου Μιχαὴλ ἐν τῇ σημερινῇ Στένῃ (ἴδε εἰς τὴν 8 ἰουνίου) — 68) ὁ ναὸς τῆς Θεοτόκου εἰς τὸν Τρίτωνα, σῳζόμενος ἐπὶ Στουδίτου, ὅστις ἐξ οὗ ἐποίησεν ἐπιγράμματος τριστίχου

Ἡ πᾶσιν ἐγγὺς εἰς βοήθειαν τάχους
τὸν πλοῦν διευθέτησον ὧν θερμῶς ἔχεις,
προσκειμένων σοι ταῖς λιταῖς σου, Παρθένε

δείκνυσιν ὅτι ἡ παράλιος ἦν ὁ ναὸς, ἢ ἐθεωρεῖτο προστάτης τῶν ναυτιλλομένων [82] — 69) ὁ ναὸς τῆς Θεοτόκου τοῦ Φάρου, ἐν ᾧ ἐγίνετο ἡ λιτὴ τοῦ ἑσπερινοῦ τῆς ἑορτῆς τοῦ προφήτου Ἠλιοὺ, ἀναφερόμενος ἀπὸ τοῦ Η′ αἰῶνος καὶ μέχρι τοῦ Ι′· 70) ὁ ναὸς τῆς Θεοτόκου τοῦ Φόρου, ἐγερθεὶς ὑπὸ Βασιλείου τοῦ Μακεδόνος «ἀμέτρῳ κάλλει καὶ μετρίῳ μεγέθει διηυγασμένος»· ἐν τῷ ναῷ τούτῳ (εἰ συνέπιπτεν ὁ Εὐαγγελισμὸς τῇ Μ. παρασκευῇ ἢ τῷ Μ. σαββάτῳ) ἀρχομένη ἡ λιτὴ τῆς ἑορτῆς συνεπληροῦτο ἐν τῷ τῶν Χαλκοπρατείων (τοῦτο πρὸ τοῦ ΙΑ′ αἰῶνος) [83] — 71) ὁ ναὸς τῆς Θεοτόκου ἐν τοῖς Φωρακίου ἢ Σφωρακίου, ἐν ᾧ προσηύχοντο οἱ γονεῖς τῆς βασιλίδος Θεοφανοῦς, κατὰ τὰ Μηναῖα καὶ κατὰ τὸν τοῦ Μαργουνίου Συναξαριστὴν, διότι, κατὰ τὸν τοῦ Νικοδήμου, προσηύχοντο ἐν τῷ ναῷ τῆς Θεοτόκου τῶν Βάσσου· καὶ ἴσως ἡ μονὴ τῶν Βάσσου ἔκειτο ἐν τοῖς Φωρακίου· 72) ἡ μονὴ τῆς Θεοτόκου ἐν τῇ νήσῳ Χάλκῃ, ὅπου νῦν ἡ ἐμπορικὴ σχολὴ, κτισθεῖσα πιθανῶς τῷ 1431 (δῆθεν ἐπ' ὀνόματι Θεοτόκου Παμμακαρίστου ἢ Παναχράντου) [84] — 73) ὁ ναὸς τῆς Θεοτόκου τῶν Χαλκοπρατείων, περὶ οὗ τὰ δέοντα ἐλέχθησαν εἰς τὴν 25 μαρτίου (ἴδε καὶ εἰς τὴν 18 δεκεμβρίου) — 74) ἡ μονὴ τῆς Θεοτόκου τοῦ Χαρσιανίτου, ἡ λεγομένη καὶ Νέα Περίβλεπτος [85], ἀναφερομένη κατὰ τοὺς τελευταίους τῶν βυζαντινῶν αἰῶνας καὶ δὴ ἐπὶ τῶν χρόνων τοῦ Φραντζῆ· 75) ἡ μονὴ τῆς Θεοτόκου τῆς Χρυσοπόλεως (περὶ ἧς ἴδε εἰς τὴν 21 ἰανουαρίου), αὐτὴ βεβαίως ἡ καλουμένη κατὰ τὸν ΙΑ′ αἰῶνα «μονὴ τῆς ὑπεραγίας Θεοτόκου τοῦ Σκουταρίου»· 76) ὁ παρὰ τῇ Χρυσῇ πόρτῃ μέγας, ὡς ἔοικε ναὸς, ἔχων ἔνδον τὸ μαρτυρεῖον τοῦ ἁγίου Διομήδους (ἴδε 16 αὐγούστου· 77) ὁ ἐν Γαλατᾷ ναὸς τῆς Θεοτόκου Χρυσοπηγῆς, ὅστις ἔλιπε τὸ ζῆν μικρῷ μετὰ τὰ μέσα τοῦ ΙΖ′ αἰῶνος· 78) ὁ ναὸς τῆς Θεομήτορος ὁ οἰκοδομηθεὶς ὑπὸ Θεοδώρου Δούκα Λιβαδαρίου τοῦ Κομνηνοῦ· 79) ὁ ναὸς ὁ κτισθεὶς ὑπὸ Μιχαὴλ Ἀτζύμη δομεστίκου τῶν ἀνατολικῶν θεμάτων· 80) ὁ ναὸς ὁ ἐγερθεὶς ὑπὸ τοῦ μαγίστρου Γεωργίου· 81) ἡ μονὴ τοῦ Περιβλεπτηνοῦ, ἣν αὐτὸς ἐγείρας τῇ Θεοτόκῳ καθωσίωσεν· 82) ὁ ναὸς τῆς Ἀκαταμαχήτου, κτισθεὶς ὑπὸ Γουλιώτου τοῦ σεβαστοῦ· καὶ 83) ὁ ναὸς τῆς Θεομήτορος, ὃν ἀνήγειρεν ὁ ἔπαρχος Μιχαὴλ Μονομάχος ὁ Σενναχηρείμ.

Σημ.— Οἱ τελευταῖοι ἓξ ναοὶ τῆς Θεομήτορος ἠγέρθησαν περὶ τὰ τέλη τοῦ Π′ ἢ γοῦν περὶ τὰς ἀρχὰς τοῦ ΙΔ′ αἰῶνος, διότι εἰς αὐτοὺς ἔγραψεν ἐπιγράμματα Μανουὴλ Φιλῆς ὁ βυζαντινὸς ποιητής [86]. Ναοὶ δὲ τῆς Θεοτόκου, περὶ ὧν ἔξεστί μοι ἀμφιβάλλειν, εἰσὶν οἱ παρὰ τοῖς παραδοξογράφοις ἀναφερόμενοι: 1) ὁ ἐν τοῖς Εὐγενίου· 2) τὸ Καραβίτζιν· 3) τὰ Καρπιανοῦ· 4) τὸ Κρύσταλλον· 5) τὰ Πατρικίας· 6) ὁ τῆς Πονολύτρας, προδήλως συγχεόμενος τῷ τῆς Παυσολύπης· 7) ὁ τοῦ Προτασίου· 8) ὁ τῆς Ῥάβδου, μᾶλλον ἐν τῇ φαντασίᾳ τοῦ Δουκαγγίου, ὡς νομίζω, κείμενος. Ὁ δὲ παρὰ τῷ αὐτῷ Δουκαγγίῳ ναὸς *τῆς ἁγίας Μαρίας* ὁ ἐν Ἰαμψήφοις, ἀναφερόμενος ἐπὶ τοῦ πατριάρχου Μηνᾶ, ἄγνωστον ἂν ᾖ ναὸς τῆς Θεοτόκου, διότι οὕτωσὶ ψιλῶς ἀναφέρεται τὸ ὄνομα, χωρὶς τοῦ προσδιορισμοῦ Θεοτόκου ἢ Παρθένου.

Ἐπισημ.— Ἐν τῇ Θεοτόκῳ τοῦ Φάρου ἐκκλησιάζετο ὁ αὐτοκράτωρ τῇ πέμπτῃ τῆς Διακαινησίμου, ἐνῷ τὴν τρίτην τῆς αὐτῆς ἑβδομάδος τοῦ Πάσχα ὁ πατριάρχης ἐξῆρχε

---

78. πρὸς οἰκοδομὴν αὐτῆς ὁ Ῥωμανὸς, πολὺ πιέζων, εἰσέπραξεν ἐξοδεύων ἅμα ἄπειρα χρήματα· διότι κτίζων ἐκρήμνιζε καὶ πάλιν ᾠκοδόμει κατὰ νέα σχέδια· συγχρόνως ὅμως ἐξώδευε καὶ πολλὰ πρὸς διατροφὴν τῶν μοναχῶν. Ζωναρᾶς· ΙΖ′, 12 (Δινδορφ. Δ′, 131-132). Ψελλὸς, παρὰ Κ. Ν. Σάθᾳ· Μεσαιων. Βιβλιοθ. Δ′, σελ. 39.

79. Schlumberger, Sigillographie· σελ. 152.

80. Βίος Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ· Migne, τ. ΡΙΑ′, στ. 712.

81. «Ἐκκλησ. Ἀλήθεια»· ἔτος Δ′, σελ. 126· ἰδὲ καὶ σ. 136, ὅπου ἐξέδωκεν ὁ Πελοπίδας Κούππας σχεδιάγραμμα τῆς Θεοτόκου τοῦ Σίγματος.

82. Στουδίτου τὰ εὑρισκόμενα· Migne, τ. γθ′, 1801.

83. Ἱεροσολ. Βιβλιοθ. τόμ. Β′, σελ. 396.

84. Κωνσταντινιὰς (τοῦ πατριάρχου Κωνσταντίου Α′)· ἔκδ. β′, σελ. 215-216. Βαρθολομαίου Κουτλουμουσιανοῦ, Ὑπόμνημα περὶ τῆς κατὰ Χάλκην μονῆς τῆς Θεοτόκου· ἐν Κωνσταντινουπόλει, 1846· σελ. 14. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Β′, σελ. 314.

85. Ἱεροσολ. Βιβλιοθ. τόμ. Β′, σελ. 112.

86. ὁ φιλίστωρ ἀναγνώστης παραπέμπεται συλλήβδην εἰς τὰς πηγὰς, ὡς ἐγένετο καὶ ἐν τῇ σημειώσει 55. Δουκαγγίου Const. Christ. σελ. 55, I, 59, 62, 65, XX, XXVII καὶ XLVII. Acta Patriarch. Α′, σελ. 218, 423. Β′, σελ. 297, 299, 407, 430, 455-458, 468 καὶ 499. Acta monaster. Γ′, σελ. 15. Σκ. Βυζαντίου «Κωνσταντινούπολις»· Α′, σελ. 301, Β′, σελ. 176-177. Ἱεροσολυμ. Βιβλιοθ. Α′, σελ. 211, 244, 352. Β′, 457. Ζωοδόχος Πηγή· σελ. 70-76. Δωροθέου, Χρονογράφος· ἀπόσπασμα παρὰ Κ. Ν. Σάθᾳ· Βιογρ. σχεδίασμα περὶ Ἱερεμίου Β′· Ἀθῆναι, 1870, σελ. 15. Πορφυρογ. Ἔκθ. Α′, σελ. 71, 88, 776. Θεοδώρου Συκεώτου βιογρ. παρὰ Θεοφίλῳ Ἰωάννου· σελ. 437 καὶ 447. Εὐτυχίου βιογρ. ὑπὸ Εὐστρατίου· Migne, ΠΣΤ′, 2289. Κατακουζ. Β′, σελ. 165. Νικηφ. Γρηγορᾶς· Α′, σελ. 304. Β′, σελ. 1225. Παχυμέρης· τόμ. Β′, σελ. 596. Ζωναρᾶς· ΙΖ′, 12. ΙΙΙ′, 20. (Δινδορφ. Δ′, 131-132 καὶ 234). Ἀμαρτωλός· Migne, ΡΙ′, 1260· Γενέσιος· σελ. 19 καὶ 128. Ἄννα Κομνηνή· Α′, σελ. 134. Νικήτας Χωνιάτης· σελ. 575. Φραντζῆς· σελ. 110. Θεοφ. Α′, σελ. 243, 357, 687. Theoph. Contin. σελ. 325-329, 331, 339. Προκοπίου, Περὶ κτισμάτων· σελ. 185 καὶ 199. Σημείωσις περὶ τῶν ἐν Κωνστ/πόλει κατὰ τὸν ΙΖ′ αἰῶνα σῳζομένων βυζαντ. ναῶν· Ἑλλ. Φιλολ. Σύλλογος· τόμ. ΚΓ′, σελ. 41. «Κωνσταντινούπολις» Λεξικοῦ Ἱστορ. καὶ Γεωγραφίας· σελ. 1048. Emm. Miller Catalogue des manusrits Grecs de la Bibliothèque de l'Escurial, 1848, Παρίσιοι· σελ. 414. Ὅτι δὲ κατὰ τὸν ΙΒ′ αἰῶνα Σκουτάριον ἐκάλουν τὴν Χρυσόπολιν εὕρηται παρὰ Νικήτᾳ Χωνιάτῃ· σελ. 717. Εἰρήσθω δ' ὅτι μονὴ ἐν Ἀντιγόνῃ καὶ ἡγούμενος αὐτῆς ἀναφέρεται, κατὰ τὸν Miller (σελ. 202 Catalogue de l'Escurial) ἐπὶ Μανουὴλ τοῦ Κομνηνοῦ, ἐφ' οὗ καὶ Γρηγόριον μοναχὸν ἀντιγονίτην γινώσκομεν, ᾧ κανονικῆς τινος διατάξεως ἐπέστελλε τὴν διευκρίνησιν ὁ Ἰωάννης Φουρνῆς· ταύτην δ' ἐξέδωκα ἐν τόμῳ Γ′ τῆς «Ἐκκλησιαστ. Ἀληθείας», σελ. 170-171.

τῆς ἐν τῷ ναῷ τῶν Βλαχερνῶν λιτῆς· ὁ αὐτοκράτωρ παρίστατο ἐν ταῖς Βλαχέρναις τὸ πρωὶ τῆς Μ. παρασκευῆς [87].

* * *

26. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν τῇ ἁγίᾳ Σορῷ ἀπόθεσις τῆς τιμίας Ἐσθῆτος τῆς ὑπεραγίας Θεοτόκου ἐν Βλαχέρναις.

* * *

26. Εὐθυμίου ἐπισκόπου Σάρδεων τοῦ ὁμολογητοῦ.

Ἤκμασεν ἐπὶ Κωνσταντίνου καὶ Εἰρήνης, ἐξορισθεὶς ὑπὸ Νικηφόρου τοῦ ἀπὸ γενικῶν καὶ κατόπιν ὑπὸ Λέοντος Ε′ εἰς Ἄσσον, ὑπὸ δὲ Μιχαὴλ τοῦ Τραυλοῦ εἰς Ἀκρίταν, ὅπου καὶ ἀπέθανεν ἐκ τῶν κακουχιῶν τῷ 831 [88].

ℰ

27. Εὐαρέστου τοῦ ὁσίου.

Ἤκμαζε κατὰ τὰ μέσα τοῦ Θ′ αἰῶνος· ἐγένετο μοναχὸς τοῦ Στουδίου, καὶ ἀπέθανεν ἐν τῇ μονῇ τοῦ Κοκκοροβίου, ἐν ᾗ ἔκειτο καὶ τὸ λείψανον αὐτοῦ καὶ ὅπου βεβαίως ἐγίνετο ἡ ἐπὶ τῇ μνήμῃ τοῦ Εὐαρέστου τῇ 27 δεκεμβρίου σύναξις. Ἡ μονὴ τοῦ Κοκκοροβίου, συστηθεῖσα τῷ 859 (ἴσως) ὑπὸ Νικολάου Στουδίτου, ἔκειτο ἐν Κωνσταντινουπόλει πρὸς τὰ τοῦ λίβα μέρη. Ἰωάννης δὲ Κοκκορόβιος ὕπαρχος ἀναφέρεται τῷ 550 [89].

ℰ

Κυριακῇ μετὰ τὴν Χριστοῦ Γέννησιν.

Τῶν ἁγίων καὶ δικαίων Ἰωσὴφ τοῦ μνήστορος, Ἰακώβου τοῦ ἀδελφοθέου, καὶ Δαβὶδ τοῦ προφήτου καὶ βασιλέως. Ἡ αὐτοῦ (παρὰ Νικοδήμῳ αὐτῶν) σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν τῷ ἀποστολείῳ τοῦ ἁγίου Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Κυρίου, ἔνδον τοῦ σεβασμίου οἴκου τῆς ὑπεραγίας Θεοτόκου τῶν Χαλκοπρατείων.

Ὁ ναὸς οὗτος τοῦ ἁγίου Ἰακώβου βεβαίως ἦν παρεκκλήσιον τοῦ ναοῦ τῶν Χαλκοπρατείων, ἀλλὰ φρονῶ ὅτι, καθὼς γράφεται ἡ σύναξις τῇ 3 τοῦ φεβρουαρίου μηνός, εἶχε παρεκκλήσιον Ἰακώβου τοῦ ἀδελφοθέου καὶ ὁ ναὸς τῆς Εὐουρανιωτίσσης· διότι ἄλλως ὁ τὰς συνάξεις ἀναγράψας ἠδύνατο ’να σημειώσῃ τὸν ναὸν τῶν Χαλκοπρατείων εἴπερ ἦν οὗτος, ἁπλῶς ὅμως ἔγραψε «ναὸν τῆς ἁγίας Θεοτόκου πλησίον τῆς μεγάλης ἐκκλησίας».

ℰ

27. Στεφάνου ἀρχιδιακόνου καὶ πρωτομάρτυρος. Ἡ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ τῷ ὄντι πλησίον Κωνσταντινιανῶν.

Περὶ τοῦ λειψάνου τοῦ ἁγίου Στεφάνου βλέπε εἰς τὴν 2 αὐγούστου. Εἰκόνα δὲ θαυματουργὸν αὐτοῦ εἶδεν ὁ μυθογράφος Ἀντώνιος ἐν τῇ Ἁγίᾳ Σοφίᾳ [90].

Ναοὶ τοῦ ἁγίου Στεφάνου ἀναφέρονται 1) ὁ ἐν Κωνσταντινιαναῖς, ἤτοι ἐν τοποθεσίᾳ, ἣν ὁ διδάκτωρ A. Mordtmann φρονεῖ κειμένην ὅπου ἡ στήλη τοῦ Μαρκιανοῦ (Κὴζ-τὰς) [91]— 2) ὁ ἐν τῷ παλατίῳ, κτισθεὶς ὑπὸ τῆς Πουλχερίας, ὡς ἐγράφη τῇ 2 αὐγούστου· 3) ὁ ἐν ταῖς Αὐρηλιαναῖς, σῳζόμενος κατὰ τὰ 494—498 καὶ οὗτινος ὑπὸ τὸ θυσιαστήριον ὑπῆρχε πηγὴ ὕδατος ἁγιουμένη θείας ἐποψίας· τὸν ναὸν τοῦτον, κείμενον πλησίον τῆς μονῆς τῆς Περιβλέπτου, ὡς μαρτυρεῖ τὸ Τυπικὸν τῆς ἐν Βήρᾳ μονῆς τῆς Θεοτόκου Κοσμοσωτείρας, ᾠκοδόμησεν ἄρχων τις Αὐρηλιανὸς [92], ἐδαφισθέντα δὲ μετὰ ταῦτα Βασίλειος ὁ Μακεδὼν ἤγειρεν ἐκ θεμελίων [93]· μετὰ ταῦτα γενόμενον ἐρείπιον, ἔλαβε μικρῷ πρὸ τοῦ 1152 καὶ κατέστησε μοναστήριον Ἰσάκιος ὁ υἱὸς Ἀλεξίου τοῦ Κομνηνοῦ, προσαρτήσας εἰς τὴν ἐν Βήρᾳ μονὴν τῆς Κοσμοσωτείρας· 4) ἡ μονὴ τοῦ ἁγίου Στεφάνου τῶν Ῥωμαίων, κειμένη πλησίον τοῦ Πετρίου, ἣν Θωμᾶς ὁ πατριάρχης Κωνσταντινουπόλεως ὥρισε Θεοδώρῳ τῷ Συκεώτῃ πρὸς κατοικίαν, τῷ 610· τῆς μονῆς ταύτης τοῦ ἁγίου Στεφάνου τῶν Ῥωμαίων ἡγούμενος ἦν τότε Χριστοφόρος, οὗ μετὰ θάνατον ἐγένετο Ζωΐλος [94] — 5) τὸ εὐκτήριον τοῦ ἁγίου Στεφάνου τὸ ἐν τῇ «Καμάρᾳ τοῦ βοὸς», ἀναφερόμενον ἐν τῷ Θ′ αἰῶνι [95] — 6) ὁ ναὸς τοῦ ἁγίου Στεφάνου ὁ πλησίον τῶν Πλακιδίων (ἴδε 23 δεκεμβρίου) — 7) ὁ ἐν τῷ Ζεύγματι, αὐτὸς κατ’ ἐμὲ ὁ δοὺς τὴν ὀνομασίαν εἰς τὸ παρὰ τὴν Κωνσταντινούπολιν χωρίον Ἅγιον Στέφανον, (ἴδε 9 δεκεμβρίου) — 8) ὁ ναὸς τοῦ ἁγίου Στεφάνου ὁ ἐν τῇ μονῇ τοῦ Δίου, παρεκκλήσιον ὢν τοῦ μεγάλου ναοῦ αὐτῆς, ὡς ἐν ταῖς βιογραφίαις Στεφάνου τοῦ ὁμολογητοῦ φαίνεται· 9) παραλείπω τὸν ναὸν τοῦ ἁγίου Στεφάνου τῶν Ναυατιανῶν ἐν τῷ Δ′ αἰῶνι σῳζόμενον.

* * *

27. Θεοδώρου τοῦ Γραπτοῦ.

Ἀδελφὸς Θεοφάνους (11 ὀκτωβρίου), υἱὸς Ἰωνᾶ τοῦ σαβαΐτου, ἐκ Παλαιστίνης, ἐμαθητεύθη σὺν τῷ ἀδελφῷ ἐν τῇ μονῇ τοῦ ἁγίου Σάβα· ἦλθεν εἰς Κωνσταντινούπολιν ἐπὶ Λέοντος Ε′, ἐφ’ οὗ περιωρίσθη σὺν τῷ ἀδελφῷ αὐτοῦ εἴς τινα μονὴν κατὰ τὸ στόμα τοῦ Πόντου· συγχωρηθέντες ὑπὸ Μιχαὴλ Τραυλοῦ, καὶ πρὸς τὴν Κωνσταντινούπολιν ἐπαναζεύξαντες, μετὰ μικρὸν διετάχθησαν ’να παραμένωσιν ἔν τινι τόπῳ παρὰ τὸ Σωσθένιον· ἐστάλησαν ὑπὸ Θεοφίλου εἰς Ἀφρουσίαν, ἔτη πολλὰ διαμείναντες, ἀφ’ ἧς μετακληθέντες ἐστίχθησαν ὑπ’ αὐτοῦ τὰ μέτωπα διὰ τοῦ γνωστοῦ δωδεκαστίχου ἰαμβικοῦ· ἐπὶ δ’ Ἰωάννου πατριάρχου (836 ἢ 837) ἐστάλησαν εἰς Ἀπάμειαν τῆς Βιθυνίας, ὅπου ὁ Θεόδωρος ἀπεβίωσε, κατὰ τὰς μέχρι σήμερον γνωστὰς πηγάς, κηδευθεὶς ὑπὸ τοῦ ἀδελφοῦ Θεοφάνους, ἁσματικὸν αὐτῷ κανόνα πλέξαντος· εὐσεβής τις ἀνὴρ μετεκόμισεν οὐ μετὰ πολὺ τὸ λείψανον εἰς Χαλκηδόνα «οὗ καὶ ἱερὸν δειμάμενος φροντιστήριον ἐκεῖσε τὸν θησαυρὸν ἀποτίθεται» [96]. Παρὰ τῷ Βασιλειανῷ ἡ μνήμη αὐτοῦ καθὼς καὶ Θεοδώρου τοῦ πατριάρχου Κωνσταντινουπόλεως γράφεται τῇ 28. Πλείονα γράφονται περὶ τῶν ἀδελφῶν Γραπτῶν ἐν ἀνεκδότῳ βιογραφίᾳ Μιχαὴλ τοῦ συγκέλλου.

* * *

27. Θεοδώρου πατριάρχου Κωνσταντινουπόλεως. Τὴν μνήμην αὐτοῦ ἑορτάζει ἡ μεγάλη ἐκκλησία ἐν ἡμέρᾳ κυριακῇ·

ἤτοι μόνον εἰ συνέπιπτεν ἡ 28 δεκεμβρίου ἐν ἡμέρᾳ κυριακῇ.

Ἱεράτευσεν ὁ Θεόδωρος τὸ πρῶτον ἀπὸ τὸ 676-678 καὶ τὸ δεύτερον ἀπὸ τοῦ 683-686, βυζάντιος ὢν τὴν πατρίδα, πρεσβύτερος καὶ σύγκελλος καὶ σκευοφύλαξ τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως.

ℰ

29. Τῶν ἁγίων νηπίων.

Ναὸς τῶν ἁγίων νηπίων, κτισθεὶς ὑπὸ τοῦ Μ. Ἰουστινιανοῦ, ἐσῴζετο καὶ κατὰ τὸν Ι′ αἰῶνα. Ἐν τῇ τοπικῇ συνόδῳ τῇ πρὸς καθαίρεσιν τοῦ αἱρεσιάρχου Εὐτυχοῦς (πρὸ τῆς Δ′ οἰκουμενικῆς) ὑπέγραψε «Πιέντιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τοῦ μαρτυρίου τῶν Νηπίων» [97].

* * *

29. Μνήμη πάντων τῶν χριστιανῶν καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐν λιμῷ καὶ δίψει, καὶ μαχαίρᾳ, καὶ κρύει τελειωθέντων. Ἡ σύναξις ἐν τοῖς Χαλκοπρατείοις εἰς τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου, ἔνθα ἡ ἁγία Σορός.

* * *

29. Θαδδαίου τοῦ ὁμολογητοῦ.

Σκύθης, ἀπελεύθερος τοῦ Θεοδώρου, ἐγένετο μοναχὸς τοῦ Στουδίου, πολλὰ παθὼν ὑπὲρ τῶν ἁγίων Εἰκόνων, κατὰ τὰ Μηναῖα καὶ τοὺς Συναξαριστάς, καὶ θανὼν μικρῷ πρὸ τοῦ 820. Τοῦτον ὁ Θεόδωρος Στουδίτης λέγει μέγαν καὶ θαυμαστόν, «ὃν ὁ βίος καὶ ἡ ὁμολογία διπλῶς ἐταινίωσε τῷ στεφάνῳ», διότι πολλὰ ἔπαθεν ὑπὸ Βάρδα, συγγάμβρου Λέοντος τοῦ Ε′· τοῦ Θαδδαίου τὰς πρὸς Θεὸν πρεσβείας ἐπεκαλεῖτο ὁ Θεόδωρος [98].

* * *

29. Τὰ ἐγκαίνια τοῦ ναοῦ τῶν ἁγίων τεσσαράκοντα μαρτύρων πλησίον τοῦ Χαλκοῦ Τετραπύλου.

Ἴδε εἰς τὴν 9 μαρτίου. Ἡ μνήμη παρὰ τοῖς Συναξαρισταῖς, ἐντύποις καὶ χειρογράφοις.

* * *

29. Μαρκέλλου ἡγουμένου μονῆς τῶν Ἀκοιμήτων.

Γεννηθεὶς ἐν Ἀπαμείᾳ τῆς Συρίας ἐξ εὐπατριδῶν ἦλθε, μειράκιον βεβαίως ὤν, εἰς Ἀντιόχειαν ἐπὶ σπουδῇ. Μετασχὼν ἀρκούντως ἐν τῇ πόλει ταύτῃ τῆς κοσμικῆς παιδείας καὶ ἐξασκηθεὶς εἰς τὸ καλλιγραφεῖν ἄριστα, ἦλθεν εἰς Ἔφεσον πρὸς ἐπίσκεψιν τῶν ἐκεῖ μονῶν, ἀλ-

87. Πορφυρογεν. Ἐκθ. Α′, σελ. 89, 94 καὶ 179.

88. Theoph. Contin. σελ. 48. Συμεὼν μάγιστρος· σελ. 699. Γεώργιος μοναχός· σελ. 767. Ζωναρᾶς· ΙΕ′, 22 (Δινδορφ. Γ′, 391).

89. Θεοφ. Α′, σελ. 352. Βίος Νικολάου Στουδίτου· Migne, τόμ. ΡΕ′, στ. 912.

90. Ποικίλη Στοὰ τοῦ 1884· σελ. 356.

91. Esquisse topographique· σελ. 71β.

92. Ἐκκλησιαστικοὶ ἱστορικοί, κατὰ τὴν ἔκδοσιν Reading (Κανταβριγίας)· σελ. 588-590.

93. Theoph. Contin. σελ. 323.

94. Βίος Θεοδώρου τοῦ Συκεώτου, ἐν Μνημείοις Ἁγιολογικοῖς Θεοφίλου Ἰωάννου· σελ. 483 καὶ 486.

95. Δουκαγγίου, Const. Christ. 96, XCII.

96. Βίος Θεοδώρου Γραπτοῦ, ὑπὸ Συμεὼν Μεταφραστοῦ· Migne, τόμ. ΡΙϚ′, σελ. 653-684.

97. Προκοπίου, Περὶ κτισμάτων· σελ. 190. Πορφυρογ. Ἐκθ. Α′, σ. 496. Labbei, Πρακτ. Συνόδων· Δ′, 1025.

98. Βίος Στουδίτου, ὑπὸ Μιχαὴλ μοναχοῦ· Migne, τ. ϒΘ′, στ. 204, 300 καὶ 301.

λὰ μαθὼν ὅτι διέμενεν ἐν Βυζαντίῳ μοναχὸς σοφὸς, Ἀλέξανδρος, ὅστις ἦν οἰκοδομήσας τότε «πρὸς αὐτῷ τῷ τοῦ Πόντου στόματι σεμνὸν φροντιστήριον, ἐν ᾧ καὶ νόμον εἰσήγαγε μηδέποτε τῶν εἰς Θεὸν ὕμνων τὸ συνεχὲς διακόπτεσθαι, ἀλλὰ τῇ κατὰ διαδοχὴν τῶν λειτουργούντων ὑπαλλαγῇ τὴν ἀσίγητον καὶ ἄπαυστον τῷ Δεσπότῃ περιποιεῖσθαι δοξολογίαν», αὐτῷ προσελθὼν κείρεται μοναχός· μετὰ θάνατον δὲ τοῦ Ἀλεξάνδρου ζητηθεὶς ὑπὸ τῶν μοναχῶν ὡς ἡγούμενος ἀνεχώρησεν· ὅθεν ἐξελέγη ὁ Ἰωάννης, ᾧ λίαν ἐβοήθει μετὰ τὴν ἐπάνοδον ὁ Μάρκελλος, ἐν τῇ *Ἀλεξάνδρου μονῇ* — ὄχι βεβαίως Ἀκοιμήτων. — Ἀλλὰ μετά τινα χρόνον ὁ Ἰωάννης, ὑπὸ τοῦ Μαρκέλλου πιθανῶς πειθόμενος, ἔρχεται εἰς ἡσύχιόν τινα χῶρον ἀντικρὺ τοῦ Σωσθενείου κείμενον «κατ' αὐτὸ τὸ μέσον τοῦ τῆς θαλάσσης αὐχένος», ὅπερ Εἰρηναῖον ὠνομάζετο τότε. Τοῦ Ἰωάννου εἰσαγαγόντος ἐν αὐτῷ τὴν ἀκοίμητον δοξολογίαν, «τὸ φροντιστήριον ἄχρι τοῦ νῦν *τῶν Ἀκοιμήτων* ὀνομάζεται· τὸν γὰρ αὐτὸν Ἀλεξάνδρῳ τύπον Ἰωάννης ζηλώσας, «ἐκ διαδοχῆς τῶν ᾀδόντων, τὴν πρὸς Θεὸν ἀκοίμητον ἐποιεῖτο δοξολογίαν». Μετά τινα χρόνον, Ἰωάννου θανόντος, ὁ Μάρκελλος ἐξελέγη τῆς μονῆς ταύτης (ὄχι τῆς παλαιᾶς) ἡγούμενος· οὐ μετὰ πολὺ δὲ Φαρέτριος, ἀνὴρ εὐπατρίδης καὶ πλουσιώτατος, κοινοβιάσας σὺν τοῖς τέκνοις, ἐπλάτυνε τὴν μονὴν, ἀνήγειρε τὸν ναὸν εὐρύτερον καὶ μετεωρότερον, ᾠκοδόμησε κελλία, ξενῶνας, νοσοκομεῖον ἐν αὐτῇ· καὶ μοναχῶν πλῆθος συνήρχετο, καὶ διεβοήθη πανταχόσε ἡ μονὴ, ὥστε πολλοὶ κτίζοντες τοιαύτας ἐξ αὐτῆς ἐζήτουν ἡγούμενόν τε καὶ τυπικόν· ἤτοι καὶ ἕτεραι τῶν Ἀκοιμήτων ἐθρύθησαν. Μετά τινα ἔτη ἀπὸ τῆς ἡγουμενείας αὐτοῦ συμβαίνει ὁ ἐπὶ Λέοντος τοῦ θρᾳκὸς μέγας ἐμπρησμὸς, περὶ οὗ ἰδὲ εἰς τὴν 1 σεπτεμβρίου. Ταῦτα γράφονται κατὰ τὴν ἐκτενῆ τοῦ Μαρκέλλου βιογραφίαν[99]. — Ἡγούμενος λοιπὸν ἐγκαθιδρύθη μεταξὺ τῶν ἐτῶν 460—465 διάδοχος ἐν τῇ ἀρχῇ ταύτῃ τοῦ μετὰ τὸν Ἀλέξανδρον προστάντος, Ἰωάννου μὲν κατὰ τὴν βιογραφίαν, Ἰακώβου δὲ κατὰ τὸ Βασιλειανὸν λεγόμενον Μηνολόγιον, κατὰ τὰ Μηναῖα καὶ τοὺς Συναξαριστάς· Ἐπὶ τούτοις γινώσκομεν ὅτι ὁ Μάρκελλος ἔγραψε πρὸς Φήλικα Ῥώμης πάπαν «καταμεμφόμενος τὴν βραδύτητα, τηλικούτων κατὰ τῆς ὀρθῆς πίστεως ἁμαρτανομένων»· μεθ' ὃ ἔγραψεν ὁ Φῆλιξ πρὸς Ζήνωνα καὶ Ζήνων Φήλικι[100], καὶ ὅτι Συμεώνης μοναχὸς μονῆς τῶν Ἀκοιμήτων εἰς Ῥώμην ἀποσταλεὶς ἐφανέρωσε τὴν ἀλήθειαν τῶν ἐν Κωνσταντινουπόλει κατὰ τῆς Δ' οἰκουμενικῆς Συνόδου γενομένων. Ἐσφαλμένως ἄρα κτίτορα τῆς μονῆς τῶν Ἀκοιμήτων γράφει τὸν Μάρκελλον ὁ Νικηφόρος Κάλλιστος[101]. Κατὰ παραδρομὴν δὲ βεβαίως ὁ Βαλέσιος ἐν τοῖς εἰς τὸν Εὐάγριον ὑπομνηματισμοῖς γράφει ὅτι δύο ἦσαν αἱ μοναὶ τῶν Ἀκοιμήτων· ἡ τοῦ Βασσιανοῦ καὶ ἡ τοῦ Δίου· διότι ὁ μὲν Μάρκελλος ὁ τὸ τῶν Ἀκοιμήτων εἰσαγαγὼν ὄνομα, οὐχὶ δὲ καὶ τὸ σύστημα, πρὸ αὐτοῦ εἰσαχθὲν, ἐγένετο σύγχρονος τῷ Λέοντι θρᾳκὶ καὶ τῷ ἰσαύρῳ Ζήνωνι, καὶ συνεπῶς Ἀλέξανδρος ὁ πρῶτος τῶν Ἀκοιμήτων ἡγούμενος ἦκμαζεν ἐπὶ Μαρκιανοῦ· γνωστὸν δ' ὅτι Στούδιος ὁ τῆς ἐπωνύμου μονῆς ἱδρυτὴς ἔλαβε τῷ 463 κατὰ τὴν τῆς μονῆς σύμπηξιν μοναχοὺς ἐκ τῆς τῶν Ἀκοιμήτων· ἀλλὰ καὶ ἡ μονὴ τοῦ Δίου προϋπῆρχε, δῆλον οὖν ἐν ἀρχαῖς τοῦ Ε' αἰῶνος ἐπὶ τοῦ πατριάρχου Κωνσταντινουπόλεως Ἀττικοῦ. Ὅλην δὲ τὴν ἱστορίαν ἀνέτρεψεν ὁ μακαρίτης Σκ. Βυζάντιος γράψας περὶ τῆς μονῆς τῶν Ἀκοιμήτων ὅτι «τήν τε τάξιν καὶ τοὔνομα συνεστήσατο Μάρκελλος ὁ ἀπαμεὺς, ἢ, κατ' ἄλλους, ὁ τοῦτον διαδεξάμενος εἰς τὴν τῆς μονῆς προστασίαν Ἀλέξανδρος τῷ 420. Διελὼν γὰρ τοὺς ἐν αὐτῇ ἀθροισθέντας τριακοσίους μοναχοὺς, τὸ πλεῖστον Ῥωμαίους, Γραικοὺς καὶ Σύρους, εἰς τρεῖς, ἢ, κατ' ἄλλους, ἓξ τάξεις ἢ χορούς, τελοῦντας ὑπὸ πεντηκοντάρχους τε καὶ δεκάρχους, διέταξεν ἵνα, διαδεχόμενοι ἀλλήλους ἀδιακόπως, ψάλλωσιν ἡμέραν καὶ νύκτα ἐν τῷ ναῷ, ὥστε, κατὰ μίμησιν τῆς ἐν οὐρανοῖς ἀσιγήτου ἀγγελικῆς ὑμνῳδίας, μηδέποτε γίνεσθαι παῦσιν τῶν ἱερῶν ἀσμάτων»[102]. Ἐν τῇ μονῇ ταύτῃ τῷ 475 ἐκρύπτετο Πέτρος ὁ Κναφεύς· ἦν δ' ἐν τέλει τοῦ Ε' αἰῶνος μία τῶν ἐπισημοτέρων ἐν Κωνσταντινουπόλει μονῶν[103], καὶ ἔκειτο κατὰ τὸ Τζιμπουκλῆ τῆς ἀνατολικῆς ἀκτῆς τοῦ Βοσπόρου.

99. Μαρκέλλου βίος, ὑπὸ Συμ. Μεταφραστοῦ· Migne, τόμ. ΡΙϚ', στ. 705-745.

100. Εὐάγριος· Ἐκκλ. Ἱστ. Γ', ιθ' καὶ κα'.

101. Κάλλιστος· Ἐκκλ. Ἱστ. ΙΕ', κγ'.

102. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· τόμ. Β', σελ. 218-219.

103. Θεοφ. Α', σελ. 187 καὶ 219. Ὁ γνωστὸς μυθογράφος Ἀντώνιος εἶδε δῆθεν ἐν τῷ ναῷ τῆς Ἀναστάσεως

ϛ

31. Ζωτικοῦ τοῦ ὀρφανοτρόφου. Ἡ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείου τοῦ ἁγίου ἀποστόλου Παύλου τῷ ὄντι ἐν τῷ Ὀρφανοτροφείῳ.

Ἤκμασεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου, καταγόμενος ἐκ Ῥώμης, πεπαιδευμένος ἀνήρ· διεκρίνετο ἐπ' ἄκρᾳ φιλανθρωπίᾳ, διὸ περιαθροίζων ἔνθεν κἀκεῖθεν λεπρούς, οὓς δῆθεν εἰς τὴν θάλασσαν ἔρριπτον τότε, περιεποιεῖτο αὐτοὺς ἐν ἰδίαις καλύβαις· ἀλλὰ τὰ περὶ Ζωτικοῦ γραφόμενα παρὰ τοῖς Συναξαρισταῖς ὑπερβολικά μοι φαίνονται· κατ' αὐτοὺς δὲ, Κωνστάντιος ὁ υἱὸς τοῦ Κωνσταντίνου, γενόμενος αἴτιος τοῦ θανάτου τοῦ Ζωτικοῦ, «προστάττει σπουδῇ συντόνῳ ἀνεγεῖραι τοῖς λωβοῖς ἐκ βασιλικῶν ἀναλωμάτων μέγιστον οἶκον, πλεῖστα προάστεια καὶ προσόδους ἐκεῖ ἀφιερώσας». Τὸ τοῦ Ζωτικοῦ λεπροκομεῖον, μικρὸν ὄν, ἐπηύξησεν οἰκοδομαῖς ἐν τοῖς πρώτοις ἔτεσιν, ὡς εἰκάζω, τῆς αὐταρχίας αὐτοῦ Κωνσταντίνος ὁ Πορφυρογέννητος[104]. Ἐπειδὴ δὲ λέγει ὁ Ζωναρᾶς ὅτι *διαιτητήριον τοῖς τὰ σώματα λελωβημένοις ἐκ τῆς νόσου τῆς ἱερᾶς καὶ τοῖς λελεπρωμένοις ἦσαν οἱ ἀντίπορθμοι τῆς Βυζαντίδος ξερῶνες*, ἠδύνατό τις εἰκάσαι ὅτι ἔκειντο ἢ εἰς τὸ ὄρος Μπουγγουρλοὺ ἢ κατὰ τὸ τῆς Τζάμλιδζας. Ἰωάννης ὁ Τζιμισκῆς, αὐξήσας διὰ νέων οἰκοδομῶν τὸ λεπροκομεῖον, ἀφιέρωσε τὸ ἥμισυ τῆς περιουσίας αὐτοῦ· ὁ δὲ Ῥωμανὸς Γ' ἀνεκαίνισεν αὐτὸ (1028-1034) παθὸν ὑπὸ σεισμοῦ[105].

τὸν τάφον τοῦ Μαρκέλλου· γράφει δ' ὅτι ἡ μονὴ τῶν Ἀκοιμήτων ἐσῴζετο ἐπ' αὐτοῦ, συγχέων, κατὰ Πασπάτην, αὐτὴν τῇ μονῇ τοῦ Στουδίου. Ποικίλη Στοὰ τοῦ 1884, σελ. 356 καὶ 359.

104. Theoph. Contin. σελ. 449.

105. Σκ. Βυζαντίου, «Κωνσταντινούπολις»· Β', σ. 237.

ΜΝΗΜΑΙ ΝΑΩΝ ΚΑΙ ΑΓΙΩΝ ΑΔΙΟΡΙΣΤΟΙ ΜΕΧΡΙ ΤΟΥ ΝΥΝ

Ἐν ἐπιμέτρῳ τοῦ παρόντος Ἑορτολογίου ἀναγράφω ναῶν καὶ μονῶν καὶ ἁγίων ὀνόματα, ὧν ἄγνωστόν μοι τέως πότε ἤγετο ἡ μνήμη καὶ ἡ ἐπὶ ταύτῃ σύναξις. Ἐπειδή τινα τῶν ὀνομάτων ἀναφέρονται ἔν τισιν ἁγιολογικοῖς ὑπομνήμασι, ὀφείλω 'να ἐπαναλάβω πάλιν ὅ,τι ἀπὸ τοῦ βήματος τοῦ καθ' ἡμᾶς Ἑλληνικοῦ Φιλολογικοῦ Συλλόγου καὶ τῇ τῶν Μεσαιωνικῶν ἐρευνῶν Ἑταιρίᾳ πολλάκις εἶπον· **ὅτι δέον 'να ἐκδοθῶσιν ἐπιμελῶς καὶ μετ' ἀντιβολὴν πρὸς πολλὰ χειρόγραφα πάντες οἱ βίοι καὶ πολιτεῖαι τῶν ἁγίων** οἱ παρὰ Migne καὶ ἄλλοθεν ἐκδεδομένοι, ὅπως πορισθῶμεν εἰδήσεις ἀξίας πολλῆς προσοχῆς, ἃς ἔν τισι παραφράσεσι «βίων καὶ πολιτειῶν» ἢ ἐν πρωτοτύποις κειμένοις εὑρίσκομεν ὀρθοτέρας τῶν ἐν τύποις φερομένων. Ἐκ βιογραφιῶν, λόγου χάριν, ἀνεκδότων Αὐξεντίου τοῦ ἐν τῷ βουνῷ μανθάνομεν ὅτι τὸ χωρίον τὸ γραφόμενον μέχρι τοῦδε **Σιγίδες** ἐλέγετο **Διγίδες,** τὸ δ' **ἐν Φιλίῳ** μοναστήριον ἐκάλουν **'Αντιφίλου.** Πρὸς τούτοις· ἐπὶ παραδείγματι: Τὰ κατὰ τοὺς ἀδελφοὺς Γραπτοὺς διαφωτίζονται θαυμασίως ἐν ἀνεκδότῳ βιογραφίᾳ Μιχαὴλ τοῦ συγκέλλου. Τοῦ δὲ Μαρκέλλου τῶν Ἀκοιμήτων ἡ βιογραφία ἐκδέδοται μετὰ σφαλμάτων ἀρκετῶν· ὅστις λάβῃ μετὰ χεῖρας τὴν παρὰ Migne (τόμῳ ΡΙΣΤ') βιογραφίαν ἀνακαλύπτει διαφορὰς ἢ μᾶλλον παραλείψεις οὐσιωδεστάτας ἐν ἀντιβολῇ πρὸς τὴν

ἐν «Ἐκλογίῳ» κειμένην παράφρασιν· ἀλλὰ καὶ αὐτὸ τὸ κείμενον φέρεται μετὰ λαθῶν· οὕτω (στήλη 709 § Δ) ἀορίστως λέγεται «ὁ θεῖος Ἀλέξανδρος πρὸς τῷ ἱερῷ οἴκῳ τοῦ μεγάλου ἐν μάρτυσι τὴν ἄσκησιν ἐπεδείκνυτο», δέον δὲ 'ν' ἀναδράμῃ τις εἰς τὴν λατινικὴν μετάφρασιν ὅπως μάθῃ ὅτι ὁ *οἶκος τοῦ μεγάλου ἐν μάρτυσιν* ἦν ὁ τοῦ ἁγίου Μηνᾶ τοῦ μάρτυρος ἐν Κωνσταντινουπόλει ναός. Ἀλλ' ὁ τὴν παράφρασιν Ἀγαπίου τοῦ Λάνδου μετὰ χεῖρας ἔχων εὑρίσκει ὅτι ἡ μονὴ τοῦ Μακεδονίου ἔκειτο *εἰς τόπον* **Φιάλου καλούμενον**· ὅτι *εἰς τὸ κάστρον πλησίον τοῦ μοναστηρίου* (Τσιμπουκλῆ τῆς σήμερον ἴσως) *ὑπῆρχε* **ναὸς Ἀνδρέου** τοῦ **ἀποστόλου,** καίπερ οὐκ ἀκριβῶς ὁριζομένης τῆς τοποθεσίας· καὶ ὅτι Ἰουλιανὸς ὁ σκευοφύλαξ τῶν Ἀκοιμήτων ἐγένετο μετὰ τὰ μέσα τοῦ Ε΄ αἰῶνος μητροπολίτης Ἐφέσου.

Τὰ πρωτότυπα κείμενα τῶν βιογραφιῶν τούτων καὶ τῶν ἐπὶ τῇ μνήμῃ θαυμάτων τε καὶ ὁσίων ἀνδρῶν γραφεισῶν «Ἀκολουθιῶν» ἐπιμελῶς μελετώμενα φρονῶ ὅτι εἰδήσεις τινὰς χορηγήσουσιν ἡμῖν ἀναφερομένας εἴς τε τὴν βυζαντινὴν γεωγραφίαν καὶ τὴν ἱστορίαν. Ἐπίσης δὲ μελετητέα καὶ τὰ τῶν μονῶν Εὐχολόγια, διότι, καθὼς Ἑορτολόγιον καὶ Τυπικὸν εἶχεν ἴδιον ἑκάστη μονή, οὕτως εἶχε καὶ Εὐχολόγιον, ὡς ἠδύνατο 'να ἔχῃ σύνολον ἴδιον εὐχῶν καὶ πᾶς ἐπίσκοπος· ἴσως ἀποδειχθῇ δ' ὅτι, ἀπὸ τῆς ἀκμῆς τῆς τοῦ Στουδίου μονῆς, ἀπὸ τοῦ Θ΄ αἰῶνος, οἱ κοντακάριοι καὶ ὑμνογράφοι, οἱ ἐν τῇ τῆς μονῆς ταύτης σχολῇ μορφούμενοι τοιοῦτοι, ἔδωκαν τὸ πλεῖστον μέρος τοῦ Εὐχολογίου αὐτῶν εἰς μονὰς ἢ ναοὺς ἑτέρους. Ἐπίσης ἀνάγκη 'να μελετηθῶσιν ἐν τοῖς Εὐχολογίοις τούτοις τὰ «Συνοδικὰ» τὰ κατὰ τὴν Κυριακὴν τῆς ὀρθοδοξίας ἀναγινωσκόμενα, ὅπως εὑρεθῶσι τὰ μνημόσυνα καὶ τὰ ὀνόματα τῶν ἐν ἑκάστῃ μονῇ τεθαμμένων ὁσίων ἢ τῶν κτιτόρων αὐτῶν. Κέρδος δὲ διὰ τὴν ἱστορίαν τῆς ἱερᾶς ἡμῶν μουσικῆς ἔσται ἡ γνῶσις ἀρχαιοτάτων βιογραφιῶν, ἐν αἷς ἴχνος εὑρεθήσεται ἀποδείξεως ὅτι αἱ συστᾶσαι ὑπὸ σύρων, αἰγυπτίων, γότθων καὶ λοιπῶν ξενογλώσσων μοναὶ τῆς Κωνσταντινουπόλεως εἶχον ἐν χρήσει μέλος ἰδιάζον τοῖς τόποις, ἀφ' ὧν οἱ πρῶτοι τούτων ἱδρυταὶ προήρχοντο.

Τὰ μὴ τέως ἔχοντα γνωστὴν ἡμέραν ἁγίων καὶ ναῶν ὀνόματα ἀναγράφω νῦν ἐνταῦθα κατ' ἀλφαβητικὴν τάξιν:

Α΄. **Ἀλέξανδρος**. Ἄγνωστον ἡμῖν τίς ἦν καὶ κατὰ τίνα τῶν ἡμερῶν ἑωρτάζετο ὁ μάρτυς ἢ ὅσιος, οὗ ναός, πανηγυρίζων τῇ 12 ἰανουαρίου, εἴδομεν ὅτι ἠγείρετο πλησίον τοῦ ναοῦ τῶν ἁγίων Ἀποστόλων.

Β΄. **Ἀλέξανδρος ὅσιος.** Ἱδρυτὴς τοῦ θεσμοῦ τῶν Ἀκοιμήτων, ἤκμασε πρὸ τοῦ ὁσίου Μαρκέλλου ἡγουμένου τῶν Ἀκοιμήτων, οὗ διδάσκαλος ἐχρημάτισεν[1]. Ἡ μονὴ αὐτοῦ ἔκειτο περὶ τὸ τοῦ Πόντου στόμα, φρονῶ δ' ὅτι αὕτη ἐστὶν ἡ ἀναφερομένη κατὰ τὸ ἔτος 1184[2]. Χρόνος ἀκμῆς τοῦ Ἀλεξάνδρου τὰ μέσα τοῦ Ε΄ αἰῶνος.

Γ΄. **Ἀλύπιος ἅγιος.** Τῇ 12 ἰουνίου ἀναφέρεται μονὴ τοῦ ἁγίου Ἀλυπίου· τίνος ἅγνωστον, διότι Ἀλύπιοι παρὰ τοῖς Συναξαρισταῖς ἀναφέρονται δύο.

Δ΄. **Ἀρσένιος πατριάρχης Κωνσταντινουπόλεως ὁ Αὐτωρειανός.** Ἐν μουσικῷ χειρογράφῳ πρὸ ἐτῶν ἀπήντησα Ἀκολουθίαν τοῦ ὁσίου Ἀρσενίου τοῦ Αὐτωρειανοῦ, ψαλλομένην ἐν ἡμέρᾳ τινὶ τοῦ μηνὸς ὀκτωβρίου. Τῶν ἐπὶ τούτῳ σημειώσεών μου ἀπολεσθεισῶν ἐν τῷ σεισμῷ τῆς 28 ἰουνίου 1894, οὐ δύναμαι νῦν γράψαι τὴν ἡμέραν, καθ' ἣν ἄγετο ἡ μνήμη αὐτοῦ.

Ε΄. **Βάρας ὅσιος.** Φίλος τῷ Παταπίῳ καὶ τῷ Ῥαβουλᾷ, σὺν αὐτοῖς, ὡς ἔοικεν, ἦλθεν εἰς Κωνσταντινούπολιν ἐπὶ Ζήνωνος, τὴν κατοικίαν ἔχων ἔξω τῶν τειχῶν, πιθανῶς κατὰ τὸ μεταξὺ Βλαχερνῶν καὶ τῆς πύλης ἁγίου Ῥωμανοῦ (Τὸπ-καπὶ) διάστημα· θέλων δέ ποτε 'να οἰκοδομήσῃ ναὸν *κατὰ τὸ ἀγροτικὸν μέρος*, ἐν ᾧ ἐμόναζεν, ἀνεκάλυψε παλαιὸν τοῦ Βαπτιστοῦ ναὸν *ἐξ ὀπτῆς πλίνθου καὶ λίθου ξεστοῦ πεποιημένον*, ὃν ἀνήγειρε[3]. (Βλέπε ἐν ἀναγραφῇ τῶν τοῦ Προδρόμου ναῶν τὸν ὑπ' ἀριθμὸν στ΄).

Ϛ΄. **Βασίλειος ὁ νέος.** Τούτου τὸ λείψανον εἶδεν ἐν Χρυσοπόλει ὁ ῥῶσσος ρυθμογράφος Ἀντώνιος, καθ' ὃν ὁ Βασίλειος «συνέγραψε περὶ τῆς τελευταίας κρίσεως». Ὑπονοῶ τὸν γράψαντα τὰς περὶ *τελωνείων* ὁράσεις. Ἤκουσα δ' ὅτι ὁ ῥῶσσος καθηγητὴς Β. Βασιλεύσκυς ἐξέδωκε βιογραφίαν ἁγίου τινὸς ὁμωνύμου, ἣν, ἀτυχῶς, οὔπω εἶδον.

Ζ΄. **Γεωργίου μάρτυρος ναὸς, ἐν Γαλατᾷ.** Ἀναφέρεται τῷ 1303[4], καθὼς καὶ ἐν ἀρχαῖς τοῦ ΙΕ΄ αἰῶνος, καὶ μέχρι τοῦ 1683, πυρποληθεὶς βεβαίως τῷ 1696 καὶ ἔκτοτε λιπὼν τὸ ζῆν.

Η΄. **Γεωργίου μάρτυρος ναὸς, ὁ τοῦ Πύργου.** Ἔκειτο παρὰ τῷ τείχει ἔνδον τῆς πύλης τοῦ Φαναρίου[5], ὅπου νῦν ἡ οἰκία Κωστάκη Θωμαΐδου. Ἔλιπε τὸ ζῆν κατὰ τὸ ἔτος 1703.

Θ΄. **Ἐπιφανίου καὶ Συμεών, ὁμολογητῶν.** Τοῦ Συμεών, ὡς *ἐν ὁμολογίᾳ ἀστράψαντος*, εὐφημοτάτη μνεία γίνεται παρὰ τῷ βιογράφῳ Εὐθυμίου τοῦ πατριάρχου. Τῷ Συμεὼν καθυπούργει Ἐπιφάνιος, ὁμολογητὴς καὶ αὐτός. Βλέπε περὶ Συμεὼν ἐν βιογραφίᾳ τοῦ συγγενοῦς αὐτῷ καὶ συγχρόνου Γρηγορίου δεκαπολίτου (20 νοεμβρίου), ὅστις ἐφ' ἱκανὸν ἐκείνῳ συνδιέτριψε «τὰ περὶ ψυχῆς συμφιλοσοφήσας»[6], ἐξ οὗ εἰκάζω ὅτι συνέγραψεν ὁ δεκαπολίτης περὶ ψυχῆς.

Ι΄. **Ἑρμᾶς ἅγιος.** Ἑρμᾶ ἁγίου μονὴ ἀναφέρεται σῳζομένη ἐν Κωνσταντινουπόλει κατὰ τὰ μέσα τοῦ Ε΄ αἰῶνος, ὅτε γινώσκομεν Φλαβιανὸν τὸν ἀρχιμανδρίτην αὐτῆς[7].

ΙΑ΄. **Εὐθύμιος πατριάρχης Κωνσταντινουπόλεως.** Ἱεράτευσεν, ὡς φρονῶ, ἀπὸ τοῦ φθινοπώρου τοῦ 1410 μέχρι τοῦ μαρτίου 1416. Βυζαντινός τις ἐποίησεν Ἀσματικὸν κανόνα εἰς αὐτὸν, ὃν ἐξέδωκεν ὁ Émile Legrand, ἁπλῶς καὶ μόνον ὅπως ἐπιτεθῇ κατὰ πένθ' ἓξ στίχων τῶν «Πατριαρχικῶν πινάκων» μου[8]. Ὁ δὲ κανὼν μόνην νέαν εἴδησιν εἰς τὸν Εὐθυμίου βίον εἰσάγει ὅτι πρότερον ἦν ἡγούμενος τῶν Στουδίου· οὐ σημειοῖ ὅμως ἡμέραν, καθ' ἣν ἦγον οἱ στουδῖται τὴν Εὐθυμίου μνήμην.

ΙΒ΄. **Εὐλόγιος ἅγιος.** Περὶ τὰ μέσα τοῦ Ε΄ αἰῶνος γινώσκομεν ἁγίου Εὐλογίου μονὴν, ἔχουσαν ἀρχιμανδρίτην Εὐσέβιον τὸν πρεσβύτερον[9].

ΙΓ΄. **Εὐσέβιος ἅγιος.** Μονὴ *τοῦ ἐν ἁγίοις Εὐσεβίου* ἀναφέρεται ἐν Κωνσταντινουπόλει τῷ 518 καὶ μετὰ ταῦτα πάλιν ἐπὶ τοῦ πατριάρχου Μηνᾶ[10]. Ἄγνωστον τίς ὁ Εὐσέβιος οὗτος ἐκ τῶν ἀπείρων Εὐσεβίων τῶν ἀναγραφομένων ἐν τοῖς Συναξαρισταῖς.

ΙΔ΄. **Εὐφήμιος ὅσιος.** Ἐπίσης ἄγνωστος καὶ ὁ ὅσιος οὗτος Εὐφήμιος. Τῷ ὀνόματι τούτῳ οὐδεὶς ὅσιος ἢ μάρτυς γινώσκεται ἐν τῷ Συναξαριστῇ. Ἐπὶ Μηνᾶ Κωνσταντινουπόλεως ὑπῆρχε μοναστήριον *τοῦ ἐν ὁσίοις* Εὐφημίου[11].

ΙΕ΄. **Θαλάσσιος ὅσιος.** Μονὴ *τοῦ τῆς ὁσίας μνήμης* Θαλασσίου ἀναφέρεται ἐπὶ τοῦ πατριάρχου Μηνᾶ[12]. Θαλάσσιοι δύο παρὰ τῷ Νικοδήμῳ.

ΙΣΤ΄ **Θεοφάνης ὁ κουβικουλά-**

1. Μαρκέλλου βίος, ὑπὸ Συμεὼν Μεταφραστοῦ· Migne, τόμ. ΡΙϚ΄, στ. 709.

2. Ἱεροσολ. Βιβλιοθ. τόμ. Β΄, σελ. 366.

3. Ἰωάννου Εὐχαΐτων, Ἐγκώμιον εἰς τὸν ὅσιον καὶ θεοφόρον Βάραν· ἐν Ἀνεκδότοις Ἑλληνικοῖς, συνεκδοθεῖσι τῇ Μαυρογορδατείῳ Βιβλιοθήκῃ (τοῦ Ἑλλ. Φιλ. Συλλόγου)· σελ. 38-45.

4. Πασπάτη, Μελέται· σ. 218. Βλ. Ζωοδόχον Πηγήν· σελ. 254. Περὶ τῶν ἐν τῷ ΙΖ΄ αἰῶνι σῳζομένων βυζαντινῶν ναῶν· Ἑλλ. Φιλολ. Σύλλογος· τόμ. ΚΓ΄, σελ. 41.

5. Κομνηνοῦ Ὑψηλάντου, Τὰ μετὰ τὴν ἅλωσιν· ἐν Κωνσταντινουπόλει, 1870, σελ. 681. Ἑλλ. Φιλολ. Σύλλογος· τόμ. ΚΓ΄, σελ. 40.

6. Βίος Εὐθυμίου· σελ. 31. Μηνολόγιον Βασιλειανὸν εἰς τὴν 20 νοεμβρίου. Θεοφίλου Μνημεῖα Ἁγιολογικά· σ. 133 καὶ 160.

7. Labbei, Πρακτικὰ Συνόδων· Δ΄, στ. 1025.

8. Revue des Études Grecques· τ. Ε΄, σ. 422-6.

9. Labbei· στήλη 1025.

10. Δουκαγγίου, Const. Christ. σελ. 84, XL.

11. αὐτόθι, ὑπ' ἀριθμὸν XXXIX.

12. αὐτόθι, σελ. 96, XCIX.

ριος, ὁ ὁμολογητής. Ἦν κοιτωνίτης Κωνσταντίνου τοῦ Κοπρωνύμου, τῇ προσκυνήσει τῶν ἁγίων Εἰκόνων προσκείμενος. Ἠθλησεν ἐπὶ Λέοντος Δ΄ τῷ ἔαρι τοῦ ἔτους 780, κακουχηθεὶς ἐν φυλακῇ «ὁμολογητὴς γενόμενος καὶ τὸν στέφανον τοῦ μαρτυρίου κομισάμενος»[13].

ΙΖ΄ **Θεόφιλος καὶ Νικόλαος ἀρχιεπίσκοποι.** Κατὰ τὸ Συνοδικόν, τῇ Κυριακῇ τῆς ὀρθοδοξίας εὐφημοῦντο ἀμφότεροι· «Θεοφίλου... Νικολάου τῶν τρισολβίων ὁμολογητῶν *καὶ ἀρχιεπισκόπων* αἰωνία ἡ μνήμη»[14]. Ἦκμασαν ἄρα κατὰ τὴν εἰκονομαχικὴν περίοδον· ἄγνωστον ὅμως τίνας ἐπισκοπικὰς ἕδρας ἐκόσμησαν. Θεόφιλος ἀρχιεπίσκοπος οὐδεὶς ἀναφέρεται παρὰ Συναξαρισταῖς. Νικόλαος ἀρχιεπίσκοπος Θεσσαλονίκης («ἐν εἰρήνῃ τελειοῦται») ἀναφέρεται τῇ 29 νοεμβρίου.

ΙΗ΄. **Ἰωάννης μητροπολίτης Χαλκηδόνος.** Ἡ μνήμη αὐτοῦ κατά τινα χειρόγραφα ἤγετο τῇ 29 ἰουλίου· καίπερ δὲ σημειωθέντος τούτου τῇ 18 τούτου τοῦ μηνός, παρέλιπον τὸ ὄνομα τῇ 29. Ἐπωνυμεῖτο δὲ Καμουλιανός, καππαδόκης βεβαίως ὤν, ὁ Ἰωάννης, ὡς ἐν βιογραφίᾳ τοῦ ὁσίου Ἰωαννικίου (4 νοεμβρίου) φαίνεται.

ΙΘ΄. **Ἰωάννου Προδρόμου ναΐσκος.** Ἀναφέρεται κατὰ τὸν Θ΄ αἰῶνα ἐν τῇ μονῇ τοῦ Ψαμαθίᾳ (ἴδε 1 ἰουλίου), παρεκκλήσιον ὢν τοῦ ναοῦ Κοσμᾶ καὶ Δαμιανοῦ.

Κ΄. **Προδρόμου ναὸς ἐν Γαλατᾷ.** Ἀναφέρεται τῷ 1303, καθὼς καὶ ἐν μέσῳ τοῦ ΙΖ΄ αἰῶνος[15], ὁ σήμερον λεγόμενος Ἅγιος Ἰωάννης τῶν Χίων.

ΚΑ΄. **Κασία ἡ Κασιανή.** Ἐν τῇ νήσῳ Κάσῳ γεραίρουσι τὴν ὁσίαν Κασιανὴν τῇ 7 σεπτεμβρίου, ναοῦ παλαιοῦ δῆθεν ἐπ' ὀνόματι αὐτῆς ὑπάρχοντος ἐν τῇ νήσῳ ταύτῃ. «Βίος καὶ πολιτεία Κασιανῆς *ἀσκησάσης* καὶ *κοιμηθείσης* (βέβαια!!) ἐν τῇ νήσῳ Κάσῳ ἐν ἔτει 876» ἐξεδόθη τῷ 1892 ἐν Ἠόρτ-Σαΐτ, καὶ κατ' αὐτὴν, ὁ πατὴρ αὐτῆς Θεόδωρος ἐγεννήθη τῷ 798 (ἐν Κάσῳ ἆρά γε;) ἡ δὲ Κασιανὴ ἐγεννήθη τῷ 811 ὑπὸ πατρὸς δεκατριετοῦς (!!!) καὶ δῆθεν ἐγένετο μοναχὴ τῷ 829, τοῦ στέμματος ἀποτυχοῦσα. Τοιαῦται *πολιτεῖαι καὶ βιογραφίαι* ἄλλοτε κατεδικάζοντο εἰς πῦρ ὑπὸ τοῦ Πατριαρχείου. Τὸ μόνον βέβαιον ὅτι τῆς Κασιανῆς, μοναχῆς γενομένης, τὸ μοναστήριον ὑπῆρχεν ἐν Ὑψωμαθείοις[16]. Τὴν Κασιανὴν ἡ Κασίαν γράφουσι καὶ Εἰκασίαν καὶ Ἰκασίαν.

ΚΒ΄. **Κελερίνη μάρτυς.** Ναὸς αὐτῆς ἐσῴζετο κατὰ τὰ μέσα τοῦ Ε΄ αἰῶνος ἐν Κωνσταντινουπόλει. Ἔκτοτε οὐδεμία μνεία τοῦ ναοῦ· ἀλλὰ μικρῷ πρὸ τοῦ 1430 ἀφίκετο εἰς Κωνσταντινούπολιν Θωμαΐς ἡ ὁσιωτάτη, θετὴ θυγάτηρ τῆς μητρὸς τοῦ μητροπολίτου Θεσσαλονίκης Νικολάου τοῦ Καβάσιλα, μεθ' ἑαυτῆς ἔχουσα τὴν σύζυγον Κυπριανοῦ τοῦ ἱδρυτοῦ τοῦ ναοῦ τῶν ἁγίων Θεοδώρων, καὶ τὴν ἐκ μητρὸς θείαν τοῦ Φραντζῆ, καὶ κατῴκησαν «ἐν τῇ μονῇ τῇ ἐπονομαζομένῃ τῆς Κλερένας», ἥτις νομίζω ὅτι ἦν ἡ τῆς Κελερίνης· «ὁ δὲ πατριάρχης (Ἰωσὴφ) ἔνταλμα πατριαρχικῆς ἐξουσίας ἐξέδωκεν εἰς τὰς βουλομένας τῆς πόλεως γυναῖκας προσιέναι αὐτῇ . . . . . λαβοῦσα δὲ μικρόν τι κάθισμα, συνέδραμον εἰς ὑποταγὴν αὐτῆς τοσαῦται, ὅσαι οὐκ ἐχώρησαν εἴς τε τὴν τοῦ Λιβὸς μονὴν καὶ τῆς κυρᾶς Μάρθας· ἡ δὲ οὐ πλείους ἢ δυοκαίδεκα προσελάβετο»[17].

ΚΓ΄. **Κυριακὸς μάρτυς.** Τῷ 518 καὶ μετὰ δεκαεπταετίαν αὖθις ἀναφέρεται ἐν Κωνσταντινουπόλει μονὴ τοῦ ἁγίου μάρτυρος Κυριακοῦ, ἥτις οὐκ ἐστιν ἡ ὑπὸ Γρατισίμου τοῦ πραιποσίτου κτισθεῖσα[18]. Κυριακοὶ ὅσιοι καὶ μάρτυρες ἐν τῷ Συναξαριστῇ φέρονται ἐννέα.

ΚΔ΄. **Κυριακοῦ ἁγίου ναός.** Ὁ ναὸς οὗτος ἠγέρθη συγχρόνως τῷ ναῷ τοῦ Στουδίου τῷ 463 ὑπὸ Γρατισίμου τοῦ πραιποσίτου, τοῦ καὶ μοναχοῦ ἀποκαρέντος ἐν αὐτῷ· ἔκειτο δὲ «ἔξω τῆς Χρυσῆς πόρτης»[19]. Ἀγνοῶ εἰς τίνα τῶν Κυριακῶν ἦν ἀνατεθειμένος.

ΚΕ΄. **Κήρυκος ἅγιος.** Ἄγνωστον κατὰ τίνα τῶν ἡμερῶν ἑωρτάζετο καὶ τίς ἦν οὗτος. Ἁγίου Κηρύκου μονὴν γινώσκομεν ὑπάρχουσαν ἐπὶ Μηνᾶ πατριάρχου ἐν Κωνσταντινουπόλει[20].

13. Θεοφ. Α΄, σελ. 701.

14. Συνοδικὸν Κυριακῆς Ὀρθοδοξίας· ἔκδ. Οὐσπένσκυ, σελ. 10.

15. Πασπάτη, Μελέται· σελ. 218. Ἑλλην. Φιλολ. Συλλόγου τόμ. ΚΓ΄, σελ. 41.

16. Δουκαγγίου, Const. Christ. σ. 109-110, ἀριθμ. XLVIII. Banduri, Imp. Orient. σ. 47 καὶ 527-8.

17. Labbei, Πρακτικὰ Συνόδων· τόμ. Δ΄, στ. 1025. Φραντζῆς· σελ. 139 καὶ 141.

18. Δουκαγγίου, Const. Chri1t. 83-84, ἀρ. XXIX.

19. Θεοφ. Α΄, σελ. 175.

20. Δουκαγγίου, Const. Christ. σελ. 83, ἀρ. XX.

ΚΣ΄. **Λέοντος μάρτυρος εὐκτήριον.** Ἠγείρετο παρὰ τῷ μεγάλῳ ναῷ τῶν ἁγίων Ἀποστόλων «διὰ τοῦ πρὸς ἀνατολὰς δεξιοῦ μέρους», κείμενον ἄρα πρὸς τὰ νότια τοῦ ναοῦ[21]. Ἄγνωστον εἰς τίνα τῶν πολλῶν ὁμωνύμων ἁγίων ἦν ἀνατεθειμένος ὁ ναΐσκος.

ΚΖ΄. **Μακάριος ὅσιος.** Ἐγεννήθη ἐν κώμῃ Σαμψὼν τῆς Μικρᾶς Ἀσίας, θανάτῳ δὲ τὴν σύζυγον ἀποβαλών, ἐκάρη μοναχὸς ἐν τῷ τοῦ Λάτρου φροντιστηρίῳ, κατόπιν ἐμόνασεν ἐν τῇ μονῇ τοῦ Κρίτζους καὶ φεύγων τὰς ἐκεῖσε ἀκαταστασίας ἦλθεν εἰς τὴν ἐν Κωνσταντινουπόλει μονὴν τῆς παναχράντου Θεοτόκου τοῦ Καλλίου, ἤτοι τὴν μονὴν Ἀντωνίου τοῦ πατριάρχου (ἴδε 12 φεβρουαρίου) *ἀμαυρωθεῖσαν ταῖς τῶν ἰταλῶν χερσίν*, ἣν ὕστερον ηὔξησαν οἱ τοῦ Μακαρίου μαθηταὶ μετὰ τὸν ἐκείνου θάνατον. Φαίνεται ἀκμάζων ὁ Μακάριος κατὰ τὸ πρῶτον ἥμισυ τοῦ ΙΔ΄ αἰῶνος. Εἷς τῶν μαθητῶν αὐτοῦ, ἔτη τινὰ μετὰ τὸν τοῦ διδασκάλου θάνατον, Ἰλαρίων ὀνόματι, ἀνὴρ ἀσκητικός, ἐχειροτονήθη μητροπολίτης Διδυμοτείχου ἐν ἡλικίᾳ ἐτῶν ἑξήκοντα[22].

ΚΗ΄. **Μακεδόνιος.** Ἐλέγετο *βίου καθαρωτάτου καὶ θείας τινὸς καὶ προφητικῆς ψυχῆς ἄνθρωπος*· συνήκμαζεν Ἰωάννῃ τῷ συστησαμένῳ τὴν παρὰ τὸ χωρίον Εἰρηναῖον (Τζιμπουκλῆ) μονήν, ἧς ἦν ἡγούμενος, ὡς ἐν βιογραφίᾳ φαίνεται Μαρκέλλου τοῦ τῆς μονῆς τῶν Ἀκοιμήτων ἡγουμένου. Χρόνος ἀκμῆς τὰ μέσα τοῦ Ε΄ αἰῶνος.

ΚΘ΄. **Μανουὴλ ὁ θειότατος βασιλεύς,** ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς **Ματθαῖος μοναχός.** Ἡ μνήμη αὐτοῦ βεβαίως ἤγετο ἐν τῇ μονῇ τοῦ Παντοκράτορος τῇ 21 ἰουλίου, διότι κατὰ τὴν ἡμέραν ταύτην ἀποθανὼν τῷ 1425 ἐτάφη ἐν τῇ μονῇ ταύτῃ, ἐν ᾗ ἐτάφησαν τῇ 17 δεκεμβρίου 1439 ἡ δέσποινα Μαρία ἡ ἀπὸ Τραπεζοῦντος καὶ τῇ 1 ἰουλίου 1440 ἡ δέσποινα Εὐγένεια ἡ τοῦ Κατελιούτζη θυγάτηρ τοῦ τῆς Λέσβου αὐθέντου, καὶ ὁ δεσπότης Θεόδωρος ὁ Παλαιολόγος τὸν ἰούλιον τοῦ 1448, καὶ τῇ 23 μαρτίου 1449 Εἰρήνη ἡ σύζυγος Ἰωάννου Παλαιολόγου ἡ πρὸς τῷ τέλει τῆς ζωῆς Ὑπομονὴ μοναχή[23]. Τὸν Μανουὴλ ἀριθμεῖ μεταξὺ τῶν μακαριζομένων τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας τὸ Συνοδικὸν τῆς τοῦ Παντοκράτορος μονῆς, εὑρισκόμενον ἐντὸς τοῦ ὑπ' ἀριθμὸν 822 χαρτίνου χειρογράφου Εὐχολογίου τῆς ἐν Ἁγίῳ Ὄρει μονῆς τῶν Ἰβήρων.

Λ΄. **Μιχαὴλ πατριάρχης Κωνσταντινουπόλεως ὁ Κηρουλλάριος.** Τὸν νεκρὸν αὐτοῦ μεγαλοπρεποῦς ἀνακομιδῆς τε καὶ ταφῆς ἠξίωσεν Ἰσάκιος ὁ Κομνηνός, διότι ἐν τῷ θνήσκειν ἡ δεξιὰ αὐτοῦ αὐτομάτως ἐσχηματίσθη ὡς πρὸς εὐλογίαν. Ἐτάφη ἐν τῇ μονῇ τῶν Οὐρανίων Δυνάμεων, ἣν ὁ πατριάρχης οὗτος ἤγειρεν· ἐπειδὴ δὲ μετὰ τὴν Ἰσαακίου ταφὴν ἡ σορὸς αὐτοῦ ἐθεάθη μεστὴ ὑγρότητος, ἄλλοι δ' ἄλλως εἰρμήνευον τὸν τοῦ φαινομένου λόγον καὶ δὴ εἰς τὰ κατὰ τοῦ Κηρουλλαρίου πεπραγμένα[24], φρονῶ ὅτι κατὰ τὰς τότε συνηθείας οἱ μοναχοὶ τῶν Οὐρανίων Δυνάμεων εἰσήγαγον τὴν μνήμην τοῦ Μιχαὴλ ἐν τῷ κατ' αὐτοὺς Ἑορτολογίῳ.

ΛΑ΄. **Οὐρσίνικος μάρτυς.** Τῇ 14 αὐγούστου σημειοῦσιν οἱ Συναξαρισταὶ μνήμην Οὐρσικίου, ἀθλήσαντος ἐπὶ Μαξιμιανοῦ. Λείψανον **Οὐρσινίκου,** πιθανῶς ἐν τῷ Β΄ ἢ Γ΄ αἰῶνι ἀθλήσαντος, ὁ ὅσιος Μάρκελλος κτησάμενος ἀπεθησαύρισεν ἐν τῇ μονῇ τῶν Ἀκοιμήτων[25].

ΛΒ΄. **Πελάγιος ἢ Πελαγία.** Ἀκριβῶς οὐδὲν εἰπεῖν ἔχω ἂν τῆς Πελαγίας ἢ τοῦ Πελαγίου πρέπῃ ἵνα γράψωμεν τὸν ναόν, ὃν ὁ Κοπρώνυμος κρημνίσας μετέβαλεν εἰς τάφον

21. Πορφυρογενν. Ἐκθ. τόμ. Α΄, σελ. 536.

22. Φιλοθέου Σηλυβρίας, Λόγος εἰς τὸν ὅσιον Μακάριον. ἐν Ἑλλ. Ἀνεκδότοις (Μαυρογορδατείου Βιβλιοθήκης)· σελ. 46-59. Εἰρήσθω δὲ λόγου πάρεργον καὶ πανδαισίας πνευματικῆς πενιχρᾶς νωγάλιον ὅτι ὁ κ. Κεραμεὺς ὁ Παπαδόπουλος, ὁ τὸν λόγον τοῦτον ἐκδοὺς, ἀνακαλύπτει δύο μονὰς ἐν Κων/πόλει τῆς Παναχράντου (ἡ ἄγνοια τῆς ἑλλην. γλώσσης παρὰ τῷ κ. Κεραμεῖ δυνατὸν ἀνακαλύψαι καὶ ναὸν τῆς **παναχράντου** Θεοτόκου τῶν Ἁρματίου, τῆς **παναχράντου** Θεομήτορος τῶν Ἀρεοβίνδου, τῆς **παναχράντου** Μαρίας τῶν Καλλιστράτου κ. τ. τ.) καὶ γινώσκει (διὰ τῆς ἐνεργείας αὐτοῦ δῆλα δὴ γνωσθέντα) νῦν θετικῶς ὅτι ἡ μονὴ τοῦ Βάσσου ἐτιμᾶτο ἐπ' ὀνόματι τῆς Θεομήτορος! Ὁ δυστυχὴς ἀγνοεῖ ὅτι τὸ Βασιλειανὸν λεγόμενον Μηνολόγιον ὀνομάζει ῥητῶς τὴν μονὴν τοῦ Βάσσου μονὴν τῆς Θεομήτορος Ἰδὲ τὸ νωγάλιον ἐν Ἑλληνικοῖς Ἀνεκδότοις, σελ. 49, σημ. 4. Ἐκ τῆς βιογραφίας τοῦ Μακαρίου μανθάνομεν τοῦτο μόνον, τό γ' εἰς ἐμὲ ἦκον, ὅτι ἡ μονὴ τοῦ πατριάρχου Ἀντωνίου τοῦ Καλέως ἢ Καλλίου ἐτιμᾶτο ἐπ' ὀνόματι τῆς παναχράντου μητρὸς τοῦ Κυρίου.

23. Δελτίον Ἱστορικῆς καὶ Ἐθνολογικῆς Ἑταιρίας τῆς Ἑλλάδος· τόμ. Γ΄, σελ. 460· Φραντζῆς· σελ. 121, 191, 203 καὶ 210.

24. Μιχαὴλ Ἀτταλειάτης· σελ. 63, 66, 69.

25. Μαρκέλλου βίος, ὑπὸ Μεταφραστοῦ Συμεών· Migne, τόμ. ΡΙΣΤ΄, στ. 736.

καταδίκων. Πελαγίαι τέσσαρες γνωσταὶ τοῖς Συναξαρισταῖς, οὐδεὶς δὲ Πελάγιος.

ΛΓ'. **Πέτρος Γορδορυνείας, ὁμολογητής.** Ἡ τῆς Κωνσταντινουπόλεως Ἐκκλησία κατὰ τὰ τέλη τοῦ Θ' αἰῶνος φαίνεται γεραίρουσα τὴν μνήμην Πέτρου τοῦ Γορδορυνείας ἐπισκόπου (Σελευκείας), οὗ τὸ λείψανον ἐν τῷ πρὸς θάλασσαν ἔξωθεν τοῦ ἄστεος εὐκτηρίῳ τοῦ ἁγίου Νικολάου κείμενον Εὐθύμιος σύγκελλος ὁ κατόπι πατριάρχης ἀνεκόμισε τῷ 900 καὶ κατέθετο ἐν τῷ παρεκκλησίῳ τοῦ Προδρόμου ἐν τῇ τοῦ Ψαμαθία μονῇ· θνήσκων δὲ παρεκάλεσεν ὁ Εὐθύμιος ὁ καὶ Ἀκολουθίαν τοῦ Πέτρου γράψας ἵνα ταφῇ παρὰ τὸ λείψανον «τοῦ ὁμολογητοῦ». Ἤκμασεν ὁ Πέτρος ἐπὶ τῶν τελευταίων εἰκονομάχων [26].

ΛΔ'. **Πέτρου καὶ Μάρκου ναός.** Ὁ παρὰ τὰς Βλαχέρνας κείμενος οὐκ ἐσημειώθη ἐν καταλόγῳ ναῶν, ἅτε δυσχερῶς ὁριζομένης τῆς ἡμέρας, καθ' ἣν ἑώρταζεν. Ἐκτίσθη δῆθεν ὑπὸ τῶν πατρικίων Γαλβίου καὶ Κανδίδου τῶν κομισάντων ἐξ Ἱεροσολύμων τὴν τιμίαν ἐσθῆτα τῆς Θεομήτορος [27].

ΛΕ'. **Στεφανὶς καὶ Κοσμία ὅσιαι.** Σύγχρονοι γενόμεναι Αὐξεντίου τοῦ ἐν τῷ βουνῷ κατῴκησαν πρῶται τὴν εὐλογίᾳ τοῦ Αὐξεντίου συστηθεῖσαν μονὴν τῶν Τριχαναρῶν· ἡ Στεφανὶς ἦν θεράπαινα Πουλχερίας τῆς αὐγούστης, ὁμόζηλος αὐτῇ, προσῆλθε δὲ τῷ Αὐξεντίῳ τῷ 453-454, ὅτε ὁρίζω τὴν ἵδρυσιν τῆς τῶν Τριχαναρῶν μονῆς. Ταῦτα κατ' ἀνεκδότους τοῦ Λύξεντίου βιογραφίας.

ΛϚ'. **Συμεὼν ὅσιος ὁ εὐλαβής.** Μνεία γίνεται τοῦ ἀνδρὸς ἐν βιογραφίᾳ Συμεὼν τοῦ νέου θεολόγου, τοῦ καὶ γράψαντος Ἀκολουθίαν τοῦ εὐλαβοῦς Συμεὼν τούτου, διδασκάλου χρηματίσαντος τοῦ νέου θεολόγου. Χρόνος ἀκμῆς ἄρα τὰ ἔτη 950—970.

ΛΖ'. **Ὑπατίου ἁγίου εὐκτήριον.** Ἠγείρετο, καθὼς εἰκάζω, παρὰ τῷ νάρθηκι τοῦ μεγάλου ναοῦ τῶν ἁγίων Ἀποστόλων [28], ἀλλ' ἄγνωστον εἰς τίνα τῶν ἁγίων Ὑπατίων ἦν ἀνατεθειμένος ὁ ναίσκος.

---

26. Βίος Εὐθυμίου· σελ. 30 καὶ 78.

27. Πασπάτη, Μελέται· σελ. 317· τὸ σήμερον Κοδζὰ Μουσταφᾶ πασᾶ δζαμί. Ἐπίσης οὐ σημειοῦται ναὸς ἁγίων **Νικολάου καὶ Αὐγουστίνου** (Καντουαρίας ἐπισκόπου) κτίσμα δῆθεν ἄγγλου τινός, ἀριθμούμενος παρὰ Δουκαγγίῳ (σελ. 90, LXX).

28. Πορφυρογενν. Ἔκθ. τόμ. Α', σελ. 537.

Σημ. — Οἱ ὑπ' ἀριθμὸν Ζ', Η', ΙΘ' καὶ Κ' ναοὶ καὶ ὁ ΙΗ' ὁμολογητὴς παρελείφθησαν ἐν ταῖς οἰκείαις ἀναγραφαῖς τῶν τε ναῶν καὶ τῶν μνημῶν τῶν ἁγίων· ***Ἰωάννην*** δὲ τῶν *Κεράτων* (παρὰ Mordtmann) καὶ ***Ἰωάννην*** *Καλοκοίμητον* (παρὰ Miklosich καὶ Muller) ἀγνοῶ ποῦ πρέπει 'ν' ἀναγράψωμεν.

ΣΤΟΥΔΙΤΙΚΟΝ ΕΟΡΤΟΛΟΓΙΟΝ

Ἐν τῷ τέλει τῆς βιογραφίας Θεοδώρου τοῦ Στουδίτου (11 νοεμβρίου) μνείαν ἐποιησάμην τοῦ τῆς μονῆς τῶν Στουδιτῶν Ἑορτολογίου, καθὼς τοῦτο κεῖται παρὰ τῷ πρεσβυτέρῳ Emmanuel Auvray ἐν τοῖς ὑπὸ τοῦ διδάκτορος τῆς φιλολογίας A. Tougard συνταχθεῖσι προλεγομένοις· ἐν τῷ μετὰ χεῖρας Ἑορτολογίῳ συμπεπληρωμένον ἐκδιδοὺς αὐτὸ λαμβάνω ὑπ' ὄψιν ὅτι τῶν ἐν τῇ περιφανεστάτῃ ταύτῃ μονῇ διακριθέντων ἐπ' ἀρετῇ καὶ τῇ ἱερᾷ παιδείᾳ τὰς μνήμας ἐγέραιρον οἱ μοναχοὶ τοῦ Στουδίου, καθὼς καὶ τῶν κατὰ τὰς εἰκονομαχικὰς ἀτασθαλίας διακριθέντων, ἰδίᾳ τῶν φίλων τοῦ Θεοδώρου. Ἂν ποθ' εὑρεθῇ που τὸ Τυπικὸν τοῦ Στουδίου, πιστεύω ὅτι πολλὰ προστεθήσονται εἰς τὸ ἐν χρήσει Ἑορτολόγιον ὁσίων ἀνδρῶν ὀνόματα καὶ πολλαὶ ἑορταὶ γενήσονται γνωσταί· δῆλον δ' ὅτι, καθὰ φαίνεται ἐν τῇ Τυπικῇ διατάξει τῆς

μονῆς τῆς Θεοτόκου τῆς Εὐεργέτιδος, ἐκδεδομένη ἐν Α' τόμῳ τῶν ἐκδοθέντων ὑπὸ Α. Δημητρεύσκη, καθηγητοῦ τῆς ἐν Κιέβῳ Θεολογικῆς Ἀκαδημίας, Τυπικῶν, ἑκάστη μονὴ ἦγεν ἰδίας συνάξεις, ὧν ὁ ἀριθμὸς ἀνήρχετο κατ' ἔτος ἔσθ' ὅτε εἰς ἑξήκοντα καὶ πλέον, ἤτοι παννύχους ἀγρυπνίας.

Ἀναγραφὴ συμπεπληρωμένη τῶν μετὰ τὸν Γ' αἰῶνα συνάξεων τῆς τοῦ Στουδίου μονῆς ἔχει οὕτως:

Σημ. αἱ διὰ βυζαντιμῶν γραμμάτων (τοιούτων) συμάξεις ἀμαγιμώσκονται παρὰ Auvray:

ΙΑΝΟΥΑΡΙΟΣ. 1. Περιτομὴ καὶ Μ. Βασιλείου.—4. Μιχαὴλ συγκέλλου.— 6. Θεοφάνεια.— 7. Σύμαξις Προδρόμου.— 20. Εὐθυμίου.— 25. Γρηγορίου τοῦ Θεολόγου. — 26. Ἀνακομιδὴ Θεοδώρου Στουδίτου. — 27. Ἀμακομιδὴ Χρυσοστόμου.

ΦΕΒΡΟΥΑΡΙΟΣ. 2. Ὑπαπαντή. — 3. Συμεὼν Θεοδόχου.— 4. Νικολάου Στουδίτου. — 22. Ἀθανασίου ἐν τῷ Παυλοπετρίῳ. — 24. Α' καὶ Β' εὕρεσις κεφαλῆς Προδρόμου. — 25. Ταρασίου πατριάρχου.

ΜΑΡΤΙΟΣ. 7. Παύλου Πλουσιάδος. — 8. Θεοφυλάκτου Νικομηδείας.— 12. Θεοφάνους Σιγριανῆς. Συμεὼν τοῦ νέου Θεολόγου.— 14. Εὐσχήμονος Λαμψάκου. — 17. Παύλου καὶ Θεοστηρίκτου. — 20 Νικήτα Ἀπολλωνιάδος.— 25. Εὐαγγελισμός. — 26. Στεφάνου Τριγλίας.— 29. Εὐσταθίου Κίου.

ΑΠΡΙΛΙΟΣ. 1. Μακαρίου τῆς Πελεκητῆς. — 3. Νικήτα Μηδικίου. —Ἰωσὴφ ὑμνογράφου.— 4. Πλάτωνος.— 7. Γεωργίου Μιτυλήνης. — 12. Βασιλείου Παρίου, καὶ Ἀνθούσης. — 18. Κοσμᾶ Χαλκηδόνος, καὶ Ναυκρατίου.— 19. Γεωργίου Πισσιδείας.— 23. Γεωργίου μάρτυρος.— 25. Μάρκου ἀποστόλου.— 27. Ἰωάννου τῶν Καθαρῶν. — 30. Ἰακώβου τοῦ Ζεβεδαίου.

ΜΑΙΟΣ. 4. Νικηφόρου Μηδικίου. — 8. Ἰωάμμου Θεολόγου.— 10. Σίμωνος τοῦ ζηλωτοῦ.— 12. Γερμανοῦ πατριάρχου.— 13. Σεργίου. — 16. Πέτρου μάρτυρος. — 23. Μιχαὴλ Συνάδων.— 25. Γ' φανέρωσις τῆς κεφαλῆς τοῦ Προδρόμου. — 28. Νικήτα Χαλκηδόνος.

ΙΟΥΝΙΟΣ. 4. Ἰωάννου Μοναγρίας.— 6. Ἱλαρίωνος Δαλμάτων. — 8. Ἁμακομιδὴ Θεοδώρου στρατηλάτου.—11. Βαρθολομαίου καὶ Βαρνάβα.—14. Μεθοδίου πατριάρχου.— 24. Γενέθλιον Προδρόμου.—29. Πέτρου καὶ Παύλου.—30. Σύμαξις ΙΒ' ἀποστόλων.

ΙΟΥΛΙΟΣ. 8. Προκοπίου μάρτυρος.—14. Ἰωσὴφ Θεσσαλονίκης.—18. Θεοδοσίας.— 20. Ἡλιοὺ καὶ Ἐλισσαίου. Μνήμη τῶν ἐγκαινίων τοῦ Στουδίου.—27. Παντελεήμονος μάρτυρος καὶ Ἀνθούσης. — 29. Ἰωάννου Χαλκηδόνος.

ΑΥΓΟΥΣΤΟΣ. 6. Μεταμόρφωσις. — 7. Εἰρήνης βασιλίδος. — 8. Αἱμιλιανοῦ Κυζίκου. — 9. Ματθία τοῦ ἀποστόλου. Τῶν ἐν τῇ Χαλκῇ μαρτύρων.—15. Κοίμησις Θεοτόκου.—24. Γεωργίου Λιμνιώτου. —29. Ἀποτομὴ κεφαλῆς Προδρόμου.

ΣΕΠΤΕΜΒΡΙΟΣ. 8. Γενέσιον Θεοτόκου. —10. Πέτρου Νικαίας. — 14. Ὕψωσις Τιμίου Σταυροῦ.—16. Εὐφημίας.—20. Ὑπατίου ἐπισκόπου, Ἀνδρέου, Παύλου, Πέτρου, Ἀνδρέου. — 23. Σύλληψις Προδρόμου.—26. Μετάστασις Ἰωάμμου Θεολόγου.

ΟΚΤΩΒΡΙΟΣ. 2. Θεοφίλου.—6. Θωμᾶ ἀποστόλου..— 9. Ἰακώβου τοῦ Ἁλφαίου. — 11. Θεοφάνους Νικαίας.—13. Νικήτα πατρικίου. — 18. Λουκᾶ ἀποστόλου. — 20. Ἀνδρέου ἐν τῇ κρίσει.—23. Ἰακώβου ἀδελφοθέου.—28. Δημητρίου μάρτυρος.

ΝΟΕΜΒΡΙΟΣ. 3. Ἰωαννικίου.—8. Σύμαξις Ἀρχαγγέλων.—11. Θεοδώρου Στουδίτου.—13. Ἰωάμμου Χρυσοστόμου.—14. Φιλίππου ἀποστόλου.— 16. Ματθαίου ἀποστόλου. — 17. Λαζάρου τοῦ ζωγράφου. — 20. Γρηγορίου Δεκαπολίτου· καὶ Θεοκτίστου.—21. Τὰ Ἅγια τῶν Ἁγίων.—28. Στεφάνου καὶ τῶν σὺν αὐτῷ. — 30. Ἀνδρέου πρωτοκλήτου.

ΔΕΚΕΜΒΡΙΟΣ. 4. Ἰωάννου Δαμασκηνοῦ.—6. Νικολάου Μύρων.—20. Ἰγνατίου, καὶ προεόρτια Χριστουγέννων.— 24. Παραμονὴ Χριστουγέννων.—25. Χριστούγεννα— 26. Ἐπιλόχια Θεοτόκου. Εὐθυμίου Σάρδεων, καὶ Εὐαρέστου Κοκκοροβίου.— 27. Στεφάνου πρωτομάρτυρος καὶ Θεοδώρου τοῦ Γραπτοῦ.—29. Θαδδαίου ὁμολογητοῦ.

ΓΝΩΣΤΟΙ ΒΥΖΑΝΤΙΝΟΙ ΝΑΟΙ ΚΑΙ ΜΟΝΑΙ

Κατὰ τὴν ἐν τῷ παρόντι Ἑορτολογίῳ ἀρίθμησιν, ἐπὶ τῇ βάσει κειμένων αὐθεντικῶν, ὑπῆρξαν ἐν Κωνσταντινουπόλει καὶ τοῖς πέριξ ἀπὸ τοῦ Δ΄ αἰῶνος ναοὶ καὶ μοναὶ

ἐπ' ὀνόματι τοῦ Σωτῆρος Χριστοῦ βεβαίως	20	καὶ 3,	περὶ ὧν ἐπέχω τι εἰπεῖν
» » τῆς Θεοτόκου	83	καὶ 10,	πιθανῶς ἑτέροις συγχεόμενοι
» » τῶν οὐρανίων Δυνάμεων . .	29	καὶ 5	ἀμφιβαλλόμενοι
» » τοῦ Βαπτιστοῦ καὶ Προδρόμου	22	καὶ 7	πιθανῶς μυθολογούμενοι
» » τῶν ΙΒ΄ ἀποστόλων	5		
» » Πέτρου καὶ Παύλου	13		
» » τῶν λοιπῶν ἀποστόλων . . .	24	καὶ 3	ἀμφιβαλλόμενοι
» » τῶν προφητῶν.	11	καὶ 1	ἀμφιβαλλόμενος
» » μαρτύρων ἀνδρῶν καὶ γυναικ.	176	καὶ 12	ἀμφιβαλλόμενοι
» » ὁσίων ἀνδρῶν καὶ γυναικῶν	45	καὶ 2	μυθικοί
	428	43	ἀμφιβαλλόμενοι

Σημ.— *Οἱ ναοὶ τοῦ Σωτῆρος, ἀντὶ τῶν ἐν τῷ κειμένῳ 19, ἠριθμήθησαν 20, προστεθέντος τοῦ ναοῦ* ***τοῦ Βαθέως Ῥύακος,*** *ἀναφερομένου ῥητῶς τῇ 27 σεπτεμβρίου, μὴ καταριθμηθέντος δ' ἐν οἰκείῳ τόπῳ. Οἱ δὲ τῆς Θεοτόκου ἀμφιβαλλόμενοι ἢ ἑτέροις συγχεόμενοι ἀριθμοῦνται 10, διότι ἀγνοῶ ἂν ὧσι διάφοροι ναοὶ ἢ εἷς, οἱ ὡς* ***Θεοτόκος ἐν τῇ Πέτρᾳ, Θεοτόκος ἐν τῷ Πετρίῳ*** *καὶ* ***Θεοτόκος τῶν μητροπολιτῶν*** *ἀναφερόμενοι (βλέπε 21 σεπτεμβρίου καὶ 26 δεκεμβρίου (ἀριθμ. 58 δὶς) ἐν τῷ μετὰ χεῖρας Ἑορτολογίῳ). Ἐπίσης ἄγνωστον εἰ ὑπῆρχεν ἐν τοῖς Δομνίνου Ἐμβόλοις εἷς καὶ παρὰ τῷ Κωνσταντινιαρῷ φόρῳ ἕτερος τοῦ ἁγίου Πλάτωνος ναός.*

Ἐπισημ.— *Δεῖ εἰδέναι ὅτι ὁ τῇ 31 ἰανουαρίου φερόμενος ναὸς Κύρου καὶ Ἰωάννου οὐκ ἔστι τρίτος, ἀλλ' εἷς τῶν δύο τῶν ἀναφερομένων τῇ 28 ἰουνίου — Θύρσου καὶ τῶν λοιπῶν ὁ τῆς 14 δεκεμβρίου οὐκ ἔστι διάφορος τοῦ τῇ 17 αὐγούστου ἀναγραφομένου. Δύσκολον δ' ὁρίσαι τὰ κατὰ τοὺς ναοὺς Ἀκυλίνης, Χρισοφόρου, Ἰουλιανῆς, Ἰουλιανοῦ κλπ. διὸ ἡ ἄνω ἀρίθμησις τῶν ναῶν μόλις ἐγγίζει τῇ ἀληθείᾳ.* ***Τὸ δὲ παρὸν Ἑορτολόγιον, προκειμένου περὶ ναῶν, ἐζήτησε ἵνα προσεγγίσῃ τῇ ἀληθείᾳ, οὗπερ δυσχερῶς ἐπιτυγχάνει τις, καὶ κυρίως ἐν θέμασι πολὺν ἀπαιτοῦσι κόπον, καὶ μελέτην πολλῶν βιβλίων, καὶ διαύγειαν νοὸς καὶ κρίσιν βαθεῖαν.***

ΜΝΗΜΑΙ ΑΓΙΩΝ ΚΑΙ ΝΑΩΝ

ΝΥΝ ΤΟ ΠΡΩΤΟΝ ΕΙΣΑΓΟΜΕΝΑΙ ΕΝ ΤΩι ΣΥΝΑΞΑΡΙΣΤΗι ἢ ΕΠΑΝΟΡΘΟΥΜΕΝΑΙ

Σημ. — Αἱ μνῆμαι, ὧν προτάττεται ἀστερίσκος, εἰσὶν αἱ ἐπανορθούμεναι.

Ἰανουαρίου 4. *Μιχαὴλ συγκέλλου.
» 8. Θεοδώρου κτίτορος τῆς μονῆς τῆς Χώρας.
» 8. Μακαρίου ἡγουμ. μονῆς Παντοκράτορος.
» 17. Θεοδότου Κυρηνίας (Κύπρου).
» 20. *Σύναξις τῆς Ἁγίας Εἰρήνης.
» 24. Ἐγκαίνια τοῦ Ἁγίου Ζαχαρίου ἐν τῇ μονῇ Ματρώνης.
» 26. Ἀνακομιδὴ Θεοδώρου Στουδίτου.
» 31. Μνήμη τοῦ ναοῦ τῆς Θεοτόκου ἐν τῇ Γεωργίᾳ.

Φεβρουαρίου 4. Νικήτα τοῦ ἐν τοῖς Πυθίοις.
» 15. Σύναξις Ἰωάννου Θεολόγου ἐν τοῖς Διακονίσσης.
» 18. Θωμᾶ καὶ Ἰωάννου πατριαρχῶν Κωνσταντινουπόλεως.

Μαρτίου 6. Μελισσηνοῦ καὶ Κρατεροῦ μαρτύρων.
» 12. Συμεὼν τοῦ εὐλαβοῦς.
» 30. Κυριακοῦ Κωνσταντινουπόλεως.

Ἀπριλίου 12. Σεργίου πατριάρχου Κωνστ/πόλεως.
Μαΐου 4. Πρόβου, Ταράχου. Ἀνδρονίκου (μνήμη ναοῦ).
» 6. Ἐγκαίνια τῶν Ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ ἐν τῇ μονῇ τοῦ Ψαμαθία.
» 15. Μνήμη τῆς Θεοτόκου ἐν τῷ Περιτειχίσματι.
» 15. *Νικολάου πατριάρχου Κωνστ/πόλεως.
» 26. Στεφάνου » »
» 28. Νικήτα Χαλκηδόνος.
» 30. Εὐσταθίου πατριάρχου Κωνστ/πόλεως.

Ἰουνίου 2. Μαρίνου τοῦ κατὰ κόσμον Βαάνη.
» 8. Παύλου τοῦ Καϊουμᾶ.
» 16. Σύναξις τῆς Θεοτόκου ἐν Δοκιαναῖς.
» 16. Ἀνακομιδὴ Θεοδώρου τοῦ συκεώτου.

Ἰουλίου 6. Ἀνακομιδὴ Εὐδοκίμου.
» 6-12. Ἡ ἕνωσις τῆς μεγάλης Ἐκκλησίας.
» 13-19. Κυριακὴ τῶν ἁλλακτῶν.

Ἰουλίου 15. Ἰουστινιανοῦ Β' τοῦ ῥινοτμήτου.
» 18. Ἰωάννου πατριάρχου Κωνστ/πόλεως.
» 18. Θεοδοσίας ὁσιομάρτυρος.
» 20. Ἠλιοῦ, Μωϋσέως, Ἀαρὼν τῶν προφητῶν.
» 25. Μαρίνης, Ἐλισανθίας, Μαρτυρίας, Παλλαδίας, Ὀλυμπίας.
» 26. Ἐγκαίνια τοῦ Ἀρχαγγέλου τῆς μονῆς τοῦ Χρυσοβαλάντου.

Αὐγούστου 4. Ἐγκαίνια τοῦ Ἁγίου Προκοπίου.
» 5. Εὐθυμίου πατριάρχου Κωνστ/πόλεως.
» 7. Πουλχερίας καὶ Εἰρήνης.
» 17. Μακαρίου ὁσιομάρτυρος.
» 27. Μνήμη τῶν Ἁγίων Τεσσαράκοντα ἐν τῷ παλατίῳ.

Αὐγούστου 29. Βασιλείου τοῦ Μακεδόνος.
Σεπτεμβρίου 3. *Στεφάνου ἡγουμένου Τριγλείας.
» 21. Μνήμη τῆς Θεοτόκου ἐν τῇ Πέτρᾳ.
» 21. Λαυρεντίου καὶ Ἁγνῆς.
Ὀκτωβρίου 11. *Ἀττικοῦ πατριάρχου Κωνστ/λεως.
Νοεμβρίου 4. Ἐγκαίνια Θεοτόκου ἐν τοῖς Κύρου.
» 5. Ἐγκαίνια Ἁγίου Θεοδώρου ἐν τοῖς Φωρακίου.
» 20. *Πρόκλου, Μαξίμου, Ἀνατολίου, Γενναδίου, πατριαρχῶν Κωνστ/πόλεως.
Δεκεμβρίου 3. Τῶν Ἁγίων Τεσσαράκοντα μαρτύρων τῶν ἐν Σοφιαναῖς.
» 10. Σύναξις ἀρχιστρατήγου Μιχαὴλ ἐν τῷ Ἀδδᾶ.
» 11. Νικηφόρου τοῦ Φωκᾶ.

ΑΡΙΘΜΗΣΙΣ ΤΩΝ ΚΑΤ' ΕΤΟΣ ΣΥΝΑΞΕΩΝ

Εἰς τὴν ἀρίθμησιν ταύτην τῶν κατ' ἔτος συνάξεων ὁδηγὸν ἔχω Συναξαριστὰς καὶ Μηναῖα, ἔντυπα καὶ χειρόγραφα, ὅταν ἀναφέρωσι ῥητῶς τὸ τελεῖται ἡ αὐτοῦ σύναξις ἢ μνήμη τῶν ἐγκαινίων, ἢ τοῦ Ἁγίου μάρτυρος ἐν (τόπῳ δηλ.). Παραλείπω τὴν λέξιν ἁγίου, προστίθημι δὲ τὸν τόπον, ὅπου ἔκειτο ὁ πανηγυρίζων ναός. Ἐκ τῆς στατιστικῆς ταύτης γίνονται γνωσταὶ συνάξεις (ῥητῶς ἀναγραφόμεναι) ἐν Κωνσταντινουπόλει καὶ τοῖς πέριξ κατ' ἔτος 241, καὶ τοῦτο λέγω περὶ τῶν ἀκινήτων ἑορτῶν. Αἱ πλείονες συνάξεις ἐγίνοντο κατὰ τοὺς μῆνας τοῦ θέρους (μάϊον 30, ἰούνιον 31, ἰούλιον 45, αὔγουστον 31) 137, αἱ δ' ἐλάσσονες τὸν μάρτιον (5) βεβαίως, διότι συμπίπτουσιν αἱ τῶν Κυριακῶν τῆς Τεσσαρακοστῆς συνάξεις. Εἰσὶ δ' αὗται:

Ἁγίας Σοφίας (27): ἰανουαρίου 7, 10, 16, 17, 18, 20 — φεβρουαρίου 16, 17, 18, 23, 25 — μαρτίου 12 — ἀπριλίου 19, 26, 30 — μαΐου 12, 21 — ἰουνίου 4 — αὐγούστου 18, 23, 25 — ὀκτωβρίου 3 — δεκεμβρίου 7, 20, 22, 23, 27.

Ἁγίων Ἀποστόλων τῶν μεγάλων (11): ἰανουαρίου 22, 25, 27 — μαρτίου 13 — ἀπριλίου 17 — μαΐου 21 — ἰουνίου 2, 29 — αὐγούστου 7, 29 — σεπτεμβρίου 3.

Πέτρου ἀποστολεῖον παρὰ τῇ Ἁγίᾳ Σοφίᾳ (9): ἰανουαρίου 11, 16 — φεβρουαρίου 13 — ἀπριλίου 25 — μαΐου 1 — ἰουνίου 11, 29 — αὐγούστου 21 — δεκεμβρίου 12.

Θεοτόκου Χαλκοπρατείων (5): μαρτίου 25 — αὐγούστου 31 — σεπτεμβρίου 8 — δεκεμβρίου 18, 29.

Ἰωάννου Προδρόμου τῶν Φωρακίου (5): ἰανουαρίου 7 — φεβρουαρίου 24 — ἰουνίου 24 — αὐγούστου 14, 29.

Θεοτόκου τῶν Ἀρματίου (4): ἰανουαρίου 17 — μαρτίου 2 — ἰουλίου 21 — αὐγούστου 17.

Ἰωάννου Θεολόγου παρὰ τῇ Ἁγίᾳ Σοφίᾳ (4): φεβρουαρίου 1 — ἀπριλίου 11 — ἰουλίου 29 — δεκεμβρίου 13.

Πέτρου καὶ Παύλου ἐν τῷ Ὀρφανοτροφείῳ (4): ἰανουαρίου 14 — ἰουνίου 29 — ἰουλίου 15 — δεκεμβρίου 31.

Γεωργίου ἐν τῷ Κυπαρισσίῳ (4): μαΐου 9 — ἰουνίου 22 — ἰουλίου 16 — νοεμβρίου 26.

Θεοτόκου Βλαχερνῶν·* φεβρουαρίου 2 — ἰουλίου 2, 31.

Ἀκυλίνης· ἰανουαρίου 28 — ἰουνίου 13 — ἰουλίου 10.

Ἀναστασίας· ἰανουαρίου 11, 25 — δεκεμβρίου 22.

Εἰρήνης· ἰανουαρίου 20,23 — μαΐου 14.

* οἱ ἑπόμενοι 7 ναοὶ ἀριθμοῦσιν ἀνὰ 3 συνάξεις ἕκαστος.

Θύρσου, Λευκίου καὶ Ἁγνῆς· ἰανουαρίου 20 — αὐγούστου 17 — δεκεμβρίου 14.

Ἰουλιανοῦ· ἰανουαρίου 8 — ἰουνίου 21 — ἰουλίου 5.

Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ· μαΐου 5 — ἰουλίου 1 — αὐγούστου 11.

Θεοτόκου Βιγλεντίας·* ἀπριλίου 13—αὐγούστου 2.

Θεοτόκου Διακονίσσης· φεβρουαρ. 15—ἰουλίου 28.

Θεοτόκου Καλλιστράτου· φεβρ. 14—ἰουλίου 18.

Θεοτόκου Κουράτορος· ἰουλίου 22 — δεκεμβρίου 7.

Θεοτόκου Κύρου· μαΐου 19—νοεμβρίου 4.

Ἀναργύρων Κύρου καὶ Ἰωάννου· ἰανουαρίου 31—ἰουνίου 28.

Ἀρχαγγέλου ἐν τοῖς Ἀδδᾶ· ἰουλίου 15—δεκεμβ. 10.

Ἀρχαγγέλου Μιχαὴλ ἐν Ὀξείᾳ· ἰανουαρίου 13 — ἰουνίου 3.

Γεωργίου ἐν τῷ Δευτέρῳ· ἀπριλίου 22, 23.

Ἐλευθερίου ἐν τῷ Ξηρολόφῳ· ἰουλίου 21—δεκεμβρίου 15.

Ἰουλιανῆς· αὐγούστου 18—δεκεμβρίου 21.

Λαζάρου δικαίου μονῆς· μαΐου 4—ἰουλίου 22.

Μάρκου ἀποστόλου πλησίον τοῦ Ταύρου· ἰανουαρίου 11—ἀπριλίου 25.

Πλάτωνος ἐν Δομνίνου ἐμβόλοις· μαΐου 24—νοεμβρίου 18.

Προκοπίου ἐν τῇ Χελώνῃ· ἰουλίου 8—αὐγούστ. 4.

Στεφάνου ἐν Πλακιδιαναῖς· ἰανουαρίου 11 — δεκεμβρίου 23.

Στουδίου μονῆς· ἰουλίου 20—(αὐγούστου 29).

Τεσσαράκοντα μαρτύρων ἐν τῷ παλατίῳ· αὐγούστου 27—δεκεμβρίου 3.

Τεσσαράκοντα, παρὰ τὸ Χαλκοῦν Τετράπυλον· μαρτίου 9—δεκεμβρίου 29.

* οἱ ἑπόμενοι εἴκοσι ναοὶ ἀριθμοῦσιν ἀνὰ 2 συνάξεις.

Τρύφωνος ἰουλίου 13, 24.
Σωτῆρος* Εὐεργέτου μονῆς· ἰουλίου 18.
Σωτῆρος Παντοκράτορος· αὐγούστου 4.
Σωτῆρος Χώρας· ἰανουαρίου 2.
Θεοτόκου Ἀρεοβίνδου· φεβρουαρίου 10.
Θεοτόκου ἐν τῇ Γεωργίᾳ· ἰανουαρίου 20.
Θεοτόκου ἐν Δοκιαναῖς· ἰουνίου 16.
Θεοτόκου Ἐλεούσης· αὐγούστου 11.
Θεοτόκου ἐν Οὐαρανᾷ· δεκεμβρίου 9.
Θεοτόκου Λιβός· σεπτεμβρίου 3.
Θεοτόκου Μαρνακίου· ἰουνίου 15.
Θεοτόκου ἐν τῷ Παγιδίῳ· ἰουλίου 25.
Θεοτόκου Πέτρας· σεπτεμβρίου 21.
Θεοτόκου Πηγῆς· ἰουλίου 9.
Θεοτόκου Περιτειχίσματος· μαΐου 15.
Θεοτόκου Σίγματος· ἰανουαρίου 10.
Θεοτόκου Σωσθενίου· ἰουνίου 8.
Ἀγάθης· φεβρουαρίου 5.
Ἀγαθονίκου ἐν Καινουπόλει· αὐγούστου 22.
Αἰμιλιανοῦ ἐν τῇ Ῥάβδῳ· ἰουλίου 18.
Ἀλεξάνδρου παρὰ τοῖς Ἁγ. Ἀποστόλοις· ἰανουαρίου 12.
Ἀλεξάνδρου ἐν Κεντουκέλλαις· μαΐου 14.
Ἀλυπίου μονῆς· ἰουνίου 12.
Ἀνάπλου (ἐν..... ποῦ;) δεκεμβρίου 11.
Ἀναστασίου οἶκος ἐν Ὀξείᾳ· ἰανουαρίου 19.
Ἀνθούσης, Χαρισίμου κλπ. ***ἐν Ἱπποΐχνοις***· αὐγούστου 22.
Ἄννης ἐν τῷ Δευτέρῳ· ἰουλίου 25.
Ἀρχαγγέλου Γαβριὴλ ἐν Χάλδαις· ἰουλίου 25.
Ἀρχαγγέλου Μιχαὴλ ἐν Σκάλαις· ἰουλίου 25.
Ἀρχαγγέλου Μιχαὴλ ἐν τῷ Φόρῳ· ἰουνίου 18.
Βαβύλα (ἐν τῷ Κάμπῳ;) ἰουνίου 5.
Βενιαμὶν καὶ Βηρίου ἐν Ἑβδόμῳ· ἰουλίου 29.
Βλασίου ἐν τοῖς Μελτιάδου· φεβρουαρίου 11.
Γλυκερίας νῆσος· μαΐου 13.
Δεξιοκράτους μονῆς· μαΐου 29.
Δημητρίωνος, Θηριανοῦ κλπ. ***ἐν τῷ Δευτέρῳ***· μαΐου 6.
Διομήδους· αὐγούστου 16.
Δομετίου ἐν Ἰουστινιαναῖς· αὐγούστου 7.
Εἰρήνης ἐν Γαλατᾷ· αὐγουστου 8.
Εἰρήνης ἐν τῷ Δευτέρῳ· σεπτεμβρίου 6.
Ἐλισσαιέ· ἰουνίου 14.
Ἐπιφανίου ἐν τῷ Στρατηγίῳ· μαΐου 12.
Ἑσπέρου καὶ Ζωῆς ἐν τῷ Δευτέρῳ· μαΐου 2.
Εὐφημίας ἐν τοῖς Ἀντιόχου· ἰουλίου 11.
Εὐφημίας παρὰ τὸ Νεώριον· μαΐου 16.
Ἡλιοὺ τῆς μονῆς Βαθέος Ῥύακος· ἰανουαρίου 13.
Ἡσαΐου· μαΐου 9.
Θεοδότης ἐν τῷ Κάμπῳ· ἰουλίου 29.
Θεοδώρας· αὐγούστου 22.
Θεοδώρου τῶν Φωρακίου· νοεμβρίου 5.
[Ἰακώβου ἀδελφοθέου ἔνδον ***Εὐορανιωτίσσης]***· φεβρουαρίου 3.
Ἰακώβου ἀδελφοθέου ἔνδον τῆς Θεοτόκου ***Χαλκοπρατείων***· μαΐου 4—[δεκεμβρίου 27.]
Ἰσιδώρου ἔνδον ***τῆς Ἁγίας Εἰρήνης***· ἰουνίου 19.
Ἰωάννου Θεολόγου ἐν τοῖς Βεάτου· ἰουλίου 10.
Ἰωάννου Θεολόγου ἔνδον Θεοτόκου ***Χαλκοπρατείων***· δεκεμβρίου 27.
Ἰωάννου Θεολόγου ἐν τῷ Ἑβδόμῳ· μαΐου 8.
Ἰωάννου προδρόμου παρὰ τῇ Μωκησίᾳ· ἰανουαρίου 10.
Ἰωάννου προδρόμου ἐν τοῖς Ὀλύμπου· ἰουλίου 23.
Ἰωάννου προδρόμου ἐν τῇ Ὀξείᾳ· ἰουνίου 25.
Ἰωάννου προδρόμου παρὰ τῷ Ταύρῳ· ἰανουαρ. 24.
Καλλινίκου παρὰ ***τῷ Πετρίῳ*** καὶ παρὰ τῇ ***Ἰουστινιανοῦ γεφύρᾳ***· ἰουλίου 29.
Κάρπου καὶ Παπύλου παρὰ τοῖς Ἑλενιανοῖς· ὀκτωβρίου 13.
Κλήμεντος καὶ Ἀγαθαγγέλου ἐν τοῖς Εὐδοξίου· ἰανουαρίου 23.
Κυπριανοῦ καὶ Ἰουστίνης ἐν τοῖς Σολομῶντος· ὀκτωβρίου 2.
Κωνσταντίνου παρὰ τῇ κινστέρνῃ ***τοῦ Βώνου***· μαΐου 21.
Λαυρεντίου καὶ Ἁγνῆς· σεπτεμβρίου 21.
Λεοντίου ἐν τῷ Καμαριδίῳ καὶ ***ἐν τῇ Ζωοδόχῳ Πηγῇ***· ἰουνίου 18.
Μάμαντος καὶ Βασιλίσκου ἐν τοῖς Δαρείου· ἰουλίου 29.
Μάμαντος ἐν τῇ Ξηροκέρκῳ· αὐγούστου 22.
Μάμαντος ἐν τῷ Σίγματι· ἰουλίου 12.
Μανουὴλ, Σαβὴλ, Ἰσμαήλ· ἰουνίου 17.
Μαξιμίνου μονῆς· ἰουνίου 10.
Μάρθας καὶ Μαρίας ἐν Βασιλίσκου· ἰουνίου 6.
Μεθοδίου πατριάρχου ἔνδον ***Ἁγίων Ἀποστόλων***· ἰουνίου 14.
Μηνᾶ· ἰουλίου 17.
Μητροφάνους ἐν Ἑπτασκάλῳ· ἰουνίου 4.
Μίνη καὶ Μιναίου ἐν Ἑβδόμῳ· αὐγούστου 1.
Μωκίου· μαΐου 11.
Νέας· μαΐου 1.
Ὀλυμπιάδος μονῆς· δεκεμβρίου 25.
Παντελεήμονος [τοῦ Ναρσοῦ]· ἰουλίου 27.
Παντολέοντος καὶ Χαραλάμπους ἐν τῷ Δευτέρῳ· σεπτεμβρίου 17.
Παυλοπετρίου· μαρτίου 13.
Πέτρου ἐν Ἀθύρᾳ· σεπτεμβρίου 5.
Πέτρου καὶ Παύλου ἐν Μαρνακίου· αὐγούστου 8.
Πολυεύκτου· ἰανουαρίου 9.
Πρίσκου καὶ Νικολάου ἐν Βλαχέρναις· δεκεμβρίου 7.
Πρόβου μονῆς· αὐγούστου 21.
Πρόβου, Ταράχου, Ἀνδρονίκου παρὰ τῇ Ζωοδόχῳ ***Πηγῇ***· μαΐου 4.
Σαμψὼν Ξενών· ἰουνίου 27.
Στεφάνου ἐν Κωνσταντινιαναῖς· δεκεμβρίου 27.
Στρατονίκου [ἐν τῷ Ῥηγίφ]· μαΐου 9.
Τιμοθέου ἐν τῷ Δευτέρῳ· ἰουνίου 10.
Τιμοθέου καὶ Μαύρας ἐν Ἰουστινιαναῖς· μαΐου 3.
Ὑακίνθου, πλησίον Τρωαδησίων ἐμβόλων· ἰουλίου 3.
Ὑπατίας μονῆς· ἰουλίου 12.
Φαύστου καὶ Βασιλείου ἐν τοῖς Δαρείου· φεβρουαρίου 6.
Φιλήμονος, Ἀρχίππου, Ὀνησίμου ἐν Ἐλαίᾳ· ἰουλίου 6.
Φιλήμονος ἐν τῷ Στρατηγίῳ· δεκεμβρίου 19.
Φλώρου καὶ Λαύρου· αὐγούστου 18.
Φωτεινῆς ἔξω τῆς πόρτης Βλαχερνῶν· αὐγούστου 20.
Φωτίου καὶ Ἀνικήτου ἐν τῷ Στρατηγίῳ· αὐγούστου 12.
Φωκᾶ· ἰουλίου 21.
Χαρίτωνος ἐν τῷ Δευτέρῳ· σεπτεμβρίου 9.
Χρηστίνης ἐν τῷ παλατίῳ καὶ ἐν μεγάλαις Νύμφαις· ἰουλίου 24.
Χριστοφόρου παρ' Ἁγίῳ Πολυεύκτῳ· δεκεμβρ. 16.
Χρυσοβαλάντου μονῆς· ἰουλίου 26.
Ψαμαθία μονῆς· μαΐου 6.

* οἱ ἀπὸ τοῦδε μέχρι τέλους ἀνὰ μίαν κατ' ἔτος σύναξιν.

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ

ΑΓΙΟΛΟΓΙΚΑ ΥΠΟΜΝΗΜΑΤΑ

ΚΑΙ

ΕΚΛΟΓΑΙ ΕΞ ΑΥΤΩΝ

ΘΕΟΔΩΡΟΣ

Ο ΑΡΧΑΙΟΤΕΡΟΣ ΚΤΙΤΩΡ ΤΗΣ ΜΟΝΗΣ ΤΗΣ ΧΩΡΑΣ

(ἀνεγνώσθη ἐν τῇ ΑΡΚΒ' συνεδρίᾳ (2 νοεμβρίου 1892) τοῦ Ἑλληνικοῦ Φιλολογικοῦ Συλλόγου).

Συνομολογήσετέ μοι βεβαίως, ἀγαπητοί, ὅτι, εἰ οὐχὶ τέλεον, ἀλλὰ κατὰ μέγα μέρος ἀνεξάντλητον ἐς δεῦρο μένει τὸ μέγα μεταλλεῖον τῶν ἐπὶ τοῦ βυζαντινοῦ μεσαίωνος ἱστορικῶν πηγῶν, οὐχὶ διότι σπανίως ἀνευρίσκονται σπουδαῖα κείμενα, οὐχὶ διότι πολλοὶ βίοι ὁσίων καὶ μαρτύρων, ὀλίγα ἢ πολλὰ διδάσκοντες ἡμῖν, ἀνέκδοτοι παραμένουσι τέως, ἀλλὰ διότι καὶ πολλῶν ἡ μὲν εἰς τὸ χυδαϊκὸν ἰδίωμα παράφρασις ἐλλιπής ἐστι τῆς ἀκριβείας, περὶ δὲ τῆς εἰς τὴν λατινικὴν μεταγλωττίσεως ἐνίων, ὧν ἀγνοοῦμεν ἄχρις ὥρας τὸ πρωτότυπον, ἔχω λόγους 'να φρονῶ ὅτι αὕτη σπανίως ἀποδίδωσιν ὄχι τὸ πνεῦμα πλέον, ἀλλὰ μήτε τὸ γράμμα τοῦ κειμένου. Πόθος ἐμός ἐστιν ἄρα τὸ ἀπὸ τῶν ἀρχαίων χειρογράφων ἀρύεσθαι τὰς εἰδήσεις, ὧν χρῄζομεν, προκειμένου 'να διακριβώσωμεν γεγονός τι τῆς πατρίου ἱστορίας, ἢ τοποθεσίαν τινα βυζαντινήν. Ἀπὸ χειρογράφου δ' ἀρχαίου σήμερον ἐρανισθεὶς ὑποβάλλω σημείωσιν ἀφορῶσαν εἰς τὴν πολλῆς τῆς ἐρεύνης ἐπ' ἐσχάτων καὶ συχνῆς τῆς ἐπισκέψεως ἀξιουμένην Μονὴν τῆς Χώρας, τὸ Καχριὲ-δζαμί.

Οὐδαμῶς πρόκειται λόγος ἐν τῇ βραχείᾳ μου ταύτῃ ἀνακοινώσει περὶ τῶν καλῶν τοιχογραφιῶν τῆς μονῆς, ἃς σήμερον βλέπομεν, οὔτε περὶ τῆς ὑπὸ Θεοδώρου τοῦ Μετοχίτου ἀνακαινίσεως· αἱ μελέται τῶν διδακτόρων Κοντακὼφ καὶ Μοῦλμαν, τὰ ὑπὸ τοῦ ἀειμνήστου Πασπάτη γραφέντα, τὰ ὑπὸ τοῦ πολυμαθεστάτου φίλου A. Mordtmann ἐν τῷ Λ' τόμῳ τοῦ «Παρνασσοῦ» τῶν Ἀθηνῶν, μετὰ τὰ τοῦ πατριάρχου Κωνσταντίου καὶ τοῦ Σκ. Βυζαντίου, κεῖνται τοῖς φιλίστορσι καὶ φιλαρχαίοις ἄξια σπουδῆς καὶ ἀναγνώσεως ἐρευνήματα. Δι' ἐμὲ ἀρκοῦν ἐστιν ὅτι ὁ μὲν Νικηφόρος Γρηγορᾶς λέγει τὴν μονὴν κτίσμα τοῦ Μ. Ἰουστινιανοῦ, ὁ δὲ Πασπάτης λέγει ὅτι προϋπῆρχε μὲν αὕτη, ὁ δὲ Μ. Ἰουστινιανὸς ἀνῳκοδόμησε τὸ ἱερὸν τοῦτο φροντιστήριον.

Κατὰ τὴν ἑσπερινὴν ἡμῶν ταύτην εὐγενῆ συνδιατριβὴν θέλομεν ἰδεῖ τί προϋπῆρχε καὶ τί ἐγένετο ἐπὶ Ἰουστινιανοῦ· τοῦτο γνωρίσει δ' ἡμῖν ὁ δέκατος τρίτος μέγας μεμβράνινος κώδηξ τῆς ἐν Ἁγίῳ Ὄρει βασιλικῆς καὶ πατριαρχικῆς Μονῆς τοῦ Παντοκράτορος. Ὁ κώδηξ οὗτος ἀναγράφει τὴν 8ην ἰανουαρίου μηνὸς μνήμην ὁσίου Θεοδώρου, κτίτορος καὶ ἡγουμένου μονῆς τῆς Χώρας, οὗ βίον καὶ πολιτείαν ἐκτιθεμένην ἔχομεν ἀπὸ τοῦ φύλλου 175β-189β. Ὅ,τι θέλομεν εἰπεῖ σήμερον ὀφείλεται εἰς τὸ σπουδαῖον τοῦτο χειρόγραφον, γραφὲν κατὰ τὸν ΙΒ' αἰῶνα.

Συνήθως αἱ τοιαῦται βιογραφίαι συνετάττοντο χάριν τῶν ἐν ταῖς μοναῖς ἀσκουμένων· αἱ πλείους τούτων διηροῦντο εἰς στάσεις τρεῖς, διότι οἱ «βίοι καὶ πολιτεῖαι» αὗται ἀναγινώσκονται κατὰ τὰς ἀγρυπνίας μετὰ τὴν λιτὴν, ἐν δὲ τῇ συντάξει τούτων ὁ γράφων, οὐχὶ σπανίως ὢν μαθητής τις τοῦ θανόντος, ἔσθ' ὅτε δὲ θαυμαστὴς αὐτοῦ μακρὰν τῆς ἐποχῆς ἐκείνου ζῶν, ἔγραφεν ἐπὶ τῇ βάσει παλαιῶν ἐγγράφων μαρτυριῶν. Τοῦτο δὲ παραδίδωσιν αὐτὸς περὶ ἑαυτοῦ λαλῶν ὁ τοῦ Θεοδώρου βιογράφος, ὅστις ἀφηγεῖται ὅτι καὶ τινες ἕτεροι πρὸ αὐτοῦ ἐπεχείρησαν τῇ συγγραφῇ τῆς βιογραφίας ταύτης ἐν παρέργῳ, ἀλλ' ἀποθανόντες εἴασαν ταύτην, ὡς καὶ ἄλλας ἱστορίας, ἡμιτελῆ, αὐτὸς δὲ παρακληθεὶς ὑπὸ τῶν μοναχῶν τῆς Χώρας ἀνέλαβε 'να γράψῃ· μελετήσας δὲ καὶ ἑτέρων βίβλους, οὐδὲν ἀφ' ἑαυτοῦ συνέταξεν, « ἀλλ' ἐκ τῶν ἀρχαίων πατέρων καὶ ἱστοριογράφων, Θεοδωρήτου, φημί, καὶ Φιλοστοργίου, Ἡσυχίου τε καὶ Δωροθέου τῶν λογογράφων ἀναλεξάμενοι ἐν τοῖς ἰδίοις τόποις ».

Ταῦτα μὲν ὁ βιογράφος· ἀλλ' ἀγνοῶ πρὸς τί τὸν Θεοδώρητον καὶ Φιλοστόργιον προετίμησε 'να μελετήσῃ, ἐνῷ γράφει περὶ τοῦ Ϛ' αἰῶνος, ἄρχεται δὲ τῆς ἱστορίας ἀπὸ τοῦ 521 ἢ 6021 ἀπὸ κοσμογενείας, ἀριθμῶν δῆλον οὖν

5500 ἔτη ἀπὸ κόσμου κτίσεως ἕως τοῦ Σωτῆρος. Ὅ τε Θεοδώρητος, ὁ Φιλοστόργιος καὶ ὁ Ἡσύχιός εἰσι χρήσιμοι τοῖς μελετῶσι τὴν μέχρι τοῦ 430 ἐκκλησιαστικὴν ἱστορίαν, ἐκτὸς ἂν ὁ βιογράφος ἐννοῇ τὸν ἰλλούστριον Ἡσύχιον, οὗ τινος εἶχεν ὑπ' ὄψιν πλήρη κώδηκα τοῦ Ὀνομαστικοῦ· γνωστὸν δ' ὅτι οὗτος ἤκμαζε κατὰ τὰ 525[1]. Ἐγγύτερος αὐτῷ καὶ σύγχρονος σχεδὸν τῷ Θεοδώρῳ τούτῳ τῆς Χώρας ἦν ὁ Δωρόθεος, οὗ σαφῆ μνείαν εὑρίσκω παρὰ Θεοφάνει τῷ βυζαντινῷ χρονογράφῳ[2]: «Δωρόθεος δὲ μοναχὸς Ἀλεξανδρεὺς πολύστιχον βίβλον ἔγραψεν ὑπὲρ τῆς ἐν Χαλκηδονι Συνόδου, ἣν δέδωκε Μάγνᾳ τῇ νύμφῃ Ἀναστασίου ἐπ' ἀδελφῷ, ὀρθοδόξῳ οὔσῃ· αὕτη δὲ Ἀναστασίῳ τὴν βίβλον προσήνεγκεν, ἐλπίζουσα δι' αὐτῆς μετατίθεσθαι αὐτόν· ὁ δὲ, ἐντυχὼν αὐτῇ, καὶ παρὰ γνώμην αὐτοῦ εὑρὼν οὖσαν, Δωρόθεον εἰς Ὄωσιν ἐξορίζει καὶ τὴν βίβλον ἐξουθενεῖ διὰ τὸ ἐπιγράφειν Τραγῳδία» κλπ. Ταῦτα συμβαίνουσι τῷ 510.

§

Τιθεὶς ὁ βιογράφος τὸν γάμον Ἰουστινιανοῦ τοῦ Α΄ μετὰ τῆς περιλαλήτου Θεοδώρας, ἣν ἐπαινεῖ ὡς «κάλλει σώματος, καὶ ψυχῆς καθαρότητι, καὶ ὄψεως ὥρᾳ, καὶ ἠθῶν καταστάσει καὶ ῥωμαλαίᾳ φρονήσει ὑπὲρ πάσας τὰς νεάνιδας τῆς ῥωμαϊκῆς ἐξουσίας», ὡς γενόμενον «ἔτι ζῶντος τοῦ ἑαυτοῦ θείου, ἡνίκα καὶ οἱ παλαιοὶ νόμοι ἀνεκαινίσθησαν, καὶ ἡ νεαρὰ νομοθεσία ἐγράφη, καὶ ἠνώθησαν πάντα ἐν μιᾷ βίβλῳ, ἐπικληθὲν τὸ βιβλίον **Ἡ Νέα κέλευσις τῶν βασιλευόντων**», εἰσάγει καινά τινα εἰς τὴν ἱστορίαν τοῦ ῥωμαϊκοῦ δικαίου διδάγματα. Ἐνῷ ὁ Προκόπιος γράφει σαφῶς ὅτι τῷ Ἰουστινιανῷ «λογιστέον καὶ τὰ Ἰουστίνῳ εἰργασμένα τῷ θείῳ, ἐπεὶ καὶ αὐτοῦ τὴν βασιλείαν καὶ ἐξουσίαν αὐτὸς διῳκεῖτο»[3], ὁ τοῦ Θεοδώρου βιογράφος τὰ θεμέλια τῆς συμπήξεως ἔργου σπουδαιοτάτου, διαιωνίσοντος τὴν τοῦ Ἰουστινιανοῦ μνήμην ἀποδίδωσιν εἰς Ἰουστῖνον τὸν θεῖον αὐτοῦ, τὴν Νέαν ἐκδόντα Κέλευσιν τῶν βασιλευόντων, ἐν νῷ δὲ συλλαβόντα τὸ γιγάντιον ἔργον, ὅπερ ὁ Μ. Ἰουστινιανὸς, ὡς ἄχρι τοῦδε γνωστὸν ἦν, ἐνεπίστευσε Τριβωνιανῷ τῷ ἐπιφανεστάτῳ νομοδιδασκάλῳ καὶ τοῖς αὐτῷ συνεργασθεῖσι. Γνωστός ἐστιν ὁ Κώδηξ, αἱ Εἰσηγήσεις, οἱ Πανδέκται, πιθανῶς δ' ὁ χρόνος ὁ πάντα τἄδηλα φύων γνωρίσει ποτε λείψανα τῆς Νέας Κελεύσεως, ὡς ἐγνώρισε τὴν Ecloga Λέοντος καὶ Κωνσταντίνου.

Τῆς Θεοδώρας τοῦ Ἰουστινιανοῦ θεῖον, ἀδελφὸν δῆλον οὖν τῆς μητρὸς, λέγει τὸν ἡμέτερον Θεόδωρον, καὶ παραδίδωσι στρατεύσαντα κατὰ Περσῶν, καὶ «ὑποζωσάμενον στρατηγάρχου ἀξίαν, ἣν ἡ ῥωμαίων φωνὴ εἴωθε λέγειν δομέστικον, καίτοι πρωτοπατρίκιος ἦν», καὶ σὺν Οὐρσικίῳ τῷ στρατηγῷ, τῷ κατόπι συζύγῳ Κομιτοῦς, ἀδελφῆς τῆς Θεοδώρας, πολλὰ διαπραξάμενον ἐν τῷ πολέμῳ. Ταῦτα συμβαίνουσι βεβαίως οὐχὶ τῷ 538, ὅτε γινώσκομεν περσικὸν πόλεμον, ἀλλὰ κατὰ τὸ 528 ἢ μετὰ βραχύ· Θεόδωρος ὅμως στρατηγὸς, καὶ ταῦτα συγγενὴς τῆς αὐτοκρατείρας, ἔστιν ἄγνωστος· Οὐρσίκιος δ' ἐπίσης ἄγνωστος, ἐκτὸς ἐὰν παραδεξώμεθα ὅτι τῆς Κομιτοῦς ὁ σύζυγος, ὃν ὁ Μαλαλᾶς[1] ὀνομάζει Ζτίτταν, ἔλαβε ῥωμαϊκὸν ὄνομα μετονομασθεὶς Οὐρσίκιος, ὡς μετωνομάσθησαν ἑλληνοπρεπέστερον ἢ ῥωμαϊκώτερον ὁ Ζήνων, ὁ Ἰουστινιανὸς καὶ ἄλλοι, καὶ αἱ γυναῖκες αὐτῶν. Παρατρέχω ταῦτα, χρήζοντα ζητήσεως καὶ διακριβώσεως, ἐπιμένω δ' εἰς τὸν Θεόδωρον, ὅστις, τοῦ πολέμου λήξαντος, εἰρήνης δὲ συνομολογηθείσης, παραλαβὼν ἀκολούθους καὶ μαθητὰς δύο, Θεόπλαστον καὶ Τιμόθεον, «οὓς εἰς ἱερὰ γράμματα ἐκ παίδων ἐπαίδευσε», μετέβη χάριν εὐχῆς εἰς Ἱεροσόλυμα, ὡς εἰκάζω, περὶ τὰ 528-29, ἐκεῖθεν δ' εἰς Ἀντιόχειαν, ἐπὶ δέ τινος ὄρους, ὀκτωκαίδεκα στάδια μακρὰν αὐτῆς, οἰκίσκον ἀνεγείρας, καὶ τὴν μοναχικὴν κουρὰν παρά τινι τῶν ἐκεῖ γερόντων μοναχῶν δεξάμενος, ἠσκεῖτο, καὶ φήμην ἀνδρὸς ἁγίου, παρ' ἡμέραν ἐν τοῖς πέριξ διαχεομένην, ἐκτήσατο· καί ποτε στρατηγός τις, εὑρισκόμενος ἐν κυνηγίῳ κατὰ τὸ ὄρος τοῦτο, καὶ τῷ ὁσίῳ ἀνδρὶ ἐντυχών, ἀνεγνώρισεν αὐτὸν, καὶ πρὸς τὸν Ἰουστινιανὸν ἤγγειλε τὴν ἀνακάλυψιν τοῦ συγγενοῦς· τοῦτον ὁ βασιλεὺς μεταπεμψάμενος εἶχεν εἰς Κωνσταντινούπολιν, ἅμα τε τῷ Θεοπλάστῳ καὶ τῷ Τιμοθέῳ, καθὼς καὶ τὸν πατριάρχην Ἀντιοχείας Ἐφραίμιον, καλέσας ὅπως λάβωσι μέρος εἰς σύνοδον κατὰ τῆς αἱρέσεως τῶν θεοπασχιτῶν· ἐν τούτοις ὁ βιογράφος ἀναφέρει τὴν κατὰ Σεβήρου σύνοδον, τὴν καθαίρεσιν Ἀνθίμου πατριάρχου Κωνσταντινουπόλεως, τὴν

1. Schoell, Histoire de la Litterat. Grecque profane· γαλλ. μεταφρ. τόμ. Ζ΄, σελ. 74.
2. Θεοφ. τόμ. Α΄, σελ. 234.
3. Προκοπίου, περὶ τῶν Ἰουστινιανοῦ κτισμάτων· σ. 184.

1. Μαλαλᾶς· σελ. 430.

ἐκλογὴν τοῦ διαδόχου τοῦ θρόνου τῆς πόλεως Μηνᾶ, καὶ τίθησιν ἀμαθῶς τὴν ἐξ Ἀντιοχείας ἄφιξιν τοῦ Θεοδώρου τῷ τότε χρόνῳ, 537, ἐξ οὗ δέον ἵνα παρατηρήσω ὅτι περὶ τοῦ πολέμου, εἰς ὃν ἀπεστάλη δέον ἵνα γίνηται ζήτησίς τις, τίς ποτ' ἦν ἀράγε, καὶ εἴπερ ἦν περσικός· τὸ μέρος τοῦτο τῆς βιογραφίας ὅμοιόν ἐστι τοῖς παρὰ Θεοφάνει[1] γραφομένοις, καὶ φαίνεται λοιπὸν ἀντλήσας καὶ οὗτος ἐξ ἧς κἀκεῖνος πηγῆς, ἐξ ὑπομνημάτων δῆλά γε δὴ τότε σῳζομένων.

Τοῦ μέρους τῆς βιογραφίας τούτου χρήζομεν.

§

Θεόδωρος ὁ μοναχὸς, ὃν δυνάμεθα ἵνα θεωρήσωμεν τοῦ Ἰουστινιανοῦ στενόν τινα συγγενῆ ἐκ τῆς συζύγου, παρακληθεὶς ἵνα μείνῃ ἐν Κωνσταντινουπόλει, περιῆλθε ζητῶν τόπον κατάλληλον πρὸς ἵδρυσιν μονῆς, καὶ εὗρε τὸν «τοῦ ἰλλουστρίου Χαρισίου, οὗτινος ἐκ τῆς ἐπωνύμου τοῦ τόπου καὶ ἡ θεοδοσιακὴ πόρτα τοῦ τείχους μέχρι τῆς σήμερον τῷ ὀνόματι τοῦ Χαρισίου ἐπονομάζεται». Ὁ λόφος — διότι οὗτος ἦν ὁ προτιμηθεὶς τόπος — χρῶμαι ταῖς αὐταῖς σχεδὸν λέξεσιν — ἦν μικρὸς καὶ ναπώδης, ἔχων ὕδωρ πότιμον, γλυκὺ, ἀναδιδόμενον ἐκ τῆς γῆς, εἶχε δὲ «καὶ κελλίον μικρὸν, σὺν βραχυτάτῃ ἐκκλησίᾳ», πρὸς τὸ τέρμα δὲ τοῦ λόφου χώραν, ἀφ' ἧς ἄρχεται κατωφερὴς λεωφόρος «ἀπὸ κορυφῆς τοῦ θεοδοσιακοῦ χερσαίου τείχους ἐπὶ τὸ κατώμαλον καὶ πρανὲς τῆς κοιλάδος καταβαίνουσα μέχρι θαλάσσης τῆς Προποντίδος». Ἡ περιγραφὴ σαφὴς, ἡ δὲ λέξις Προποντὶς μηδένα ταραξάτω γινώσκοντα ὅτι βυζαντινοί τινες τὴν μέχρι γεφύρας Βλαχερνῶν ἔκτασιν τῶν ὑδάτων πᾶσαν ἐκάλουν Ἑλλήσποντον.

Ὁ ὅσιος Θεόδωρος ἦγεν ἡλικίαν τότε πεντήκοντα καὶ τριῶν ἐτῶν, ἐξ οὗ συνάγομεν ὅτι ἐγεννήθη μὲν τῷ 477, ἤρξατο δὲ συνοικίζειν καὶ θεμελιοῦν τὴν μονὴν τῆς Χώρας τῷ ἔτει 529 ἢ 530 ἤτοι δεκάτῳ τοῦ ἀρχιεπισκόπου Ἐπιφανίου Κωνσταντινουπόλεως, ὃν ἐπίσκοπον καλεῖ, ἐνῷ πατριάρχην μὲν ὀνομάζει τὸν Ἀντιοχείας, πάπαν δὲ τὸν ἀρχιερέα τῆς πρεσβυτέρας Ῥώμης. Ἡ οἰκοδομὴ τῆς μονῆς διήρκεσε πολὺ, διότι τρία μετὰ τὴν συντέλεσιν αὐτῆς ἔτη, συνέβη ὁ μέγας ἐκεῖνος σεισμὸς τῆς 6 ὀκτωβρίου τοῦ 557, οὗτινος περιγραφὴν διδοὺς ὁ βιογράφος φαίνεται μεταγράφων τὸν βυζαντινὸν χρονογράφον Θεοφάνη, διότι κατὰ τὴν γραφὴν ἐκείνου σημειοῖ τὰ τοῦ σεισμοῦ τούτου τρομερὰ ἀποτελέσματα. Καὶ ταῦτα μὲν ἐγράφησαν μεγαλορρημονέστερον, ἀλλ' ὁπωσδήποτε κατὰ τὸν σεισμὸν ἐκεῖνον κατέπεσεν ἡ νεόκτιστος αὕτη μονὴ τῆς Χώρας, ἣν ὁ μέγας Ἰουστινιανὸς ἀνέστησε πάλιν, διδοὺς δῆλον οὖν τὰς δαπάνας, καὶ ποιήσας σφόδρα περικαλλῆ καὶ μεγάλην· ταύτης περιγραφήν τινα δίδωσιν ὁ χρονογράφος τῆς Χώρας οὕτω: «μεγέθει μὲν ὡς ἄν τις εἴποι τῷ οὐρανίῳ ἀπείκασται στερεώματι.... ἔνθα καὶ οἰκοδομῶν εὐτεχνία θαυμάζεται, καὶ μέγεθος ἀναλογοῦν τῷ ποιήματι, καὶ ἰσότητος ὅροι διαπεπήγασι, καὶ συμμετρίας ὅροι διατετήρηνται, ναὶ μὴν καὶ εὐμεγεθέστατοι πυλεῶνες, καὶ ναοὶ περικαλλεῖς ἁγίων μαρτύρων, τοῦ τε ἱεροάθλου Ἀνθίμου τοῦ ἐπισκόπου, καὶ τῶν ἐν Σεβαστείᾳ διὰ Χριστὸν ἀγωνισαμένων Τεσσαράκοντα· ἔνθα καὶ πηγαὶ ὑδάτων εἰσὶν, ὕδωρ ζῶν ἀναβλύζουσαι, καὶ ὑδρορρόαι, καὶ δοχεῖα, καὶ βαλανεῖον πρὸς ἀνάπαυλαν τῶν πατέρων, καὶ πᾶν ὅ,τι οὖν κάλλιστόν τε καὶ ὑψηλότατον, ὅ τε κοχλίας διὰ λευκῶν πλακῶν περιειργμένος, ὑπὸ κιόνων τετραγώνων δίκην φυτῶν στοιχηδὸν ἀποδενδρωθέντων, καὶ διὰ σμικρῶν ἀερίων ἀψίδων καὶ τῇ πρὸς ἄλληλα τῶν ἄκρων διὰ λιθοστράκου συνθέσει καινοποιούμενός τε καὶ στερεούμενος». Τὸν ναὸν τοῦτον λέγει κτισθέντα ἐπ' ὀνόματι τῆς Θεομήτορος, οὗ «διὰ πολυχρόων μαρμάρων τῶν εἰς πολυμόρφους γραμμὰς σχηματιζόντων ὡραιότητας καὶ ἄλλων εἰδῶν ζωγραφίας, ὁ μέγας Ἰουστινιανὸς διὰ τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Θεόδωρον τὰς τῶν τοίχων ὄψεις καὶ τὸ ἔδαφος κατεκόσμησε, τὰ ὑψηλότερα τοῦ ναοῦ διὰ χρυσοφόρου ψηφίδος στολίσας μέχρι τῆς ὀροφῆς, καὶ αὐτὸ τὸ στέγος διὰ πολυχρόων χρωμάτων, κατασκευάσας πρὸς τὸ ἑῶον μέρος καὶ ἐκ τετραπλεύρου τῆς ἐκκλησίας ἀσαλεύτους ἑδράσας τοίχους τε καὶ ἡλιακοὺς, οἳ καὶ ὡς τετράστοιχος κόσμος μέχρι τῆς δεῦρο τὸ ἱερὸν συνιστῶσι καὶ συνέχουσι τέμενος. Φασὶ δέ τινες ὡς ὅτι ὁ φιλόχριστος βασιλεὺς Ἰουστινιανὸς, καὶ γὰρ μέχρις ἡμῶν ὁ τοιόσδε λόγος κατήντησεν ἀνέκαθεν πρὸς πατρὸς παιδὶ παραδεδομένος, τὴν τοιαύτην ἁγίαν μονὴν κύκλοθεν τειχίσας πανταχόσε τὴν τῶν κτισμάτων ὑψότητα περιέφραξεν, ὅπερ ἦν καὶ πανάληθες· ἀλλὰ, διὰ τὸ κατοικεῖν ἐν τῇ αὐτῇ μονῇ ὀρθοδόξους ἁγίους ἄνδρας, βασιλεῖς αἱρεσιάρχαι μετὰ πολλοὺς ὕστερον χρόνους καθεῖ-

1. τόμ. Α΄, σελ. 357.

λάν τε καὶ κατέστρεψαν, καὶ μικροῦ δεῖν κατηδάφισαν».

Ὅτε Σάβας ὁ κοινοβιάρχης ἦλθεν εἰς Κωνσταντινούπολιν, αἰτῶν τὴν ἐξ Ἁγίας Γῆς ἀπέλασιν τῶν Ἰουδαίων, ἐντολῇ τοῦ Ἰουστινιανοῦ διέμεινε ξενιζόμενος ἐπί τινα καιρὸν ἐν τῇ μονῇ τῆς Χώρας, διότι παρεχείμαζεν ἐν Κωνσταντινουπόλει, ὅτε καὶ Θεόπλαστος ὁ τοῦ Θεοδώρου μαθητὴς ἐχειροτονήθη διάκονος· ἀλλ' ἡ μὲν ἐπανάστασις τῶν ἐν Παλαιστίνῃ σαμαρειτῶν ἐγένετο περὶ τὸ 528-529[1], ἡ δὲ μονὴ μόλις ἐκτίζετο. Χρήσιμον ἡμῖν ἐστιν ἄρα μαθεῖν ὅτι ἀνὴρ αἰδέσιμος ἐπ' ἀρετῇ καὶ τίμιος ἐπ' εὐσεβείᾳ διέμεινεν ἐν τῇ μονῇ τῆς Χώρας, οὖσῃ τότε μικρᾷ, καὶ οἰκονόμον μὲν ἐχούσῃ τὸν Τιμόθεον, δώδεκα δὲ μοναχούς, ὧν Εὐτύχιος καὶ Θαλλέλαιος πρεσβύτεροι, Γεώργιος, Ἰσίδωρος, Σέργιος καὶ Θεόπλαστος διάκονοι, «καὶ ἄλλοι πέντε ὀνοματογραφέντες ἐν βίβλῳ ζωῆς»· ἔκτοτε δὲ, κατὰ τὸν βιογράφον, εἰς τὴν μονὴν ταύτην ἐστέλλοντο πάντες «οἱ ἀπὸ Ἱεροσολύμων παραγινόμενοι ἱερεῖς καὶ μονάζοντες ἐν τῇ πανευδαίμονι Κωνσταντινουπόλει παρὰ τῶν εὐσεβῶν βασιλέων, πάλαι τοῦτο προτυπωθὲν ἄνωθεν παρὰ τοῦ εὐσεβεστάτου βασιλέως Ἰουστινιανοῦ, κελεύσας τὰς αὐτῶν χρείας ἐκ τῶν βασιλικῶν ταμείων αὐτοῖς δίδοσθαι».

Παρὰ τὸ δεξιὸν μέρος τῆς μονῆς, ἤτοι τὸ μεσημβρινὸν, αὐτὸς ὁ Θεόδωρος ἀνδρεῖον ᾠκοδόμησε ξενῶνα, ἀπαγορεύσας τὴν εἴσοδον ἐν αὐτῷ γυναικῶν, ἐν ᾧ κυρίως ἐτύγχανον περιθάλψεως οἱ τῶν ὀφθαλμῶν ἐστερημένοι καὶ προσαιτεῖν ἀναγκαζόμενοι, τῆς ἀναγκαίας αὐτοῖς τροφῆς ἐκ τῶν περισσευμάτων τῆς μονῆς χορηγουμένης. Κωλύσας δὲ καὶ τὴν εἰς τὸ μοναστήριον εἴσοδον τῶν γυναικῶν, κατὰ τὴν τότε συνήθη τοῖς μονάζουσιν εὐφυᾶ θεωρίαν, ἐδικαιολόγει τὴν διάταξιν λέγων: «Τεκνία· τὸ ἄλας ἐκ τοῦ ὕδατός ἐστι, καὶ ἐὰν προσεγγίσῃ ὕδατι λύεται καὶ ἀφανίζεται· ὁμοίως καὶ ὁ μοναχὸς ἐκ τῆς γυναικός ἐστι, καὶ ἐὰν προσεγγίσῃ γυναικί, λύεται καὶ ἀπόλλυται».

Οὐδὲν προστίθημι περὶ τοῦ μετὰ ταῦτα βίου τοῦ Θεοδώρου, μήτε περὶ τοῦ μέρους, ὅ περ ἔλαβεν ἐν τῇ κατὰ τῶν λεγομένων ὠριγενιστῶν καταδρομῇ, μήτε περὶ ὧν τοὺς μονάζοντας συνεβούλευεν, ὧν κυριώτατον τὸ μὴ ἐξέρχεσθαι τοῦ ναοῦ πρὸ τῆς λήξεως τῆς κοινῆς συνάξεως καὶ προσευχῆς καὶ τῆς λειτουργίας. Ἀπέθανε δὲ τῇ 8 ἰανουαρίου μηνὸς, ὅτε καὶ τὴν μνήμην αὐτοῦ ὁ παντοκρατορινὸς ἀναγράφει ΙΓ' κώδηξ. Ἡ τοῦ ἁγίου Θεοδώρου σύναξις ἐτελεῖτο βεβαίως ἐν τῇ μονῇ τῆς Χώρας, φρονῶ δ' ὅτι μᾶλλον εἶχε στενῶς τοπικὸν χαρακτῆρα, ἑορτὴ τῆς Μονῆς καὶ τὸ πολὺ τῶν πέριξ κατοίκων οὖσα· βραδύτερον δὲ τὴν τοῦ Θεοδώρου μνήμην ἐσκίασεν ἡ Κύρου τοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

§

Οἱ «βίοι καὶ πολιτεῖαι» τῶν ἐπιφανῶν ἀρχιερέων καὶ τῶν ἱδρυτῶν καὶ ἡγουμένων μονῶν ἐγράφοντο προχείρως, ὡς ἔοικεν, ἦσαν δ' ὑπὸ λεκτικὴν ἔποψιν καλῶς ἢ κακῶς γεγραμμένοι κατὰ λόγον τῶν γνώσεων τοῦ συντάττοντος ἕκαστον καλογήρου ἢ διδασκάλου. Τὰ τοιαῦτα ὑπομνήματα ἦσαν οὐκ ὀλίγα, ἐκ τούτων δὲ συνεπήγνυον ἱστορίας οἱ μεταγενέστεροι. Ὁ τοῦ Θεοδώρου βιογράφος ἦν ἀνὴρ μέτοχος παιδείας ὀλίγης, φαίνεται δ' ἐκ τοῦ ποικίλλοντος αὐτοῦ λεκτικοῦ, ποῦ μὲν ἀσυντάκτου, ποῦ δὲ καθαροῦ καὶ τεχνικοῦ, ὅτι ἡμιμαθῶν τε καὶ εὐμαθῶν ἀνδρῶν ὑπ' ὄψιν ἔχων γραφὰς συνεπήγνυε περίεργον εἶδος συγγράμματος, ζῶν καὶ ἐν ἐποχῇ πνευματικῆς στειρώσεως, ἢ ἴσως καὶ ἐπὶ τῶν εἰκονομάχων αὐτοκρατόρων, ἢ μικρῷ πρὸ αὐτῶν, ἐπὶ μονοθελητῶν· προτιθέμενος δὲ 'να δείξῃ τὸ τοῦ Θεοδώρου ἰσάγγελον, τοῦ τὰ πάντα καταλιπόντος «ἵνα τὸν πολυτίμητον εὐαγγελικῶς εἰπεῖν πριάσηται μαργαρίτην, τὴν ψυχὴν ἐκκαθαίρων καὶ τὸ ταύτης ὀπτικὸν ἀπορρίπτων, καὶ τὴν θείαν φανταζόμενος θεωρίαν, καὶ τὰς τοῦ Θεοῦ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος», ἥκιστα προσέσχε, κατὰ μίμησιν προγενεστέρων, ὁ βιογράφος εἰς ἀκρίβωσιν χρόνων καὶ καιρῶν, ἁπλῶς μὲν παραδιδοὺς ὅτι κατὰ τὸ πεντηκοστὸν καὶ τρίτον ἔτος τῆς ἡλικίας ἔλαβε καὶ ἤρξατο τὴν μονὴν τῆς Χώρας οἰκοδομεῖν, ἀναγράφων δ' ὅτι κατὰ τὸ ἐννενηκοστὸν καὶ πρῶτον ἀπεβίωσε, καθηγησάμενος μὲν τῶν μοναχῶν ὀκτὼ καὶ τριάκοντα ἔτη, ἡγούμενον δ' αὐτοῖς ἐπιστήσας τὸν Θεόπλαστον. Εὐχαρίστως δ' ἀπὸ τῆς βιογραφίας ἀναμανθάνομεν ὅτι ὁ περὶ τὴν μονὴν τόπος ἐκαλεῖτο τὰ Χαρισίου (ἐξ οὗ καὶ ἡ τοῦ Ἐδιρνέκαπι πύλη, κατὰ τὸν Dr Mordtmann) ὧν κτῆμα τοῦ Χαρισίου· ὅτι πρότερον ἐμόναζε μοναχός τις αὐτόθι, ἢ τοὐλάχιστον ὁ διακονῶν ἐν τῷ τῶν Χαρισίου μικρῷ ναΐσκῳ· ὅτι ἐπὶ Ἰουστινιανοῦ τοῦ Α' ἐθεμελιώθη τῷ 530 ἡ μονὴ, καταπεσοῦσα δ' ὑπὸ σεισμοῦ μετὰ μίαν

1. Θεοφ. Α', σελ. 274.

ὅλην γενεὰν (557) ἀνηγέρθη φιλοκάλως ὑπὸ τοῦ Θεοδώρου, βοηθοῦντος τοῦ Ἰουστινιανοῦ ἐν ταῖς δαπάναις· ὅτι δύο παρεκκλήσια εἶχε τότε, τὸ τοῦ ἁγίου Ἀνθίμου ἐπισκόπου Νικομηδείας καὶ τὸ τῶν ἁγίων Τεσσαράκοντα μαρτύρων, ἐνῷ ὁ καθολικὸς ναὸς ἦν ἀνεγηγερμένος ἐπ' ὀνόματι τῆς Θεομήτορος· ὅτι ἡ μονὴ ἦν ξενὼν τῶν ἐξ Ἱεροσολύμων εἰς Κωνσταντινούπολιν ἐρχομένων μοναχῶν· ὅτι παρ' αὐτῇ ἦν ἄσυλον τῶν τὰς ὄψεις πεπηρωμένων· καὶ ὅτι πρῶτος μὲν μοναχὸς ἡγούμενος ἦν ὁ Θεόδωρος, οἰκονόμος δὲ ὁ Τιμόθεος, καὶ δεύτερος ἡγούμενος, μετὰ τὸν τοῦ Θεοδώρου θάνατον, τῷ 568, ἐγένετο ὁ Θεόπλαστος. Ἐπειδὴ δ' οὐδὲν τῶν ἐν τῇ βιογραφίᾳ λεγομένων ἀντίκειται πρὸς τὴν Ἱστορίαν ἐν γένει, πρέπει δὲ 'να μὴ λάβωμεν ὑπ' ὄψιν οὐδέποτε τὰ γραφόμενα μεγαλορρημονέστερον ὑπὸ συναξαριστῶν περὶ γένους καὶ καταγωγῆς καὶ μαθήσεως καὶ σοφίας τῶν βιογραφουμένων, φρονῶ καλὸν ἔργον 'να καταστῶσι ταῦτα πάντα γνώριμα τοῖς εἰς τὴν βυζαντινὴν ἱστορίαν καὶ τοπογραφίαν ἀσχολουμένοις, καὶ ταῦτα νομίζω ἱκανὰ, ἕως ἂν εὑρεθῶσι πλείονα.

ΕΚΛΟΓΑΙ ΑΠΟ ΤΗΣ ΒΙΟΓΡΑΦΙΑΣ
ΜΙΧΑΗΛ ΤΟΥ ΣΥΓΚΕΛΛΟΥ

Ἕνεκα τῶν πολλῶν περὶ τῆς μονῆς τῆς Χώρας εἰδήσεων, ἔταξα μετὰ τὴν περὶ τοῦ ὁσίου Θεοδώρου σημείωσιν τὰς ὑπ' ἐμοῦ γενομένας «Ἐκλογὰς ἀπὸ τῆς βιογραφίας τοῦ ὁσίου Μιχαὴλ τοῦ συγκέλλου». Περὶ τῆς μονῆς ἀφηγεῖται κυρίως ἡ τρίτη στάσις, ἐν ᾗ περιέχονται καὶ εἰδήσεις περὶ τῶν τελευταίων ἡμερῶν τοῦ Μιχαήλ.

Ἡ βιογραφία προτάττει ΜΗΝΙ ΤΩΙ ΑΥΤΩΙ Δ', ἤτοι ἰανουαρίου·

ἀφηγεῖται τὴν παίδευσιν τοῦ Μιχαὴλ, οὕτω κληθέντος ἐν τῷ βαπτίσματι, τὴν εἰς μοναχοὺς εἰσαγωγὴν, τὴν ὑπὲρ τῆς Ζ' οἰκουμενικῆς Συνόδου ἀποστολικὴν αὐτοῦ περιοδείαν, καὶ τὰ παθήματα, συμπληροῦσα τὸ μέρος τοῦτο τῆς Ἐκκλησιαστικῆς Ἱστορίας· ἀλλὰ πολλὰ γράφει καὶ περὶ τῶν ἀδελφῶν Γραπτῶν, ὧν ὁ Θεόδωρος παρίσταται συγγραφεὺς τῆς βίβλου «Κυνολύκου»· μαρτυρεῖ δὲ καὶ περὶ τοῦ δικαίου τῆς τῶν πατριαρχῶν καθαιρέσεως καὶ τίς εἶχε τὸ δίκαιον τοῦ διορισμοῦ τῶν τοῦ πατριάρχου Κωνσταντινουπόλεως συγκέλλων· ἐπανειλημμένως δ' ἀναφέρει ἐπιστολὰς ὑπό τε τοῦ Μιχαὴλ συγκέλλου καὶ τῶν ἀδελφῶν Γραπτῶν γραφείσας.

Ὁ βιογράφος ἰδιωτικῶς εἶχε περὶ τὴν ἑλλάδα φωνὴν, ὡς ἔκ τινων χωρίων φαίνεται, ὧν ὑποδεικνύω διόρθωσιν· λέξεις ὅμως τινές εἰσι κατάλληλοι ταῖς ἐννοίαις, ὡς ἡ: δοτὸς τῷ Θεῷ (86α1), ἕτεροι δὲ ξενόφωνοι· ὡς λ. χ. μαννούθια (87β1). Ἀλλ' ἀρκετὰς εἰδήσεις περὶ προσώπων ἀξίων λόγου παρεχόμενος ὁ βιογράφος συγγνωστός ἐστιν ἐπὶ τοῖς σφάλμασιν· ἀλλ' ὅμως καὶ ἄξιος ἀναγνώσεως. Ἕνεκα δὲ τούτου ἐκδίδοται, χρήσιμός ποτε γενησόμενος τῷ τὴν ἱστορίαν τῶν εἰκονομάχων ἀναλαμβάνοντι 'να μελετήσῃ.

Οἱ παρατηρούμενοι ἐντὸς τοῦ κειμένου ἀριθμοὶ παραπέμπουσιν εἰς τὰ φύλλα, σελίδας (α καὶ β) καὶ στήλας (α1 ἢ α2 κ. ἑ.) τοῦ ΠΓ' παντοκρατορινοῦ κώδηκος, ἐν ᾧ καὶ τοῦ Θεοδώρου τῆς Χώρας ἡ βιογραφία.

Αἱ ἐκλογαὶ ἔχουσιν οὕτως:

« ὃν ἤνεγκε μὲν ἡ τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλις Ἱερουσαλήμ . . . . . (85α2) Οὗτος τοίνυν ὁ περιφανέστατος τῶν Ἱεροσολύμων πολίτης . . . . . περσογενὴς ὑπῆρχεν ἐκ προγόνων, καθὼς αὐτὸς ἐν ταῖς αὐτοῦ ἐπιστολαῖς διαγορεύων γράφει . . . . . ἐκ τίνων μὲν ἔφυ γονέων οὐκ ἴσμεν. . . . (85β2) Ἀπογαλακτισθέντος δὲ τοῦ παιδὸς καὶ τριετοῦς ἤδη γεγονότος, προσήγαγεν αὐτὸν[1] τῷ Θεῷ κατὰ τὴν αὐτῆς ὑπόσχεσιν. Μετὰ γὰρ τοῦ ἀνδρὸς καταλαβοῦσα τὴν ἁγίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀνάστασιν, προσήγαγε τὸν υἱὸν αὐτῆς τῷ τότε τελεταρχοῦντι τῇ ἁγίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλει, καὶ ὀρθοδόξως ἰθύνοντι τὸν ἐν αὐτῇ ἀποστολικὸν θρόνον· λέγουσα . . . . (86α1) καὶ πῶς ὁ Κύριος εἰσήκουσεν αὐτῆς τῶν εὐχῶν καὶ ὅπως αὐτὴ ὑπέσχετο προσάξαι τοῦτον δοτὸν τῷ Θεῷ. Ὁ δὲ, ἐπευξάμενος τῷ παιδὶ, ἀπέκειρεν αὐτοῦ τὴν κόμην, καὶ τέως ἐν τῷ τῶν ἀναγνωστῶν βαθμῷ κατέταξεν τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως. Λαβόντες δὲ οἱ τούτου γονεῖς . . . . ὑπέστρεψαν ἐν τῷ αὐτῶν οἴκῳ· καὶ δὴ (β2) παραδιδοῦσιν αὐτὸν διδασκάλῳ, ὅπως προπαιδεύσῃ αὐτὸν τὰ τῆς προπαιδείας γράμματα· ὁ δὲ παῖς προέκοπτε τῇ τε ἡλικίᾳ καὶ τοῖς μαθήμασι παρὰ Θεῷ καὶ ἀνθρώποις. Μετὰ δὲ τὸ ἐκπαιδευθῆναι αὐτὸν τὰ τῆς προπαιδείας γράμματα, κατὰ πρόσταξιν τοῦ αὐτὸν ἀποκείραντος πατριάρχου, παραδίδοται εἰς τὰ τῆς γραμματικῆς καὶ ῥητορικῆς καὶ φιλοσοφίας διδάγματα· καὶ δή, ὡς γῆ λιπαρὰ καὶ πίων, οὕτως ἐν ὀλίγῳ χρόνῳ ἀνεμάξατο τά τε τῆς γραμματικῆς καὶ ῥητορικῆς καὶ φιλοσοφίας μαθήματα, ὡς ἄλλος τῷ τότε χρόνῳ οὐδείς· οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ ποιητικῶν καὶ ἀστρονομίας ὅσον τὸ κάλλιστον. . . . (86β1) οὐ παρέλιπέ ποτε τοῖς τοῦ Θεοῦ εὐκτηρίοις οἴκοις καὶ τῇ αὐτοῦ δοξολογίᾳ, νηστείαις καὶ ἀγρυπνίαις καὶ εὐχαῖς ἑαυτὸν ἐθίζων, καὶ τὸ τῆς νεότητος ἀμείλικτον καταμαλάσσων . . . . . ἦν πᾶσι ποθεινὸς καὶ ἐπέραστος, ἀβόμενος ἐν τοῖς ἁπάντων στόμασι. Τοῦ δὲ πατρὸς αὐτοῦ τέλει τοῦ βίου χρησαμένου καὶ τῆς τούτου (β2) μητρὸς χηρευσάσης . . . . . κατενύγη οὐ μετὰ πολὺν χρόνον ἡ αὐτοῦ μήτηρ, ταῖς αὐτοῦ θείαις παραινέσεσιν . . . . . ἠρετίσατο μονάσαι σὺν ταῖς αὐτῆς θυγατράσιν ἔν τινι τῶν μοναστηρίων τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως. Ὁ δὲ παμμάκαρ Μιχαὴλ τοῦτο πεποίηκεν, ἀποκείρας αὐτὴν μετὰ τῶν αὐτῆς δύο θυγατέρων ἔν τινι μοναστηρίῳ πλησίον τῆς ἁγίας Σιὼν, τῆς μητρὸς πασῶν τῶν Ἐκκλησιῶν, ἀφιερώσας κτήματα πάμπολλα ἐν τῷ αὐτῷ μοναστηρίῳ, τὰ δὲ λοι(87α1)πὰ κινητά τε καὶ ἀκίνητα αὐτοῦ πεπραχὼς πράγματα καὶ διανείμας ταῦτα πτωχοῖς, πάνυ ὀλίγα χρήματα εἰς ἑαυτὸν καταλιπὼν, φυγῇ ἐχρήσατο . . . . . καὶ καταλαμβάνει τὴν μεγίστην λαύραν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ καθηγητοῦ τῆς ἐρήμου Σάβα, καὶ λιπαρεῖ τὸν αὐτῆς προεστῶτα. . . . ὁ δὲ πανάριστος ἐκεῖνος ποιμὴν, κατανοήσας τό τε εὐσταθὲς καὶ (α2) ταπεινὸν καὶ φιλόσοφον τοῦ νέου, ἦν γὰρ ὡς ἐτῶν εἴκοσι καὶ πέντε[1], εἶξε τῇ αὐτοῦ παρακλήσει, καὶ . . . . ἀπέκειρεν αὐτοῦ τὴν κόμην καὶ συναρίθμιον πεποίηκε τῇ αὐτοῦ ἐναρέτῳ καὶ θεοφιλεῖ συνοδίᾳ..... ὁ δὲ ἐπέδωκεν ἑαυτὸν πρὸς τὸν τῆς ἀσκήσεως δρόμον, ... ὥστε λαχάνοις μόνοις ἀρκεῖσθαι πᾶσαν τὴν ἑβδομάδα, ἄνευ ἁλός· οὐκ ἤσθιεν, ἐκτὸς (87β1) σαββάτου καὶ κυριακῆς καὶ ἑορτῆς ἄρτον, ἐπὶ δέκα καὶ ὀκτὼ ἔτη[2] . . . . . ἐξερχομένων δὲ πάντων τῶν πατέρων ἐν συλλογῇ τῶν μαννουθίων, καὶ πάντων πρὸς ἓν φορτίον βασταζόντων, αὐτὸς δύο φορτία ποιῶν ἐν τῷ ἀρτοκοπίῳ ἐκόμιζεν. Διαπρέψας δὲ ἐν πάσῃ διακονίᾳ χρόνους δυοκαίδεκα (β2) ἀξιοῦται, ψήφῳ Θεοῦ καὶ τῇ τοῦ προεστῶτος προστάξει, τῆς τοῦ πρεσβυτέρου ἀξίας[3]· παραλαβὼν γὰρ αὐτὸν ὁ προλεχθεὶς τῆς λαύρας προεστὼς, καὶ ἀνελθὼν πρὸς τὸν ἐν ἁγίοις πατριάρχην, Θωμᾶν τοὔνομα, παρακαλεῖ τοῦτον ὅπως χειροτονίας ἀξιώσῃ τὸν πανσεβάσμιον Μιχαήλ· ὁ δὲ πατριάρχης μηδὲν μελλήσας τοῦτο πεποίηκε. Χειροτονηθέντος δὲ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μιχαὴλ ἐν τῇ ἁγίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσει παρὰ τοῦ προλεχθέντος ἀρχιεράρχου, κατῆλθεν ἐν τῇ λαύρᾳ. . . . . (88α1) Μετὰ δὲ δύο χρόνους παρακαλεῖ τὸν αὐτοῦ προεστῶτα ὥστε δοθῆναι αὐτῷ ἀναχωρητικὸν κελλίον πρὸς τὸ ἡσυχάσαι . . . . . ὁ δὲ δέδωκεν αὐτῷ κελλίον καὶ σπήλαιον μικρόν. . . . . ἦν δὲ πάνυ ἀκτήμων, μηδὲν κεκτημένος, εἰ μὴ ἐν χιτώνιον, ὃ περιεβέβλητο, καὶ ψιάθιον, εἰς ὃ ἐκάθευδεν, καὶ βαυκάλιον, ἐν ᾧ τὸν ἄρτον βρέχων ἤσθιε.

1. λαλεῖ περὶ τῆς μητρὸς τοῦ Μιχαήλ.

1. τοῦτο γίνεται τῷ 788 ἔτει.
2. μέχρι τοῦ 806 δῆλα δή.
3. πιθανῶς τῷ 800 ἔτει.

Τούτων δὲ οὕτως γεγονότων, καὶ τοῦ πατρὸς ἡμῶν οὗ(α2)τως ἀσκουμένου, πέμπονται αὐτῷ παρὰ Θεοῦ ἡ τιμία ξυνωρὶς τῶν αὐταδέλφων, φημὶ, Θεοδώρου καὶ Θεοφάνους, τοῦ μὲν ἁγίου Θεοδώρου εἴκοσι καὶ πέντε ἐτῶν ὑπάρχοντος, τοῦ δὲ ὁσίου Θεοφάνους εἴκοσι καὶ δύο. Ἀνελθὼν δὲ πρὸς τὸν τῆς λαύρας προεστῶτα, ... προσετάχθη παρ' αὐτοῦ δέξασθαι τούτους· ἀποκείρας δὲ, καὶ δεδωκὼς αὐτοῖς τὸ ἀγγελικὸν τοῦ μονήρους βίου σχῆμα, ἦν σὺν αὐτοῖς . . . . . προβιβάζων ἐν τῇ τῆς σωτηρίας ὁδῷ, διδάξας αὐτοὺς τήν τε γραμματικὴν καὶ φιλοσοφίαν καὶ τῶν ποιητικῶν οὐκ ὀλίγα σκέμματα, (88β1) ὥστε ἐν ὀλίγῳ χρόνῳ πανσόφους ἀναδειχθῆναι· καὶ διαδραμεῖν τὴν φήμην αὐτῶν μέχρι τῶν περάτων τῆς γῆς ἐκείνης . . . . . ὥστε ὁ πατριάρχης συχνοτέρως προσεκαλεῖτο πρὸς ἑαυτὸν ὁμιλίας χάριν καὶ συζητήσεως τῶν θείων Γραφῶν, καὶ ἀκούων αὐτῶν τῆς πανσόφου διδασκαλίας τὴν χύσιν ἔχαιρε. . . . . (β2) ηὔξανέ τε καὶ ἐπληθύνετο ὁ τοῦ Θεοῦ λαὸς, ἐν τῇ αὐτῶν διδασκαλίᾳ φωτιζόμενος καὶ τῇ τῶν θείων δογμάτων ὀρθότητι. Τῷ δὲ πεντηκοστῷ τῆς τοῦ μεγάλου Μιχαὴλ ἡλικίας χρόνῳ[1], κατὰ ἀποκάλυψιν Θεοῦ, ὁ προλεχθεὶς πατριάρχης Θωμᾶς καθίστησι τὸν μακάριον καὶ μέγαν Μιχαὴλ σύγκελλον αὐτοῦ. Ὅθεν καὶ μεταστήσας τοῦτον ἐκ τοῦ προλεχθέντος ἀναχωρητικοῦ κελλίου ἤγαγεν αὐτὸν ἐν τῇ ἁγίᾳ ἀναστάσει Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, μετὰ καὶ τῶν αὐτοῦ δύο φοιτητῶν, Θεοδώρου, φημὶ, καὶ Θεοφάνους, δεδωκὼς αὐτοῖς κατοικίαν ἐν τῇ μονῇ τῶν Σπουδαίων[2], τῇ κτισθείσῃ παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Ἠλία πλησίον τῆς ἁγίας Χριστοῦ (89α1) τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως· μετ' οὐ πολλὰς δὲ ἡμέρας, λαβὼν τοὺς μαθητὰς τοῦ πανσόφου Μιχαὴλ, Θεόδωρον καὶ Θεοφάνην, πρεσβυτέρους ἐχειροτόνησε[3] τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως. Καὶ ἦσαν τοῦ λοιποῦ ἀχώριστοι, ὅ τε Μιχαὴλ καὶ ὁ πατριάρχης Θωμᾶς. Εἶχεν δὲ ἐκ πολλοῦ τοῦ χρόνου ὁ πανόσιος Μιχαὴλ ἔφεσιν . . . . . τῆς προσκυνήσεως τῶν ἁγίων λειψάνων τῶν κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου τῶν μαρτυρησάντων ἐν τῇ μεγίστῃ τῶν πόλεων Ῥώμῃ[4].

1. δῆλα δὴ τῷ 813 ἔτει.
2. περὶ τῆς μονῆς ταύτης βλέπε ἐν ταῖς Ἐκλογαῖς ἀπὸ τῆς βιογραφίας τοῦ ὁσίου Σάβα.
3. καὶ τοῦτο τῷ 813 τακτέον.
4. ἡ ἐπιθυμία τῆς τῶν ἁγίων τούτων λειψάνων προσκυνήσεως ἐκδηλοῦται καὶ πολλῷ κατόπι παρά τισι μοναχοῖς· οὕτω κατὰ τὸν ΙΑ' αἰῶνα Λάζαρος ὁ ἐν τῷ Γαλησίῳ καὶ Κύριλλος ὁ Φιλεώτης ἀναφέρονται ποθοῦντες 'να μεταβῶσιν εἰς τὴν μεγάλην Ῥώμην ἐπὶ τούτῳ.

Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις ἀνέστησάν τινες ἐκ τοῦ ἔθνους τῶν Φράγγων ἱερεῖς (α2) καὶ μονάζοντες, λέγοντες, ἐν τῷ θείῳ συμβόλῳ, τὸ ἐκτεθὲν παρὰ τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων . . . . . «Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιοῦν[1], τὸ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορευόμενον», ὅθεν οὐ μικρῶς ἐτάραξε τὴν μεγαλόπολιν Ῥώμην, ἀνθισταμένου τοῦ τότε τελεταρχοῦντος πάπα τῆς τῶν Ῥωμαίων μεγαλοπόλεως· καὶ μὴ καταδεχομένου προστεθῆναί τι, ὃ οὐκ ἐρρέθη παρὰ τῆς τῶν θείων πατέρων ὁμηγύρεως, ἐν τῷ θείῳ συμβόλῳ· οὗτινος πάπα ἐπιστολαῖς χρησαμένου (89β1) πρὸς τὸν μέγαν πατριάρχην Θωμᾶν, τοῦ βοηθῆσαι τῇ αὐτοῦ Ἐκκλησίᾳ κινδυνευούσῃ, ἐξαποστεῖλαι αὐτῷ τινὰς, λόγῳ καὶ σοφίᾳ κατακεκοσμημένους, πρὸς τὸ ἀντιπαρατάξασθαι τοὺς κακῶς ἐθελοφρονήσαντας περὶ τῆς προσθήκης τῆς ἐν τῷ θείῳ συμβόλῳ προστεθείσης παρὰ τῶν Φράγγων, καθὼς ὁ μέγας Μιχαὴλ ἐν ταῖς αὐτοῦ θείαις ἐπιστολαῖς ταῖς πεμφθείσαις παρ' αὐτοῦ πρὸς τοὺς ἐν Σικελίᾳ ὄντας ὀρθοδόξους μοναχοὺς διηγούμενος γράφει. Ὅθεν ὁ πατριάρχης, συμβούλιον ποιήσας μετὰ τῆς αὐτοῦ ὀρθοδόξου καὶ ἁγίας συνόδου καὶ τῆς τῶν θείων πατέρων ὁμηγύρεως τῶν ἐν τῇ ἐρήμῳ οἰκούντων τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, (β2) ἐψηφίσαντο πάντες ὁμοθυμαδὸν, ὥστε ἀποσταλῆναι τὸν μέγαν Μιχαὴλ πρὸς τὸν πάπαν . . . . . ἅτε δυναμένου αὐτοῦ συγκροτῆσαι τὴν τοῦ Θεοῦ Ἐκκλησίαν καὶ φιμῶσαι τὰ ἀπύλωτα στόματα, καὶ διδάξαι τούτους ὀρθολεκτεῖν τὴν ἀλήθειαν . . . . . Συνέβη δὲ ἐν ταῖς αὐταῖς ἡμέραις χρηματικήν τινα μεγίστην ζημίαν γενέσθαι[2] τῇ ἁγίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσει καὶ ταῖς λοιπαῖς τοῦ Θεοῦ ἐκκλησίαις, (90α1) ταῖς οὔσαις ἐν τῇ ἁγίᾳ Ἱερουσαλὴμ, ὥστε μὴ ἰσχύειν τὴν τοιαύτην χρηματικὴν ζημίαν ἀποδοῦναι τοὺς[3] ἐν αὐτῇ τῇ ἁγίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλει οἰκοῦντας. Τούτων ἕνεκεν τῶν δύο αἰτιῶν . . . . . ἐπιστολῆς γενομένης πρὸς τὸν προλεχθέντα πάπαν παρὰ τοῦ ἁγιωτάτου πατριάρχου καὶ τῆς ἁγίας συνόδου καὶ τῶν

1. οὕτως ἐν τῷ κώδηκι: κύριον **καὶ** ζωοποι**οῦν**.
2. τῷ 813.
3. ὁ κώδηξ κακῶς τοῖς.

πατέρων περὶ τοῦ θείου συμβόλου καὶ τῆς ἐπιτεθείσης ζημίας, (α2) συνεῖδον καὶ πρὸς τὸν ἐν Κωνσταντινουπόλει πατριαρχοῦντα, Θεόδοτον τοὔνομα, ὄντα ἔξαρχον τῆς τῶν εἰκονοκαυστῶν αἱρέσεως, καὶ πρὸς τὸν βασιλέα Λέοντα ἐπιστολὴν ἀποσταλῆναι, ἴσως ἰσχύσωσιν καὶ τούτους μεταστρέψαι ἐκ τῆς τῶν εἰκονομάχων αἱρέσεως . . . . . τοῦτο δὲ ἦν ἐν ταῖς ἀρχαῖς τῆς αὐτοῦ βασιλείας. Ἔμελλε γὰρ ἐκεῖθεν τὴν πορείαν ποιεῖσθαι ὁ μέγας Μιχαὴλ κατερχόμενος πρὸς τὸν ἐν ἁγίοις πάπαν ἐν τῇ μεγάλῃ τῶν πόλεων Ῥώμῃ, ὅπως ἐν ἀπολαύσει γένηται καὶ τῶν ἐν τῇ θεοστέπτῳ καὶ βασιλίδι τῶν πόλεων τοῦ Θεοῦ εὐκτηρίων οἴκων. Ὁ γὰρ ἐν ἁγίοις καὶ ὁμολογητὴς Θεόδωρος ὁ τῶν (90β1) Στουδίων, ὢν ὑπερόριος ἐν τῇ Ἀνατολῇ, ἐπὶ Νικηφόρου τοῦ βασιλέως, ἐπιστολὴν πέπομφε πρὸς τὸν προλεχθέντα ἀρχιτελετάρχην τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, πρὸς τὸ βοηθῆσαι καὶ συνεπαμύνασθαι αὐτῷ τῇ κατὰ Κωνσταντινουπόλει[1] τοῦ Θεοῦ Ἐκκλησίᾳ, κινδυνευούσῃ παρὰ τῶν εἰκονομάχων.

Ὁ δὲ πατὴρ ἡμῶν Μιχαὴλ . . . . . (62) εὐχὴν μετ' αὐτῶν ποιησάμενος καὶ λαβὼν παρ' αὐτῶν πρόθεσιν, καὶ οἱονεὶ συνταξάμενος αὐτοῖς, ἐξῆλθε τῆς ἁγίας πόλεως μετὰ τῶν αὐτοῦ μαθητῶν Θεοδώρου καὶ Θεοφάνους καὶ ἑτέρου τινος τῶν Σπουδαίων[2] Ἰὼβ τοὔνομα, μαρτυρουμένου παρὰ πολλῶν ἐν τῇ κατὰ Θεὸν ἀκριβεῖ πολιτείᾳ, προπεμφθεὶς παρὰ τοῦ ἐν ἁγίοις πατριάρχου καὶ τῶν αὐτοῦ ἱεραρχῶν καὶ τῆς τῶν ἁγίων πατέρων συνόδου μέχρι Διοσπόλεως καὶ Λύδδης, καὶ τούτους ἀσπασάμενος καὶ τὸ τελευταῖον χαίρειν εἰπών, ἤρξατο τῆς ὁδοιπορίας. Καὶ δή, διερχόμενος ἐν τῇ πόλει Σελευκείας, εὗρεν ἐκεῖ τινὰς μοναχοὺς ἀνθισταμένους καὶ μὴ κοινωνοῦντας (91α1) τῇ κατὰ Νίκαιαν ἑβδόμῃ Συνόδῳ, οὔτε μὴν ἀναφέροντας ἐν τοῖς ἱεροῖς διπτύχοις τοὺς ἁγίους καὶ ὁμολογητὰς καὶ μεγάλους πατριάρχας Ταράσιον καὶ Νικηφόρον· ὅθεν τῇ πανσόφῳ αὐτοῦ διδασκαλίᾳ ἔπεισεν τούτους συνθέσθαι καὶ κοινωνῆσαι τῇ ἁγίᾳ Συνόδῳ· οὐ μόνον δὲ τούτους πέπεικεν . . . . . ἀλλὰ καὶ πᾶσιν οἷς ἂν ἔλαχε κατὰ τὴν ὁδὸν τούτῳ προσομιλῆσαι· λέγων πᾶσι καὶ διαβεβαιούμενος ὅτι ἡ τοῦ Θεοῦ Ἐκκλησία ἡ ἐν Ἱεροσολύμοις καὶ ὁ ταύτης τελετάρχης, σὺν τοῖς αὐτοῦ ἀρχιεράρχαις καὶ τῆς ἐρήμου πα(α2)τράσιν, καὶ ἀπεδέξατο καὶ συνήνεσεν καὶ συντέταχεν ἐν τοῖς ἱεροῖς διπτύχοις τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἑβδόμην Σύνοδον μετὰ τῶν πρὸ αὐτῆς ἓξ ἁγίων καὶ οἰκουμενικῶν Συνόδων, καὶ τοὺς ταύτης ἀρχιεράρχας Ταράσιον καὶ Νικηφόρον ὡς ὁμοτρόπους καὶ ὁμογνώμονας ἀπεδέξατο καὶ ὡμολόγησεν. Ὅθεν, τούτων ἀκούσαντες καὶ πληροφορηθέντες συνήνεσαν πάντες καὶ ἐκοινώνησαν τῇ ἁγίᾳ ἑβδόμῃ Συνόδῳ. Ὡς δὲ εἰσῆλθεν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Μιχαὴλ ἐν τῇ πανευδαίμονι Κωνσταντινουπόλει, μηνὶ μαΐῳ, ἰνδικτιῶνος Ζ', (91β1)[1] σὺν τοῖς αὐτοῦ μαθηταῖς, καὶ δῆλα τὰ κατ' αὐτὸν τῷ τε βασιλεῖ καὶ τῷ πατριάρχῃ Θεοδότῳ πεποίηκε. . . . . Δεξάμενος δὲ τὴν ἐπιστολὴν ὅ τε βασιλεὺς καὶ ὁ πατριάρχης . . . . . εἰς τὸ χεῖρον ἐξήφθησαν· καὶ δὴ κελεύουσι τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Μιχαὴλ ἐν τῇ τῆς Χώρας μονῇ καταλῦσαι σὺν τοῖς αὐτοῦ μαθηταῖς καὶ ἀνάπαυλαν ἐκ τῶν τῆς ὁδοιπορίας πόνων δέξασθαι, ὁρίσαντες τὴν αὐτῶν διατροφὴν ἐκ τῶν βασιλικῶν ταμιείων χορηγεῖσθαι. Μετὰ δὲ ὀλίγας ἡμέρας ὁ βασιλεὺς προσεκαλέσατο τὸν ἅγιον Μιχαὴλ ἐν τῷ παλατίῳ σὺν τοῖς αὐτοῦ μαθηταῖς, ἐν τῷ λεγομένῳ Χρυσοτρικλίνῳ, παρούσης καὶ τῆς συγκλήτου· εἰσελθόντες δὲ οἱ ἅγιοι ἔστησαν ἔμπροσθεν τοῦ βασιλέως· καὶ ὁ βασιλεὺς πρὸς αὐτοὺς ἔφη· Τίς ἡ αἰτία, πατέρες ἅγιοι, δι' ἣν ἐσκύλητε πρὸς τὴν τοῦ κράτους ἡμῶν μετριότητα; Ἀποκριθεὶς δὲ ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Μιχαὴλ λέγει· Ὁ τὸν ἀρχιερατικὸν θρόνον ἐπέχων τῆς ἁγίας πόλεως . . . . . ἀπέστειλεν ἡμᾶς ὑπομνῆσαι τὴν θεοκυβέρνητον ὑμῶν βασιλείαν . . . . . ὅπως κελεύσῃ ἡ σὴ θειότης τὴν τῶν ἁγίων εἰκόνων ἀνατύπωσιν, μετὰ παρρη(92α1)σίας εἰκονίζεσθαί τε καὶ προσκυνεῖσθαι ὑπὸ πάντων ἀκωλύτως . . . . . Ἦχθη δὲ ἡ περμφθεῖσα ἐπιστολὴ παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων ἐν Κωνσταντινουπόλει[2] τῷ πατριάρχῃ Θεοδότῳ καὶ τῷ βασιλεῖ Λέοντι, καὶ εἶχεν ἐπὶ λέξεως οὕτως·

[3] ἐπιστολὴ [3]

« Τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν » Ἰησοῦ Χριστοῦ, τοῦ ἑνὸς τῆς ἁγίας καὶ ὑ» περουσίου καὶ ζωαρχικῆς Τριάδος, τοῦ σὺν » Πατρὶ καὶ Πνεύματι ἐκ μὴ ὄντων τὸν δε τὸν » κόσμον εἰς τὸ εἶναι παραγαγόντος καὶ κατ'

1. ! !
2. τῆς μονῆς Σπουδαίων δηλ.

1. ἀκριβῶς τῷ 814 ἔτει.
2. ἡ ἐν ἀντὶ τῆς εἰς.
3. ἡ λέξις ἐπιστολὴ ἐν τῇ ὠᾷ διὰ μελάνης ἐρυθρᾶς.

» ἰδίαν εἰκόνα καὶ ὁμοίωσιν ἐκ γῆς ἰδίᾳ χειρὶ » πλαστουργήσαντος[1] τὸν ἄνθρωπον, ἐπ' ἐ» σχάτων δὲ τῶν ἡμερῶν διὰ τὴν ἡμῶν σω» τη(α2)ρίαν ἐκ παρθένου τεχθέντος καὶ ἐναν» θρωπήσαντος καὶ ἐνδυσαμένου τὸν παλαιὸν » Ἀδὰμ, τὸν φθόνῳ διαβόλου καὶ γυναικὸς » ἀπάτῃ ἐξόριστον γενόμενον ἐκ τῆς τοῦ πα» ραδείσου διαίτης καὶ ὑπόδικον τῷ πονηρῷ » δαίμονι γεγονότα, ὅπως ἀνασώσῃ καὶ ἀνε» γείρῃ τὴν αὐτοῦ εἰκόνα συγχωσθεῖσαν τοῖς » πάθεσι, καὶ διὰ τοῦτο πάντα ὑπομείναντος[2], » σταυρόν τε καὶ θάνατον καὶ τἄλλα πάντα » ὅσα ἡ τῶν θείων Εὐαγγελίων περιέχει βίβλος· » τούτου τοίνυν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆ» ρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξ ἀρχῆς καὶ ἄνω» θεν τῷ Μωσεῖ ἐπὶ τοῦ ὄρους νομοθετοῦντος » ποιῆσαι ἐκέλευσε[3] δύο Χερουβεὶμ κατασκιά» ζειν τὸ ἱλαστήριον τῆς δόξης τοῦ Θεοῦ· ἀλλὰ » καὶ ἡ σκηνὴ τοῦ μαρτυρίου εἰκόνα ἔφερε τῆς » ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· » ὡσαύτως καὶ οἱ προ(92β1)φῆται ἃ ἐθεάσαν» το, Ἡσαΐας, Ἱερεμίας, Δανιὴλ, Ἰεζεκιὴλ καὶ » πάντες, εἰκόνες[4] καὶ τύποι ἦσαν τῆς ἀλη» θείας. Αὐτὸς δὲ ὁ τῶν ὅλων Θεὸς, ὁ Κύριος » ἡμῶν Ἰησοῦς Χριστὸς οὐχὶ εἰκὼν καὶ ἐκσφρά» γισμα τοῦ ἀοράτου Θεοῦ καὶ πατρὸς λέγεταί » τε καὶ ἔστιν καὶ πιστεύεται; Τί δαὶ καὶ οἱ » ἅγιοι καὶ πανσεβάσμιοι ἀπόστολοι· οὐχὶ καὶ » αὐτοὶ φαίνονται εἰκόνας ποιήσαντες, ἀλλὰ » καὶ σεπτῶς προσκυνήσαντες καὶ τιμήσαντες; » *Οὐχ ὁ πρῶτος τῆς Ἐκκλησίας ποιμὴν καὶ* » *διδάσκαλος, ᾧ τὰς κλεῖς τῆς βασιλείας Χρι*» *στὸς ἐνεπίστευσεν*[5]*, καὶ ποιμαίνειν καὶ βό*» *σκειν τὰ αὐτοῦ λογικὰ πρόβατα παρεκελεύ*» *σατο, τῷ τρισσῷ τῆς ἐρωτήσεως τὸ τρισσὸν* » *τῆς ἀρνήσεως ἰασάμενος, οὐχὶ καὶ αὐτὸς φαί*» *νεται Παγκρατίῳ τῷ αὐτοῦ μαθητῇ δεδωκὼς* » *δύο εἰκόνας*, τοῦ τε Χριστοῦ καὶ τῆς αὐτοῦ » μητρὸς τῆς εὐλογημένης Θεοτόκου (β2) καὶ » ἀειπαρθένου Μαρίας, παρεγγυήσας αὐτῷ ἐ» ξεικονίζειν πᾶσαν τὴν ἔνσαρκον οἰκονομίαν » τοῦ ἀληθινοῦ Θεοῦ ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ, » ἀπό τε τῆς τοῦ ἀγγέλου πρὸς τὴν Παρθένον » λεχθείσης φωνῆς, τὸ «Χαῖρε, κεχαριτωμένη· » ὁ Κύριος μετὰ σοῦ», μέχρι τῆς αὐτοῦ ἀνα» λήψεως καὶ τῆς τοῦ ἁγίου Πνεύματος πα» ρουσίας, ὥστε δύνασθαι καὶ τὸν ἰδιώτην καὶ » ἀγράμματον ἐκ τῆς τῶν ἁγίων εἰκόνων στη» λογραφίας κατανοεῖν ὅσα ἀνθ' ἡμῶν καὶ τῆς » ἡμῶν σωτηρίας ᾠκονόμησεν ὁ προαιώνιος » Θεὸς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ποιῆ» σαί τε καὶ παθεῖν; Τί δαὶ καὶ ὁ εὐαγγελιστὴς » Λουκᾶς. Οὐχὶ καὶ αὐτὸς φαίνεται στηλογρα» φήσας τὴν σαρκομοιόμορφον εἰκόνα Χριστοῦ » τοῦ Θεοῦ καὶ τῆς αὐτοῦ μητρὸς, ἥτις καὶ μέ» χρι τοῦ νῦν σώζεται ἔν τε τῇ μεγάλῃ Ῥώ» (93α1)μῃ καὶ ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἡμῶν » πόλει; Τί δὲ λέγομεν προφήτας καὶ ἀπο» στόλους· αὐτὸς ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰη» σοῦς Χριστὸς, ἡ εἰκὼν τοῦ ἀοράτου πατρὸς, » οὐχὶ καὶ αὐτὸς ῥάκος[1] περιθεὶς τῇ ἑαυτοῦ » ὄψει καὶ ἀναμάξας τὴν αὐτοῦ τῆς σαρκὸς εἰ» κόνα Αὐγάρῳ τῷ πιστοτάτῳ, τοπάρχῃ πό» λεως Ἐδέσσης πέπομφε διὰ τοῦ αὐτοῦ οἰ» κέτου, ἥτις καὶ μέχρι τοῦ νῦν σώζεται ἐν τῇ » αὐτῇ πόλει; Καὶ ταῦτα μὲν διεξήλθομεν δεῖ» ξαι πειρώμενοι ὡς ὅτι οὐχὶ νεαρὰ καὶ πρός» φατός ἐστιν ἡ τῶν εἰκόνων ἀνατύπωσις, ἀλ» λά γε μὴν ἐξ ἀρχῆς καὶ ἄνωθεν παραδοθεῖσα » καὶ πιστευθεῖσα ἔν τε τῇ Παλαιᾷ καὶ Νέᾳ » Διαθήκῃ. Ὅθεν δυσωποῦμεν τὸ ὑμέτερον » κράτος ὅπως ἀποστῇ τῆς νεαρᾶς ταύτης καὶ » μυσαρᾶς τῶν εἰκο(α2)νοκαυστῶν αἱρέσεως, » καὶ κοινωνοὶ γένεσθε τῆς πατροπαραδότου » ἁγίας καὶ ἀποστολικῆς πίστεως, καὶ ἀπολά» βῃ ἡ τοῦ Θεοῦ Ἐκκλησία τὴν ἰδίαν εὐκο» σμίαν τῆς τῶν θείων εἰκόνων ἀνατυπώσεως· » καὶ μὴ αἰωνίῳ καὶ ἀτελευτήτῳ ἀναθέματι » περιβάλλεσθε· ἀλλ' εἴξαντες τῇ ἡμῶν παρα» κλήσει ἐν ὀρθοδόξῳ καὶ ἀσφαλεῖ πίστει τε» λειωθήσεσθε, καὶ εἰς τὰς αἰωνίους σκηνὰς » μετὰ τῶν προφητῶν καὶ ἀποστόλων, μαρ» τύρων τε καὶ δικαίων ἄγαλμα θήσεσθε, αἰω» νίαν λύτρωσιν εὑράμενοι».

Τούτων δὲ εἰς ἐπήκοον πάντων ἀναγνωσθέντων, θυμομαχήσας ὁ βύθιος δράκων οὐ μετρίως τούτους τυφθῆναι καὶ ἐναποκλείστους γενέσθαι ἐν τῇ τῆς Φιάλης εἱρκτῇ ἐκέλευσεν, πάμπολλα (93β1) κατηγορήσας καὶ ἀναθέμασι περιβαλὼν τόν τε ἁγιώτατον πατριάρχην καὶ τὴν αὐτοῦ ἁγίαν καὶ ἀποστολικὴν σύνοδον, οὐ μὴν ἀλλὰ καὶ τὴν τῶν ἁγίων πατέρων ὁμήγυριν . . . . . Ἡμερῶν δὲ διαγενο-

1. ὁ κώδηξ πλαστουργήσας.
2. ὁ κώδηξ ὑπομείνας.
3. σόλοικον τὸ χωρίον.
4. ὁ κώδηξ εἰκόναι.
5. θεωρίαν τοιαύτην καὶ διδασκαλίαν εὑρίσκομεν διατυπουμένην κατ' ἐκείνους τοὺς χρόνους, προεξάρχοντος τοῦ ἁγιωτάτου τῆς ὀρθῆς δόξης ὑπερμάχου Θεοδώρου τοῦ Στουδίτου.

1. ὁ κώδηξ ῥάκκος.

μένων οὐκ ὀλίγων . . . . . (β2) καίπερ πολλὰ τοῦ βασιλέως πέμψαντος αὐτοῖς, φοινικάς τε καὶ ἰσχάδας καὶ ὅσα πρὸς τροφὴν ἐπιτήδεια ἀσκητῶν ἐγίνωσκεν εἶναι, οὐκ ἐδέξαντο· . . . . ὁ δὲ βασιλεὺς, διά τινος λογίου δυναμένου λέγειν τε καὶ ἀκούειν, οὗ τὸ ὄνομα (Χαμοδράκων)[1] ἐκὼν ὑπερβήσομαι, ἐδήλωσεν αὐτοῖς· Ἵνα τί ἡ ὑμῶν ἀρεστὴ καὶ φιλόσοφος γνώμη ἐν ἀπονοίᾳ γενέσθαι σπεύδει, μὴ πειθομένη ὀρθοδόξῳ συνόδῳ τῇ καθελούσῃ καὶ ἐξεωσάσῃ ἐκ τῆς τοῦ Θεοῦ Ἐκκλη(94α1)σίας τὴν τῶν εἰδώλων προσκύνησιν . . . . . πείσθητέ μοι καὶ κοινωνήσατε τῇ καθολικῇ Ἐκκλησίᾳ...,. καὶ ποιήσω ὑμᾶς ἀρχιερεῖς εἰς ὑπερέχοντας θρόνους . . . . . Ὡς δὲ τοῦτο ἤκουσαν οἱ ἀληθῶς ὀρθόδοξοι καὶ ὁμολογηταί . . . . . εἶπον· Μὴ (α2) γένοιτο ἡμῖν ἀρνήσασθαι ἐν εἰκόνι περιγραπτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἢ τὴν αὐτοῦ μητέρα, ἢ τοὺς αὐτοῦ ἁγίους . . . . . Ὁ δὲ ἀπελθὼν λέγει τῷ βασιλεῖ . . . . . μείζους τῶν ἀπειλῶν οἱ ἄνδρες. Ὁ δὲ . . . . . (94β1) ἐκέλευσε τὸν μὲν ἅγιον Μιχαὴλ μετὰ καὶ Ἰὼβ ἐναποκλείστους μεῖναι ἐν τῇ εἱρκτῇ, τοὺς δὲ ἁγίους Θεόδωρον καὶ Θεοφάνην τοὺς αὐτοῦ μαθητὰς ἐξορίστους γενέσθαι ἐν τῇ νήσῳ Ἀφουσίᾳ. Τούτου δὲ γενομένου, καὶ ἐν ἐξορίᾳ παραπεμφθέντων τῶν ἁγίων καὶ τὴν νῆσον καταλαβόντων μηνὶ αὐγούστῳ ἰνδικτιῶνος ἑβδόμης[2], παρεδόθησαν τῷ ἄρχοντι τῆς νήσου ὥστε φυλάττεσθαι αὐτούς . . . . . ὁ δὲ Θεὸς ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς ἐνώπιον τοῦ προλεχθέντος ἀρχηγοῦ τῆς νήσου· καὶ ἦσαν ἐν ἀνέσει διάγοντες καὶ τῆς αὐτῶν ὁδοῦ, ἤγουν ἀσκήσεως, ἐχόμενοι. Ὅθεν καὶ ἐν τῇ νήσῳ ὄντων αὐ(β2)τῶν οὐκ ἐπαύσαντο δι' ἐπιστολῶν γράφοντες καὶ ἐπιστηρίζοντες τοὺς ὀρθοδόξους . . . . . Ἐξ δὲ χρόνων διιππευσάντων, καὶ τοῦ τυράννου τελευτήσαντος[3], ἀντ' αὐτοῦ Μιχαὴλ, τῆς αὐτῆς αἱρέσεως ἀνάπλεως ὑπάρχων, ἐκέλευσε τὸν ἅγιον Μιχαὴλ ἐκβληθῆναι ἐκ τῆς προλεχθείσης εἱρκτῆς καὶ ὑπερορίᾳ παραπεμφθῆναι ἔν τινι τῶν τοῦ Ὀλύμπου μοναστηρίων τῆς πόλεως Παρουσιάδος[4] μετὰ καὶ (95α1) Ἰὼβ τοῦ ὁσιωτάτου, ἀλύσεσι δεδεμένους· τούτου δὲ γενομένου, οὐκ ἐπαύσατο ὁ μέγας τῆς εὐσεβείας ἀγωνιστὴς δι' ἐπιστολῶν γράφων καὶ ἐπιστηρίζων τοὺς ὀρθοδόξους.

Τελευτήσαντος[1] δὲ καὶ τούτου, ἀνέστη ἀντ' αὐτοῦ Θεόφιλος, γνήσιος υἱὸς ὑπάρχων[2] αὐτοῦ . . . . . (α2) οὗτος τῷ πέμπτῳ ἔτει τῆς αὐτοῦ βασιλείας[3] ἐκέλευσεν ἀνακληθῆναι τὸν μέγαν Μιχαὴλ ἐκ τῆς προλεχθείσης μονῆς..... καὶ τοῦ ἁγίου καταλαβόντος τὴν Κωνσταντινούπολιν ἐκέλευσεν αὐτὸν ἐναπόκλειστον γενέσθαι ἔν τισι θόλοις τῆς εἱρκτῆς τῆς οὕτω λεγομένης Πραιτώριον, πάνυ ἀφεγγέσι καὶ σκοτεινοῖς[4], καὶ χειμῶνος μὲν λιμνώδεσι καὶ κρυμώδεσι, θέρους δὲ πνιγηροῖς καὶ καυσώδεσιν· ὃς εἰσελθὼν ἐν τῇ τοιαύτῃ εἱρκτῇ . . . . ὑπὸ δύο στρατι(95β1)ωτῶν ἦν φυλαττόμενος· οἵτινες οὔτε τὸν καθυπουργοῦντα αὐτῷ Ἰὼβ εἴων τούτῳ κἂν πρὸς βραχὺ προσβλέψαι ἢ τὸ σύνολον καθομιλῆσαι· ὅθεν ἐκ τῆς τοιαύτης συνοχῆς τε καὶ στενοχωρίας ὁ ὁμολογητὴς Μιχαὴλ περιέπεσε χαλεπωτάτῃ ἀρρωστίᾳ ἐπὶ δυσὶν ἔτεσιν[5] ἔκ τε τοῦ γήρως καὶ τῶν πολλῶν θλίψεων, καὶ ἀμβλυωπίᾳ κατεσχέθη καὶ κυφότητι . . . . . (β2) Μετὰ δύο ἔτη ἐκέλευσεν αὐτὸν ὁ βασιλεὺς ἐξενεχθῆναι ἐκ τῆς πανζόφους καὶ κρυμμώδους ἐκείνης εἱρκτῆς καὶ ἐναπόκλειστον γενέσθαι, δεδεμένον τὸν αὐχένα ἁλύσει καὶ τοὺς πόδας ἐν ξύλῳ ἠσφαλισμένον, ἐν ἑτέρᾳ διαφερούσῃ εἱρκτῇ τοῦ αὐτοῦ Πραιτωρίου. Μετὰ δὲ τέσσαρας μῆνας τῆς αὐτοῦ καθείρξεως ἐν τῇ τοιαύτῃ εἱρκτῇ, ἐν ὑπομνήσει γέγονεν ὁ προλεχθεὶς ἀναξ περὶ τῶν αὐτοῦ μαθητῶν, Θεοδώρου λέγω καὶ Θεοφάνους..... (96α1) Στέφανός τις ἀσηκρῆτις τὴν ἀξίαν ἐν γνώσει ἦν τῷ θεράποντι τοῦ Χριστοῦ Μιχαὴλ καὶ τοῖς αὐτοῦ μαθηταῖς, καὶ ἦν ὑπ' αὐτῶν νουθετούμενος . . . . ὡς ἅτε ὀρθόδοξος· . . . . καθυπέγραψε τῇ εἰκονομάχῳ αἱρέσει· πρὸς ὃν ὁ ἐν ἁγίοις Μιχαὴλ, μαθὼν ταῦτα, παρακλητικαῖς ἐπιστολαῖς ἐχρήσατο, τοῦτον ἀνακαλούμενος· ὃ δὴ καὶ πεποίηκεν . . . . . (α2) ἔσχατον δὲ, ταῖς τοῦ ἁγίου διδασκαλίαις καὶ παραινέσεσι, πεπαρρησιασμένῃ τῇ φωνῇ, ἐκήρυξεν ἐν εἰκόνι περιγραπτὸν προσκυνεῖν καὶ σέβεσθαι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

1. τὸ ὄνομα δι' ἐρυθρᾶς μελάνης ἐν τῷ μέσῳ τῶν δύο στηλῶν γέγραπται.
2. καὶ τοῦτο τῷ 814 ἔτει γίνεται.
3. ἀκριβῶς τῷ 820 ἔτει.
4. Προυσιάδος· τῆς συγχεομένης ἔσθ' ὅτε τῇ Πλουσιάδι· ἔστι δὲ πόλις τῆς Βιθυνίας.

1. ἐντεῦθεν ἡ Β' ἄρχεται στάσις.
2. ὑβρίζει λίαν τὸν Θεόφιλον ὁ βιογράφος.
3. τῷ ἔτει 825 δῆλα δή.
4. Ἴδε Στεφάνου νέου βιογραφίαν περὶ τῶν δεσμωτηρίων τούτων.
5. μέχρι τοῦ 827 ἔτους.

Ὄντινα Στέφανον . . . . . ὑπερορίᾳ κατεδίκασεν, τὰ δὲ αὐτοῦ χρήματα τῷ βασιλικῷ ταμιείῳ προσενεχθῆναι ἐκέλευσεν. Οὐ μόνον δὲ τὸν προλεχθέντα Στέφανον ὁ ἐν ἁγίοις Μιχαὴλ ὑπὲρ Χριστοῦ καὶ τῆς αὐτοῦ εἰκόνος μαρτυρῆσαι πέπεικεν, ἀλλὰ καὶ ἕ(96β1)τερόν τινα, Καλλονᾶν τοὔνομα, τὴν ἀξίαν σπαθάριον, ὅστις καὶ σύντεκνος αὐτοῦ ὑπῆρχε, ταῖς νουθετικαῖς αὐτοῦ καὶ στερροποιαῖς ἐπιστολαῖς ἐναποθανεῖν τῇ ἀθλήσει καὶ ὁμολογίᾳ Χριστοῦ πεποίηκε. Τούτων ἕνεκα τῶν αἰτιῶν, ἡ ὑπόμνησις τούτων πρὸς τὸν ἄνακτα παρὰ τῶν ὑπασπιστῶν γέγονεν[1] . . . . (97β1) ἐκέλευσεν ὁ βασιλεὺς Θεόφιλος τοὺς ἁγίους Θεόδωρον καὶ Θεοφάνην ἐκ τῆς νήσου Ἀφουσίας διὰ ταχυδρόμου ἐπανελθεῖν . . . . . (98α1) ἐκέλευσε διὰ ταχυδρόμου ἐν σπουδῇ πολλῇ εἰσαχθῆναι αὐτοὺς ἐν τῇ πανευδαίμονι Κωνσταντινουπόλει . . . . . (α2) ὁ ἀποσταλεὶς ἀγαγεῖν αὐτοὺς, καταλαβεῖν ἐν σπουδῇ τὴν προλεχθεῖσαν νῆσον, ἐν πολλῷ τῷ τάχει τούτους ἁρπάσας ἦγεν ἐπὶ τὴν πόλιν. Εἰσελθόντων δὲ τῶν ἁγίων ἐν τῇ πόλει, ἰουλίου μηνὶ ὀγδόῃ, ἰνδικτιῶνος τεσσαρεςκαιδεκάτης τότε κρατούσης[2] . . . . . προσετάγη καθεῖρξαι αὐτοὺς ἐν τῇ δημοσίᾳ εἱρκτῇ, τῇ οὕτω λεγομένῃ Πραιτώριον· μετὰ δὲ τὸ πρωΐ, ἐκέλευσεν αὐτοὺς παραστῆναι ἔμπροσθεν αὐτοῦ . . . . . (98β1) καὶ ταῦτα μὲν πρὶν τῷ Χρυσοτρικλίνῳ, ἐν ᾧ ὁ βασιλεὺς (β2) ἐκαθέζετο· εἰσελθόντες δὲ καὶ τῆς πύλης ἐπιβάντες, προάγοντος αὐτῶν τοῦ ἐπάρχου, ὤφθη αὐτοῖς ὁ βασιλεὺς, ἱκανῶν αὐτῷ τῶν τῆς συγκλήτου βουλῆς, τῶν ἀρχόντων, παρισταμένων· ὡς δὲ μέχρι τούτου ἦλθεν ὁ ἔπαρχος ἀπέστη ἀπ' αὐτῶν . . . . . (99α1) καὶ λέγει αὐτοῖς· Ποίας χώρας ἐστέ; Λέγουσιν αὐτῷ οἱ ἅγιοι· τῆς Μωαβίτιδος. Καὶ διατί ἤλθετε ἐνταῦθα; Καὶ πρὶν τούτους ἀπολογήσασθαι, ἐπέτρεψεν ἄνδρας ἰσχυροὺς τῇ ῥώμῃ παίειν αὐτῶν τὰς ὄψεις . . . . . (α2) Παυσαμένων δὲ τῶν παιόντων, λέγει πρὸς αὐτοὺς ὁ βασιλεύς· Τίνος χάριν ἐληλύθατε ἐνταῦθα; ἀνόσιοι. Τῶν δὲ ἁγίων (99β1) μηδόλως αὐτῷ ἀποκριναμένων, ἔφη πρὸς τὸν ὕπαρχον ὁ βασιλεύς· [5]Αρον τοὺς ἀνοσίους τούτους καὶ γράψον τὰ πρόσωπα αὐτῶν, ἐγκολάψας τούσδε τοὺς ἰάμβους· καὶ παράδος αὐτοὺς . . . . . καὶ ἀπαγαγέτωσαν εἰς τὴν ἰδίαν πατρίδα. Ἵστατο δὲ πλησίον τοῦ βασιλέως ὁ ἔχους τοὺς ἰάμβους, Χριστόδουλος τοὔνομα, ὁ τούτους σκεψάμενος· ᾧ καὶ ἐπαναγινώσκειν εἰς ἐπήκοον πάντων προσέταξε, προσθεὶς καὶ τοῦτο· Κἂν οὐκ εἰσι καλοὶ κατὰ σύνταξιν, μή σοι μελέτω. Τοῦτο δὲ εἴρηκεν εἰδὼς ὡς ἄριστα τούτοις ἥσκηται ἡ τῶν ποιητικῶν σκεμμάτων ἀκρίβεια . . . . (101α1) τούτων ἀναγνωσθέντων, ἐκέλευσεν ἐν τῷ Πραιτωρίῳ τούτους ἀπαχθέντας γραφῆναι τὰς ὄψεις. Ὡς δὲ ἐξῆλθον οἱ ἅγιοι ἀπαγόμενοι πρὸς τὸ Πραιτώριον, ὡς ἤδη ἔφθασαν εἰς τὴν λεγομένην Θερμάστραν, ἰδοὺ αἴφνης φαίνεταί τις τρέχων . . . . . (α2) ἐκέλευσε βουνεύροις τύπτειν ἀφειδῶς[1] . . . . . τυπτομένων δὲ τῶν ἁγίων, οὐδὲν ἄλλο παρ' αὐτῶν ἠκούετο, ἢ τὸ « Κύριε ἐλέησον » καὶ τὸ « Ἁγία Θεοτόκε, ἐλθὲ εἰς βοήθειαν ἡμῶν». Ὡς δὲ κατέτεμον τοὺς ἁγίους ἐπὶ πολὺ . . . . συρῆναι ἐκέλευσε τούτους καὶ οὕτως ἀπαχθῆναι ἐν τῇ φυλακῇ . . . . . (β2) τότε εἰς τὸ Πραιτώριον εἰσήχθησαν οἱ ἅγιοι. σκοτίας ἤδη γεγονυίας· μετὰ δὲ τέσσαρας ἡμέρας, προκαθίσας ὁ ὕπαρχος ἐπὶ τοῦ θρόνου αὐτοῦ, ἐκέλευσεν ἀχθῆναι τοὺς ἁγίους ἔμπροσθεν αὐτοῦ· ἤρξατο δὲ ἐκφοβεῖν αὐτοὺς . . . . . (102α1) συγκαθημένων τῷ ὑπάρχῳ τοῦ τε Χριστοδούλου τῷ τοὺς ἰάμβους σκεψαμένῳ[2] καὶ τοῦ αὐτοῦ πατρὸς . . . . . ὁ τοῦ Χριστοδούλου πατὴρ ἐν χάριτος μοίρᾳ τὸν λόγον ποι(α2)ούμενος ἔφη πρὸς τὸν ὕπαρχον . . . . . (102β2) τῶν δὲ πληγῶν τῶν ἁγίων ἔτι φλεγμαινουσῶν, προσελθόντες οἱ δήμιοι καὶ ἐπὶ σκάμνων τανύσαντες ἐκόλαπτον τὰς ὄψεις αὐτῶν· καὶ ἐπὶ πολλὴν ὥραν κεντοῦντες τὰ πρόσωπα αὐτῶν ἔγραφον τοὺς ἰάμβους ἐπ' αὐτοῖς . . . . . (103α2) ἐγράφησαν δὲ τὰ πρόσωπα οἱ ἅγιοι τοῦ Χριστοῦ ὁμολογηταὶ καὶ μάρτυρες Θεόδωρος καὶ Θεοφάνης μηνὶ ἰουλίῳ ὀκτωκαιδεκάτῃ, ἰνδικτιῶνος τεσσαρεςκαιδεκάτης[3] . . . . . Ὡς δὲ, ... ἐκέλευσεν αὐτοὺς ὁ βασιλεὺς ἐναποκλείστους γενέσθαι ἐν τῇ τοιαύτῃ εἱρκτῇ πλησίον τοῦ καθηγουμένου καὶ ποιμένος, τοῦ θεοφόρου Μιχαὴλ, ὁ ὁμολογητὴς τοῦ Χριστοῦ ἐχάρη λίαν ἀκούσας ὅτι ὑπὲρ τοῦ Χριστοῦ καὶ τῆς αὐτοῦ εἰκόνος (103β1) τά τε νῶτα καὶ στήθη τυφθέντες καὶ τὰς ὄψεις γραφέντες μετὰ

1. οὗτοι δὲ μαρτυροῦσιν ὄντας « Στέφανόν τε τὸν ἀσηκρήτις καὶ Καλλονᾶν τὸν σπαθάριον εὐγενεστάτους καὶ *λογιμωτάτους ἄνδρας* »· φύλλον 97α2.
2. συμπίπτει δ' αὕτη τῷ ἔτει 836.

1. ὁ Θεόφιλος οὐκ ἦν παράφρων· ἢ εἶχε γνῶσιν τοῦ «Κυνολύκου» ; διὸ καὶ ἐτιμώρησε σκληρῶς αὐτούς.
2. προδήλως: *τοῦ σκεψαμένου*.
3. ἤτοι τῷ 836 ἔτει.

παρρησίας ἐκήρυττον τὸ τῆς οἰκονομίας μυστήριον . . . . . ὅθεν καὶ δι' ἐπιστολῶν χρησάμενος ἐδήλωσεν αὐτοῖς· οὐ γὰρ ἔβλεπον ἀλλήλους πρὸς πρόσωπον[1] . . . . . (104α2) Οὗτος γὰρ ὁ πανόλβιος καὶ μέγας τῆς εὐσεβείας ἀγωνιστὴς Μεθόδιος πλείστας ἐπιστολὰς πέπομφε τῷ πανιέρῳ Μιχαὴλ, δεσπότην ἀποκαλῶν καὶ πατέρα καὶ κηδεμόνα καὶ ἄξιον πολίτην τῆς τῶν οὐρανῶν βασιλείας· ὁμοίως δὲ καὶ τοῖς αὐτοῦ συναγωνισταῖς, Θεόδωρον λέγω καὶ Θεοφάνην, οὐ διέλιπε γράφων καὶ ἐπιστηρίζων, καὶ ὄντων αὐτῶν ὑπερορίων ἐν τῇ νήσῳ Ἀφουσίᾳ. Ὁ γὰρ ἐν ἁγίοις καὶ μέγας Μεθόδιος πολλὰς καὶ διαφόρους ὑπερορίας καὶ μάστιγας διὰ Χριστὸν (104β1) καὶ τὴν αὐτοῦ ἁγίαν καὶ προσκυνητὴν εἰκόνα παρὰ τῶν εἰκονοκαυστῶν ὑπέστη, καὶ ἐν τῷ αὐτῷ Πραιτωρίῳ, ἐν ᾧ καὶ οἱ ἅγιοι ὑπῆρχον ἐναπόκλειστοι, οὐκ ὀλίγους διετέλεσεν ἐγκεκλεισμένος χρόνους· ὅθεν καὶ ἀλλήλοις δι' ἐπιστολῶν γράφειν καὶ ἐπιστηρίζειν πρὸς τὸν τῆς εὐσεβείας ἀγῶνα οὐ διελίμπανον.

Τούτων οὕτως ἐχόντων καὶ τῶν ἁγίων ἡμῶν πατέρων ὄντων ἑβδομάδος χρόνῳ ἐναποκλείστων ἐν τῇ τοῦ Πραιτωρίου εἱρκτῇ, . . . (β2) ὁ προλεχθεὶς ἄναξ τέλει τοῦ βίου ἐχρήσατο[2], τούτου δὲ ἡ βασιλεία καὶ τὸ κράτος εἰς Θεοδώραν τὴν αὐτοῦ σύνευνον καὶ Μιχαὴλ τῷ αὐτῶν υἱῷ διέβαινεν· ὅθεν σπουδαίαν καὶ νεανικὴν ἡ Θεοδώρα τὴν φροντίδα τίθεται . . . . . μὴ ἂν ἄλλως . . . . . (105α1) ἀνδρείαν ἐν θηλείᾳ προσχήματι γενναιότητα ἐπιδείξασθαι, εἰ μὴ ἵλεων τὸν Θεὸν διὰ τῆς τῶν εὐσεβῶν δογμάτων καὶ τῆς τῶν σεπτῶν εἰκόνων φαιδρᾶς ἀνατυπώσεως ἀπεργάσεται . . . . . τοιγαροῦν . . . . . ἐκέλευσεν τοὺς ὑπὲρ τῆς ὀρθοδόξου πίστεως εἴτε ἐν ὑπερορίαις παραπεμφθέντας ἢ καὶ ἐν φυλακαῖς ἐναποκλείστους ὄντας ἀνακληθῆναι καὶ ἐν τῇ βασιλευούσῃ πόλει πρὸς αὐτὴν παραγενέσθαι . . . . . (α2) ἦκαν αἱ τοῦ Χριστοῦ ἔμπνοοι στῆλαι ἐκ διαφόρων χωρῶν τε καὶ πόλεων ὡς ἐκ λειμώνων ἐαρινῶν πάντερπνα ἄνθη. Καὶ δὴ, συναθροισθέντων, προστέταχεν ἡ θεοσεβὴς Θεοδώρα ἔν τινι ἀφωρισμένῳ τῶν ἀνακτορικῶν οἴκων ἅπαν τὸ ἐκκλησιαστικὸν καὶ ἀθλητικὸν στῖφος συναθροισθῆναι, παρούσης καὶ τῆς συγκλήτου πάσης· καὶ πολὺ πλῆθος τοῦ λοι(105β1)ποῦ λαοῦ ὅπως περὶ τοῦ τῶν σεπτῶν εἰκόνων ὀρθοδόξου δόγματος τρανώτατα τῷ λαῷ διαγγεῖλαι. Καὶ δὴ, ψήφῳ θείᾳ τῆς προειρημένης βασιλίσσης καὶ τοῦ ταύτης νέου υἱοῦ Μιχαὴλ καὶ τῶν τοῦ Θεοῦ ἱεραρχῶν καὶ ὁσιομαρτύρων, τοὺς κατὰ τῶν θείων εἰκόνων λυττήσαντας παντοίοις ἀναθέμασι καθυπέβαλον· ὥστε, τῇ ἀθρόᾳ καὶ ἀδοκήτῳ τῶν πραγμάτων μεταβολῇ, παραπληξίᾳ καὶ σκοτώσει λογισμῶν, τὸν τηνικαῦτα δυσσεβῶς τῆς ἀρχιερωσύνης ἐπειλημμένον Ἰωάννην μικροῦ δεῖν τὴν παμβέβηλον ψυχὴν ἀπορρίξαι[1]· οὗτινος, προστάξει τῶν εὐσεβῶν βασιλέων καὶ τῆς τῶν θείων πατέρων ἱερᾶς συνόδου, καθαιρεθέντος καὶ τελείῳ ἀναθέματι ὑποβληθέντος καὶ ἀτίμως (β2) ἐξεωθέντος τοῦ τε ἀποστολικοῦ θρόνου καὶ τῆς πόλεως, φροντὶς ἦν μία κοινὴ πᾶσιν, τὸ τίνα ἀποκαλύψειε Κύριος ὁ Θεὸς ἰθύνειν καὶ διέπειν τὸν ἀρχιερατικὸν τῆς Ἐκκλησίας θρόνον· ἅπαντες γὰρ ἀπέβλεπον πρὸς τὸν μέγαν τῆς εὐσεβείας ἀγωνιστὴν Μιχαὴλ, ὡς ἅτε συγκέλλου αὐτοῦ ὄντος τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως καὶ σοφοῦ τὰ θεῖα καὶ πολλὰς ὑπομενηκότος ποινάς τε καὶ μάστιγας ὑπὲρ Χριστοῦ καὶ τῆς αὐτοῦ εἰκόνος. Ὁ δὲ μέγας Μιχαὴλ τοῦτο μὴ ἀνασχόμενος, τὴν γὰρ ἀψευδῆ ταπείνωσιν τοῦ Χριστοῦ ἠσπάζετο πάντοτε . . . . . (106α1) ἡ τοῦ Θεοῦ σύνοδος σὺν τῇ προλεχθείσῃ βασιλίσσῃ ἀποστεῖλαι διέγνωσαν πρὸς τὸν μέγαν Ἰωαννίκιον . . . . . ἐν τῷ τοῦ Ὀλύμπου ὄρει φωστῆρος δίκην λάμποντος τότε σὺν τῷ αὐτοῦ συναγωνιστῇ Εὐστρατίῳ τῷ θαυματουργῷ καὶ ἡγουμένῳ τῆς τῶν Ἀγαύρων μονῆς, ἀποστείλαντες δύο μὲν ἐκ τῆς ἱερᾶς συνόδου, καὶ ἐκ τῶν βασιλικῶν αὐλῶν σπαθάριον οὕτω λεγόμενον· οἵτινες, ἀπελθόντες καὶ εὑρόντες τὸν ἅγιον ἐν τῇ λαύρᾳ τοῦ προφήτου Ἠλιοῦ, δῆλα τούτῳ ἐποίησαν τὰ δόξαντα . . . . . ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος . . . . . (α2) μετὰ ἑβδόμην ἡμέραν τῆς πρὸς τὸν Θεὸν αὐτοῦ δεήσεως, ἐπιδίδωσιν αὐτοῖς ῥάβδον, λέξας· Ἀπέλθετε (106β1) καὶ ἐπίδοτε ταύτην Μεθοδίῳ μοναχῷ καὶ πρεσβυτέρῳ τῷ ὄντι ἐξορίστῳ ἐν τῇ τῶν Ἐλεωβομητῶν[2] μονῇ. Οἱ δὲ, καταλαβόντες τὴν Κωνσταντινούπολιν, δῆλα ταῦτα πεποιήκασιν τῇ

1. ἔπεται ἐπιστολὴ μέχρις 104α2, οὐδὲν λέγουσα· γράφουσα δ' ἐν τέλει· « ἀλλὰ καὶ ὁ μέγας τῆς εὐσεβείας ἀγωνιστὴς Μεθόδιος τὴν προσκύνησιν δι' ἐμοῦ ἀπονέμει ὑμῖν, πάμπολλα ὑμῶν ὑπερευχόμενος, μαθὼν τὰ ὑμῶν κατὰ τῆς ἀσεβείας ἀριστεύματα ».

2. ἔστι τὸ ἔτος 842.

1. ἀπορρῖψαι; ἀπορρῆξαι;

2. Ἰλίου βωμῶν· ἔστιν ἡ τῶν Ἐλεγμῶν βιθυνικὴ μονή.

τε συνόδῳ καὶ τοῖς βασιλεῦσιν. Οἱ δὲ εὐθέως ἐκέλευσαν διὰ ταχυδρόμου τὸν προλεχθέντα πανόσιον ἄνδρα καταλαβεῖν τὴν βασιλεύουσαν . . . . . (62) καὶ τοῦ ἁγίου Μεθοδίου καταλαβόντος τὴν Κωνσταντινούπολιν, ἐν ᾗ καὶ ὑπὲρ τοῦ Χριστοῦ καὶ τῆς αὐτοῦ ἁγίας καὶ σεβασμίας εἰκόνος πολλῶν βασάνων πεῖραν εἰλήφει, χειροτονεῖται, ψήφῳ θείᾳ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, καὶ ἀποκαθίσταται εἰς τὸν ἐκ Θεοῦ αὐτῷ ἀποκαλυφθέντα ἀποστολικὸν θρόνον . . . . . Τότε δὴ τότε καὶ τὸν ἡμέτερον Μιχαὴλ, κελεύσει τῶν ὀρθοδόξων βασιλέων, σύγκελλον ἑαυτοῦ καὶ ἡγούμενον τῆς μεγάλης μονῆς τῆς Χώρας κεχειροτόνηκεν.

107α1 Ἐπειδὴ[1] δὲ τῆς τοιαύτης βασιλικῆς καὶ ὀρθοδόξου μονῆς τῆς Χώρας μνείαν πεποίημαι, μικρόν τι λέξω καὶ τὰ περὶ αὐτῆς. Αὕτη τοίνυν ἡ προλεχθεῖσα σεβασμία μονὴ κτίζεται μὲν παρὰ τοῦ εὐσεβεστάτου καὶ ἀοιδίμου ἄνακτος Ἰουστινιανοῦ μεγάλη λίαν καὶ φαιδρὰ καὶ ὑπέρλαμπρος. Ταύτην τοιγαροῦν τὴν μονὴν εἴ τις καλέσειεν ὄρος Θεοῦ καὶ ὄρος Χωρήβ, ὄρος τε Καρμήλιον, ἢ Σίναιον ὄρος, εἴτε Θαβώρειον, εἴτε Λίβανον, ἢ καὶ πόλιν ἁγίαν ὡς ἐν ὄρει τῶν Ἱεροσολύμοις[2] κειμένην οὐχ ἁμαρτήσει τοῦ πρέποντος. Ταύτην τοίνυν τὴν πανίερον μονὴν ὁ προλεχθεὶς ἀοίδιμος ἄναξ τοὺς ἀπὸ Ἱεροσολύμων παραγενομένους ἱερεῖς τε καὶ μονάζοντας ἐκέλευσεν ἐν αὐτῇ ἀναπαύεσθαι, τὰς δὲ αὐτῶν χρείας ἐκ τῶν βασιλικῶν ταμιείων τούτοις δίδοσθαι. (α2) Δι' ἣν δὲ αἰτίαν ἡ τοιαύτη πρόσταξις παρὰ τοῦ εὐσεβοῦς ἄνακτος γέγονεν ἔνθεν ἐρῶ· τοιοῦτος γὰρ μέχρις ἡμῶν κατήντηκε λόγος, ἀνέκαθεν πρὸς πατρὸς παιδίῳ[3] παραδιδόμενος· ὡς ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ θεοφόρος Σάβας, ἀποσταλεὶς παρὰ τοῦ τότε πατριαρχοῦντος Ἱεροσολύμων, Πέτρου τοὔνομα, πρὸς τὸν προλεχθέντα εὐσεβῆ ἄνακτα περὶ τῶν γεγονότων ἐφόδων καὶ αἰχμαλωσιῶν παρὰ τῶν σαμαρειτῶν καὶ τῶν ὑπ' αὐτῶν ἐμπρησθέντων τοῦ Θεοῦ εὐκτηρίων οἴκων, ὅπως κελεύσῃ ἡ αὐτοῦ θεόστεπτος καὶ ἄχραντος κορυφὴ τοὺς μὲν εὐκτηρίους τοῦ Θεοῦ οἴκους κτισθῆναι, τοὺς δὲ σαμαρείτας ἐξεωθῆναι, ... (107β1) ὁ δὴ καὶ πεποίηκε, κατὰ τὴν προλεχθεῖσαν παράκλησιν τοῦ σεβασμίου πατρὸς ἡμῶν Σάβα. Παραχειμάσαντος γὰρ τοῦ προλεχθέντος σεβασμίου πατρὸς ἐν τῇ πανευδαίμονι Κωνσταντινουπόλει, ἀπέστειλε τοῦτον ὁ προλεχθεὶς εὐσεβὴς ἄναξ εἰς τὴν τοιαύτην μονὴν, ἤδη τέλος τῆς ἀποκαταστάσεως ἐχούσης, πρὸς τὸ καθοπτεῦσαι καὶ εὐλογῆσαι τὴν τοιαύτην παρ' αὐτοῦ κτισθεῖσαν μονήν· ἀκήκοεν γὰρ ὅτι πλεῖστα μοναστήρια ὁ ἐν ἁγίοις Σάβας ἐν τῇ ἁγίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλει καὶ τῇ ταύτης ἐρήμῳ πεποίηκεν· εἰς ἣν εἰσελθὼν ὁ παμμάκαρ Σάβας πάνυ ἠγάσθη τοῦ τε τόπου καὶ τῆς ποικίλης κατασκευῆς. Ἔστιν γὰρ ἡ τοιαύτη σεβασμία μονὴ οἱονεὶ τειχίῳ περιπεφραγμένη πάντοθεν, καὶ ἀποκε(β2)χωρισμένη τῆς τῶν κοσμικῶν διαγωγῆς τε καὶ συναυλίας, καὶ ὥςπερ πόλις ἀκράδαντος ἐπ' ὄρους κειμένη, καὶ τῶν οὐρανῶν ἀπτομένη τῇ τῶν κτισμάτων ὑψότητι. Ταύτης οὖν ἕνεκα τῆς αἰτίας, ἔκτοτε οἱ ἀπὸ Ἱεροσολύμων παραγενόμενοι ἐν τῇ Κωνσταντινουπόλει ἐν ταύτῃ παρὰ τῶν εὐσεβῶν βασιλέων ἀπεστέλλοντο· ὅθεν καὶ οἱ πανένδοξοι καὶ ἅγιοι τοῦ Χριστοῦ ὁμολογηταὶ καὶ μάρτυρες ἐν τῇ αὐτῇ ἀπεστάλησαν μονῇ ἀπὸ Ἱεροσολύμων παραγενόμενοι. Ταύτην τοίνυν τὴν μονὴν, εὐθηνουμένην πάνυ ἔν τε χρήμασι καὶ κτήμασι καὶ ἀναλώμασιν, ὁ ἀσεβὴς Κωνσταντῖνος ὁ Κοπρώνυμος, διὰ τὸ ἐν αὐτῇ κατοικεῖν ὀρθοδόξους καὶ ἁγίους πατέρας, οὐ μὴν (108α1) ἀλλὰ καὶ διὰ τὸν ἐν ἁγίοις καὶ μέγαν πατριάρχην Γερμανὸν, ὁ γὰρ τούτου πατὴρ, διὰ τὸ ὑπ' αὐτοῦ τοῦ θεσπεσίου πατρὸς Γερμανοῦ ἀναθέματι αἰωνίῳ παραδοθῆναι καὶ ὑπ' αὐτοῦ ἐξορίστου γεγονότος ἐν ταύτῃ τῇ λαμπρᾷ καὶ ὀρθοδόξῳ μονῇ, ἐγύμνωσέ τε καὶ ἐξηφάνισεν καὶ μικροῦ δεῖν κατηδάφισεν· ἐκτυφλώσας γὰρ τὸν τῆς αὐτοῦ ἀδελφῆς Ἄννης σύζυγον, τὸν ὀρθοδοξότατον ἄνακτα, Ἀρτάβασδον τοὔνομα, ἐν ὑπερορίᾳ κατεδίκασεν ἐν τῇ προλεχθείσῃ μονῇ σὺν τῇ αὐτοῦ συζύγῳ καὶ τοῖς αὐτοῦ ἐννέα παισίν, καταγώγιον κοσμικὸν ἀπεργασάμενος καὶ παντελῶς γυμνώσας αὐτὴν ἐκ τῆς τῶν μοναχῶν συναυλίας· εἰς ἣν μονὴν κατάκεινται (α2) τὰ αὐτῶν ὀρθόδοξα λείψανα. Ἐν ταύτῃ τοίνυν τῇ σεβασμίᾳ μονῇ, καθὼς προλέλεκται, ὁ μέγας καὶ ἅγιος πατριάρχης Γερμανὸς τέλει τοῦ βίου ἐχρήσατο, εἰς ἣν καὶ κατάκειται τὸ καρτερικὸν καὶ ἅγιον αὐτοῦ λείψανον. Ταύτης ἕνεκα τῆς αἰτίας, τὸν ἐν ἁγίοις ὁμολογητὴν Μιχαὴλ ὁ ἐν ἁγίοις τελετάρχης Μεθόδιος ἡγούμενον προὐβάλλετο τῆς τοιαύτης μονῆς. Τὸν δὲ πάνσοφον καὶ μέγαν Θεοφάνην μητροπολίτην κεχειροτόνηκε τῆς κατὰ

1. ἐντεῦθεν ἡ Γ' στάσις (ὁ κώδηξ ὀνομάζει καθίσματα τὰς στάσεις).

2. ὁ κώδηξ οὕτως λύμοις.

3. ὁ κώδηξ παιδίον.

Νίκαιαν ἁγιωτάτης ἐκκλησίας . . . . (108 β2) ὁ γὰρ ἁγιώτατος πατριάρχης οὕτω προσεῖχε τοῖς παρὰ τοῦ πατρὸς ἡμῶν Μιχαὴλ λεγομένοις καὶ πραττομένοις, ὡς ἐκ Θεοῦ καὶ οὐκ ἐξ ἀνθρώπων ἐνεργουμένοις. Τούτων δὲ οὕτως πραχθέντων, ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ ὁμολογητὴς Θεόδωρος, ὁ γνήσιος συναίμων τοῦ ἁγίου Θεοφάνους, τέλει (109 α1) τοῦ βίου ἐχρήσατο τῇ εἰκάδι καὶ ἑβδόμῃ τοῦ δεκεμβρίου μηνός, ζήσας ἔτη ἑβδομήκοντα· οὗτινος καὶ ἡ βίβλος ἡ λεγομένη *Κυνόλυκος* τῆς αὐτοῦ σοφίας τὸ ὑψηλὸν καὶ ἀκρότατον ἀναφανδὸν διαπρυσίως κηρύττει, τῶν δὲ αἱρετικῶν καὶ εἰκονοκαυστῶν ἐμφράττει τὰ ἀπύλωτα στόματα διὰ τῶν πανσόφων αὐτοῦ ἀποδείξεων, τῶν ἐκ τῶν θείων Γραφῶν συλλεγέντων. Ὁ δὲ μέγας καὶ θεοφόρος Θεοφάνης σὺν τῷ αὐτοῦ καθηγητῇ, τῷ πανσόφῳ Μιχαὴλ, ἐγκωμίοις καταστέψαντες τὴν αὐτοῦ ἁγίαν καὶ θεοφόρον κοίμησιν, τοῦτον κατέθεντο ἐν θήκαις ὁσίαις καὶ παρέδωκαν τῇ σορῷ τῶν πρὸ αὐτοῦ τετελευτηκότων ἁγίων πατέρων. Τοῦ δὲ ὁμολογητοῦ Θεοφάνους, ὀρθοδόξως ποιμάναντος τὴν αὐτοῦ λογικὴν (α 2) ποίμνην ἐπὶ τέτρασιν ἔτεσιν καὶ καρποὺς πεπείρους τῷ Θεῷ προσκομίσαντος . . . . καταλαβόντος ποτὲ τὴν παν-ευδαίμονα Κωνσταντινούπολιν, καὶ πρὸς τὸν τῆς αὐτῆς ἀρχιερέα εἰσελθόντος καὶ τοῦτον ἀσπασαμένου, παρεγένετο καὶ πρὸς τὴν μονὴν τῆς Χώρας πρὸς τὸν αὐτοῦ καθηγητὴν καὶ κηδεμόνα Μιχαὴλ, καὶ τοῦτον ἀσπασάμενος ἦν σὺν αὐτῷ χρόνον οὐκ ὀλίγον· καὶ δὴ, ἀρρωστίᾳ περιέπεσεν, ἐν ᾗ καὶ τετελεύτηκεν . . . . (109 β2) ἑνδεκάτῃ τοῦ ὀκτωβρίου μηνὸς τῆς ἐννάτης ἰνδικτιῶνος[1], ἐπὶ . . . . . Μιχαὴλ καὶ Θεοδώρας, ὧν ἐτῶν ἑξήκοντα καὶ ἑπτά. Τούτου τοίνυν τοῦ πανσόφου Θεοφάνους ἡ τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία πολλὰ πονήματα καὶ διδασκαλίας κατέχει ὡς θησαυρὸν ἄσυλον παρ' ἑαυτῇ ἀποθησαυρίσασα· οὗτος γὰρ δεύτερος Δαυὶδ μελῳδὸς ἀνεδείχθη· τὰς γὰρ θείας πανηγύρεις τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν, καὶ τῆς αὐτοῦ πανάγνου μητρὸς, καὶ τῶν αὐτοῦ ἐν(110 α1)δόξων προφητῶν, ἀποστόλων, μαρτύρων, ὁσίων τε καὶ δικαίων, οὐ μὴν ἀλλὰ καὶ ἀρχαγγέλων κανόσι θείοις καὶ εὐμελεστάτοις κατεκόσμησεν. Τοῦτον τοίνυν τὸν μέγαν Θεοφάνην ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ μέγας Μιχαὴλ ἐγκωμίοις ἐπιταφίοις καταστέψας κατέθετο ἐν θήκαις ὁσίαις τῆς αὐτοῦ σεβασμίας μονῆς, πλησίον τοῦ καρτερικοῦ καὶ ἁγίου λειψάνου τοῦ πανσόφου καὶ ὁμολογητοῦ Γερμανοῦ. Καὶ ταῦτα μὲν οὕτως περὶ τῆς σεπτῆς αὐταδέλφου ξυνωρίδος Θεοδώρου καὶ Θεοφάνους τῶν ὁμολογητῶν καὶ μαρτύρων ἐπράχθη τε καὶ ἐγένετο . . . . . (α2) Μάθωμεν τί καὶ περὶ τὸν θεοφόρον καὶ ὁμολογητὴν Μιχαὴλ ὁ τῶν ὅλων Θεὸς θαυματουργεῖ. Μετὰ τὸ προβληθῆναι αὐτὸν εἰς τὴν τοιαύτην μονὴν ἡγούμενον, εὗρεν αὐτὴν πάνυ ὀλιγωθεῖσαν καὶ μικροῦ δεῖν κατεσκαμμένην· παρὰ γὰρ τῶν αἱρετικῶν ἐκδιωχθέντων τῶν μοναχῶν καὶ σκηνωσάντων πάνυ ὀλίγων ἔν τινι (110 β1) ἀγρῷ τῆς αὐτῆς μονῆς, Καστόρεον οὕτω λεγόμενον, ἐν τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Τρύφωνος, καὶ μετὰ πολλῆς στενοχωρίας τὸν ἑαυτῶν βίον διαγόντων, ὁ πανόσιος πατὴρ ἡμῶν ἀποστείλας καὶ τούτους πρὸς ἑαυτὸν ἀγαγὼν, καὶ τῇ αὐτῶν μονῇ καθιδρύσας, ἦν σὺν αὐτοῖς ἐκτελῶν τὴν τοῦ Θεοῦ δοξολογίαν . . . . . καὶ δὴ, οὐ μετὰ πολὺν χρόνον, ἐπληθύνθη ἡ αὐτοῦ συνοδία καὶ ἔφθασε μέχρι τῶν ἑκατὸν μοναχῶν. Ὡς δὲ περὶ τῶν σωματικῶν χρειῶν ἐστενοῦτο πάλιν ἡ αὐτοῦ ἐνάρετος καὶ θεοφιλὴς συνοδία, (β2) βουλῇ θεαρέστῳ χρησάμενος πρὸς τὸν ἐν ἁγίοις πατριάρχην Μεθόδιον . . . . . ζητεῖ παρ' αὐτοῦ βοήθειαν· ὁ δὲ μέγας Μεθόδιος τοῦτον παραλαβὼν ἀνέρχεται πρὸς τὸν ἄνακτα Μιχαὴλ καὶ τὴν αὐτοῦ θεοσεβεστάτην μητέρα καὶ δῆλα ποιεῖ ταῦτα, καὶ αἰτοῦνται παρ' αὐτοῦ συμμαχίαν, ὥστε, ὅπου ἂν ἐξεδόθη παρὰ τοῦ Κοπρωνύμου τῆς αὐτῆς εὐαγεστάτης μονῆς εἴτε οἴκημα, εἴτε καὶ ἀγρὸς, κελεύσει ἡ αὐτοῦ βασιλεία, ἀνυπερθέτως, χωρὶς πάσης ἀντιλογίας, ἀποδοθῆ(111 α1)ναι πάντα πρὸς τὴν τοιαύτην αὐτοῦ βασιλικὴν μονήν· καὶ δὴ τούτου γεγονότος καὶ τῆς αὐτοῦ συνοδίας ἐν εὐθηνίᾳ πολλῇ καταστάσης[1], ηὔξανεν ἡ τοῦ Θεοῦ ποίμνη καὶ προέκοπτε ταῖς κατὰ Θεὸν ἀρεταῖς καὶ ταῖς πανσόφοις αὐτοῦ διδασκαλίαις καὶ παραινέσεσιν . . . . . ὥστε πάντας σχεδὸν τοὺς τοῦ παλατίου καὶ τῆς καθολικῆς ἐκκλησίας φοιτᾶν πρὸς αὐτὸν, εὐχῆς χάριν καὶ ἀπολαύσεως τῆς αὐτοῦ πανσόφου διδασκαλίας . . . . καὶ ὁ μέγας πατριάρχης Μεθόδιος μικροῦ δεῖν ἀχώριστος (α2) ἦν πάντοτε τοῦ θεοφόρου Μιχαήλ.

Ὡς δὲ ταῦτα οὕτως εἶχεν, ἔφθασε καὶ ἡ ἁγία αὐτοῦ καὶ ἔνδοξος ἐκ τοῦ βίου τούτου τοῦ ματαίου μετάστασις· εἰς γὰρ ἕσχατον γῆρας ἦν ἐληλακὼς, μέχρι που τῶν ὀγδοήκοντα καὶ πέντε ἐτῶν . . . . . (111 β2) Ταῦτα αὐτοῦ εὐξαμένου, ἐκέλευσε κροῦσαι τὸ ξύλον, καὶ, συναχθείσης τῆς συνοδίας, ἤρξατο τῶν ὀρθρινῶν ὕμνων τῆς τοῦ Θεοῦ δοξολογίας· τῆς δὲ κρούσεως τοῦ ξύλου παρὰ τὸ εἰωθὸς γενομένης, ἐπυνθάνοντο οἱ αὐτοῦ φοιτηταὶ λέγοντες· Τίς ἡ αἰτία, πάτερ, δι' ἣν οὕτως, παρὰ τὸ εἰωθὸς, πεποίηκας; Τότε δὲ, μετὰ τὴν ἀπόλυσιν τῶν ἑωθινῶν ὕμνων, (112 α1) λέγει αὐτοῖς ὁ θεσπέσιος Μιχαήλ· Μηδὲν ὑμῖν λυπηρὸν καταφανεῖ, τέκνα μου ἀγαπητά· ὁ γὰρ κύριός μου Ἰησοῦς Χριστὸς προσεκαλέσατό με τοῦ ἀναλῦσαι καὶ σὺν αὐτῷ εἶναι[1] . . . . . (112 β1). Ταῦτα δὲ αὐτοῦ εἰπόντος, ἀπέλυσε πάντας· καὶ δὴ, ἔωθεν ἀνέρχεται πρὸς τὸν ἁγιώτατον πατριάρχην Μεθόδιον . . . . πρὸς τὸ οὗς κατ' ἰδίαν ἔφη· Καὶ γὰρ, μακαριώτατε καὶ οἰκουμενικὲ διδάσκαλε, χαρῆναι καὶ εὐφρανθῆναι δεῖ, ὅτι ὁ κύριός μου καὶ Θεὸς Ἰησοῦς ὁ Χριστὸς προσκέκληκέν με τὸν ἀνάξιον εἰς τὴν αὐτοῦ βασιλείαν. Ὡς δὲ τούτων ἤκουσεν ὁ ἁγιώτατος ἀρχιεπίσκοπος λύπης ἐπληρώθη, καὶ λέγει αὐτῷ· Ἀπέλθωμεν δὴ, μακαριώτατε, πρὸς τοὺς (β2) ἡμῶν βασιλεῖς· καὶ παραλαβὼν τοῦτον . . . . . καὶ τούτους ἀπολαβὼν κατ' ἰδίαν ὁ πατριάρχης ἀπήγγειλεν αὐτοῖς τὰ τοῦ πράγματος· οἱ δὲ, προσκαλεσάμενοι τὸν μακαριώτατον Μιχαὴλ . . . . . εὐχὴν αἰτοῦντες καὶ πρεσβείαν ποιεῖσθαι πρὸς τὸν τῶν ὅλων Θεόν . . . . . Καὶ δὴ, συνταξάμενος τούτοις ὁ μέγας Μιχαὴλ καὶ τελευταῖον ἀσπασάμενος . . . . . (113 α1) ἀπέστη ἀπ' αὐτῶν. Κατελθόντων δὲ ἀμφοτέρων, τοῦ τε πατριάρχου καὶ τοῦ μεγάλου Μιχαὴλ, ὁ ἁγιώτατος πατριάρχης (α2) παρέλαβεν αὐτὸν μετ' αὐτοῦ καὶ ἀνῆλθον εἰς τὸ αὐτοῦ κελλίον· καὶ παρακαλεῖ αὐτὸν μεῖναι σὺν αὐτῷ μέχρι τῆς ὡρισμένης αὐτῷ παρὰ Θεοῦ τελευταίας ἡμέρας· ὁ δὲ ὅσιος, μὴ γινώσκων παρακούειν, εἶξεν τῇ αὐτοῦ παρακλήσει καὶ ἦν σὺν αὐτῷ εὐφραινόμενος καὶ σχολάζων τῇ τε εὐχῇ καὶ νηστείᾳ καὶ ταῖς παννύχοις στάσεσί τε καὶ ἀγρυπνίαις. Μετὰ δὲ πέντε ἡμέρας, πρὸ τῆς αὐτοῦ τελευτῆς, παρακαλεῖ τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην Μεθόδιον ἀπολῦσαι αὐτὸν εἰς τὴν αὐτοῦ μονὴν, πρὸς τὸ τελειωθῆναι αὐτὸν ἐν τῷ αὐτοῦ κελλίῳ· ὁ δὲ . . . . . (113 β1) ἀπέστειλεν αὐτὸν μετὰ πάσης δορυφορίας τοῦ αὐτοῦ εὐαγοῦς κλήρου. Εἰσελθόντος δὲ αὐτοῦ εἰς τὴν αὐτοῦ μονὴν, εἰσέρχεται ἐν τῷ ναῷ τοῦ ἁγίου ἱερομάρτυρος Ἀνθίμου, καὶ, οἱονεὶ συνταξάμενος αὐτῷ τῷ τοῦ Χριστοῦ μάρτυρι ὁ τοῦ Χριστοῦ ὁμολογητὴς καὶ μάρτυς, κατέρχεται ἐν τῇ ἐκεῖσε λεγομένῃ Καταφυγῇ, ἐν ᾗ ἐναπόκεινται τὰ καλλίνικα καὶ ἅγια λείψανα τῶν ἁγίων μαρτύρων Βαβύλα καὶ τῶν σὺν αὐτῷ ὀγδοήκοντα τεσσάρων νηπίων, καὶ πεσὼν εἰς τὰς αὐτῶν ἁγίας θήκας ἱκέτευε τοὺς ἁγίους μάρτυρας συνοδεῦσαι αὐτῷ ἐν τῇ ὁδῷ, ᾗ ἤμελλε πο(β2)ρεύεσθαι, τηρῆσαι δὲ τὴν αὐτοῦ καὶ αὐτῶν σεβασμίαν μονὴν ἄτρωτον ἐκ τῶν τοῦ πονηροῦ σκανδάλων· συνταξάμενος δὲ τοὺς μάρτυρας, ἐξῆλθε τοῦ ναοῦ, καὶ ἀπέλυσε πάντας τοὺς μετ' αὐτοῦ ἐλθόντας κληρικοὺς τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, ἀσπασάμενος τούτους ἐν φιλήματι ἁγίῳ καὶ ἐπευξάμενος αὐτούς. Αὐτῶν δὲ ἐξελθόντων, ἰδοὺ οἱ αὐτοῦ φοιτηταὶ ὑπήντησαν αὐτῷ μετὰ κηρῶν καὶ θυμιαμάτων ψάλλοντες τὸ Δόξα σοι, Χριστὲ ὁ Θεὸς, ἀποστόλων καύχημα, μαρτύρων ἀγαλλίαμα, καὶ τὰ ἑξῆς· καὶ ἀσπασάμενος τούτους ἔρχεται μετ' αὐτῶν ἐν τῷ ναῷ τῶν ἁγίων τεσσαράκοντα μαρτύρων· καὶ δὴ, συνταξάμενος καὶ αὐτοὺς, εἰσέρχεται (114 α1) ἐν τοῖς σοροῖς τῶν ἁγίων καὶ ὁμολογητῶν πατέρων ἡμῶν Γερμανοῦ καὶ Θεοφάνους, καὶ πίπτει ἐπάνω τῶν αὐτῶν ἁγίων τύμβων ἐχόμενος μετὰ δακρύων, καὶ λέγων· Ἰδοὺ, ἅγιοι καὶ ὁμολογηταὶ τοῦ Χριστοῦ καὶ θεοφόροι πατέρες· ἔρχομαι πρὸς ὑμᾶς, κελεύσει Θεοῦ, σύγκοιτος ὑμῶν σωματικῶς γενησόμενος· δέομαι δὲ ὑμῶν ἵνα καὶ συγχορευτὴς ὑμῶν γένωμαι ἐν τῇ ἄνω Ἱερουσαλὴμ, εὐχαῖς ὑμῶν. Συνταξάμενος δὲ καὶ αὐτοὺς, ὑποδείκνυσι τὸν τόπον, ἐν ᾧ ἔμελλε κατατίθεσθαι τὸ αὐτοῦ καρτερικὸν καὶ ἀθλητικώτατον ἅγιον σῶμα, καὶ ἀνέρχεται ἐν τῷ αὐτοῦ κελλίῳ. Τῷ δὲ σαββάτῳ, ἤγουν τῇ ἐννεακαιδεκάτῃ τοῦ δεκεμβρίου μηνὸς, τῇ παραμονῇ τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου, ἐκέλευσε παννύχιον ἀγρυπνίαν γενέσθαι ἐν τῷ αὐτῷ εὐ(114 α2)κτηρίῳ οἴκῳ, τῷ ὄντι ἐν τῷ ναῷ τοῦ ἁγίου ἱερομάρτυρος Ἀνθίμου· τούτου δὲ γενομένου, μετὰ τὰς ἑωθινὰς ὑμνῳδίας, ἀνέρχεται ἐν τῷ αὐτοῦ κελλίῳ καὶ προσκαλεῖται τοὺς αὐτοῦ φοιτητὰς, πολλοὺς ὄντας, καὶ λέγει αὐτοῖς· Ἀπὸ τοῦ νῦν, ἄλλην ἀγρυπνίαν οὐ ποιῶ μεθ' ὑμῶν ἐν τῷδε τῷ σαρκίῳ· ὡς γὰρ εἶπον ὑμῖν ὅτι προσκέκληκέν με ὁ Θεός. Τούτου λεχθέντος

1. δῆλα δὴ τῷ 845 ἔτει.

1. ὁ κώδηξ καταστάντος.

1. ἔπονται συμβουλαὶ περὶ τηρήσεως τῆς μοναχικῆς πολιτείας καὶ τῶν ὀρθῶν δογμάτων.

παρὰ τοῦ ἁγίου, ἤρξαντο θρηνεῖν καὶ ὀλοφύρεσθαι πάντες, τὴν στέρησιν μὴ φέροντες τοῦ σεβασμίου πατρός. Ὁ δὲ μέγας τοῦ Θεοῦ ἄνθρωπος, σύνδακρυς γεγονώς, λέγει πρὸς αὐτούς· Ὑπομείνατε, ὦ πατέρες καὶ ἀδελφοί, ὑπομείνατε ἐν τῷ τόπῳ τούτῳ εὐχαρίστως τοὺς ἐπερχομένους ὑμῖν πειρασμοὺς φέροντες ἄχρι τῆς ἀπὸ (1141) τοῦ βίου τούτου ἐξόδου· καὶ ὑπήκοοι τὸ κατὰ δύναμιν τοῖς μετ' ἐμὲ γινομένοις ἡγουμένοις ὑμῖν γενήθητε· κἀγὼ δώσω λόγον τῷ Θεῷ ὑπὲρ ὑμῶν ἐν τῇ φοβερᾷ τῆς κρίσεως ἡμέρᾳ, ἐν ᾗ ἔρχεται ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Καὶ ταῦτα εἰπών, καὶ τὸ τελευταῖον ἅπαντας ἀσπασάμενος, οὕτω τυποῖ τὰς χεῖρας εἰς προσευχὴν κείμενος ἐν τῇ κλίνῃ· καὶ τὸ τελευταῖον. Εἰς χεῖράς Σου, λέξας, παρατίθημι τὸ πνεῦμά μου, τετελείωται τῇ τετάρτῃ τοῦ ἰανουαρίου μηνός» (=846).

ΕΚΛΟΓΑΙ ΕΚ ΤΗΣ ΒΙΟΓΡΑΦΙΑΣ

ΣΑΒΑ ΤΟΥ ΚΟΙΝΟΒΙΑΡΧΟΥ

Τὸ κείμενον τῆς βιογραφίας, ὅπερ ὑπ' ὄψιν ἔχω, μετεγράφη πρὸ δέκα καὶ ἓξ ἐτῶν ὑπὸ τοῦ λογίου συγγενοῦς μου Π. Α. Πετρίδου ἐκ μεμβρανίνου κώδηκος τῆς ἐν Ἄθῳ μονῆς τῶν Ἰβήρων, ὡς ἐσημειώσατό μοι. Ἀτυχῶς, ἀδηλώτους ἀφῆκε τόν τε τοῦ κώδηκος ἀριθμὸν καὶ τὸν ἀριθμὸν τῶν τε φύλλων καὶ σελίδων καὶ στηλῶν, καὶ συνεπῶς ἀδύνατον ἐγένετό μοι ἐξετάσαι τὸ χειρόγραφον. Ἐκδίδωμι τοῦ πρωτοτύπου κειμένου τὰ κυριώτερα μέρη, τὰ ἀφορῶντα εἰς τὴν ἱστορίαν τοῦ ἐν Παλαιστίνῃ μοναχικοῦ θεσμοῦ καὶ τὰς ἐν τῷ ΣΤ΄ αἰῶνι ἐκκλησιαστικὰς ἀτασθαλίας, βοήθημα προσφέρων χρήσιμον τοῖς εἰς τὴν Ἐκκλησιαστικὴν Ἱστορίαν ἀσχολουμένοις διὰ τῆς βιογραφίας ταύτης, ἥτις, ἀρχομένη μὲν «Οὐδὲν οὕτω κινῆσαι ψυχὴν εἰς ἀρετῆς ἐπιθυμίαν ἀνυσιμώτατον, ὡς ἀνδρῶν βίος ἀρίστων ἀκοαῖς φιλοθέων παραδιδόμενος», λήγουσα δὲ «καὶ τῆς ἀνωμαλίας ἀνέπνευσαν καὶ ἀστασίαστον τὸ λοιπὸν ἦγον καὶ εἰρηναίαν διαγωγήν, χάριτι καὶ φιλανθρωπίᾳ» κλπ. ἀποδίδοται εἰς Συμεὼν τὸν Μεταφραστήν, ὅστις ὑπ' ὄψεις εἶχε τὴν ἐκτενεστέραν βιογραφίαν τοῦ Σάβα, γραφεῖσαν ὑπὸ Κυρίλλου Σκυθοπολίτου· κατὰ πόσον ὁ θαυμάσιος Συμεὼν μετέγραψεν ἐξ ἐκείνης κεφάλαιά τινα καὶ κατὰ πόσον ἠντλησεν ἄλλοθεν, βλέπει ὁ ἀναγινώσκων τούτου τε τὸ κείμενον καὶ τὴν ὑπὸ Cotelerii καὶ τελευταῖον ὑπὸ Πομιαλόβσι ἐκδεδομένην βιογραφίαν, τὴν ὑπὸ Κυρίλλου γραφεῖσαν. Ὅτι δὲ ταύτην εἶχεν ὑπ' ὄψιν ὁ Συμεὼν δείκνυσιν ἐν παραγράφοις νζ΄ καὶ νξ΄ καὶ προηγουμένως ἐν τῷ κγ΄· αὐθεντικαὶ δὲ πηγαὶ τῆς ἀρχαιοτέρας βιογραφίας εἰσὶν αἱ μαρτυρίαι Γρηγορίου τοῦ πρεσβυτέρου, ἀνεψιοῦ τοῦ Σάβα, καὶ τῶν τοῦ Σάβα μαθητῶν Παύλου καὶ Ἰωάννου. Εἰρήσθω δ' ὅτι Ἰωάννης οὗτος «ὁ θεσπέσιος κατὰ πόδας ἐπίσκοπος», γεννηθεὶς τῷ 454, ἦλθεν εἰς τὴν λαύραν τοῦ ὁσίου Σάβα τῷ 492, ὡς ἐν §§ ιζ΄ καὶ ιθ΄ φαίνεται.

Περὶ τῶν ὑπό τε τοῦ Σάβα καὶ τινων αὐτῷ συγχρόνων μοναχῶν ἱδρυθέντων μοναστηρίων ἐν Παλαιστίνῃ μνεία γίνεται πολλαχοῦ τῆς βιογραφίας ταύτης: καθ' ἣν

φαίνονται τῷ 484 μονάζοντες ὑπὸ Σάβαν **Ἰωάννης** ὁ κατόπιν ἡγούμενος τῆς **Νέας Λαύρας, Ἰάκωβος,** ὁ μετὰ ταῦτα συστήσας τὴν ἐν **Ἰορδάνῃ Λαύραν τῶν Πυργίων,** βυζάντιος ἀνήρ, τριακονταετίαν προστὰς αὐτῆς, **Φιρμῖνος** ὁ τὴν ἐν **Μαλισχᾷ Λαύραν** ἱδρύσας, **Σεβηριανὸς** ὁ δομήτωρ τῆς ἐν **Καπαρβαριχᾷ μονῆς,** καὶ **Ἰουλιανὸς** ὁ δημιουργὸς τῆς ἐν **Ἰορδάνῃ μονῆς Νεελκαραβᾶ·** ταῦτα κατὰ τὰ γραφόμενα ἐν §§ ιγ΄, κθ΄ καὶ λβ΄. Μικρῷ δὲ πρὸ τοῦ 492 ἀναφέρονται **Μαρκιανὸς,** ἀρχηγὸς τῶν ἐν **Βηθλεὲμ κοινοβίων** (§ κα΄ καὶ αὐτόθι ὡσαύτως), **Παῦλος** ὁ πρῶτος ἡγούμενος τῆς **τοῦ Καστελλίου Λαύρας** μετὰ τὸ 492, Θεόδωρος ὁ τούτου μαθητὴς καὶ δεύτερος ἡγούμενος μετὰ τὸν τοῦ διδασκάλου θάνατον, τρίτος Σέργιος, ὅστις ἐν ἀρχαῖς τοῦ ΣΤ΄ αἰῶνος ἐπίσκοπος ἐγένετο Αἰλᾶ, καὶ τέταρτος Παῦλος, ὃς συγχρόνως σχεδὸν ἐχειροτονήθη τῆς Ἀμαθοῦντος ἐπίσκοπος. Ἐν ἀρχαῖς τῆς ΣΤ΄ ἑκατονταετηρίδος λαμβάνει τὴν γένεσιν αὐτῆς, σημειώδη, ἡ **περὶ Γάβαρα καὶ Σκυθόπολιν μονή,** ἣν ἀνέδειξε τοιαύτην, μετὰ τὸν τοῦ Σάβα θάνατον, **Εὐμάθιος** ὁ ἐξ Ἰσαυρίας, μεθ' ὃν ἐγένετο (δεύτερος) ἡγούμενος Ταράσιος, ἴσαυρος καὶ αὐτός, ἐπ' ἀρετῇ διαβόητος (§§ κε΄, κστ΄)· ταύτῃ δὲ σύγχρονος ἐγένετο ἡ **μονὴ** τῆς ἐν Παλαιστίνῃ **Νικοπόλεως** (§§ κστ΄, κζ΄, κη΄), ἧς πρῶτος ἡγούμενος ὑπὸ Σάβα κατεστάθη **Σεβῆρος,** οὗ θανόντος, ἐγένετο Δόμνος, καὶ μετὰ Δόμνον ὁ Σαβάρων, ὃν εἶδεν ὁ τῆς βιογραφίας συγγραφεύς. Ἐν §§ κη΄ καὶ κθ΄ γίνεται μνεία τῆς ἐν **Θεκώοις Νέας Λαύρας,** ἧς ἡγούμενος Ἰωάννης ὁ «κατὰ πόδας ἐπίσκοπος» (§ ιθ΄), ὁ ἐξ Ἑλλάδος, μεθ' ὃν ἐγένετο Παῦλος ὁ ἐκ Ῥώμης, οὗ παραιτησαμένου καὶ φυγόντος εἰς τὴν ἐν Ἀραβίᾳ Βαριχᾶν, αὐτὴν, ὡς νομίζω, τὴν ἐν §§ ιγ΄ καὶ κθ΄, Ἀγαπητὸν ἐγκατέστησεν ὁ Σάβας τρίτον ἡγούμενον, μεθ' ὃν ἐγένετο Μάμας. Ἐν §§ κη΄ καὶ λ΄ ἀναφέρονται ἡ **μονὴ τοῦ Σπηλαίου,** ἧς πρῶτος ἡγούμενος **Παῦλος,** καὶ ἡ τοῦ **Σουκᾶ Λαύρα,** ἧς ἡγούμενος **Ἀκυλῖνος,** ὡς καὶ ἐν § νϐ΄ ἡ **μονὴ τῶν Ἠλιοῦ,** ἧς ἡγούμενος Ἀλέξανδρος τῷ 527. Μνεία δ' ἁπλῆ συστάσεως μονῶν γίνεται ἐν §§ λδ΄, λστ΄, νϐ΄ καὶ νζ΄, τῆς **τοῦ Ζάνου μονῆς,** τῆς ἐν **Ἐπταστόμῳ Λαύρας,** τῆς **τῶν εὐνούχων μονῆς,** μικρῷ πρὸ τοῦ 527, καὶ τῆς **Ἱερεμίου Λαύρας,** τῷ 531. Τῆς δὲ τοῦ ἐν ἁγίοις **Πασσαρίωνος μονῆς** ἡγούμενος ἀναφέρεται τῷ 457 Ἐλπίδιος, μεθ' ὃν Ἠλιοῦ, καὶ μετὰ τοῦτον ἡγήσατο Λάζαρος, τέταρτος δ' ἡγούμενος ἦν Γερόντιος καὶ πέμπτος Ἀναστάσιος, ὡς ἐν §§ γ΄ καὶ κγ΄ δείκνυται. Τέλος ἐν §§ δ΄ καὶ η΄, μνείας γενομένης τοῦ **κάτω φροντιστηρίου τῆς Εὐθυμίου Λαύρας,** ἡγούμενος ἀναφέρεται τῷ 457 Θεόκτιστος, οὗ θανόντος (ὡς ἐν § η΄) Μάριν ὁ Εὐθύμιος προεβάλετο τῷ 467, καὶ τούτου δὲ θανόντος μετὰ διετίαν ἐξελέξατο Λογγῖνόν τινα, σπουδαῖον. Τῆς δὲ **τῶν Σπουδαίων μονῆς** ἀναφέρει τὴν ἵδρυσιν ὁ συγγραφεὺς ὑπὸ Ἠλία πατριάρχου Ἱεροσολύμων γενομένην περὶ τὸν πύργον Δαυῒδ «ἐν τῇ ἐπισκοπῇ».

Αἱ περὶ τῆς λαύρας τοῦ ἁγίου Σάβα εἰδήσεις εἰσὶν ὀλίγαι. Γεννηθεὶς ὁ ὅσιος ἀνὴρ, καθὰ φρονεῖται, τῷ 439, τριακονταέτης ἐξῆλθεν εἰς τὴν ἔρημον, ἐν ᾗ καταμένων κατεσκεύαζε «σπυρίδας, ἃς δὴ καὶ μαλάκια τὸ σύνηθες οἶδε καλεῖν»· διακρινομένων δὲ τῶν μοναχῶν εἰς ἀναχωρητικοὺς καὶ κοινωνικούς, ἰδιορρυθμίτας καὶ κοινοβιώτας, ὡς σήμερον λέγομεν, τῶν μὲν πρώτων ἡγούμενος ὑπὸ Σαλουστίου Ἱεροσολύμων κατεστάθη Σάβας, τῶν δὲ κοινωνικῶν Θεοδόσιος, τῶν περὶ τὴν ἁγίαν πόλιν μοναστηρίων ἐξάρχοντες (§§ η΄, κγ΄). Προκειμένου δὲ λόγου περὶ τῶν ἐν τοῖς τοῦ Σάβα φροντιστηρίοις οἰκοδομῶν, ἀρχιτέκτονας ὁ βιογράφος ἀναφέρει Θεόδουλον καὶ Γελάσιον τοὺς ἐξ Ἰσαυρίας, ἀδελφοὺς ἀμφοτέρους, οἰκοδομήσαντας τὰ περὶ τὴν λαύραν μοναστήρια (§ κδ΄). Ἐκ δὲ τοῦ αὐτοῦ κεφαλαίου γίνεται γνωστὸν ὅτι ἐν ταῖς τοῦ ὁσίου Σάβα μοναῖς ἐγίνοντο πάννυχοι ἀγρυπνίαι κατὰ τὰς κυριακὰς καὶ τὰς ἐπιφανεστέρας καὶ δεσποτικωτέρας τῶν ἑορτῶν.

Ἕτεραι δὲ οἰκοδομαὶ καὶ ναοὶ ἀναφέρονται (§§ μδ΄, νστ΄) ἡ τοῦ ἐν Μουταλάσκῃ ναοῦ Κοσμᾶ καὶ Δαμιανοῦ τῷ 514 καί τινες οἰκοδομαὶ τοῦ Μ. Ἰουστινιανοῦ ἐν Ἱεροσολύμοις μετὰ τὸ 530, ὅτε ἀναφέρεται ἡ πρὸς τὸν αὐτοκράτορα τοῦτον (§ νγ΄) ἐπίσκεψις τοῦ Σάβα. Σημειοῦνται ἐπίσης **ἡγούμενοι τῆς τοῦ Σάβα λαύρας Μελιτᾶς,** ὑπ' αὐτοῦ τούτου τῷ 533 κατασταθείς, καὶ μετὰ τοῦτον **Γελάσιος,** μεθ' ὃν **Γεώργιος,** εἶτα **Κασιανὸς,** καὶ κατόπι **Κόνων** (§§ νη΄, ξδ΄) ἀπὸ τοῦ 534 ἢ 535-556.

Ἀρχιερεῖς ἀναφέρονται τῷ 535 καὶ μικρῷ μετὰ ταῦτα (§§ ξγ΄, λα΄, λβ΄) Θεόδωρος Καισαρείας Καππαδοκίας, Δομετιανὸς Ἀγκύρας, Μαρκιανὸς ἐπίσκοπος Σεβαστῆς, Ἀντώνιος ἐπίσκοπος Ἀσκάλωνος, υἱὸς Μαρκιανοῦ, καὶ Ἀβράμιος ἐπίσκοπος Κρατίας.

Εἰς τὴν καθόλου Ἐκκλησιαστικὴν Ἱστορίαν ἀναφέρονται αἱ ἐν Κωνσταντινουπόλει ἐκκλησιαστικαὶ ἔριδες ἐπὶ Ἀκακίου, Εὐθυμίου, Μακεδονίου καὶ Τιμοθέου τῶν πατριαρχῶν, ἡ εἰς τὴν πόλιν ταύτην ἀποστολὴ τῷ 512 πρεσβείας ἐκ Παλαιστίνης, ἡ ἐπιστολὴ Ἠλία τοῦ Ἱεροσολύμων, ἡ ἐν Σιδῶνι κατὰ τῶν πατριαρχῶν Ἀντιοχείας Φλαβιανοῦ καὶ Ἠλία τοῦ τῆς Ἁγίας Γῆς σύνοδος, οἱ ἀγῶνες τοῦ Σάβα κατὰ τῶν τὰ Σευήρου φρονούντων, ὡς ἐν §§ μ΄-μβ΄ φαίνεται. Εἰς δὲ τὴν θύραθεν ἱστορίαν ὁ τῷ 513 λοιμὸς καὶ λιμὸς ἐν Παλαιστίνῃ, καὶ ὁ θάνατος Ἀναστασίου τοῦ αὐτοκράτορος, ᾧ ἐπηκολούθησε τῇ 19 ἰουλίου 518 ὁ τοῦ Ἱεροσολύμων Ἠλία.

Πρέπει ἵνα εἴπω ὅτι τὴν κατὰ παραγράφους διαίρεσιν ἐποιήσατο ὁ τῶν βιογραφιῶν τούτων ἐκδότης, ὁ καὶ τὸ «Ἑορτολόγιον» γράψας.

§ α΄. Τούτῳ τοίνυν τῷ μακαρίῳ πατρὶς μὲν ἡ Καππαδοκῶν, ἐν κώμῃ δὲ τίκτεται Μουταλάσκῃ, φαύλῃ μὲν τὰ πρῶτα καὶ ἀσήμῳ καὶ ὑπὸ τῇ μητροπόλει Καισαρέων κειμένῃ· ἐπισήμῳ δὲ ὕστερον ἐκ τούτου· πατὴρ Ἰωάννης, μήτηρ Σοφία, λαμπροὶ τὸ γένος ἄμφω καὶ τὴν εὐσέβειαν· γεννᾶται δὲ κατὰ τὴν ὑπατείαν Θεοδοσίου. Ἤδη δὲ πέμπτον τῆς ἡλικίας ὁ θαυμάσιος οὗτος ἀνύων καὶ τῶν γονέων εἰς Ἀλεξάνδρειαν μετοικησαμένων, ἐκάλει γὰρ ἐκστρατεία τηνικαῦτά τις αὐτοὺς ἀναγκαίως, αὐτὸς ἐν τῇ Καππαδοκῶν, θειοτέρα τινὶ προνοίᾳ, παρὰ τῷ πρὸς μητρὸς θείῳ, Ἑρμείας ὄνομα τῷ ἀνδρί, μετὰ τῆς πατρικῆς οὐσίας ὑπολιμπάνεται· ἐκεῖθεν ἀπαναστὰς πρὸς Γρηγόριόν τινα, θεῖον καὶ αὐτὸν πρὸς πατρός, ἔν τινι κώμῃ, Σκαδὸς ὄνομα, παραγίνεται, δεικνὺς ἐκ προοιμίων ὥσπερ τὸ μισοπόνηρον, καὶ ὅτι πλεῖον ἀρετῆς αὐτῷ λόγος, ἢ συγγενείας· ἐπεὶ δὲ ὑπὸ τῷ Γρηγορίῳ ταττόμενος, πολλὴν ἑώρα τοῦτο τοῖν θείοιν ἐμποιοῦν τὴν διαφοράν, πᾶσαν ἀφορμὴν ἐκεῖνος σκανδάλου περιαιρῶν, ἱερῷ τινι φέρων ἑαυτὸν ἐγχειρίζει φροντιστηρίῳ, Φλαβιαναὶ μὲν καλουμένῳ, εἴκοσι δέ που σταδίοις Μουταλάσκης διεστηκότι, δείξας ὅτι πόνοι μᾶλλον εἰς ἀρετὴν φέροντες, ἢ ἄνεσις πρὸς κακίαν τοῖς εὖ φρονοῦσι προτιμητέοι. Εἰσδεχθεὶς οὖν φιλοφρόνως παρὰ τοῦ τηνικαῦτα τῆς μονῆς προεστῶτος, καὶ τῷ τῶν μοναχῶν ἐγκριθεὶς καταλόγῳ, ἐκεῖ λοιπὸν καὶ τὴν τῶν ἱερῶν ψαλμῶν ἀσκεῖται παιδείαν, καὶ πρὸς πᾶσαν ἄλλην ῥυθμίζεται τοῦ μοναχικοῦ κανόνος ἀκρίβειαν·

§ β΄. ἐντεῦθεν κοῦφον αὐτῷ μᾶλλον τῆς ἀρετῆς ἐγίνετο τὸ πτερόν, καὶ πᾶσαν τὴν ἐν Φλαβιαναῖς ἀδελφότητα, περίπου τοὺς ἑβδομήκοντα οὖσαν, ὑπακοῇ καὶ ταπεινώσει, καὶ πᾶσιν ἄλλοις κατορθώμασιν, εὐαγγελικῶς ὑπερίπτατο· ἀλλὰ ταῦτα μὲν ἔτι τῶν ἐν Φλαβιαναῖς διατριβῶν ἐκείνου τὰ διηγήματα, ὡς αὐτὸς ὕστερον ὁ ἀδελφριδοῦς ἐκείνου Γρηγόριος ἐμοὶ παραδέδωκεν, οὐ ψιλῶς οὕτω καὶ ἀνεγγύως, ἀλλὰ καὶ πίστιν ἱκανὴν εἰσφέρων ἀπὸ τοῦ βίου, καὶ τοῦ βαθμοῦ τοῦ τῶν ἱερέων ἠξιωμένος.

§ γ΄. Τίνα δὲ τὰ ἐντεῦθεν; ὁ μὲν οὖν ἱερὸς Σάβας, ἀναβάσεις ἐν τῇ καρδίᾳ τιθέμενος, καὶ μηδένα τοῦ θείου πόθου κόρον μηδὲ μέτρον εἰδὼς τῆς ἐφέσεως, νοῦν ἔσχε πόλιν τε τὴν ἁγίαν καταλαβεῖν, τόπους τε ἱστορῆσαι ἱεροὺς, τοὺς ἀνὰ τὴν ἔρημόν τε πατέρας περιελθεῖν καὶ τῆς ἐξ αὐτῶν ἀπώνασθαι ὠφελείας, ἣ καὶ τῇ παραθήξει τῆς αὐτῶν ἀγωγῆς ὀξυτέραν ἔτι τὴν ὁρμὴν πρὸς ἀρετὴν ἐπιδείξασθαι· ἀμέλει καὶ πρόσεισι τῷ τῆς μονῆς προεστῶτι, καὶ τὴν γνώμην ἀνακαλύπτει, καὶ παρ' αὐτοῦ αἰτεῖται τὴν ἀναχώρησιν· ὁ δὲ μὴ ἀφιείς, ἀλλ' ἄρχειν ἐθέλων νεότητος οὕτω κοσμίας καὶ ψυχὴν ἐχούσης σφόδρα περικαλλῆ, καὶ λιπαροῦντος οὐκ ἤκουε, καὶ ἀποδημεῖν ἐπειγόμενον οὐκ ἀνῄει, καὶ ὅλως παρακατέχειν αὐτὸν ἐπειρᾶτο· εἶτα θεία τις ἄνωθεν αὐτῷ ἐπιφοιτήσασα ὄψις ἀπολύειν ἐπισκήπτει τὸν Σάβαν, καὶ αὐτῷ μηκέτι διακωλύειν τὴν ἐκδημίαν. Ἐκεῖνος τοίνυν τῇ ὄψει πεισθεὶς ὑπανῆκεν εὐθέως καὶ ἄκων ἑκόντι τὴν ἔξοδον ἐπιτρέπει, ὁ δὲ, ὅπερ ἐπόθει τυχών, καὶ σὺν εὐχῇ ἐκεῖθεν ἀπολυθείς, ὑπὸ Θεῷ τῆς καλλίστης ἐκείνης πορείας ὁδηγῷ, τὴν ἐπὶ τὰ Ἱεροσόλυμα ἤλαυνεν· ἔτος μὲν ἐν τῇ μονῇ τῇ δὲ δέκατον ἀπαρτίσας, ἔτος δὲ τῆς ἡλικίας αὐτὸς ὄγδοον ἔχων ἐπὶ δεκάτῳ, ἐν ᾧ Μαρκιανός τε καὶ Ἰουβενάλιος, ἄμφω θεοφιλεῖς, ὁ μὲν τῆς βασιλείας, ὁ δὲ τῆς ἐν Ἱεροσολύμοις ἱεραρχίας, θανάτῳ παύονται[1]· χειμῶνος δὲ τὰ Ἱεροσόλυμα καταλαβών, καί τινι γέροντι καππαδόκῃ κατὰ τὸ σεμνεῖον τοῦ ἱεροῦ Πασσαρίωνος ἐπιξενωθείς, παρ' αὐτῷ μὲν τῷ τηνικαῦτα διαχειμάζει, ὕστερον δὲ ἄλλων ἀλλαχόσε τὸν μακάριον ἑλκόντων δεινῶς καὶ βιαζομένων, ἅτε δὴ πρὸς τῆς ἀρετῆς ἐκείνου πολλῷ πλέον ἀνθελκομένων αὐτῶν, ἑκάστου τε μένειν παρ' ἑαυτῷ δεομένου, καὶ αὐτοῦ τοῦ πρώτως αὐτὸν ἐπιξενωσαμένου γέροντος τοῦ σεμνείου μὴ ἀναχωρεῖν ἀξιοῦντος, ἐκεῖνος καθάπερ τινὰ μητέρα τῆς κατὰ Θεὸν πολιτείας τὴν ἡσυχίαν φιλῶν, οὐδενὶ μὲν αὐτῶν ἐπείθετο συνοικεῖν· ἀλλὰ μαθὼν τὰ κατὰ τὸν μέγαν Εὐθύμιον, ἔρωτι δεινῷ τῆς τοῦ ἀνδρὸς ὁμιλίας ἡλίσκετο· καὶ ἐπείπερ αὐτὸς ἑωσφώρου μᾶλλον ἐν τῇ πρὸς ἀνατολὰς ἐρήμῳ τοῖς θαύμασί τε καὶ ταῖς διδασκαλίαις ἐξέλαμπεν, ἐπόθει καὶ Σάβας τῷ φωτὶ τῶν Εὐθυμίου καλῶν συνεῖναί τε καὶ συνήδεσθαι, τρέφεσθαι καὶ αὐτὸς τὴν ψυχὴν, κατὰ τὰ εὐγενῆ τῶν φυτῶν, καὶ πνευματικῶς αὔξεσθαι· καθηγεῖτο μὲν οὖν τοῦ εἰρημένου σεμνείου ὁ θεῖος Ἐλπίδιος.

§ δ΄. Οὕτω δ' ἐπιθυμίας ἔχων ὁ μακάριος Σάβας πρόσεισιν ἀπαγγέλλων αὐτὴν τῷ θαυμαστῷ Ἐλπιδίῳ· τὸν δὲ καὶ αὐτὸν συνευδοκοῦντα εὑρὼν, τὰς ἐκείνου θείας εὐχὰς ἀντ' ἄλλου τινὸς ἐφοδίου λαβών, παρὰ τὸν μέγαν Εὐθύμιον ἀφικνεῖται· ἡμέρας οὖν ἐκεῖ τινὰς ἐπιμείνας, ἐπὶ τὴν σύναξιν, ὥσπερ ἔθος, ἀπιόντι τῷ Εὐθυμίῳ, τοῖς αὐτοῦ ποσὶ προσπεσών, ἐδεῖτο μετὰ δακρύων πρόβατον αὐτοῦ λογικὸν γενέσθαι καὶ ὑπ' αὐτῷ ποιμένι μετὰ τῶν ἄλλων ποιμαίνεσθαι· ὁ μέντοι μέγας Εὐθύμιος, ἄριστος ὢν τὰ τοιαῦτα παιδοτριβεῖν, οἷα διὰ πάσης καὶ αὐτὸς πείρας τῶν πνευματικῶν ἀγώνων ἐλθών, ἐπεὶ νέον ἔτι τὸν Σάβαν ἑώρα, οἰηθεὶς μὴ θερμότης μόνον ὀξύρροπος εἴη τὸ σπουδαζόμενον, τὴν ἐκ τῶν λογισμῶν κρίσιν καὶ τὸ ἐκεῖθεν βάρος οὐκ ἔχουσαν, οὐ πρότερον ἐφῆκεν αὐτῷ τῶν ἐν τῇ λαύρᾳ μοναχῶν τὴν συνοίκησιν, ἕως ἀγωγὴν πᾶσαν ἐν κοινοβίῳ μετῆλθε μοναχικὴν, καὶ τὴν ἀπαιτουμένην ἀκρίβειαν ἐπεδείξατο· ἀλλὰ καὶ πρὸς αὐτὸν, Ἀσύμβατον ὅλως, εἶπεν, ὦ τέκνον, νέον ὄντα σε εἰς λαύραν οἰκεῖν· τοῦτο γὰρ οὔτε τῇ λαύρᾳ ὄνησιν φέρει, οὔτε σοὶ προσῆκεν, ἀλλ' εἰς τὸ κάτω νῦν φροντιστήριον, εἴ μου ἀκούεις, πρὸς τὸν ἀββᾶν ἀφίξῃ Θεόκτιστον, παρ' ᾧ μεγίστην, εὖ οἶδα, περιποιήσῃ σαυτῷ τὴν ὠφέλειαν. Πρὸς ταῦτα τοῦ μακαρίου Σάβα ὑπείξαντος, πέμπει τοῦτον εὐθὺς ἐκεῖνος πρὸς τὸν μακαρίτην Θεόκτιστον, πολλὴν αὐτοῦ πρόνοιαν ποιεῖσθαι κελεύσας· πλουσίαν γὰρ ἀτεχνῶς ἑνορᾶν ἔφη ἐπιχεθεῖσαν αὐτῷ τὴν χάριν τοῦ Πνεύματος, καὶ ὡς οὐ πολὺ τὸ μεταξὺ ἔσται, καὶ τῆς αὐτοῦ δόξης ἐμπλήσει τὴν οἰκουμένην, δόξης ἀληθοῦς, καὶ πέρας οὐδὲν οὐδαμῶς ἐχούσης· ἅπερ οὖν καὶ εἰς τοιοῦτον ἐξέβη τέλος, καὶ ἀληθῆ τὴν ἐκείνου ἔδειξε προαγόρευσιν.

§ ε΄. Οὕτως οὖν ὁ θεῖος Σάβας ὑπὸ τῷ μακαρίτῃ Θεοκτίστῳ γενόμενος, ὅλον ἑαυτὸν καθαρῶς ἐκδίδωσι τῷ Θεῷ, καὶ πᾶς γίνεται τῆς ἐκεῖθεν ἐφέσεως· εἰδὼς δὲ αὐτοῦ διπλῆν οὖσαν τὴν σύστασιν, ἐκ ψυχῆς λέγω καὶ σώματος, διπλῆν ἐπενοήσατο καὶ τὴν ἄσκησιν· νῦν μὲν πόνων τῷ σώματι, νῦν δὲ τῇ ψυχῇ· καὶ γὰρ ἦν μετὰ τῆς κατὰ ψυχὴν εὐανδρίας καὶ τῷ σώματι εὐμεγέθης καὶ κομιδῇ ῥωμαλέος· καὶ μέντοι καὶ αὐτὸς, ἄλλοτε ἄλλας ὑπηρεσίας καὶ δὴ καὶ τὴν τῶν ἡμιόνων ὑπελθὼν ἐπιμέλειαν, καὶ πρὸ πάντων μὲν εἰς τὴν σύναξιν ἁπάντων, μετὰ πάντας δὲ αὖθις ἀπαλλασσόμενος, τῇ θείᾳ τε προθύμως ὑπηρετούμενος λειτουργίᾳ, καὶ πᾶσι τούτοις οἰονεὶ κεφάλαιον ἐπιτιθεὶς ἱερὸν τὴν ὑπακοὴν καὶ τὸ μέτριον· διὸ καὶ παντὶ τοῦτο διὰ θαύματος ἦν τῷ πλήθει τῶν μοναχῶν, ὅπως οὕτω νεάζουσαν ἡλικίαν ἀρετῶν στέφανος ἐκόσμει καὶ τελειότητος.

§ ϛ΄. Μοναχός ἦν τις, τὸ γένος ἀλεξανδρεύς, ὄνομα Ἰωάννης· οὗτος ἠνώχλει τῷ μακαρίτῃ Θεοκτίστῳ, χρόνον ἤδη συχνόν, ἐπιτρεψαί οἱ τὴν ἐπὶ τῆς Ἀλεξανδρείας ἄφιξιν, ὥστε καλῶς ἐκεῖ διαθεῖναι αὐτῷ τὰ πατρῷα· μεμαθήκοι γὰρ τοὺς τεκόντας πρὸ βραχέος ἀποθανεῖν· ὁ μὲν οὖν ἀπολυθεὶς ὡς ἠξίου, κοινωνὸν αὐτῷ γενέσθαι τῆς ἐκδημίας καὶ τὸν

1. ἀναφέρεται εἰς τὸ ἔτος 457.

ἱερὸν ἐπεζήτει Σάβαν, οἷα γενναῖον ὄντα εἰδώς, καὶ κοινωνεῖν πόνων ἑτέροις καὶ προθυμούμενον καὶ δυνάμενον. Ἐπινεύσας τοίνυν ὁ μακαρίτης Θεόκτιστος τῷ Ἰωάννῃ τὴν αἴτησιν, ἀφῆκε σὺν αὐτῷ καὶ τὸν Σάβαν· τὸ δὲ, ἦν τέχνη τοῦ πονηροῦ, ἵν' οὕτως ἐπίσχῃ τοῦ κατὰ Θεὸν δρόμου τὸν Σάβαν, καὶ βίῳ πάλιν αὐτὸν καὶ τοῖς κατὰ τὸν βίον ἐνασχολήσῃ· ἀλλ' ὁ ἀνακαλύπτων βαθέα καὶ ἀπόκρυφα τὴν ἔνεδραν οὐκ ἀφῆκε διαλαθεῖν· ὡς γὰρ ἀπάραντας ἐκ Παλαιστίνης ἐνδημοῦντας εἶχεν ἡ Ἀλεξάνδρεια, καὶ περὶ τὴν ζήτησιν ἄμφω τῶν Ἰωάννου πραγμάτων ἠσχόληντο, ἀναγνωρίζεται τοῖς τεκοῦσιν ὁ θαυμάσιος Σάβας, μετοικησαμένοις ἐκεῖ πρώην διὰ τὴν ἐκστρατείαν, ὡς ἤδη φθάσαντες ἐδηλώσαμεν. Οὕτω γὰρ αὐτοῦ γνωρίμου γεγονότος πατρικοῖς ὀφθαλμοῖς, δευτέρων τῷ Σάβᾳ πάλιν ἀγώνων ἀρχὴ, καὶ μείζοσι νῦν ἀνάγκαις, ἢ τηνικαῦτα ταῖς ἐκ τῶν θείων ἐπάλαιε· προεκείντο μὲν γὰρ οἱ τεκόντες, τί μὴ ποιοῦντες, καὶ τέχνης ποίας ἢ μηχανῆς ἀποσχόμενοι, ὥστε πεῖσαι τὸν Σάβαν τὴν μετ' αὐτῶν ἑλέσθαι συνοίκησιν, καὶ τοῦ λοιποῦ διάγοντα παρ' αὐτοῖς τὴν στρατείαν τε τοῦ πατρὸς ὑπελθεῖν καὶ ἀντ' ἐκείνου στρατεύεσθαι· ὁ δὲ, δραστήριός τε καὶ ἀγχίνους ὤν, γινώσκει τοῦ πονηροῦ τὴν ἐπίνοιαν, ὡς ἄρα τῇ πρὸς τοὺς γεννήσαντας συμπαθείᾳ σπεύδει χαλάσαι αὐτῷ τὸν πόνον τῆς ἀσκήσεως, καὶ ψυχροτέραν διαθεῖναι τῶν πνευματικῶν τὴν ἐπιθυμίαν. Ἀμέλει, καὶ τῇ μὲν πρὸς αὐτοὺς στοργῇ τὸν τοῦ Θεοῦ πόθον σοφῶς ἄγαν καὶ συνετῶς ἀντετίθει, δεδοικέναι λέγων τὴν ἐντολὴν, ἥτις ἀναξίους οἶδεν ἐκείνους ποιεῖν, τοὺς γονέων πόθον αὐτοῦ προτιμῶντας καὶ μὴ τὸν σταυρὸν ἀραμένους κἀκείνῳ ἀκολουθήσαντας, τῇ κοσμικῇ δὲ ταύτῃ στρατείᾳ τὴν εὐαγγελικὴν τῷ ὄντι καὶ θείαν, ἐκεῖνο προσετίθει τοῖς εἰρημένοις, ὡς οὐδὲ γονεῖς ἂν αὐτοὺς τοῦ λοιποῦ καλέσαι ἀνάσχοιτο. εἰ λιπαροῦντας ἐπὶ πλέον ἴδοι καὶ ἐγκειμένους, ὥστε τῆς καλῆς ἐκείνης αὐτὸν ἀποστῆσαι στρατείας.

§ ζ'. Οὐκ ἔχοντες τοίνυν ὅ,τι καὶ πάθωσιν οἱ τεκόντες εἶξαν πρὸς τὴν τοῦ παιδὸς ἔνστασιν, καὶ τέλος, ὑπανῆκαν μὲν τὴν ἐκδημίαν καὶ μὴ βουλόμενοι· ἐδέοντο δὲ αὐτοῦ θερμὴν δέησιν, ὥστε κἂν τινα τῶν παρ' αὐτοῖς χρημάτων εἰς πορισμὸν τροφῆς λαβεῖν. Ἐκεῖνοι μὲν οὖν προθύμοις χερσὶν εἴκοσι χρυσοῦς τῷ Σάβᾳ παρεῖχον· αὐτὸς δὲ μόλις τρεῖς δεξάμενος, καὶ τούτων ὅσον μὴ γονέων ὑπεριδεῖν ἀξιούντων, ἀπαίρει τῆς Ἀλεξάνδρου σὺν ἅμα γοῦν Ἰωάννῃ· ὅτι δὲ τῶν γονέων χάριν καὶ τῶν τριῶν χρυσῶν ἦν ἡ παραδοχὴ, ἡ πίστις ἐγγύς. Ἐπεὶ γὰρ ἤδη κατειλήφει τὸ φροντιστήριον εἰς χεῖρας αὐτοὺς φέρων τῷ Θεοκτίστῳ δίδωσιν, οὐδὲν αὐτὸς ἴδιον ἀξιῶν ἔχειν· ἄλλως τε δὲ καὶ ἵνα μὴ πρόφασις ἐντεῦθεν τῷ πονηρῷ γένοιτο λογισμοὺς ὑποβάλλειν αὐτῷ φιλοχρηματίας.

§ η'. Ἤδη δὲ τῷ θείῳ Σάβᾳ δέκατος ἐκεῖ χρόνος ἠνύετο, καὶ ὁ μακαρίτης ἀπεβίω Θεόκτιστος, ὃν ὁσίως θάψας ὁ μέγας Εὐθύμιος Μάριν ἀντ' ἐκείνου τινὰ λόγου ἄξιον ἄνδρα προεστᾶναι τῆς μονῆς κατεστήσατο· δύο δὲ καὶ [οὗτος] πάντας τῇ τῆς μονῆς προστασίᾳ χρόνους ἐπιβιοὺς τελευτᾷ τὸν βίον, μεθ' ὃν ὁ θεῖος Εὐθύμιος Λογγίνῳ τινὶ σπουδαίῳ τὴν τῆς μονῆς ἀρχὴν ἐγχειρίζει. Κατ' ἐκεῖνο μέντοι καιροῦ καὶ ὁ θαυμάσιος Σάβας τριακοστὸν ἤδη ἔτος γενόμενος, ἀγωγῇ τε πάσῃ μοναχικῇ διαλάμψας καὶ πάντα τρόπον ἀσκήσεως μετελθών, ἔρωτι τῆς ἐρήμου κάτοχος γίνεται, καὶ τὴν βίαν οὐχ οἷός τε ὢν ἐνεγκεῖν τῆς ἐπιθυμίας, πρόσεισι Λογγίνῳ τὴν ποθουμένην αἰτῶν ἀναχώρησιν· καὶ ὅς, οὐδὲ γὰρ εἶχεν ὅπως οἴκοθεν αὐτὸς ἐπιτρέψοι, πρὸς Εὐθύμιον ἀναφέρει περὶ τούτου τὸν μέγαν· ὁ δὲ, τῶν ἀρετῶν Σάβα ἀκοὰς ἀναπεπλησμένος, ἀλλὰ καὶ αὐτὸς εὖ εἰδὼς τοῦ ἀνδρὸς τὴν ἀκρίβειαν καὶ τὸ περὶ τὰ πνευματικὰ θερμόν τε καὶ σύντονον, ἀντιγράφει Λογγίνῳ εὐθὺς μὴ ἐμποδὼν αὐτῷ τοῦ σκοποῦ γενέσθαι, ἀλλ' ἐπιτρεψαί οἱ πέντε τῆς ἑβδομάδος ἡμέρας ἀπολαύειν τῆς ἡσυχίας· ἤδει γὰρ ὡς εἰς καλὸν χρήσεται πάντως τὴν ἐρημίαν. καὶ ἀφορμὴν αὐτὴν ἕξει τῆς πρὸς Θεὸν ἀναβάσεως. Οὕτω τοιγαροῦν αὐτῷ τῆς ἡσυχίας ἐπιτραπείσης, ἐκεῖνος ἐν ἐξουσίᾳ ἤδη τοῦ ποθουμένου γενόμενος, τὸ τοῦ φροντιστηρίου πρὸς νότον εἰσέδυ σπήλαιον, τὰς πέντε τῆς ἑβδομάδος ἡμέρας ἔσω διάγων, τροφῆς τε ὅλως μετέχων οὐδεμιᾶς, ἀλλ' εὐχῇ μόνῃ καὶ ἔργῳ τῶν χειρῶν προσκείμενος· σαββάτου δὲ ἐξιών, αὐτός τε κρείττων ἑαυτοῦ ταῖς πρὸς τὸ βέλτιον ἐπιδόσεσιν ὢν, καὶ τὴν ἐργασίαν πεντήκοντα σπυρίδας τὸν ἀριθμὸν, ἃς δὴ καὶ μαλάκια τὸ σύνηθες οἶδε καλεῖν, ἐπικομιζόμενος· κυριακῆς δὲ πάλιν θαλλοὺς βαΐων συλλέξας, ὅσους ἀποχρῆναι αὐτῷ τῆς ἑβδομάδος εἰς ἐργασίαν ἐγίνωσκεν, εἰσῄει τὸ σπήλαιον. Καὶ τοῦτον δὴ τὸν τρόπον πέρπτον ἐν αὐτῷ ἔτος ἀσκούμενος διετέλεσεν.

§ θ'. Ἔπειτα ὁ θεῖος Εὐθύμιος ἰδὼν οὕτω βιοῦντα, σύναθλον αὐτὸν ἅμα Δομετιανῷ καὶ

εἰς τοὺς ἐρημικοὺς ἐλάμβανεν ἀγῶνας, ἐμπληροφορούμενός τε τῇ αὐτοῦ γνώμῃ, καὶ παιδαριογέροντα τοῦτον ἀποκαλῶν, καὶ, οἷα παιδοτρίβης ὢν ἄριστος, πρὸς τὰς ὑψηλοτέρας τῶν ἀρετῶν ἐγγυμνάζων· καὶ ἐπείπερ εἰθισμένον τῷ θαυμαστῷ Εὐθυμίῳ κατὰ τὴν τέσσαρες καὶ δεκάτην ἰανουαρίου εἰς τὴν πανέρημον τοῦ Σουκᾶ(;) συνάμα Δομετιανῷ ἐξιέναι, καὶ τὰς πανάγνους ἐκεῖσε τῶν νηστειῶν διάγειν ἡμέρας, ἐξῆλθε μὲν ὥσπερ σύνηθες, Δομετιανὸς δὲ αὐτῷ καὶ Σάβας παρῆσαν· ᾤδευον δὲ διὰ τῆς πρὸς μεσημβρίαν ἐρήμου τῆς Νεκρᾶς ἐπέκεινα θαλάττης· καὶ τῆς πορείας ἄχρι πολλοῦ παρατεινομένης, ἡ ἔρημος αὕτη ξηρά τε καὶ ἄνυδρος οὖσα, καὶ αὐτῷ πράγματι τοῦ παντὸς ἔρημος, ἐξέκαιέ τε πρὸς ὀξὺ δίψος τὸν Σάβαν καὶ τῷ τε τῆς ὁδοῦ ῥήκει καὶ τῷ αὐχμῷ κάμνειν αὐτὸν ἤδη καὶ ἀπαγορεύειν ἐποίει, μηδὲ τοῖς ποσὶ χρῆσθαι πρὸς τὴν πορείαν δυνάμενον. Εἶτα ὁ μὲν ἐκλιπὼν ἐπὶ τῆς γῆς ἔκειτο, οὐκ οἶδα εἴτε φυσικῷ τινι λόγῳ, οἷα περ ἐν τοῖς τοιούτοις φιλεῖ γίνεσθαι, διὰ πολλὴν τοῦ θέρους σφοδρότητα καὶ τὴν τοῦ θερμοῦ πυκνότητα, παντάπασι τοῦ ὑγροῦ παραναλωθέντος, εἴτε τοῦ Θεοῦ δεῖξαι βουλομένου, πλείονος ἔτι δεῖν τῷ Σάβᾳ καρτερίας· ἔκειτο δ' οὖν ὅμως μικρῷ φάναι μέρει τῆς ψυχῆς ζῶν, καὶ ἤδη ἐκλείπειν ὑποφαινόμενος. Οὕτω δὲ αὐτὸν ἔχοντα ἰδὼν ὁ μέγας Εὐθύμιος, καὶ παθὼν οὐχ ἥκιστα τὴν ψυχὴν, βραχὺ μὲν αὐτοῦ διίσταται, πίπτει δὲ εἰς γῆν, καὶ καρδίαν πρὸς Θεὸν ὑψώσας, Κύριε ὁ Θεὸς, εἶπε, δὸς ὕδωρ ἐν τῇ διψώσῃ, τὴν τοῦ νέου τοῦδε ψυχὴν ἐκλείπουσαν ἤδη παραμυθούμενον. Οὕτως ἔφη, καὶ τὸν Σάβαν αὐτίκα μετακαλέσας, τρίτον διορύσσει τῷ σκαλιδίῳ, καὶ ἡ γῆ δυνάμεως ἤσθετο θειοτέρας, καὶ νεύμασιν ἀοράτοις ἐπείθετο, καὶ ἡ ἔρημός τε καὶ ἄνυδρος γόνιμος ὕδατος ἦν, καὶ εὐθὺς ὕδωρ ἀνῆκεν, ὕδωρ διειδέστατόν τε καὶ ποτιμώτατον· καὶ ὁ Σάβας ἐκείνου πιὼν, τό τε δίψος ἰάσατο, καὶ ἱκανῶς ἀνεκτήσατο, δύναμίν τε ἀφανῶς ἐδέξατο θείαν, ἵν' ἔχοι καὶ τὸ λοιπὸν εὐψύχως τὴν τῆς ἐρήμου φέρειν δυσχέρειαν. Οὕτω μὲν οὖν τοῦ ἱεροῦ Σάβα κατὰ τὴν ἔρημον ἔχοντος, καὶ πάντα τρόπον ἐκμιμεῖσθαι τὸν μέγαν Εὐθύμιον καὶ ὥσπερ εἰς ἀρχέτυπον ἀφορᾷν τὸν ἐκείνου βίον ἔργον τιθεμένου τὸ σπουδαιότατον, ὀλίγος τὸ μεταξὺ χρόνος διῆλθε, καὶ ὁ μέγας τὴν ἀρετὴν ἐκεῖνος Εὐθύμιος ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθεὶς τὴν μακαρίαν ὄντως ἀνάπαυσιν ἀνεπαύσατο.

§ ι'. Ἀλλὰ τῆς τοῦ φροντιστηρίου ἀγωγῆς μετὰ τὴν ἐκείνου τελευτὴν κατὰ μικρὸν ὑπορραθυμούσης, ἐμάκρυνε φυγαδεύων ὁ μακαρίτης Σάβας, κἀν τῇ ἐρήμῳ ἦν αὐλιζόμενος, Γερασίμου τὸ τηνικαῦτα τὴν κατὰ Ἰορδάνην ἔρημον ἄστρῳ παραπλησίως φωτίζοντι· πέμπτου μὲν δὴ τότε Σάβας καὶ τριακοστοῦ τῆς ἡλικίας ἥπτετο ἔτους, ἤδη δὲ καὶ ὁ κατ' αὐτοῦ τῶν δαιμόνων ἤρχετο πόλεμος.

§ ιβ'. Ἀλλὰ τότε μὲν δὴ πρῶτον ὁ θεῖος οὗτος Σάβας τῷ μακαρίτῃ Θεοδοσίῳ γνώριμος γίνεται, πρὸς τὸν γνωρισμὸν αὐτοῖς τόν δε τοῦ Ἄνθου[1] καλῶς διαμεσιτεύσαντος, ἔξῆς δὲ καὶ τὴν ἔρημον ὁ Σάβας οἰκίζει, καὶ λαύραν ἐν αὐτῇ συνίστησιν, ἣν ἐπιφανεστάτην ἁπασῶν καὶ μεγίστην ἅ τε ἀρετὴ καὶ τὸ πλῆθος τῶν ἐν αὐτῇ κατοικούντων ἐν ὀλίγῳ εἰργάσατο. Ἀλλὰ γὰρ ἄξιον διαλαβεῖν, ὅθεν τε καὶ ὅπως ἡ τῆς λαύρας γένοιτο σύστασις, καὶ τὶς ὁ τὸν τόπον ὑποδείξας καὶ τὸν θεμέλιον ἐπισκήψας ἐκεῖσε καταβαλεῖν. Τέταρτον μὲν ἤδη χρόνον ἀνὰ τὴν ἔρημον ὁ θαυμαστὸς οὗτος ἦνυε Σάβας· γενόμενος δέ ποτε κατὰ τὸν ὑψηλότατον ἐκεῖνον βουνὸν, ἔνθα Εὐθυμίου τοῦ πάνυ τῆς ἡδίστης ἀπολαῦσαι διδασκαλίας ἡ μακαρίτις λέγεται βασιλὶς Εὐδοκία, καὶ τῇ συνήθει προσευχῇ διανυκτερεύων, ὁρᾷ τινα παράδοξον ὄψιν, ἐν ἀστραπτούσῃ λαμπρόν τι καὶ περιφανὲς τῇ ἐσθῆτι, τὸν ἀπὸ τοῦ Σιλωὰμ καταρρέοντα πρὸς νότον αὐτῷ χειμάρρουν ὑποδεικνῦσαν, καὶ τὸ πρὸς ἀνατολὰς οἰκῆσαι τοῦ χειμάρρου σπήλαιον ἐπαγγέλλουσαν, βοήθειάν τε αὐτῷ ἐξ ἁγίου ὑπισχνουμένην καὶ τροφὴν παρὰ τοῦ καὶ αὐτοῖς ἐξανατέλλοντος τοῖς κτήνεσι χόρτον· καὶ ταῦτα μὲν τὰ τῆς ὀπτασίας· αὐτὸς δὲ ἡδονῆς ὅλος ἐν τῇ ὁράσει γενόμενος, καὶ παραχρῆμα τοῦ βουνοῦ κατελθὼν, θείᾳ τινὶ καὶ σοφῇ προνοίᾳ, καθάπερ ὑπό τινος δεξιᾶς ἄχρι τοῦ σπηλαίου χειραγωγεῖται· τεσσαρακοστῷ μὲν οὖν ἔτει τῆς ἡλικίας τοῦτο τὸ σπήλαιον οἰκεῖν ἄρχεται, ἡνίκα δὴ καὶ Ἀναστάσιος μὲν ἀρχιεπίσκοπος Ἱεροσολύμων, ἔνατον ἐπὶ τοῖς δέκα τῆς πατριαρχείας ἐνιαυτὸν ἐκπληρώσας, ἐτελεύτα σὺν αὐτῷ καὶ τὸν βίον, διάδοχον αὐτοῦ τῆς πατριαρχίας καταλιπὼν τὸν Μαρτύριον, Ζήνων δὲ ὁ ρωμαίων βασιλεὺς, τὸν τύραννον ἀνελὼν Βασιλίσκον, εἰς εἴκοσιν μῆνας ἐκείνῳ περιελθούσης τῆς τυραννίδος[2], ἀνειλήφει πάλιν τὴν βασιλείαν.

1. ὁ Ἄνθος ἦν μοναχὸς, ἱκανὸν χρόνον τῷ Θεοδοσίῳ συγγενόμενος.

2. σεπτέμβριον τοῦ 477.

Οἰκήσας τοίνυν ὁ μέγας τουτὶ τὸ σπήλαιον, ἐπεὶ πολλὴν εἶχε περὶ τὴν ἄνοδον τὴν δυσχέρειαν, ὅτε δὴ κατὰ χρείαν ὕδατος ἐξελθεῖν ἐθελήσειε, πεντεκαίδεκα γὰρ ἡ πηγὴ σταδίοις ἀπεῖχε, ἢ καὶ οὕτως Ἑπτάστομος ὠνομάζετο, σχοῖνον ἄνωθεν ἐξαρτήσας, ταύτῃ καὶ τὴν ἄνοδον ὁμοῦ εὐκοπώτερον καὶ τὴν κάθοδον ἐποιεῖτο· οὐδὲ μίαν δὲ ἄλλην ἔχοντι τῶν ἀναγκαίων τὴν πρόνοιαν, ὅτι μὴ ταῖς παραπεφυκυίαις τῷ σπηλαίῳ τῶν βοτανῶν ἀρκουμένῳ, Θεὸς ὁ καὶ τὸ σπήλαιον τῷ Σάβᾳ ὑπελθεῖν ἐπισκήψας, αὐτὸς εἰς τέλος ἄγει καὶ τὰ ἐπηγγελμένα, καθάπερ Ἠλίᾳ τῷ προφήτῃ πάλαι τὸ ὄρος εἰσελθόντι τῆς Σιδωνίας καὶ ἑαυτὸν ἀφανίζοντι, οὕτω καὶ νῦν ἐπιπέμπει τῷ δικαίῳ τοὺς τῶν ἀναγκαίων αὐτῷ ποιησομένους τὴν χορηγίαν, ἀνθρώπους τινὰς μετρίους καὶ ἀρετὴν ὑπέρ τι ἄλλο διὰ τιμῆς ἄγειν ἐπισταμένους· οἳ εὐθὺ τοῦ σπηλαίου καταλαμβάνουσι, καὶ διά τινος καλωδίου τῆς πρὸς τὸν ὅσιον ἀνόδου τυχόντες, ἐπεὶ βίον ἐκεῖ σχέδιόν τε καὶ ἀκριβῶς ἄσκευον ἐθεάσαντο, οὕτω τὴν ἀρετὴν ἀξίως ἐθαύμασαν, ὡς ἐν μεγάλῳ τίθεσθαι τὸ καὶ ταῖς ἐκείνου μόνον διακονίαις ὑπηρετεῖσθαι· ἀμέλει, καὶ τάττουσιν ἑαυτοῖς οἱονεὶ φόρους ἐθελουσίους, ὥστε δι' ἡμερῶν δή τινων ἐκεῖσε ἀφικνουμένους, τυρούς τε καὶ ἄρτον καὶ φοίνικας καὶ εἴ τι τῶν ἐπιτηδείων αὐτοῖς ἕτερον ἐκείνῳ διακομίζειν, τοῦ Θεοῦ πάντως πλέκοντος ταῦτα σαφῶς τε καὶ θαυμασίως, ὥστε καὶ Σάβᾳ μὴ ἐνδεῶς ἔχειν τὰ ἀναγκαῖα, καὶ τοῖς ταῦτα διακομιζομένοις μισθοῦ πολλοῦ πρόξενον εἶναι τὴν χορηγίαν· πέμπτον μὲν οὖν ὁ Σάβας οὕτως ἔχων ἐν τῷ χειμάρρῳ διήνυσε χρόνον, μόνος μόνῳ Θεῷ συγγινόμενος καὶ τοῦ τῆς ἡσυχίας ἀπολαύων καλοῦ.

§ ιγ'. Ἄρτι δὲ τοῦ πέμπτου λήγοντος ἔτους, συναπέληγε καὶ τὰ τοῦ πονηροῦ τεχνάσματα κατ' αὐτοῦ· ἔχων δὲ οὗτος καὶ τὴν ἀπὸ τῶν δαιμόνων ἄδειαν, καὶ τὴν ἐξ ἀνθρώπων γαλήνην, καὶ δεινὸς ὢν ἐραστὴς ἡσυχίας, ἀλλ' οὐχ μὴ τὸ ἑαυτοῦ μόνον ζητῶν, ἀλλὰ καὶ τῆς τῶν ἄλλων προνοῶν σωτηρίας, μᾶλλον δὲ καὶ παρὰ Θεοῦ τοῦτο προσταγείς, μερίμναις ἑαυτὸν ἐδίδου καὶ ἡσυχίας ἀπεστερεῖτο. Τεσσαρακοστὸν μὲν δὴ τότε τῆς ἡλικίας αὐτῷ ἔτος καὶ πέμπτον ἠνύετο, πολλῶν δὲ πολλαχόθεν ἐκεῖ συρρεόντων, καὶ μάλιστα ὅσοι κόσμου καὶ τῶν τοῦ κόσμου πάντων ὑποχωρήσαντες τὰς ἐν ὄρει διατριβὰς εἵλοντο, τὰ τῆς θαυμασίας ἐκείνης ποίμνης ταχέως ηὐξάνετο, τοῦ μακαρίου Σάβα μετὰ τῆς ἄλλης περὶ αὐτοὺς πνευματικῆς ἐπιμελείας καὶ τὸν ἐπιτήδειον ἑκάστῳ τόπον εἰς κελλίων οἰκοδομὴν ἀποτάττοντος· ὥστε ἦν ἰδεῖν ἄνδρας τὸν ἀριθμὸν ἑβδομήκοντα πάντας εἰς ταὐτὸν ἐν βραχεῖ συνελθόντας, θείους πάντας, θεοφόρους, φύλακας ἀκριβεῖς τῶν ἐντολῶν τοῦ Χριστοῦ, χορόν τινα δεύτερον τῆς τῶν ἀποστόλων ἑβδομηκοντάδος ἀποπληροῦντας, ἢ ἀγγέλων ἐκκλησίαν αἰνούντων τὸν Κύριον· ἐν οἷς ἦν μὲν ὁ τῆς Νέας λαύρας ἡγησάμενος ὕστερον Ἰωάννης, ἦν δὲ καὶ Ἰάκωβος τὴν τῶν Πυργίων ἐν Ἰορδάνῃ λαύραν οἰκοδομήσας, Φιρμῖνός τε καὶ Σευηριανός, ὧν, ὁ μὲν τὴν ἐν Μαλισχᾷ λαύραν, ὁ δὲ τὴν περὶ Καπαρβαριχᾶ μονήν ἐδείμαντο, Ἰουλιανός τε ὁ τῆς ἐν Ἰορδάνῃ Νεελκαραβᾶ προσαγορευομένης λαύρας δημιουργός, καὶ ὁ τῶν λοιπῶν ὁσίων κατάλογος, οὓς καὶ διαμνημονεῦσαι καθ' ἕκαστον ὁ λόγος διὰ τὸ πλῆθος καὶ πρὸς ὄνομα διελθεῖν παρητήσατο. Πάντας τοίνυν αὐτοὺς ἡ ἀρετὴ τοῦ θείου Σάβα τορώτερον σάλπιγγος πόρρωθεν συγκαλεσαμένη ἔγνω καὶ μεγίστην ἐκεῖ συστήσασθαι λαύραν, ἵνα διὰ τῆς ἐρήμου ταύτης τὴν ἄνω Ἱερουσαλὴμ αὐτοῖς πραγματεύσηται· καὶ πρῶτα μὲν, ἐν ταῖς πρὸς βορρᾶν τοῦ χειμάρρου πηγαῖς πύργον οἰκοδομεῖ· ἔπειτα δὲ, μεταξὺ τοῦ χειμάρρου οἶκον εὐκτήριον ἀνεγείρει, καὶ τράπεζαν ἱερὰν ἐν αὐτῷ πήξας, καὶ τὸν ναὸν ἐγκαινίσας, ἡνίκα τινὰ τῶν ἱερωμένων τῷ ναῷ παραβάλλοντα ἴδοι, τοῦτον καὶ τελεῖν ἐν αὐτῷ τὴν θείαν ἐποίει μυσταγωγίαν, αὐτὸς τῇ πολλῇ περὶ τὸ θεῖον ἐκείνῃ φειδοῖ καὶ τῷ μετρίῳ πάνυ καὶ ταπεινῷ τοῦ φρονήματος φεύγων τὸ πρᾶγμα καὶ πάντα τρόπον τὴν ἱερωσύνην ἀναβαλλόμενος. Οὕτω δὲ τὸν ναὸν ἐγείρας καὶ λαύραν ἐκεῖ συστησάμενος, περὶ τὴν ἐπιμέλειαν ἐξῆς τῶν ἀδελφῶν ἐπονεῖτο.

§ ιδ'. Τούτοις καὶ τοῖς τοιούτοις χρώμενος εἰς παραίνεσιν, δυσχερείας ὑψηλοτέρους ἁπάσης ἐδείκνυ τοὺς μαθητάς, κοῦφον αὐτοῖς τὸ πτερὸν εἰς ἀρετὴν ἐργαζόμενος· ἐν μέντοι τοῖς ἀναγκαίοις καὶ ἀπαραίτητον ἀπαιτοῦσι τὴν χρείαν καὶ δι' εὐχῆς αὐτοῖς πολλάκις συναιρόμενος ἦν, καὶ κρυφίως συλλαμβανόμενος, ἵνα μὴ, παρ' ὃ δύνανται ὑπενεγκεῖν πειρασθέντες, εἰς τέλος ἀπαγορεύσειαν, ἥπερ δὴ καὶ κατὰ πόδας ὁ λόγος δηλώσει. Ἔρρει μὲν γὰρ πόρρω τοῦ σπηλαίου τὸ ὕδωρ, ὡς ἤδη φθάσαντος ἔφημεν. ἐλύπει δὲ τοῦτο τοὺς μοναχοὺς, καὶ πάνυ σφόδρα περὶ τὴν μετακομιδὴν ἐδυσχέραινον· ὁ μακάριος οὖν ἐκεῖνος, οὕτω λυπηρῶς

ἔχοντας οὐχ ὑπομένων ὁρᾶν, εὐχῇ τότε νυκτὸς ἐκδοὺς ἑαυτὸν, ἐδεῖτο θερμότατα τοῦ Θεοῦ· «Δέσποτα Κύριε, λέγων, ὁ Θεὸς ἡμῶν, εἰ τὸ πρᾶγμα τῆς σῆς ἐστιν ἀπορρήτου σοφίας οἰκονομία, εἰ τῆς σῆς εὐδοκίας ὅλως τουτὶ καὶ τῆς χάριτος ὥστε τὸν παρόντα τόπον οἰκισθῆναι καὶ ἀνδράσιν ἀνθῆσαι τὸ σὸν ὄνομα φοβουμένοις, αὐτὸς εὐμενὲς καὶ νῦν ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ πηγασάτω ποθὲν ὕδωρ εἰς ἀναψυχήν». Οὕτως ηὔξατο, καί τις ἦχος εὐθέως αὐτοῦ βάλλει τὰ ὦτα· ὁ δὲ ἦχος ἐώκει τοῦ χειμάρρου κάτωθεν ἀναφέρεσθαι· καὶ παρακύψας, σελήνης ἤδη πληρεστάτῳ φωτὶ τὴν γῆν ὑπολευκαινούσης, ὁρᾷ τινα ὄναγρον, τῇ ὁπλῇ τὸ ἔδαφος κόπτοντά τε καὶ διορύσσοντα· εἶτα, μετὰ τὸ ἱκανῶς διορύξαι τὴν γῆν καὶ βαθύναι, τῷ ὀρύγματι παραθέντα τὸ στόμα καὶ πίνοντα. Ἐκεῖνος οὖν, ὅπερ ἦν εἰκὸς, λογισάμενος ἐπισκοπῆ αὐτοὺς τὸν Θεὸν ἐπεσκέφθαι, κάτεισιν εὐθὺς ἵνα τὸν ὄναγρον ὀρύσσοντα εἴδε, προσθεὶς δὲ καὶ αὐτὸς ἔτι καὶ μικρὸν ὑπορύξας, ὦ τῆς ἀφάτου σου, Χριστὲ, χάριτος, ὕδωρ εὑρίσκει τῶν τῆς γῆς λαγόνων ἀναδιδόμενον, ὅπερ οὖν ἐξ ἐκείνου καὶ εἰς τόδε διὰ μέσης ῥέον τῆς λαύρας ἐστὶ, μήτε χειμῶνος αὐξόμενον, μήτε θέρους ἐλλεῖπον, καὶ ταῦτα σχεδὸν ὑπὸ πάντων κατακόρως ἀντλούμενον.

§ ιε'. Οὕτω μὲν οὖν τὸν θεῖον οἶκον ἐκείνον κάλλεσιν οὐ χειροποιήτοις κεκοσμημένον εὑρὼν [1], καί τι καὶ αὐτὸς εἰς δύναμιν ἐπιτεχνησάμενος, καὶ ταῖς φυσικαῖς τοῦ τόπου χάρισι τὰς ἐκ τῆς τέχνης προσθεὶς, ἐν αὐτῷ δήπου καὶ τὴν συνήθη δοξολογίαν τοῖς σάββασί τε καὶ ταῖς κυριακαῖς ὁ Σάβας τελεῖσθαι νενομοθέτηκεν. Ἰδὼν δέ τινα πέτραν ὑπερανέχουσαν τοῦ ναοῦ, αὐτὸς μὲν οἰκῆσαι ταύτην προείλετο, μένειν δὲ ἀεὶ παρὰ τῷ θείῳ τούτῳ ναῷ βουλόμενος, καὶ πάλιν ὥστε μὴ τὴν ἡσυχίαν ἐπιταράττεσθαι προμηθούμενος, τὴν αὐτόσκευον ὀροφὴν ἐκείνην τοῦ διακονικοῦ διαγλύφει, καί τινα κοχλίαν ἐκεῖθεν ὑπὸ τῷ πύργῳ κρυπτόμενον ἄχρι τῆς πέτρας οἰκοδομεῖ, δι' οὗ συνεχῶς μετὰ τῆς φίλης ἡσυχίας πρὸς τὴν ἐκκλησίαν λανθάνων κατήρχετο. Καθιερῶσαι μέν τοι τὸν ναὸν, ὡς εἰκὸς, ἀνεβάλετο, οἷα μήτε αὐτὸς ἔχων θαρρεῖν τῷ τῆς ἱερωσύνης ἀξιώματι, μήτε ἄλλῳ τινὶ τὸ πρᾶγμα τῶν ὑπ' αὐτὸν ἐπιτρέπων, ἐπεὶ καὶ ἀφορμὴν ἀεὶ φιλαρχίας τοῖς μοναχοῖς τὴν ἱερωσύνην ὡρίζετο.

1. ὁ λόγος περὶ σπηλαίου τινὸς, εἰς εἶδός τι ναοῦ αὐτοφυῶς ἐσκευασμένου.

§ ιϛ'. Οὕτως ὁ θεῖος ἐκεῖνος ἀπεκαλύφθη τῷ Σάβᾳ νοῦς. Τοῦ δὲ τῶν μοναχῶν πλήθους ἀεὶ ταῖς καθ' ἑκάστην προσθήκαις ἐπιδιδόντος, καὶ εἰς πεντήκοντα πρὸς τοῖς ἑκατὸν ἐν βραχεῖ προελθόντος, ἐπεδίδου καὶ ἡ τῶν ἑκατέρωθεν τοῦ χειμάρρου κελλίων οἰκοδομὴ, καὶ κτήνη τε πρὸς ὑπηρεσίαν, καὶ ἄλλα τῶν εἰς σώματος χρείαν ἐπιτηδείων, ἐπιμελὲς τῷ Σάβᾳ κατέστη τοῖς μοναχοῖς κτήσασθαι, ἵνα μὴ τῶν ἀναγκαίων ἡ ἀπορία εὐπρόσωπος αὐτοῖς πολλάκις ἀφορμὴ γίνηται τῆς ἡσυχίας ὀλιγωροῦντας ἐπὶ τὸν κόσμον χωρεῖν. Τῆς οὖν περὶ αὐτὸν φήμης ἐν ὀλίγῳ πανταχόσε διαδραμούσης, πολλοὶ παρ' αὐτῷ μετὰ συχνῶν ἐφοίτων χρημάτων, ἅπερ ἂν ἐκείνῳ παράσχοιεν, τοῦτο κερδαίνειν μόνον αὐτοὶ οἰόμενοι, καὶ τοῦτο ἀσφαλῶς ἔχειν νομίζοντες. Ταῦτα δὲ ὁ θεῖος δεχόμενος Σάβας οὐ βαλαντίοις ἐδίδου καὶ μυχοῖς ἔκρυπτεν, ἀλλ' εἰς οἰκοδομάς τε ἀνήλισκε μοναχοῖς προσηκούσας, καὶ τῶν ἄλλων τῶν ἐπιτηδείων αὐτοῖς χορηγίαν, μάλιστα καὶ Μαρτυρίου πρὸς αὐτὸν, ὃς τὸν ἀρχιερατικὸν τηνικαῦτα διεῖπε θρόνον, οἰκείως ἄγαν καὶ φιλίως διακειμένου καὶ διὰ πάσης αἰδοῦς τὸν ἄνδρα καὶ τιμῆς ἄγοντος. Ἀλλὰ τοῦ πατριάρχου τὸν βίον ἐν ὀγδόῳ τῆς ἱεραρχίας ἔτει καταλιπόντος, καὶ Σαλουστίου τὸν θρόνον μετ' ἐκεῖνον ἐκδεξαμένου, ὄγδοον ἤδη τῆς ἡλικίας χρόνον τοῦ μακαρίου Σάβα καὶ τεσσαρακοστὸν ἕλκοντος [1], τινὲς τῶν ἀπὸ τῆς λαύρας, μοχθηροὶ τὰς ψυχὰς, κατὰ τοῦ θείου Σάβα πονηρὰ διαμελετήσαντες, εἰς τὴν ἁγίαν ἀφικνοῦνται πόλιν, καὶ Σαλουστίῳ τῷ ἐπισκόπῳ προσελθόντες τὸν προστησόμενον αὐτῶν ἐπεζήτουν. Συνετὸς δὲ ὢν ἐκεῖνος καὶ οὐ τὴν ἀκοὴν εὔκολος, οὐδ' ἀβασανίστως ταῦτα παραδεχόμενος, τίνες τε εἶεν καὶ ὅθεν ἀκριβῶς ἠρώτα· οἱ δὲ χειμάρρῳ τινὶ παροικεῖν ἔλεγον, κἀκεῖ τοὺς ἀσκητικοὺς ἀγῶνας ἀνύειν, τὴν τοῦ Σάβα κλῆσιν ἀποκρυπτόμενοι· ὁ δὲ, συνεὶς αὐτὸν εἶναι τὸν προεστῶτα, καθ' οὗ οὗτοι καὶ τὴν διαβολὴν ἐσκαιώρησαν, καὶ ποῦ οὗτος ὁ Σάβας αὖθις ἐπήρετο· οἱ δὲ, ἀποκρίνασθαι πρὸς ἔπος ἀφέντες, ὡ τῆς ἀπονοίας, ἀλλ' οὐκ ἐξαρκεῖν αὐτὸν φροντίδι τοσούτων διὰ περιουσίαν ἀφελείας εἶπον καὶ ἀγροικίας, τὸ ἐπιεικὲς ἐκείνου καὶ μέτριον ἀφέλειαν εἰπόντες οἱ μοχθηροὶ, κἀκεῖνο δὲ προσετίθεσαν εἰς κατηγορίαν, τὴν περὶ τὴν ἱερωσύνην εὐλάβειαν καὶ ὅτι μήτε αὐτὸς ἱεράσθαι βουλόμενος μηθ' ἑ-

1. περὶ τὸ ἔτος 486.

τέρῳ ταύτην παραχωρεῖ· ἀλλὰ ταῦτα μὲν ἐκεῖνοι. Κήρυκος δέ τις ἀνὴρ ἱερεύς, καὶ ἀρετῆς ὢν θερμότατος ἐραστής, παρὰ τῷ ἐπισκόπῳ τότε παρὼν καὶ τῶν εἰρημένων ἀκούσας, «Τί δαί, ὑμεῖς, ἔφη, πρῶτοι τὸν Σάβαν ἐδέξασθε, ἢ ἐκεῖνος ὑμᾶς;» Τῶν δὲ δέξασθαι μὲν ἐκεῖνον καὶ συναγαγεῖν αὐτοὺς ἀποκριναμένων, ἥκιστα δὲ νῦν διέπειν αὐτοὺς ἱκανὸν εἶναι, ὑπολαβὼν αὖθις ὁ Κήρυκος: «Εἰ ἐκεῖνος, εἶπεν, ὑμᾶς τε τὴν ἀρχὴν συνήγαγε καὶ τὸν τόπον ἔρημον ὄντα συνῴκισε, πόσῳ μᾶλλον αὐτόν τε τὸν συνοικισθέντα τόπον καὶ ὑμᾶς εἰς ἓν ἀθροισθέντας ἱκανὸς ἔσται διέπειν· ὁ γὰρ ἐν οἷς ἦν δυσχερέστερον συνεργήσας Θεὸς αὐτὸς καὶ ἐφ' οἷς εὐκοπώτερόν ἐστι πάντων συνεπιλήψεται, καὶ ῥαδίαν αὐτῷ θήσει τὴν προστασίαν». Πρὸς ταῦτα τοὺς μισοῦντας εἰρήνην ἐκείνους, μεθ' ὧν ἦν ὁ Σάβας εἰρηνικός, καὶ λάθρα τοῦ πλησίον ἀνελευθέρως καταλαλοῦντας οὐδὲν ἀποκρίνασθαι δυναμένους, ὁ ἐπίσκοπος ἀφῆκε τὸ τηνικαῦτα: «Σκέψασθε, τό γε νῦν ἔχον, εἰπών, εἰς τὴν ἐπιοῦσαν δὲ περὶ τούτων ἀκριβωσόμεθα». Καὶ μετακαλεῖται μὲν αὐτίκα τὸν μακάριον Σάβαν, οὐκ εἰδότα ἐφ' ᾧ μετακέκληται, ἄγει δὲ καὶ αὐτούς, ὡς μὲν ᾠοντο, συστῆσαι τὰ κατηγορημένα καὶ τὸν Σάβαν ἀπὸ τῆς ἀρχῆς ἐξῶσαι· ὡς δὲ τὸ πέρας ἔδειξε, φιμῶσαι μᾶλλον αὐτοῖς τὰ στόματα καὶ ἀφορμὴν πᾶσαν τοῦ λόγου περιελεῖν. Ἐπεὶ γὰρ καὶ παρέστησαν, ὁ ὑγιὴς ἐκεῖνος καὶ ἀδιάφθορος δικαστής, οὐδὲν οὐδόλως πρὸς ἐκείνους εἰπών, οὐκ ἐλέγχων, οὐ μαρτυρίας δεηθείς ἑτέρας, ὡς ἂν περὶ τῆς ἀρετῆς τοῦ Σάβα βεβαιότατα διδαχθείς, καὶ ὑπ' αὐτῆς ἤδη τὴν γνώμην προπεπεισμένος, χειροτονεῖ μὲν ἱερέα τοῦτον ὑπὸ τοῖς ἁπάντων αὐτῶν ὀφθαλμοῖς, ταύτης δὲ τῆς πρὸς ἐκείνους ἅπτεται παραινέσεως: «Ἰδού, φησιν, ἔχετε τὸν πατέρα ὑμῶν καὶ τῆς λαύρας τῆς καθ' ὑμᾶς ἀφηγούμενον, ὃν Θεὸς ἄνωθεν καὶ οὐκ ἄνθρωπος ἐψηφίσατο· ἡμεῖς δὲ τοῦτο μόνον τῷ ἁγίῳ Πνεύματι χεῖρας ἐχρήσαμεν, οὐκ αὐτόν, ἀλλ' ἑαυτοὺς μᾶλλον εὐεργετήσαντες». Οὕτως ἔφη· καὶ παραλαβὼν αὐτίκα τὸν μακάριον Σάβαν, αὐτούς τε τοὺς στασιαστάς, καὶ δὴ καὶ τὸν παρατυχόντα θεοφιλῆ Κηρῦκον, ἀφικνεῖται μετ' αὐτῶν εἰς τὴν λαύραν· καὶ πρῶτα μὲν καθιεροῖ τὸν ἅγιον ἐκεῖνον ναόν, ἔπειτα δὲ καὶ θυσιαστήριον πήγνυσι, καὶ πολλὰ τῶν καλλινίκων τοῦ Χριστοῦ μαρτύρων ὑπ' αὐτῷ λείψανα θησαυρίζει.

§ ιζ'. Τρίτον μὲν οὖν τηνικαῦτα τῆς ἡλικίας ἔτος τῷ Σάβᾳ καὶ πεντηκοστὸν ἦγετο, ἡνίκα δὴ καὶ Ἀναστάσιος ἐπὶ τὸν βασιλικὸν ἱδρύετο θρόνον, Ζήνωνος ἤδη τὸν βίον ἀπολιπόντος[1]· τοῦ δὲ αὐτοῦ ἔτους τῇ μὲν λαύρᾳ θεΐός τις ἀνὴρ προσῳκίσθη, χαρίσμασί τε πνευματικοῖς διαφαιδρυνόμενος, τὸ γένος ἀρμένιος, τὴν κλῆσιν Ἱερεμίας, ᾧ καὶ μαθηταὶ δύο εἵποντο, Πέτρος καὶ Παῦλος οὕτω καλούμενοι· τούτων δὲ πολὺν ὁ Παῦλος τῇ λαύρᾳ χρόνον ἐπιβιοὺς καὶ πεῖραν ἀκριβῆ τῶν τοῦ θαυμασίου Σάβα κατορθωμάτων παραλαβὼν πολλὰ καὶ τοῖς μετ' αὐτὸν διηγήσατο, ὧν τὸ πλεῖω δήπου καὶ τῷ παρόντι τοῦ ἀνδρὸς ἐντέτακται βίῳ. Τούτων τοίνυν τῇ λαύρᾳ παραβαλόντων, λίαν ὁ μακάριος ἐπ' αὐτοῖς ἥσθη Σάβας, καὶ τό τε πρὸς βορρᾶν μικρὸν τοῦ σπηλαίου κελλίον, ἐν ᾧ τὰς ἀσκητικὰς ἐκεῖνος διατριβὰς τὸ πρότερον ἐποιεῖτο, ἡνίκα μόνον ὁ χείμαρρος αὐτὸν εἶχε, τούτοις ἀπέταξε· τό τε μικρὸν αὐτοῖς ἀνῆκεν εὐκτήριον, ὡς ἂν κυριακῆς τε καὶ σαββάτου τὴν εἰωθυῖαν ἐν αὐτῷ τῇ σφετέρᾳ γλώσσῃ διατελῶσι δοξολογίαν, ἀφ' ὧν δὴ καὶ τὸ τῶν ἁρμενίων κατὰ τὴν λαύραν ἐπιδέδωκε γένος. Τοῦ Ἱερεμίου τοίνυν τῇ λαύρᾳ καὶ τῶν περὶ αὐτὸν οὕτω πεφοιτηκότων, καὶ ὁ θεσπέσιος κατὰ πόδας ἐπίσκοπός τε καὶ ἡσυχαστὴς ἐπιφοιτᾷ Ἰωάννης, ὄγδοον ἐπὶ τοῖς τριάκοντα ἤδη τῆς ἡλικίας ἄγων ἐνιαυτόν, οὗ τὸν ἀγγελικὸν ἐν σαρκὶ βίον εἰς τὸν οἰκεῖον ὁ λόγος καιρὸν ταμιεύεται· τὸ δὲ νῦν ἔχον, τοῖς κατὰ τὸν θεῖον Σάβαν ἐνδιατρίψω καλοῖς· καὶ ταῦτα γὰρ περὶ αὐτοῦ φησιν ὁ πολὺς ἐκεῖνος περὶ τὴν ἀρετὴν Ἰωάννης, εἷς καὶ αὐτὸς τῶν τῆς λαύρας μοναχῶν γενόμενος, ὡς εἴη μὲν ἐκείνῳ τὸ σπουδαιότατον πάντα κατὰ τὸν μέγαν οἰκονομεῖν Εὐθύμιον καὶ ὡς ἀρχετύπῳ τινὶ χρῆσθαι τῷ αὐτοῦ βίῳ. Ἐπεὶ οὖν συνήθως εἶχεν Εὐθύμιος τὴν τετάρτην ἀεὶ καὶ δεκάτην τοῦ ἰανουαρίου πρὸς τὴν πανέρημον ἐκφοιτᾷν, κἀκεῖ ταῖς θείαις ἐνδιατρίβειν τῶν νηστειῶν ἡμέραις ἀθέατος τῷ παντὶ μένων καὶ ἀνομίλητος· τοῦτο γοῦν καὶ ὁ μακάριος εἴθιστο Σάβας ἀκολούθως ποιεῖν, μικρόν τι περὶ τὸν καιρὸν ἐξαλλάττων, ὅσον ἐκεῖνος μὲν τετάρτῃ καὶ δεκάτῃ, καθάπερ ἔφημεν, οὗτος δὲ κατὰ τὴν εἰκάδα τοῦ μηνὸς ἐποιεῖτο τὴν ἀναχώρησιν· μετὰ γὰρ τὴν Ἀντωνίου μνήμην, ὁ Σάβας τὴν Εὐθυμίου τοῦ μεγάλου εἰκάδι τοῦ αὐτοῦ μηνὸς ἑορτάζων, οὕτως ἐπὶ τὴν ἐρημίαν ἐτρέπετο, κἀκεῖσε τὰς διατριβὰς ἄχρι γοῦν καὶ

1. πρόκειται περὶ τοῦ ἔτους 491.

τῆς τῶν βαίων ἑορτῆς ἤνυε, παραπλησίως ἐκείνῳ πάσης ἀνθρωπίνης καθαρεύων ἐπιμιξίας, καὶ ὡς πράττοι μὲν ἀεὶ τοῦτο καθ' ἑκάστην ἐνιαυτοῦ περίοδον· διϊόντα δέ ποτε παρὰ τὴν Νεκρὰν θάλασσαν καί τι νησίδιον κατ' αὐτὴν ἰδόντα, δεινῶς ἔρημον καὶ πολλὴν ὅσην φρέρον ἀπανθρωπίαν, ἁλῶναι μὲν εὐθὺς τοῦ δε τῷ ἔρωτι, θέσθαι δὲ εἰς καρδίαν ὥστε παρ' αὐτῷ τὰς τῶν νηστειῶν ἡμέρας διαγαγεῖν. Ἀπιόντα δὲ βόθρῳ τινὶ καταπεσεῖν καμίνου, μετὰ πυρὸς αἰθάλην ἀναδιδόντι, καὶ τήν τε ὄψιν καὶ τὸν πώγωνα διαφλεγῆναι καὶ πολλὰ ἕτερα τοῦ σώματος μέρη, ὡς καὶ τῇ λαύρᾳ πολλαῖς ὕστερον ἡμέραις ἀνασωθέντα, τῷ τε ἤθει καὶ τῇ φωνῇ μόνον, καὶ τούτοις ἀμυδρῶς ἄγαν, ἐπιγινώσκεσθαι, τῆς μορφῆς αὐτῷ τὸ παράπαν ἀλλοιωθείσης καὶ τοῦ πώγωνος ψιλωθέντος· ἐπεὶ μηδὲ φθέγγεσθαι ὅλως δυνατὸς ἦν, ἄχρι τις θειοτέρα δύναμις ἄνωθεν ἐπισκεψαμένη ἰσχύν τε αὐτῷ κατὰ τῶν πονηρῶν πνευμάτων ἐνῆκε καὶ ἠτονηκότα πάλιν ἀνενεώσατο. Ἐπὶ μέν τοι τῇ τοῦ πώγωνος ψιλώσει καὶ χάριν ὁ Σάβας ἐγίνωσκε τῷ Θεῷ, μετριοφροσύνης αὐτῷ πρόφασιν παρασχόντι καὶ ἵνα μᾶλλον ἐπὶ δασύτητι γενείου μηδὲν ἔχοι σεμνύνεσθαι.

§ ιθ'. Ἀλλὰ τοσαῦτα μὲν ἃ τῷ μακαρίῳ Σάβᾳ πεπράχθαι κατὰ τὴν ἐρημον ὁ θαυμάσιος οὗτος παρέδωκεν Ἰωάννης, τοῦ δὲ αὐτοῦ ἔτους, ἐν ᾧ τά τε τῆς λαύρας ηὐξάνετο, ὅ τε θεῖος ἐκεῖνος καθιεροῦτο ναός, καὶ δὴ καὶ ἡ κατὰ τὸν Σάβαν φήμη πανταχοῦ διεδίδετο, συνέβαινε τοὺς τεκόντας. ὡς ἤδη μοι φθάσαντι ἐδηλώθη, κατὰ τὴν Ἀλεξάνδρειαν ὄντας, τὸν μὲν πατέρα τὸν βίον μεταλαχεῖν μάλα περιφανῶς ἐν τῷ τῶν Ἰσαύρων διαπρέψαντα νουμέρῳ· τὴν δὲ μητέρα Σοφίαν, ἐπεὶ τὸν τοῦ ἀνδρὸς ἐν ὀφθαλμοῖς εἶδε θάνατον, ἄλλως τε δὲ καὶ ἡ τοῦ παιδὸς αὐτὴν ἰσχυρῶς εἶλκε φήμη, τὴν οὐσίαν διαπωλήσασαν, ὡς εἶχεν εὐθὺς πρὸς τὸν υἱὸν ἀφικέσθαι, συχνόν τι χρυσίον ἐπαγομένη, ἅτις αὐτὸν ἤδέως ἄγαν θεασαμένη καὶ ὡς ἥδιστα παρ' αὐτῷ καταλύσασα πείθεται παρὰ τοῦ υἱοῦ τοῖς τοῦ κόσμου ἀποτάξασθαι πᾶσι, καὶ μεγάλην ὥσπερ ἐξ αὐτοῦ καὶ υἱῷ πρέπουσαν ἀντιμισθίαν λαβεῖν τῆς εἰς τὸν κόσμον ἐκείνου προαγωγῆς, τὴν ἐκ τοῦ κόσμου αὐτῇ ἀναχώρησιν· εἶτα μετὰ βραχὺ καὶ ἡ μήτηρ παρὰ ταῖς γλυκυτάταις χερσὶ τοῦ παιδὸς ἐτελεύτα, καὶ ταύτην ὁ ἱερὸς θάπτει Σάβας, τά γε μὴν ἐκείνης χρήματα πάντα καθοσιοῖ τῷ Θεῷ, παραδείσους τῇ λαύρᾳ καὶ καταγωγὰς δι' αὐτῶν ἀπονέμει· τὴν μὲν εἰς Ἱεριχὼ δειμάμενος· τὴν δὲ πρὸς αὐτῇ τῇ λαύρᾳ ἐξ αὐτῶν κρηπίδων οἰκοδομήσας, ἵν' ἐκείνη μὲν τοὺς ὁδίτας, ταύτη δὲ τοὺς μοναχοὺς διαναπαύῃ καὶ ὑποδέχηται. Ἄξιον δὲ μηδὲ ἐκεῖνο παραδραμεῖν, ὅ περὶ τὴν οἰκοδομὴν αὐτὴν συνέβη τῆς ἐν τῇ λαύρᾳ καταγωγῆς· ἐτύγχανε μὲν γὰρ εἰς Ἱεριχὼ ἕνα τῶν μοναχῶν ἐκπέμψας ὁ θαυμάσιος Σάβας, ἐν ᾧ τινὰ ὕλην ἐκεῖθεν τοῖς τῆς λαύρας ὑποζυγίοις μετακομίσαι· ὁ δὲ ἄρα πυρώδει καταφρυγεὶς τῷ ἡλίῳ ἰσχυρῶς τε τῇ δίψῃ ἐφλέγετο, καὶ ἐκλείπων ἤδη πρὸς τῇ ὁδῷ ἔκειτο· ἐπεὶ καὶ ἡ ὁδὸς αὕτη κομιδῇ ἔρημός τε καὶ ἄνυδρος· ὀψὲ δὲ καὶ εἰς μνήμην τοῦ θείου Σάβα γενόμενος, τὰς ἐκείνου θείας εὐχὰς ὡς φάρμακόν τι τῆς δίψης ἐξεκαλεῖτο· καὶ παραυτίκα ὁ ἐν στύλῳ νεφέλη ὁδηγήσας τὸν Ἰσραὴλ, καὶ αὐτῷ νεφέλην ὕδωρ ὠδίνου[σαν] διεπέτασε, σκέπουσάν τέ ὥσπερ ἐκείνους καὶ δροσερῶς ἀναψύχουσαν καὶ δύναμιν αὐτῷ ἐνιεῖσαν· καὶ οὕτως ἄνωθεν τὴν νεφέλην ἑπομένην ἔχων εἰς τὴν λαύραν καταλαμβάνει· ἀλλὰ τοῦτο μὲν καὶ ἀπόντι τῷ Σάβᾳ τεθαυματούρ[γη]το, ἐχέσθω δὲ τῆς ἀκολουθίας λοιπὸν ἡ διήγησις.

§ κ'. Εἰωθὸς τῷ μεγάλῳ τὰς ποθουμένας τοῖς φιλαρέτοις ἡμέρας τῶν νηστειῶν τῆς λαύρας ἀποδημεῖν, ὥσπερ ἔφημεν, γνώμην ἔσχε ποτὲ καὶ τὸν οὕτω τοῦ Καστελλίου καλούμενον οἰκῆσαι βουνόν, εἰκοσί που σταδίοις τῆς λαύρας ἀπέχοντα, μικροῦ δὲ καὶ ἀνθρώποις ἄβατον ὄντα διά τε τὸ πλῆθος τῶν ἐμφιλοχωρούντων αὐτῷ δαιμόνων καὶ τὸ τραχὺ δεινῶς τοῦ τόπου καὶ ἄγριον. Ἐπὶ τοῦ τοιούτου τοίνυν βουνοῦ γενόμενος, καὶ τὸ τοῦ σταυροῦ ἔλαιον ὥσπερ τι δέος ἄμαχον πανταχοῦ διαρράνας, καὶ καταφυγὴν ἑαυτοῦ τὸν ὕψιστον θέμενος, διὰ πάσης ᾤκει τὸν βουνὸν τῆς τῶν νηστειῶν περιόδου.

§ κα'. Τοῦ δὲ τῆς νηστείας ἤδη καιροῦ διαγεγονότος, ἐπάνεισι μὲν ὁ θεῖος Σάβας εἰς τὴν λαύραν, ὡς ἔθος, τὴν λαμπρὰν δὲ λαμπρῶς ἑορτὴν ἐν αὐτῇ τοῦ πάσχα τελέσας, τῶν ἀδελφῶν τινὰς συμπαραλαβών, εἰς τὸ Καστέλλιον ἀφικνεῖται, καὶ τόν τε βουνὸν ἐξεκάθαρε καὶ τῇ κατ' αὐτὸν ὕλῃ πρὸς οἰκοδομὴν κελλίων ἐχρῆτο· ἐν ὅσῳ δὲ σὺν τοῖς ἀδελφοῖς ἔργου εἶχετο, εὑρίσκεταί τινος οἶκος κατὰ κόσμον λαμπροῦ, λίθου τοῦ καλλίστου πεποιημένος, τὴν ὀροφὴν ὑψηλός, τὸ μέγεθος περιττόν, χάρισιν ἀφθόνοις κεκοσμημένος· τοῦ-

τον οὖν ὁ θεῖος Σάβας εὑρὼν καὶ πρὸς τὸ ἐπιτερπέστερον συνεπισκευάσας εἰς ναὸν ἅγιον κατεστήσατο· ἐντεῦθεν αὐτῷ κατὰ γνώμην Θεοῦ τὸ πρᾶγμα χωρεῖν οἰηθείς, ἔγνω πλείους τε οἰκοδομῆσαι καταγωγὰς, καὶ τὸν τόπον εἰς κοινόβιον ἀποτάξαι. Οὕτω τε αὐτοῦ περὶ τὰς τοιαύτας καταγωγὰς μετὰ τῶν ὑπ' αὐτῷ πονουμένου, μηδενὸς δὲ φροντίδα ποιουμένου τῶν ἀναγκαίων, ὁ καὶ μητρὸς περὶ ἡμᾶς φιλοστοργώτερος καὶ πατρὸς κηδεμονικώτερος Μαρκιανῷ τῷ πάντα χρηστῷ ἐπιπέμπει, ὃς ἄρα καὶ τῶν ἐν Βηθλεὲμ κοινοβίων ἀρχηγὸς ἦν, καὶ κοινῇ πάλιν τῶν πανταχοῦ μοναχῶν ἐτίθετο τὴν κηδεμονίαν. Ἑώρα γὰρ νυκτὸς οὗτος ἀγγελικὴν οἵαν καὶ ξένην μορφὴν, ἡδύ καὶ κάλλιστον ἀπολάμπουσαν, ἐώκει δὲ καὶ τοιαῦτα φωνεῖν πρὸς αὐτόν: Σὺ μὲν, Μαρκιανὲ, λέγουσα, ἄλυπός τε καὶ ἄπονος διανυκτερεύεις, οὐδενὸς τῶν τῷ σώματι συντεινόντων ἐνδεὴς ὤν· τῷ δὲ δούλῳ τοῦ Θεοῦ Σάβᾳ, διὰ πολλὴν τὴν πρὸς τὸν Δεσπότην στοργὴν, πολλοὺς ἐν τῷ Καστελλίῳ σὺν ἅμα τισὶν ἀδελφοῖς ὑπομένοντι μόχθους, συχνὴ τῶν ἀναγκαίων ἡ ἀπορία, καὶ οὐδεὶς ὁ καὶ ὀλίγα τῶν πρὸς τὴν χρείαν αὐτοῖς κοινωνήσων· μετάδος τοιγαροῦν ὧν ἔχεις, μηδὲν τὸ παράπαν ὑπερτιθέμενος, ἵνα μὴ πλείονι καὶ ἔτι πιέζοιντο τῇ ἐνδείᾳ. Καὶ ταῦτα μὲν ἡ ὄψις· ὁ Μαρκιανὸς δὲ, μηδὲν αὐτίκα διαμελήσας, πολλὰ τῶν ἐπιτηδείων ἀποστέλλει τῷ Σάβᾳ, τοῖς τῇ μονῇ διακονοῦσιν ὑποζυγίοις ἐπὶ τὸ μετακομίζειν αὐτὰ χρησάμενος· ὁ δὲ, δεξάμενος τὰ πεμφθέντα, καὶ ἥ τις ἡ τῆς ἀποστολῆς αἰτία μεμαθηκὼς, σύμβολον καὶ τοῦτο θεραπείας Θεοῦ περὶ τὸν τοῦ τόπου συνοικισμὸν ἐποιεῖτο· καὶ ὁμοῦ μὲν θερμότερον εἴχετο τῆς πρὸς τὸν Δεσπότην εὐχαριστίας, ὁμοῦ δὲ καὶ τὴν τοῦ κοινοβίου οἰκοδομὴν συντονωτέραν ἐτίθει· ἔπειτα μετὰ τὸ πέρας αὐτῆς, μοναχῶν πλῆθος λογάδων τῷ κοινοβίῳ ἐγκατοικίζει, ἀναχωρητὴν ἐκ πολλοῦ τινὰ Παῦλον, ἅμα Θεοδώρῳ τῷ μαθητῇ, ἐπιτροπεύειν τὰ κατ' αὐτοὺς προστησάμενος. Ἀλλὰ Παύλου μετ' οὐ πολὺ τὸν βίον ἀπολιπόντος, Θεόδωρος τὴν τῶν πραγμάτων πᾶσαν ἐκδέχεται προστασίαν, καὶ τόν τε ἀδελφὸν Σέργιον καὶ Παῦλον εἰς τὴν μονὴν προσαιρεῖται τὸν θεῖον, οἵτινες αὐτοῦ τε ὕστερον ἀφηγήσαντο τοῦ Καστελλίου, καὶ τῆς Αἰλᾶ καὶ Ἀμαθοῦντος ἐπιστεύθησαν τὴν ἱεραρχίαν.

§ κβ'. Σάβᾳ μέντοι τῷ θείῳ πολλή τις ἦν ἡ φροντὶς οὓς ἂν ἐν τῷ τοῦ Καστελλίου κοινοβίῳ μέλλοι καταφεύγειν εἶναί τε προβεβηκότας τὴν ἡλικίαν καὶ τὴν μοναχικὴν ἤδη πολιτείαν ἠκριβωκότας· οὐδενὶ δὲ τῶν κοσμικῶν τε καὶ νεηλύδων εἴτε τῶν ἐπὶ τῆς λαύρας εἴτε τῶν ἐπὶ τοῦ Καστελλίου παρεχώρει διατριβῶν· ἀλλὰ μικρόν τι κοινόβιον κατὰ τὸ ἀρκτῷον μέρος τῆς λαύρας δειμάμενος, καὶ ἄνδρας ἐπιστήσας αὐτῷ προσεκτικούς τε καὶ νηφαλίους καὶ ψυχὰς ἀδελφῶν πιστεύεσθαι δυναμένους, τοῦτο ἀπένειμεν εἰς διατριβὴν τοῖς ἄρτι τοῦ κόσμου μεταφοιτῶσιν, ἕως αὐτό τε τὸ Ψαλτήριον μάθωσι καὶ τὴν ἄλλην διασκηθῶσι τῶν μοναχῶν πολιτείαν· πρὸς δὲ καὶ τὴν τῶν κοσμικῶν ὅλως μνήμην τῆς διανοίας ἐξοικισάμενον, τότε δὴ κἂν τῇ λαύρᾳ παρεῖχεν αὐτῷ κελλίον, εἰ ἀσθενὲς ἔχοι τὸ σῶμα καὶ ἄρρωστον· εἰ μέντοι τῶν ἐρρωμένων εἴη καὶ εὐσθενῶν, καὶ κελλίου οἰκοδομὴν ἐπέτρεπεν· ἀγενείῳ δὲ οὐδενὶ τὸ παράπαν εἰς τὴν λαύραν εἰσιτητὸν ἦν, διὰ τὰ ἐκ τοῦ πονηροῦ σκάνδαλα. Ἔφασκε γὰρ ὁ θεῖος Σάβας πατροπαράδοτον ἐξ ἀρχῆς εἶναι τοῦτο, καὶ ἐπ' αὐτῷ δὴ ἐκείνῳ τὸν ἴσον φυλαχθῆναι τρόπον· τὸν αὐτὸν οὖν τύπον καὶ ὁ θεσπέσιος Σάβας εἴπέρ τινα ἴδοι τῶν ἀποταττομένων τοιοῦτον, οὕτω δῆλον ὅτι τὴν ὄψιν γενείων ὑποπλησάμενον, πρὸς τὸν εἰρημένον ἐξέπεμπε Θεοδόσιον, ἤδη τῆς οὕτω λεγομένης τοῦ Καθίσματος ἐκκλησίας ἀνακεχωρηκότα, κἀν τῷ πρὸς δύσιν μέρει τῆς λαύρας φροντιστήριον συστησάμενον κοινωνικῷ βίῳ προσῆκον, πέντε καὶ τριάκοντα σταδίοις τῆς λαύρας ἀπέχον· ὃς καὶ τοὺς ἀποστελλομένους ἡδέως ἄγαν δεχόμενος, τὸν πάντα τρόπον ἔσπευδε θεραπεύειν, τῷ ἀποστείλαντι χαριζόμενος, ἐπεὶ καὶ ἦσαν ἀλλήλοις ὅ τε θεῖος Σάβας καὶ ὁ μακαρίτης οὑτοσὶ Θεοδόσιος φιλικώτατα διακείμενοι, καὶ τοῦ οἰκείου ἑκατέρου θέλημα προτιθεὶς, ἢ μᾶλλον τοῦ ἑτέρου, ἴδιον ἄτερος εἶναι νομίζων, οὕτως αὐτοὺς τοῦ κατὰ Χριστὸν πόθου συνάψαντος καὶ φρονεῖν πείσαντος· τοῦτο δὲ ἄρα καὶ πᾶσι διαβεβόητο, καὶ ἄλλη παρὰ τοῖς ἱεροσολυμίταις ἀποστολικὴ συζυγία ἐκρίνοντό τε καὶ ὠνομάζοντο. Οὗτοι καὶ τὴν ἐπιστασίαν παντὸς τοῦ τῶν μοναχῶν συστήματος παρὰ τοῦ ἀρχιεπισκόπου, φημὶ, ἐπιστεύθησαν Σαλουστίου, μέλλοντος ἐν Χριστῷ τελειοῦσθαι, οὐκ αὐτοὶ τοῦ πράγματος ἐρασθέντες, ἀλλ' αἱρεθέντες μᾶλλον ὑπὸ τῶν μοναχῶν καὶ ἀρετῆς ἆθλον τὴν προστασίαν δεξάμενοι. Καὶ ὅθεν εἰς ταύτην τὴν ἀρχὴν ἐκεῖνοι ἦλθον δι' ὀλίγων ἐρῶ.

§ κγ'. Ἐλπιδίου καὶ Ἡλιοὺ τῶν τοῦ μεγάλου Πασσαρίωνος διαδόχων τὸν βίον ἀπολιπόντων, εἰς Λάζαρον ἀκολούθως ἡ ἀρχὴ μεταβαίνει, ὡς δὲ καὶ εἰς Γερόντιον· οὗ τελευτήσαντος, Ἀναστάσιος τὴν τῶν ἀδελφῶν προστασίαν ἐγχειρίζεται. Τῶν γοῦν τοιούτων Λαζάρου τέ φημι καὶ Ἀναστασίου τὴν ἀρχὴν ἐχόντων, ἐν ἀταξίᾳ καὶ κλύδωνι τὰ τῶν μοναχῶν ἦν καὶ συγχύσεως πάσης ἐπληροῦτο καὶ ταραχῆς, αὐτῶν δὴ τῶν εἰρημένων, Λαζάρου φημὶ καὶ Ἀναστασίου, τῆς μὲν μοναχικῆς ἀκριβείας ὀλίγα ἢ οὐδὲν φροντιζόντων, περὶ δέ τινας κοσμικὰς φροντίδας καὶ χρημάτων προσόδους ὅλῃ γνώμῃ καὶ ψυχῇ τετραμμένων, Ἀναστασίου μάλιστα τὸ τηνικαῦτα μετὰ Ζήνωνα τὴν βασιλείαν ἐκδεξαμένου, καὶ τῶν κατὰ τὴν Ἐκκλησίαν σχισμάτων ἀνέδην παρρησιαζομένων. Ὁ γοῦν θεῖος Σαλούστιος, πατριάρχης δὲ οὗτος Ἱεροσολύμων ἦν, τοῦ κλύδωνος ἐκείνου τοὺς ἀδελφοὺς ἁπαλλάξαι κατὰ νοῦν θέμενος, πρῶτα μὲν τὸν ἤδη μοι λεχθέντα Μαρκιανὸν προηγεῖσθαί τε καὶ ἄρχειν αὐτῶν κατεστήσατο· χρόνου δὲ τῷ μεταξὺ διαγενομένου, ἐτύγχανε μὲν ὁ θεῖος Σαλούστιος νοσῶν καὶ πονήρως ἔχων τοῦ σώματος· συνέρχονται δὲ αὐτῷ πάντες οἱ τῆς ἐρήμου, καὶ αὐτὸς, κοινῇ τῶν συνελθόντων ὁμοῦ ψήφῳ, τῶν περὶ τὴν ἁγίαν πόλιν ἀφηγεῖσθαι μοναστηρίων τόν τε Σάβαν φημὶ καὶ τὸν Θεοδόσιον προεστήσατο, ἄνδρας ὁποίους ὑμῖν παρίστησιν ἡ παροῦσα διήγησις· ἐξ ἐκείνου τοίνυν ὁ μὲν Θεοδόσιος τῶν κοινωνικῶν, ὁ δὲ Σάβας τῶν ἀμίκτων πάντῃ καὶ ἀναχωρητικῶν ἐξηγοῦντο. Ἐπεὶ δὲ καὶ Σαλούστιος τῆς παρούσης ἀπεφοίτα ζωῆς, Ἠλίας μὲν ὁ πολλάκις μοι ἐν τῷ τοῦ μεγάλου Εὐθυμίου βίῳ πρὸς μνήμην ἐλθὼν εἰς τὸν ἐκείνου θρόνον ἀνάγεται, σπουδὴν δὲ αὐτίκα ποιεῖται πᾶσαν ὥστε συναθροῖσαι περὶ αὐτὸν τοὺς τῆς ἁγίας Ἀναστάσεως Σπουδαίους, περὶ τὸν πύργον Δαυὶδ, ἔν τισι διεσκεδασμένους κελλίοις· ἀμέλει καὶ μοναστήριον συνίστησι παρὰ τῇ ἐπισκοπῇ, κελλία τε πρὸς ὑποδοχὴν ἐκείνων οἰκοδομεῖ καὶ τῶν συνόντων ἑκάστῳ ἄρθρον ἀποτάττει τῶν ἀναγκαίων τὴν χορηγίαν.

§ κδ'. Τῶν γοῦν τοιούτων μοναχῶν πάντων ἐκεῖ συναθροιζομένων, ὁ θεῖος Σάβας πάλιν πολλὰ τῶν κελλίων, ἐν οἷς ἐκεῖνοι πρότερον οἰκοῦντες ἦσαν, πριάμενος, εἰς ξενίαν τῶν παραβαλλόντων τῇ λαύρᾳ καὶ αὐτὰ προσετίθει, καὶ γὰρ ἦν ἐχόμενα ταύτης καὶ ὥσπερ ὑφ' ἑνὶ ποιμένι τῷ αὐτῷ τεταγμένα· τούτοις οὖν ἐνασχολουμένου τοῦ Σάβα καὶ τὰ μὲν ἔχοντος, τὰ δὲ μέλλοντος, θαυματουργεῖταί τι περὶ αὐτὸν μέγα μὲν καὶ οἷον εἰκὸς ἄπιστον εἶναι τῷ μεγέθει τοῦ πράγματος, παράδοξον δὲ οὐδὲν οὐδὲ ξένον τῆς τοῦ ἀνδρὸς ἀρετῆς· ἐπρίατο μὲν γὰρ, ὥσπερ ἔφημεν, πολλὰ τῶν κελλίων, ἐβούλετο δὲ καὶ τἆλλα ὠνήσασθαι, προσεχῆ τε ὄντα καὶ αὐτὰ τῇ λαύρᾳ καὶ τῷ σκοπῷ χρήσιμα· ἀλλ' ἡ τοῦ χρυσοῦ ἔνδεια προίστατο τῇ θελήσει, καὶ περὶ τὴν κτῆσιν θερμότατα ἔχων οὐκ εἶχεν ὅμως καὶ τὴν χεῖρα συναιρομένην· οὐδὲν γὰρ αὐτῷ ἕτερον ὑπελείφθη ὅτι μὴ νομίσματος τὸ ἥμισυ, ἀλλ' ἐκεῖνος τὸ εὔπορον τοῦ Θεοῦ καὶ τὸ σοφὸν καὶ πρὸς πάντα ἰσχύον εἰδὼς, κἀκείνῳ τὸ πᾶν ἐπιτρέψας, ὃ τέως εἶχε τοῖς τῶν κελλίων δεσπόταις ὡς ἀρραβῶνα κατέβαλεν, ἐπαγγειλάμενος εἰ μὴ τὴν ἐπιοῦσαν καὶ τὸ λοιπὸν ἀποδῷ καὶ τοῦ ἤδη καταβληθέντος διαπεσεῖν· ὁ μὲν οὖν οὕτω πρὸς τοὺς μοναχοὺς συμπεφωνηκὼς πρὸς μόνην ἑώρα τὴν ἀκένωτον δεξιάν· ἥκει δέ τις ἔωθεν ξένος, ἀγνὼς τὸ παράπαν, ἥκει δὲ ὥσπερ ἐκ θείας ἀποστολῆς, καὶ μηδὲν εἰπὼν ἢ παρ' αὐτοῦ πάλιν ἀκούσας, ἑβδομήκοντα πρὸς τοῖς ἑκατὸν αὐτῷ δωρεῖται χρυσοὺς, καὶ δοὺς ἀπιὼν εὐθὺς ᾤχετο, μηδὲ ὄνομα, ὃ καλεῖται, γνωρίσας. Συμβαλὼν δὲ ὁ Σάβας εὐθέως ὅθεν τε καὶ ὅπως ταχίστη τῶν δοθέντων ἡ χορηγία καὶ ὅτι προδήλως ἐκ τοῦ Θεοῦ, παραχρῆμα τῶν κελλίων τε τὴν τιμὴν κατεβάλλετο καὶ οἶκον πρὸς ὑποδοχὴν ἕτερον τῶν ἀπὸ τῆς ξένης παραβαλλόντων ἐδείματο μοναχῶν, ἀλλὰ καὶ δύο τῷ Καστελλίῳ καταγωγὰς προσεκτήσατο· τὴν μὲν πρὸς τῇ ἁγίᾳ πόλει, οὐ μακρῷ διέχουσαν τοῦ πύργου φημὶ τοῦ Δαυὶδ, τὴν ἑτέραν δὲ εἰς Ἰεριχώ. Τὸν γοῦν περὶ τὰ τοιαῦτα ζῆλον τοῦ ἀνδρὸς ἔτι μᾶλλον ὁ Δεσπότης ἄνωθεν ἐπιτείνων ἀδελφούς τινας κατὰ σάρκα δύο, τὸ γένος ἰσαύρους, τὴν κλῆσιν Θεόδουλον καὶ Γελάσιον, νέους τινὰς καὶ αὐτοὺς κατὰ τὸν Βεσελεὴλ ἐκεῖνον καὶ τὸν Ἐλιὰβ νέας σκηνῆς ἀρχιτέκτονας, τῷ νέῳ τούτῳ Μωϋσεῖ ἐπιπέμπει, οἷς ἐκεῖνος τῶν οἰκοδομημάτων αὐτουργοῖς χρώμενος ἐπεσκευάσατο μὲν ὁπόσα ἔτι τῇ λαύρᾳ ἐνδέοντα ἦν, ἐδείματο δὲ καὶ τὰ περὶ αὐτὴν μοναστήρια· ἔπειτα μέντοι καὶ οἰκίαν εἰς ἐργασίαν ἄρτων οἰκοδομεῖ, νοσοκομεῖον τε νεουργεῖ, καὶ ὑδάτων μετὰ ταῦτα δοχὰς παρὰ τῷ χειμάρρῳ κατασκευάζει· ἐπεὶ δὲ οὔτε ὁ φανεὶς αὐτῷ πρότερον θεόκτιστος ναὸς τῇ τῶν ἀδελφῶν

ἥρκει συνάξει, καὶ τὸ τῶν ἀρμενίων πλῆθος πάλιν τὸ τοῦ εὐκτηρίου μέγεθος ὑπερέβαινεν, οἷκον ὁ θεῖος Σάβας ἐξ αὐτῶν κρηπίδων ἕτερον ἀνεγείρει, κόσμου τε καὶ μεγέθους οὐδενὸς ἑτέρου λειπόμενον, καὶ τοῦτον τῇ Θεοτόκῳ καθιεροῖ· οὐ δὴ καὶ παρὰ τοῦ τότε προεστῶτος τῆς Ἐκκλησίας Ἡλιοῦ, ὡς ἔθος, ἐγκαινισθέντος, τὰς μὲν ἱερὰς ἐκείνας τῶν ἀδελφῶν συνάξεις ἐκεῖσε τοῦ λοιποῦ τελεῖσθαι παρεγγυᾷ, τὸ δὲ τῶν ἀρμενίων πλῆθος εἰς τὸν θεῖον ἐκεῖνον μεταφέρει ναόν, ὥστε τὴν μὲν χριστιανοῖς συνήθη δοξολογίαν καὶ αὐτὴν δὲ τὴν τοῦ Εὐαγγελίου ταῖς τῶν παρόντων ἀκοαῖς ἐκφώνησιν τῇ οἰκείᾳ πληροῦν διαλέκτῳ, τῶν θείων δὲ τοῖς ἄλλοις κοινωνεῖν μυστηρίων καὶ κοινὴν πᾶσι γίνεσθαι τὴν μετάληψιν. Ἐπειδή δέ τινες τῇ τοῦ Πέτρου κενοφωνίᾳ τοῦ ἐπίκλην Κναφέως ἑπόμενοι, ὃς τὰ Εὐτυχοῦς φρονήσας καὶ τῷ Ἀντιοχέων θρόνῳ ἀνοσίως ἐπιπηδήσας τῶν ἱερῶν πολλάκις ἀπεώσθη προθύρων, τῷ ἀγγελικῷ ὕμνῳ τοῦ Τρισαγίου τὸ «ὁ σταυρωθεὶς δι' ἡμᾶς» παρ[ήνειρον], ὁ θεῖος Σάβας, τὴν κίβδηλον ταύτην ἀναιρῶν καινοτομίαν, τὴν μὲν ἄλλην τῶν ἱερῶν ὑμνῶν ἀκολουθίαν, ἐπείπερ ὁ θεῖος ἀνὴρ ὀρθῶς αὐτὴν ᾔδει τοὺς ἀρμενίους διεξιόντας, τῇ συνήθει ᾄδειν αὐτοὺς ἀφῆκε φωνῇ, μόνον δὲ τὸν Τρισάγιον ὕμνον τῇ ἑλλήνων διεξιέναι γλώττῃ νενομοθέτηκεν, ἔτι καὶ τοῦτο ἐπισκήψας ὥστε σαββάτου μὲν ἐν τῷ τοῦ σπηλαίου ναῷ, τῶν δὲ κυριακῶν ἐν τῷ τῆς Θεοτόκου γίνεσθαι τὰς συνάξεις, καθ' ἑκατέρας μέντοι τὰς ἐκκλησίας ἔν τε κυριακαῖς καὶ ὅσαι τῶν ἑορτῶν ἐπιφανέστεραί εἰσι καὶ δεσποτικώτεραι ἀφ' ἑσπέρας αὐτῆς ἕως πρωὶ παρατείνειν τὴν ἀγρυπνίαν.

§ κε'. Οὕτως οὖν ἔχοντι τῷ Σάβᾳ, καὶ τήν τε λαύραν καὶ τὸ Καστέλλιον οἰκοδομαῖς καθ' ἑκάστην καὶ ἀδελφῶν προσθήκαις αὐξάνοντι, οἱ πρότερον αὐτοῦ μαθηταὶ ὕστερον καὶ συκοφάνται, ὡς ἤδη φθάσαντες ἐδηλώσαμεν, οὐ φέροντες τὰ τῆς λαύρας ἀνθοῦντα οὕτως ὀρᾷν, ἀλλὰ καὶ πλείονι ἔτι τῷ φθόνῳ διακαιόμενοι, ἑταιρισάμενοί τε καὶ ἄλλους τῶν ἀδελφῶν, καὶ συναγωγὴ πονηρὰ περίπου τοὺς τεσσαράκοντα γεγονότες, δόλους ἔρραπτον κατὰ τοῦ ἁγίου καὶ πάντα τρόπον ἐπιβουλὰς ἐσκαιώρουν. Ταῦτα δὲ γνοὺς ὁ πρᾶος ἐκεῖνος καὶ ὥστε μὴ ἀφορμὴ σκανδάλου κεῖσθαι τοῖς ἀδελφοῖς οὐ βρῶμα περιφρονεῖ τὸ τοῦ ἀποστόλου μόνον, ἀλλὰ καὶ αὐτῆς ἐκείνης τῆς λαύρας ἀφίσταται· πεπαίδευτο γὰρ ὁ Σάβας δαίμοσι μὲν ἀπομάχεσθαι, ἀνθρώποις δὲ καὶ λίαν ὑποχωρεῖν· τοῦτο δὲ ἐποίει ὁμοῦ μὲν ἐντρέπων τοὺς πονηροὺς τῇ τῆς ἐπιεικείας ὑπερβολῇ, ὁμοῦ δὲ καὶ τὸν φθόνον τῇ ἐνστάσει μαραίνων, καὶ δεικνὺς ὡς ἄρα οὐδὲν ἐκεῖνος οἰκεῖον ἐσπούδαζεν, ἀλλὰ Θεῷ πάντα ἐπόνει καὶ τῇ ἀδελφῶν ὠφελείᾳ· ταύτῃ τοι καὶ ἀναχωρεῖ μὲν ῥᾳδίως καὶ πρὸς τὰ μέρη Σκυθοπόλεως ἔρχεται, μένει δὲ ἔν τινι τόπῳ ἐρήμῳ μέν, καλουμένῳ δὲ ποταμὸν Γαδάρων· Θεὸς δὲ φροντίζειν οὐκ ἠμέλει τοῦ Σάβα. Καὶ αὐτὸς μὲν σπήλαιόν τι ὕπεισι πρὸς τῷ ποταμῷ κείμενον. Ἐκεῖ τοίνυν αὐτοῦ διατρίβοντος, πολλοὶ τῶν πλησιοχώρων παρ' αὐτὸν ἐφοίτων, καὶ μάλιστα ὅσοι Σκυθόπολίν τε καὶ τὰ Γάδαρα ᾤκουν· ἐκάλει γὰρ πάντοθεν αὐτοὺς ἡ ἐκείνου φήμη, καθάπερ τις λαμπρὰ σάλπιγξ τὸν ἄνδρα διακηρύττουσα· ἔνθα τις τῶν Σκυθοπολιτῶν φανεὶς τὸ γένος, νέος τὴν ἡλικίαν, τὴν κλῆσιν Βασίλειος, θεόθεν πρὸς τὰ καλὰ κινηθεὶς καὶ πᾶσι τοῖς ἀνθρωπίνοις χαίρειν εἰπών, αὐτῷ καὶ Θεῷ πρόσεισι· καὶ ὁ μὲν συνῆν τῷ Σάβᾳ καὶ παρ' αὐτῷ διητᾶτο· λῃσταὶ δέ τινες, χρημάτων εὐπορεῖν νομίσαντες τὸν Βασίλειον, περὶ μέσας νύκτας ἐπῆλθον αὐτοῖς ἐλπίδων ἐμπεπλησμένοι· ἐπεὶ δὲ μηδὲν τοιοῦτον εὗρον ὧν ἤλπιζον, ἀπῆλθον, ἀντ' ἄλλου τινὸς κέρδους, ψυχῆς ὠφέλειαν πορισάμενοι· τὸ λοιπὸν γὰρ οὐκέτι λῃσταί, ἀλλ' ἀφέμενοι πάσης ἀδίκου καὶ παρανόμου πράξεως γεωργίᾳ προσεῖχον καὶ τοῖς τῆς γῆς πόνοις ἐνησχολοῦντο.

§ κϛ'. Τοῦ δὲ τοιούτου θαύματος πολλῶν ἀκοαῖς ἐν ὀλίγῳ διαδοθέντος καὶ πάντας πρὸς τὸν ἄνδρα συγκαλουμένου, ἐκεῖνος τῷ τῶν συρρεόντων πλήθει διενοχλούμενος τῆς προτέρας καὶ πάλιν ἐγλίχετο ἡσυχίας· Θεῷ τοίνυν τοὺς ἐκεῖ συναχθέντας ἀδελφοὺς παραθέμενος, καὶ τὸ κελλίον, ὃ νεωστὶ συνεστήσατο, παραδοὺς αὐτοῖς, ῥᾷον ὥσπερ τι στρουθίον, τὸ τοῦ θείου ψαλμοῦ φάναι, μεταναστεύει, καὶ πρὸς τὴν ποθουμένην ἐπάνεισιν ἡσυχίαν· ἐκείνων μὲν οὖν χρόνοις ὕστερον τὸν τῇδε βίον ἀλλαξαμένων, Εὐμάθιός τις, γένους ἰσαύρων, τὸ κελλίον ἐκ διαδοχῆς λαβὼν κοινόβιόν τε πεποίηκε καὶ πλῆθος μοναχῶν ἐν αὐτῷ συνελέξατο, ὧν εἷς ἐστι καὶ Ταράσιος, ὁ μετὰ Εὐμάθιον τὴν προστασίαν ἐγχειρισθείς· ἀνήρ, ἴσαυρος μὲν καὶ αὐτὸς τὸ γένος, ἐπαινετὸς δὲ τὸν τρόπον καὶ τὴν ἀρετὴν διαβόητος. Ὁ μέν τοι Σάβας διὰ πολλοῦ πρὸς τὴν λαύραν ἐπανελθὼν ᾤετο μὲν εὑρεῖν τοὺς πρότερον

στασιώδεις τῶν ἀδελφῶν ἤδη τὴν ὀργὴν ὑποδεδωκότας· οἷα τοῦ μεταξὺ χρόνου τὴν ἀκμὴν ἠρέμα διαμαράναντος καὶ τῆς κατ' αὐτοῦ μελέτης τῇ ἐκδημίᾳ τῆς λαύρας συνοιχομένης· τὸ δὲ ἄρα οὐχ οὕτως ἦν, καὶ τοῦτο δῆλον ἐντεῦθεν· οὐ γὰρ αὐτοὶ δήπου μόνοι πονηρίαν ὤδινον κατὰ τοῦ ἁγίου, ἀλλὰ δὴ καὶ ἑτέρους εἴκοσιν ἀναπείσαντες καὶ τοῦ ὑπὸ τὰ χείλη κἀκείνοις ἰοῦ μεταδόντες, πολέμους ὅλην τὴν ἡμέραν κατ' αὐτοῦ παρετάσσοντο. Ἐπεὶ δέ, τὸ τοῦ λόγου, σμήχειν τὸν αἰθίοπα ἐπειρᾶτο, καὶ ἑώρα τούτους τῇ κακίᾳ μᾶλλον ἀνδριζομένους, ἐπεὶ ἄλλως θεραπεύειν οὐκ ἦν, ἀναχωρεῖ καὶ αὖθις ἐπὶ τὰ τῆς Νικοπόλεως μέρη, καὶ ὑπὸ δένδρῳ κερατιᾷ τινι καταλύει, τροφῇ μὲν τῷ ἐκείνου καρπῷ, στέγῃ δὲ τοῖς κλάδοις χρώμενος. Ἀλλὰ Θεός, δι' ὃν ταῦτα ὑπομένειν ὁ Σάβας ἠξίου, πλέκει κἀνταῦθα σοφῶς καὶ τῷ Σάβᾳ πρᾶγμα κηδεμονίας καὶ τῷ φιλαρέτῳ μισθοῦ πρόξενον· εἰς γνῶσιν γὰρ ἐνεγκὼν τοῦτο τῷ δεσπόζοντι τοῦ ἀγροῦ, ἣν δὲ οὗτος φιλῶν, ὡς ἔοικεν, ἀρετὴν, παρασκευάζει θᾶττον ἀφικέσθαι καὶ παρ' αὐτὸν, ἄλλης τε προνοίας ἀξιῶσαι τὸν ἄνδρα, καὶ κελλίον αὐτῷ ἀνεγεῖραι, ὃ καὶ ὕστερον εἰς κοινόβιον κατέστη, Χριστοῦ συνεργοῦντος.

§ κζ'. Ἀλλὰ τοῦ Σάβα οὕτως ἐν ἐκείνῳ δὴ τῷ τόπῳ φιλοχωροῦντος, τὰ μοχθηρὰ ἐκεῖνα ἀνθρώπια καιρὸν αὐτοῖς εἰς συκοφαντίαν τὴν μακρὰν ἐκείνην τοῦ ἀνδρὸς ἀποδημίαν νομίσαντες, καὶ τοιαύτην τινὰ συνθέντες ἐν τῇ λαύρᾳ περὶ αὐτοῦ φήμην, ὡς ὁ ἀββᾶς ἡμῶν τὰς ἐρήμους περιὼν θηριάλωτος γένοιτο, καὶ ταύτῃ τοὺς ἀλογωτέρους ἑλόντες, εἰς τὴν ἁγίαν πόλιν κατὰ σπουδὴν ἀφικνοῦνται, καὶ προσελθόντες τῷ πατριάρχῃ ταῦτα ἀπαγγέλλουσι, καὶ ὅπου τὸ δεινὸν ὑπέστη ψευδῶς προστιθέασι· κατὰ γὰρ τὴν ἔρημον, φασί, τῆς Νεκρᾶς θαλάσσης λέοντι κατέστη βορά· τοῦτο δὲ οὕτως εἶπον ἵνα τὸ πλασθὲν αὐτοῖς δόξειεν πιθανώτερον· εἶτα καὶ τὸν προηγησόμενον αὐτῶν ἐπεζήτουν. Ὁ δὲ μηδὲν ἁπλῶς καὶ εἰκῇ μήτε λέγειν μεμαθηκὼς, μήτε ἄλλων λεγόντων ἀκούειν, ἄλλως τε δὲ καὶ τὸν τοῦ Σάβα βίον οἷος ἦν ἐκ νέου μὴ ἀγνοῶν καὶ κρίσει διανοίας τὸ ῥηθὲν ἐπιτρέψας· «Ἀλλ' ἐμοί, φησὶν, οὐκ ἂν γένοιτο ῥᾳδίως τῷ λεχθέντι πιστεῦσαι· οἶδα γὰρ ὅτι δίκαιος ὢν ὁ Θεὸς, καὶ δικαιοσύνας, ἡ φησὶν ὁ θεῖος Δαυὶδ, ἀγαπῶν, οὐκ ἂν οὕτω τὸν θεράποντα αὐτοῦ θηρίοις εἰς βορὰν ἐφῆκε γενέσθαι· ἄπιτε τοίνυν ὑμεῖς κατὰ ζήτησιν ἐκείνου μᾶλλον, ἤ, οὕτω δοκοῦν, ἐπιμείνατέ τινα χρόνον, ἕως ἂν ἡμῖν ὁ Θεὸς δῆλα θείη τὰ κατ' αὐτόν». Ἐκεῖνοι μὲν οὖν οὕτω τοῦ σκοποῦ διαπεσόντες, καὶ κεναῖς, ὃ δὴ λέγεται, χερσὶν ἀναστρέψαντες, τό γε νῦν ἔχον, ἡσύχαζον. Ἄρτι δὲ τῆς τῶν ἐγκαινίων ἑορτῆς ἐπιστάσης, ἄνεισι μὲν, ὥσπερ σύνηθες, εἰς τὴν ἁγίαν πόλιν ὁ θεῖος Σάβας μετά γέ τινων ἀδελφῶν τοῦ περὶ Νικόπολιν αὐτῷ συστάντος μοναστηρίου· ἰδὼν δὲ αὐτὸν ὁ ἐπίσκοπος καὶ ἡδονῆς ἐπὶ τῇ τοῦ ἀνδρὸς ἀνελπίστῳ θέᾳ πλησθείς, ὅσα τε τῆς μακρᾶς ἐκείνης καὶ παρ' ἐλπίδας ἐπανόδου διαλεχθείς, ἔπειτα δὲ καὶ ἰδίᾳ τοῦτον ἀπολαβών, ἠξίου πρὸς τὴν οἰκείαν αὖθις λαύραν ἐπανελθεῖν καὶ μὴ ἔρημον οὕτω προστασίας ταύτην ἀπολιπεῖν· τοῦ δὲ συγγνώμην ἔχειν ἀξιοῦντος, μηδὲ γὰρ οἷός τε ἦν ἀνδρῶν τοσούτων φροντίδα διέπειν, προσκείμενος ἐκεῖνος καὶ λιπαρῶν οὐκ ἀνῄει· ἐπεὶ δὲ ἀντιτείνοντα μᾶλλον τὸν Σάβαν ἑώρα καὶ οὐδαμῶς εἴκοντα, δυσχεράνας πρὸς ταῦτα ἐκεῖνος καί τι καὶ παρακινηθεὶς τοῦ προσήκοντος, «Ἀλλ' εἰ μὴ, φησὶν, ἀκούσεις μου ταύτης δὴ τῆς αἰτήσεως, οὐκέτι σοι θεατὸν ἔσται πρόσωπον τὸ ἐμόν· ἐπεὶ μηδὲ φέρω τοὺς σοὺς πόνους ὑφ' ἑτέρων ὁρᾶν δρεπομένους». Οὕτως εἰπόντος τοῦ πατριάρχου, ὁ μακαρίτης Σάβας ὑπέσχετο μὲν εἴξειν τῷ κελεύσματι τῷ ἐκείνου, ἵνα δὲ μὴ πάλιν πράγμασι καὶ ταραχαῖς ἑαυτὸν ἐπιρρίψειεν, ἀναγκάζεται καὶ τὴν πονηρὰν τῶν στασιαστῶν ἐκκαλύψαι γνώμην· καὶ ὁ πατριάρχης, αὐτίκα πρὸς ἐπικουρίαν διαναστάς, γράφει τοῖς μοναχοῖς τῆς λαύρας τοιάδε: «Εἰδέναι ὑμᾶς βούλομαι τοὺς ἐν Χριστῷ ἀδελφοὺς, ὡς ἄρα γε ὁ πατὴρ ὑμῶν, οὐχ ὡς ὑμῖν ἤκουσται, θηρίων γέγονε παρανάλωμα, ἀλλὰ καὶ εἰς ἔτι ζῇ καὶ περίεστι καὶ ὡς ἡμᾶς ἀφῖκται κατὰ τὴν ἑορτήν· ἐγὼ δὲ κατέσχον αὐτὸν, οὐ δίκαιον εἶναι δοκιμάσας λαύραν ἀπολιπεῖν, ἣν οἰκείοις πόνοις αὐτὸς συνεστήσατο. Προθυμήθητε γοῦν καὶ ὑμεῖς μετὰ τῆς προσηκούσης τὸν ἄνδρα δέξασθαι τιμῆς καὶ πᾶσι τρόποις εἴκειν· εἰ δέ τινες παρ' ὑμῖν αὐθάδεις εἰσὶν, ἀπειθεῖς τε καὶ ὑπερήφανοι καὶ ὑποταπεινωθῆναι τῷ ἀνδρὶ μὴ βουλόμενοι, τούτους ἡμεῖς ἐκστῆναι τῆς λαύρας τὴν ταχίστην κελεύομεν, ἐκεῖνον γὰρ μὴ τὸν ἴδιον τόπον ἀπολαβεῖν τὸ παράπαν οὐκ ἐγχωρεῖ».

§ κη'. Τοιγαροῦν ὁ θεῖος Σάβας τὰ γράμματα λαβὼν κάτεισι πρὸς τὴν λαύραν, Σευῆρον τινὰ καταστήσας τοῦ περὶ Νικόπολιν προ-

εστάναι φροντιστηρίου, ὃν μετά τινας χρόνους τελειωθέντα Δόμνος τις διεδέξατο, κἀκεῖνον αὖθις Σαβάρων, ὅστις καὶ εἰς ἐμὲ διετέλεσε τοῦ τοιοῦδε προεστὼς σεμνείου, βαθύτατα ἤδη γεγηρακώς. Τοῦ μακαρίου δὲ Σάβα τὴν λαύραν καταλαβόντος καὶ τῶν γραμμάτων ὑπὸ ταῖς πάντων ἀκοαῖς ἐπὶ τῆς ἐκκλησίας ἀναγνωσθέντων, οἱ πάντα τολμῶντες ἐκεῖνοι, ἐπειδὴ τῶν γεγραμμένων ἀκούσειαν, τὰς ἑαυτῶν ὁρμὰς παραθήξαντες, καὶ τῷ κρυφίως αὐτῶν ἡγουμένῳ κατάκρας πειθόμενοι, οἱ μὲν πέλεκας, οἱ δὲ λαξευτήρια καὶ δικέλλας ἐν χερσὶ λαβόντες, καὶ παρ' αὐτὸν ὀξέως τὸν ᾠκοδομημένον τῷ Σάβᾳ πύργον ὡς εἶχον ὀργῆς ἀνελθόντες, ἐξ αὐτῶν κρηπίδων αὐτὸν καταστρέφουσιν, οὐδὲν τῶν δαιμονώντων ἀνεκτότερον διακείμενοι· καὶ οἱ μὲν τά τε ξύλα καὶ τοὺς λίθους ἠκόντιζον κατὰ τοῦ χειμάρρου, οἱ δὲ τὰ τῶν μοναχῶν ἐνδύματα καὶ πᾶν ὅ,τι ἕτερον ἦν αὐτοῖς διαρπάσαντες, οὕτω τῆς λαύρας ἐξήεσαν καὶ πρὸς τὴν τοῦ Σουκᾶ εὐθὺς ἀφικόμενοι συγκαταλεγῆναι αὐτοῖς ἠξίουν· ἀλλ' ὁ τῆς λαύρας προεστὼς Ἀκυλῖνος, θεῖος ἀνήρ, οὐκ ἀμαθὴς ὢν ὧν αὐτοὶ δεδράκασιν, οὐδ' ἐπιξενωθῆναι τῇ λαύρᾳ ὅλως ἠνέσχετο τοὺς οὕτω κακούς· τοιγαροῦν καὶ τὸν Θεκῶα οὕτω καλούμενον χειμάρρουν καταλαβόντες, καί τινα παρ' αὐτῷ κελλία τῶν ἀποσχιστῶν πάλαι γενόμενα εὑρηκότες, καὶ τὰ μὲν ἐπισκευασάμενοι, τὰ δὲ καὶ αὐτοὶ ἐκ βάθρων δειμάμενοι, κατῴκουν, Νέαν αὐτὰ λαύραν ἐπονομάσαντες. Ἐκείνων μὲν οὖν οὕτω τῆς λαύρας ἐκχωρησάντων, οἱ ἄλλοι τῶν ἀδελφῶν, οἷα σῖτος, τῶν ζιζανίων ἐξαιρεθέντων, καρπὸς ὤφθησαν τῷ Θεῷ εὔχρηστός τε καὶ καθαρώτατος. Ὀλίγου δὲ χρόνου τῷ μεταξὺ διελθόντος, ἐπεὶ μὴ ἠρέμει τῷ φιλοστόργῳ τούτῳ τὰ σπλάγχνα πατρὶ, ἀλλὰ πολὺς ἦν τῶν ἀπορραγέντων περιαλγῶν καὶ, ἀποστολικῶς φάναι, τὴν καρδίαν πυρούμενος, μαθὼν ὅποι διάγουσι, καὶ πολλὰ τῶν ἐπιτηδείων τοῖς τε τοῦ Καστελλίου καὶ τοῖς τῆς λαύρας ὑποζυγίοις ἐπιφορτίσας, ἄπεισι παρ' αὐτοὺς, ἅμα μὲν τὴν δυσμένειαν καταλῦσαι σπεύδων, ἅμα δὲ καὶ δεομένους τῶν ἀναγκαίων παραμυθήσασθαι· καὶ ὁ μὲν οὕτως· ἔνιοι δὲ αὐτῶν, καὶ μάλιστα ὧν δριμύτερος ὁ φθόνος καθίκετο, πόρρωθεν αὐτὸν ἥκοντα θεασάμενοι, οὕτω πως ἠρέμα πρὸς ἀλλήλους διεψιθύριζον, Ὁρᾶτε, λέγοντες, ὡς οὐδ' ἐνταῦθα τὸ κακὸν ἐκπεφεύγαμεν, ἀλλ' ὁ παραβλὼψ ἡμῖν ἐκεῖνος καὶ αὖθις ἐπιφοιτᾷ· καὶ ὅσα ὁ φθόνος ἕτερα ὑπετίθει. Ἀλλ' ἐκεῖνος οὐδὲν ὑπὸ τῶν τοιούτων ἀνακοπεὶς τὴν ὁρμὴν ἐφοίτησε παρ' αὐτοὺς καὶ ἡμέρους ἔβλεψεν ὀφθαλμοῖς, καὶ οἷς εἶχεν ἐπιτηδείοις ἐδεξιώσατο· ἰδὼν δὲ καὶ ὅπως πολλῇ πάντοθεν συνείχοντο ἀπορίᾳ, παρὰ τὸ μήτε τὸν κηδόμενον ἔχειν, μήτε ναοῦ θείου εἰς προσευχὴν εὐπορεῖν, ἀλλ' εἰς τὸ προφητεῖον τὸ ἐν Θεκῶοις ἑκάστης κυριακῆς ἀνιέναι τῶν θείων μεθέξοντας μυστηρίων, ἀναφέρει πάντα τῷ πατριάρχῃ καὶ δεῖται θερμῶς ὥστε συναγαγεῖν αὐτοὺς καὶ διαλλάξαι καὶ παρασχεῖν ὅσον δέονται· κἀκεῖνος δύο πρὸς τοῖς ἑβδομήκοντα χρυσοῦς τῷ Σάβᾳ δεδωκὼς τήν τε τοῦ τόπου δεσποτείαν αὐτῷ καὶ τὰ τῶν μοναχῶν ἐπιτρέπει.

§ κθ'. Ὁ δὲ τῶν ἐκεῖ πραγμάτων κύριος καταστὰς, πρῶτα μὲν αὐτοῖς πρόνοιαν ποιεῖται τῶν ἀναγκαίων, ὅπως ἂν μηδὲν ἐπιλείποι, ἀλλ' αὐτάρκως πάντα καὶ ἱκανῶς ἐπιχορηγοῖντο· ἔπειτα δὲ καὶ ναὸν φιλοκάλως οἰκοδομεῖ καὶ τοῦτον αὐτοῖς τε καθιεροῖ καὶ ἐγκαινίζει, ἐξῆς δὲ καὶ οἶκον αὐτοῖς εἰς ἀρτοποιίαν κατασκευάζει· καὶ ταῦτα διαπραξάμενος, καὶ οὕτως εὐαγώγους καὶ προσηνεῖς τοὺς στασιώδεις πρότερον καὶ ἀπειθεῖς καταστήσας, τὸν ἤδη μοι ῥηθέντα μεταπέμπεται Ἰωάννην καὶ τῆς Νέας αὐτῷ λαύρας ἐγχειρίζει τὴν προστασίαν· ὃς ἐκ τῆς Ἑλλάδος μὲν ὥρμητο, προφητικοῖς δὲ χαρίσμασιν ἐκεκόσμητο· καὶ γὰρ καὶ πρὸς τῇ αὐτοῦ τελευτῇ τὰ πολλοῖς ὕστερον ἐκβάντα χρόνοις ἐν τῇ λαύρᾳ προεῖπε καὶ σαφέστατα διετράνωσεν. Ἀποδημεῖν γὰρ μέλλων ἤδη τῆς παρούσης ζωῆς, καὶ περὶ τὰς ἐσχάτας ἀναπνοὰς ὤν, καὶ τελευταῖα ῥήματα ἐπισκήπτων, ἐπεὶ πολλοὶ αὐτὸν τῶν ἀπὸ τῆς λαύρας περιεκάθηντο, βύθιόν τι στενάξας, ἔνδακρύς τε καὶ περιπαθὴς γενόμενος, ἰδοὺ, φησιν, ἡμέραι ἥκουσιν, ἐν αἷς οἱ τὸν παρόντα τόπον οἰκοῦντες τῆς ὀρθῆς ἐκστήσονται πίστεως· καὶ «ὑψωθήσονται μὲν ἐν ἑαυτοῖς, τὸ τοῦ θείου φάναι Δαυὶδ, οἱ παραπικραίνοντες, ἐν δὲ τῷ θράσει αὐτῶν καθαιρεθήσονται, καὶ τὸ ὕψος αὐτῶν ἀθρόον καταπεσεῖται»· καὶ ταῦτα εἰπὼν ἐξεδήμησεν, ἑπτὰ τοὺς πάντας χρόνους τῇ προστασίᾳ τῆς λαύρας ἐπιβιούς. Εἶτα μετ' ἐκεῖνον, συμβουλίᾳ τοῦ ἁγίου Σάβα, οἱ ἐκεῖσε μοναχοὶ Παύλῳ τινὶ τὴν ἀρχὴν ἐπιτρέπουσιν, ὃς ῥωμαῖος μὲν ἦν τὸ γένος, ἁπλοϊκώτατος δὲ καὶ ἀπραγμονέστατος, πλοῦτον ἀψευδῆ μόνον τὸ μηδὲν κεκτῆσθαι γινώσκων· καὶ αὐτὸς ἐπὶ ἓξ μόνους μῆνας, οὐ βουλόμενος ὀχλήσεις ἔχειν, φυγὰς πρὸς τὴν Ἀραβίαν ᾤχετο, κἀκεῖθεν ἐπὶ Σευηριανὸν ἐλθὼν καταλύει τὸν βίον, Σευηριανὸν ἐκεῖνον, ὃν τὸ κατὰ Βαριχᾶν συστήσασθαι μοναστήριον ὁ λόγος φθάσας ἐδήλωσεν. Ἀλλὰ τῷ θείῳ Σάβᾳ τῆς φυγῆς μηνυθείσης, Ἀγαπητὸν ἐκεῖνος τὸν οἰκεῖον μαθητὴν προεστάναι τῶν ἐκεῖ μοναχῶν κατεστήσατο, οὐ μᾶλλον τὴν αὐτοῦ τιμῶν ἀρετὴν, ὅσῳ τὴν ἐκείνων πληρῶν αἴτησιν, κοινὴ γὰρ αὐτὸν πάσης ὁμοῦ τῆς λαύρας ἐπὶ τὸ ἄρχειν συνεκάλει πρεσβεία· καὶ οὐκ αὐτὸς εἵλετο μᾶλλον, ἀλλ' ὑπὸ τῆς ἐκείνων ἀνήχθη δοκιμασίας.

Οὗτος οὖν τὴν προστασίαν ἐγχειρισθεὶς εὑρίσκει τινὰς τῶν ἀδελφῶν, τέσσαρες δὲ ἦσαν οὗτοι, Παύλῳ τηνικαῦτα προσδεχθέντας τῷ ἁπλουστάτῳ, μηδέπω τὰ κατ' αὐτοὺς ἀκριβώσαντι, καθάπερ ἰὸν ὑπὸ τὰ χείλη τινὰ τὰ ὠριγένεια κρύπτοντας, ὧν δήπου Νόννος τις παλαιστινὸς προηγεῖτο, χριστιανίζειν μὲν δοκῶν καὶ σχῆμα εὐλαβείας ὑποκρινόμενος, νοσῶν δὲ τὰ ἑλλήνων καὶ μανιχαίων καὶ ὅσα Διδύμῳ τε καὶ Εὐαγρίῳ καὶ Ὠριγένει περὶ προϋπάρξεως πεφλυάρηται. Τούτους τοίνυν ῥωράσας Ἀγαπητὸς οὕτως ἔχοντας, καὶ δείσας μὴ καὶ πρὸς ἑτέρους τὸ κακὸν διαβῇ καὶ κοινῇ πάντες τῆς λύμης ἀναπλησθῶσιν, Ἡλίᾳ τὰ κατ' αὐτοὺς κοινοῦται τῷ πατριάρχῃ, κἀκεῖνον κοινωνὸν τοῦ σκοποῦ λαβὼν, τῆς λαύρας αὐτοὺς ἐξωθεῖ. Οὐ πολὺς μεταξὺ χρόνος, καὶ Ἡλιοὺ τὸν βίον ἀλλαξαμένου, προσελθόντες οἱ περὶ Νόννον τῷ μετ' αὐτὸν πατριάρχῃ τῇ λαύρᾳ πάλιν ἀποκαταστῆναι ᾐξίουν, ἧς οὐ δικαίως, ὡ δίκη, φασὶν, οὐδὲ καλῶς ἀπηλάθημεν· ὁ δὲ τἄλλα μὲν οὐδέπω εἰδὼς, πλὴν ὅτι γε δὴ μόνον ὑπὸ τοῦ τῷ Θεῷ ἠγαπημένου ἀπελαθεῖεν Ἀγαπητοῦ, καὶ νομίσας μηδὲν ἐκεῖνον πρὸς χάριν τὸν ἄνδρα ἢ πρὸς ἀπέχθειαν μήτε πράξαι μήτε εἰπεῖν, μετακαλεῖται αὐτὸν εὐθέως καὶ πυνθάνεται εἰ δυνατὸν καὶ αὖθις ἐκείνους παραδεχθῆναι· τοῦ δὲ ὡς ἐξὸν εἶναι φήσαντος, καὶ ὡς αὐτὸς ἂν ἕλοιτο μᾶλλον ἐκστῆναι ἢ ἐκείνους ἰδεῖν τῇ αὐτοῦ ποίμνῃ συνταττομένους, οἱ λύμης τοιαύτης εἰσὶν ἀναπεπλησμένοι, ἀποπέμπεται καὶ αὐτὸς τοὺς ἀξιομίσους ὁ πατριάρχης. Ἀλλὰ καὶ τοῦ Ἀγαπητοῦ μετὰ ταῦτα πέμπτῳ τῆς ἀρχῆς ἔτει πρὸς Θεὸν ἐκδημήσαντος, καὶ Μάμαντός τινος τὴν τῶν ἀδελφῶν πιστευθέντος ἐπιστασίαν, οἱ περὶ Νόννον, τῇ τοῦ Ἀγαπητοῦ τελευτῇ τὸ ἐνδόσιμον ὥσπερ εἰληφότες τῆς παρρησίας, ἐπανήκουσι πρὸς τὴν λαύραν, καὶ αὐτῆς εἴσω λαθραίως τῇ Μάμαντος ἐπιτροπῇ γίνονται, τὴν μὲν πονηρὰν νόσον οἰκουροῦσαν ἔτι ταῖς ψυχαῖς περιφέροντες, πλὴν ἀνέκφορον, τῷ τοῦ Σάβα δέει, καὶ διαβῆναι καὶ πρὸς ἑτέρων ἀκοὰς ἄτολμον· ἀλλὰ ταῦτα μὲν τῶν ὕστερον ἐν τῇ λαύρᾳ συμβεβηκότων, ὅσον παραδεῖξαι τὴν Ἰωάννου πρόρρησιν εἰς ἔργον ἐκβᾶσαν· νυνὶ δὲ κἀκεῖνα διεξελθεῖν ἀναγκαῖον, ὅσα καὶ ἀκοὴν ἀρετῆς ἐρῶσαν οἶδεν εὐφραίνειν καὶ ψυχὴν οὕτως ἔχουσαν πρὸς ζῆλον διανιστᾶν. Τὴν διαλλαγὴν οὕτω τὴν πρὸς τοὺς ἀποστατήσαντας τῶν ἀδελφῶν ὁ Σάβας καὶ τὴν τῆς νέας λαύρας οἰκοδομήν τε καὶ σύστασιν εὖ θέμενος, καὶ πρὸς τὴν οἰκείαν αὖθις λαύραν ἐπανελθὼν, οὐκ ἠγάπησεν ἐπὶ τοσούτοις καὶ τηλικούτοις στῆναι τοῖς κατορθώμασιν, οἷς τε συνεστήσατο φροντιστηρίοις καὶ ὅσην οἰκήσας ἔφθασε τῆς ἐρήμου· ἀλλὰ σφοδρὸν ἔτι κατὰ τῶν δαιμόνων πνέων καὶ τῷ θείῳ ζήλῳ κεκινημένος, καὶ τὰ λοιπὰ τῆς ἐρήμου ἔσπευδεν οἰκῆσαι καὶ καρποφόρον αὐτὴν δεῖξαι τοῖς τῶν μοναχῶν πλήθεσιν, ὥστε διὰ πολλῶν στομάτων ἢ βίου μᾶλλον καὶ ἀρετῆς αἰνεῖσθαι τὸν Κύριον. Ταύτῃ τοι περὶ τὸν τῆς νηστείας καιρὸν εἰς τινα χειμάρρουν, πεντεκαίδεκα σταδίοις τῆς μεγίστης λαύρας διεστηκότα, σὺν ἅμα Παύλῳ τινὶ, γέροντι ἤδη τὴν ἡλικίαν, ἀκμαίῳ δὲ τὴν ἀρετὴν, ἀφικνεῖται· καὶ τι σπήλαιον ἐν τῷ πρὸς βορρᾶν τοῦ χειμάρρου μέρει καταλαβὼν, τὴν μὲν τεσσαρακοστὴν ἐν αὐτῷ πᾶσαν διήνεγκε, πολλῇ δὲ πάντοθεν ἡσυχίᾳ τὸν χῶρον γαληνιῶντα ἰδὼν καὶ ὥσπερ ζηλώσας εἰ μὴ καὶ οὗτος αὐτῷ πρὸς ἄσκησιν ἀδελφῶν καὶ ψυχῶν σωτηρίαν συνεργὸς γένοιτο, μετὰ τὴν ἐκεῖθεν ἐπὶ τὴν λαύραν ἐπάνοδον καὶ τὴν λαμπρὰν ἑορτὴν καὶ θείαν τῆς Ἀναστάσεως, ἄλλους τε τῶν ἀδελφῶν καὶ δὴ καὶ τὸν Παῦλον παραλαβὼν ἐκεῖσε καὶ αὖθις ἔρχεται· καὶ τὸ μὲν σπήλαιον εἰς ἐκκλησίαν μετασκευάζει, περὶ δὲ τὴν ἐκκλησίαν κοινόβιον περιφανὲς οἷον κατασκευάζει, καὶ Σπήλαιον μὲν τὴν μονὴν ὀνομάζει, τῷ Παύλῳ δὲ τὴν πρόνοιαν αὐτῆς ἐγχειρίζει, κοινωνοὺς αὐτῷ τῶν φροντίδων καὶ Κήρυκόν τινα καὶ Εὐστάθιον καταστήσας.

§ λα'. Ἀλλὰ τὰ μὲν κατὰ τὴν μονὴν ἐπέδωκέ τε ὕστερον καὶ ηὐξήθη καὶ τῷ τῶν μοναχῶν πλήθει καὶ τῇ τῶν ἀναγκαίων χορηγίᾳ, οἵ τε πρῶτον ἐκεῖ παρὰ τοῦ θείου Σάβα καταλειφθέντες, ἀλλήλων καὶ τοῦ τρόπου καὶ τῆς ἀρχῆς γεγονότες διάδοχοι, ἐκεῖ καὶ τὸν βίον ἀμείβουσι. Πολλῶν δὲ πρὸς τὸν ἄνδρα

παραβαλλόντων καὶ πολλὰ μὲν αὐτῷ προσφερόντων, πολλὰ δὲ καὶ πρὸς τὰς οἰκοδομὰς αὐτοχειρίᾳ συναιρομένων, οὐδείς ἐστιν ὅστις καὶ ψυχροῦ μόνον ποτήριον ἐπιδεδωκώς, ἵν' ἔχοις ἐντεῦθεν καὶ περὶ τῶν πλείονα τὴν χάριν ἐπιδειξαμένων τεκμαίρεσθαι, οὐ παραπόδας ἄνωθεν μεγίστης ἀπήλαυσε καὶ φιλοτίμου τῆς ἀμοιβῆς· ἀλλὰ τοῦτο μὲν καὶ διὰ πολλῶν τῶν ἑξῆς λεχθησομένων παραστησόμεθα, γνώριμον δὲ ὅμως καὶ ἀπὸ τούτου· Μαρκιανός ἦν τις, ὃς τῷ μὲν τῶν ἱερέων τῆς θείας Ἀναστάσεως συνηρίθμητο καταλόγῳ, τῆς ἁγίας δὲ Σιὼν προηγεῖτο· οὗτος πυκνότερον παρὰ τὸν μακάριον Σάβαν μετὰ τῶν οἰκείων παίδων ἀπῄει, πολλά τε ὧν εἶχεν αὐτῷ κομίζων, κἀν ταῖς ἀναγείοις οἰκοδομαῖς μέρος οὐ μικρὸν μετὰ τῶν υἱῶν συναιρόμενος, οἳ πρότερον μὲν οὐδὲ εἰς ὄψιν ἦλθον Ἠλίᾳ τῷ πατριάρχῃ· τοσοῦτον αὐτοῖς ἔδει τοῦ καὶ φιλίας τι παρ' ἐκείνῳ παρρησίας ἔχειν ἐνέχειρον· ἡ θεία δὲ αὐτοὺς ἄνωθεν χάρις τῆς τε συνεχοῦς ἐκείνης παρὰ τὸν Σάβαν ἀφίξεως καὶ αὐτῶν ὧν εἶχον προσαγωγῆς, ἔτι δὲ καὶ τῆς πρὸς τὴν οἰκοδομὴν συνεργίας ἀμειβομένη, συνήγαγέ τε αὐτοὺς παραδόξως καὶ ἴσα καὶ γνησίοις παισὶν ᾠκειώσατο· ὅθεν καὶ Μαρκιανὸς μὲν ἐπὶ τὸν ὑψηλὸν τῆς Σεβαστῆς παρ' αὐτοῦ θρόνον ἀνάγεται, Ἀντώνιος δὲ ὁ πρῶτος αὐτῷ τῶν υἱῶν ἐπίσκοπος καὶ αὐτὸς Ἀσκάλωνος ἀναδείκνυται· Ἰωάννης δὲ, ὁ μετ' ἐκεῖνον τὴν ἡλικίαν, τῷ τῶν διακόνων κλήρῳ ἐγκαταλέγεται.

§ λβ'. Ὁ γε μὴν θεῖος Σάβας δύο τινὰς τῶν μοναχῶν ἐν τῷ ὑπὲρ κεφαλῆς ὢν αὐτὸς ἐδείματο φροντιστηρίων Πύργῳ, ὑπὸ τῆς μακαρίας δὲ οὗτος ᾠκοδόμητο Εὐδοκίας, τὰ Νεστορίου φρονοῦντας ὁρῶν, καὶ μήτε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἕνα τῆς ἁγίας Τριάδος, μήτε Θεοτόκον πάλιν τὴν ἁγίαν παρθένον ὁμολογοῦντας, ἠνιᾶτο σφόδρα καὶ πολλὴν ἔνδον εἶχε τῶν σπλάγχνων τὴν ταραχήν· καὶ τὸ ἀπ' ἐκείνου, θερμοτέρας ἐτίθει πρὸς Θεὸν τὰς αἰτήσεις, ὥστε τινὰ καθαρὰν ἐπιγνώσεως ἐπαφεῖναι τούτοις ἀκτῖνα καὶ χειραγωγῆσαι πρὸς τὴν ἀλήθειαν. Καὶ οὕτω μὲν ὑπὲρ αὐτῶν τοῦ Θεοῦ ἐδεῖτο, πλὴν οὐδὲ αὐτὸς ἠμέλει τῶν κατὰ δύναμιν, ἀλλὰ συνεχῶς πρὸς αὐτοὺς ἐφοίτα διδάσκων, παρακαλῶν, νουθετῶν, ἐπιτιμῶν, ἱκετεύων, πάντα ποιῶν ἄχρι καὶ Θεοῦ συνεργοῦντος τῆς χαλεπῆς αὐτοὺς ἀπήλλαξεν ἀρρωστίας καὶ ὑγιῶς φρονεῖν παρεσκεύασεν· εἶτα καὶ τοῦ Πύργου καταγαγὼν ἐκείνους μὲν τῇ περὶ τὸν μακάριον Θεοδόσιον ἐναριθμεῖ συνοδίᾳ, ἕνα δὲ τῶν αὐτοῦ μαθητῶν, Ἰωάννην ὄνομα, τὸ γένος βυζάντιον, τὸν τρόπον ἀξιοθαύμαστον, ἐκ πρώτης τῶν σχολαρίων τάξεως τὸν μονήρη βίον ἑλόμενον καὶ Θεῷ φίλην ἀγωγὴν μετιόντα, τοῦ Πύργου προνοεῖν ἐφίστησιν, ἐγχειρίσας αὐτῷ καὶ πρὸς συνεργίαν καὶ ἄλλους τῶν ἀδελφῶν, πρὸς δὲ καὶ ἀρκοῦσαν αὐτοῖς παρασχόμενος τῶν ἀναγκαίων τὴν χορηγίαν. Οὐ μὴν ἀλλ' οὐδὲ αὐτὸς ὠλιγώρει τὰ συνήθη ποιῶν, ἀλλ' εἰς ἐπίσκεψιν αὐτῶν πυκνότερον ἀφικνεῖτο καὶ διεπονεῖτο θερμῶς καὶ τῶν ἐκεῖ πραγμάτων αὐτοῖς συνεπελαμβάνετο, ἕως κοινόβιον καὶ αὐτὸν τὸν Πύργον εἰργάσατο μηδὲν τῶν ἄλλων ἀπολειπόμενον· ἐν ᾧ δήπου καὶ Ἰωάννης οὗτος, οἷά τις ἀστὴρ διὰ πάντων ἐκλάμψας καὶ μοναχῶν πολύ τι χρῆμα συναγαγών, ὧν εἷς ἐστι καὶ ὁ Κρατίας ἐπίσκοπος Ἀβράμιος ὁ πολὺς, πέντε καὶ τριάκοντα τῇ προστασίᾳ χρόνους ἐπιβιοὺς καλῶς καταλύει τὸν βίον.

§ λδ'. Ὁ μέν τοι θεῖος Σάβας τινὰς μετὰ ταῦτα τῶν τῆς λαύρας παραλαβών, καὶ ὡσεὶ σταδίους πέντε τῶν κατεστραμμένων οἰκοδομῶν ἀποστάς, κελλία τε νεουργεῖ καὶ οἶκον εὐκτήριον ἀνεγείρει, Ζαγάνων δὲ ὄνομα ἦν ὁ τὸν τόπον αὐτῷ πρὸς τὴν ἐκείνων οἰκοδομὴν παρασχών. ἔνθεν τοι καὶ Ἀνδρέαν τινὰ καὶ Παῦλον, ἀδελφοὺς τὸ κατὰ σάρκα καὶ ἀμφοτέρους ἐξ Ἑλλάδος τὸ γένος ἕλκοντας, ἄρχειν ἐκεῖ καὶ προνοεῖν καθιστᾷ καί τινας [αὐτόσε] τῶν ἀδελφῶν συνοικί[σας;] λαύραν συνίστησι καὶ ὁμωνύμως αὐτὴν τῷ λάκκῳ[1] κατονομάζει.

§ λε'. Μετὰ δὲ ταῦτα καὶ δύο τινὲς τῶν ἀπὸ τῆς λαύρας, ἀλλήλοις κατὰ Θεὸν ἀδελφὰ φρονοῦντες, Ζάνος ὄνομα καὶ Βενιαμὶν, αἰτοῦνται παρὰ τοῦ μακαρίτου Σάβα κελλίον, πέντε σταδίοις πρὸς λίβα τῆς λαύρας διέχον· ὁ δὲ τὸ ἐμμελὲς ἐκείνων περὶ τὴν ἀρετὴν εἰδὼς καὶ φιλόπονον εἶξε πρὸς τὰς αἰτήσεις· καὶ κελλίον αὐτοῖς, ὅπερ ἐζήτουν, δίδωσι· τοῦτο τοίνυν ἐκεῖνοι λαβόντες, πολλὰ καὶ τοῦ Σάβα συναιρομένου καὶ ἀναλώματα παρέχοντος, κοινόβιον αὐτὸ κατεστήσαντο. Πολλῶν οὖν ἐκεῖ συνεληλυθότων, ἐκκλησίαν ὁ μέγας οὗτος δειμάμενος καὶ θυσιαστήριον πήξας καὶ ὥσπερ εἰκὸς τοῦτο καθιερώσας, τῷ αὐτῷ κανόνι καὶ νόμῳ κἀκείνους ζῆν, ᾧ δὴ καὶ [τοὺς] ἄλλους τοὺς ὑπ' αὐτῷ, διετάξατο· καὶ οὕτω τὴν ἀρχὴν εἰς μοναστήριον ὁ τόπος συστὰς

1. τὸν λάκκον ἀνωτέρω Ἑπτάστομον ὀνομάζει.

ἀνθεῖ καὶ εἰς δεῦρο καὶ ἀπὸ τῆς τοῦ μακαρίτου Ζάνου κλήσεως ὀνομάζεται.

§ μ'. Ἀναστασίου καὶ Ἡλιοῦ, τοῦ μὲν τὸν τῆς βασιλείας, τοῦ δὲ τὸν τῆς ἐν Παλαιστίνῃ Ἐκκλησίας θρόνον διέποντος, φύεταί τι μεταξὺ σκάνδαλον, ὁ τὸν βασιλέα κατά τε πολλῶν ἄλλων καὶ δὴ καὶ αὐτοῦ τοσοῦτον ἐξώργισεν Ἡλιοῦ, ὡς καὶ μέχρι τοῦ ὑπερορίᾳ κατακρίναι τὸν ἄνδρα τὰ τῆς ὀργῆς αὐτῷ προελθεῖν· λεγέσθω δὲ πρῶτα τί τὸ κινῆσαν αὐτοῦ τὸν θυμὸν, ἵν' οὕτω καὶ τὰ ἑξῆς τοῦ λόγου μᾶλλον εὐσύνοπτα ᾖ. Τρίτῳ μετὰ τὴν Ἀναστασίου βασιλείαν ἐνιαυτῷ, στάσις ἐμπίπτει χαλεπὴ τοῖς τῶν ἐκκλησιῶν προεστῶσι·[1] τῶν μὲν τῆς Ῥώμης ἀρχιερέων τοῖς βυζαντίοις διαφερομένων, ὅτι τὸν Ἀκάκιον, ὃς ἐπίσκοπος γέγονε Κωνσταντινουπόλεως, τὰ χριστιανῶν δὲ μὴ καλῶς ἐπρέσβευε, τοῖς ἱεροῖς εἶχον διπτύχοις ἐγγεγραμμένον, βυζαντίων δὲ αὖθις ἀπεχθανομένων ἀλεξανδρεῦσιν, ἀναθεματίζουσι μὲν τὴν ἐν Χαλκηδόνι Σύνοδον, τὴν Διοσκόρου δὲ κοινωνίαν προσιεμένοις· οὕτως οὖν μεγάλης αὐτῶν οὔσης τῆς πρὸς ἀλλήλους διαφορᾶς, ὁ προειρημένος Ἠλίας, τῆς κατὰ Παλαιστίνην προεστὼς Ἐκκλησίας, μόνου τοῦ ἐν Κωνσταντινουπόλει Εὐθυμίου τὴν κοινωνίαν ἠσπάζετο· τῶν μὲν ἑσπερίων, ὡς ἔφημεν, ἐκπολεμωθέντων, τοῦ δὲ κατὰ Ἀντιόχειαν Παλλαδίου πρὸς χάριν βασιλικὴν ἀποβλέψαντος, καὶ διὰ τοῦτο τὴν μὲν ἐν Χαλκηδόνι Σύνοδον ἀναθεματίζοντος, τὰ δὲ τῶν ἀλεξανδρέων ἀσπαζομένου, ἅτε δὴ καὶ ἀλεξανδρεῦσιν Ἀναστασίου συνωδὰ φρονοῦντος. Οὕτως οὖν ἔχοντος Ἡλιοῦ καὶ μόνῳ κοινωνεῖν Εὐθυμίῳ προηρημένου, Εὐθύριος μὲν διὰ τὸ ὀρθόδοξον ὑπὸ τοῦ κρατοῦντος ἀδίκως τῆς ἀρχῆς ἀπελαύνεται, Μακεδόνιος δὲ εἰς τὸν αὐτοῦ θρόνον ἀνάγεται. Ἐν τούτοις δὲ οὔσης τῆς Ἐκκλησίας, συνθέσθαι μὲν ὁ Ἠλίας τοῖς ἐκβαλοῦσι τὸν Εὐθύριον τῆς ἀρχῆς οὐκ ἠνείχετο, ἅτε δὴ παρὰ κανόνα τὴν ἐκβολὴν διαπραξαμένοις, Μακεδονίῳ δὲ ὅμως οὐκ ὤκνησε συνελθεῖν, τὴν ὀρθόδοξον καὶ αὐτῷ πίστιν ἀσπαζομένῳ, ὃ δὴ καὶ τὸν βασιλέα οὐ μετρίως τὴν ἀρχὴν διετάραξεν. Ἐπεὶ δὲ καὶ Φλαβιανὸς μετὰ τὴν τελευτὴν Παλλαδίου τῆς ἀντιοχέων ἄρξας Ἐκκλησίας τὰ ἴσα τούτοις φρονῶν, ἦν καὶ τῷ ὑγιαίνοντι λόγῳ στοιχῶν, οὐκέτι καθεκτὸς ἦν τὴν ὀργὴν ὁ κατὰ μόνης τῆς εὐσεβείας ἀνδρικώτατος βασιλεὺς, οὐδὲ τὴν τούτων συμφωνίαν δυνατὸς ἐνεγκεῖν, ἀλλὰ χαλεπῶς ἀγριάνας, ὑπερορίαν μὲν ἀμφοτέρων καταψηφίζεται, μόνον δὲ, τό γε νῦν ἔχον, τὸν Μακεδόνιον μυρίαις συκοφαντίαις περιβαλὼν τῆς ἐπισκοπῆς ἐκβάλλει, Τιμοθέῳ δὲ ἀντ' ἐκείνου τὴν ἀρχὴν ἐγχειρίζει· εἶτα Φλαβιανὸν καὶ Ἠλίαν συνθέσθαι Τιμοθέῳ σπουδὴν ἐποιεῖτο· οἱ δὲ τὴν Τιμοθέου εἵλοντο κοινωνίαν, οἷα δὴ καὶ αὐτοῦ τῷ τῆς ὀρθοδοξίας λόγῳ συμβαίνοντος· τὴν δὲ Μακεδονίου ὑπερορίαν καὶ λίαν ἰσχυρῶς ἐδυσχέραινον, ὡς οὐ δικαιοσύνης μᾶλλον ἀλλ' ἐξουσίας νόμοις γεγενημένην. Τοῦτο σφοδρῶς κατ' ἀμφοτέρων ἐκμαίνει τὸν βασιλέα καὶ πολλοῦ σάλου ταῖς Ἐκκλησίαις αἴτιον γίνεται· ὅπερ οὐκ οἶδ' ὅθεν Ἠλίας μαθὼν, ὁ τῆς ἐν Παλαιστίνῃ προεστὼς Ἐκκλησίας, πρεσβείας ἀποστολῇ τὴν καταλλαγὴν ἐπισπεύδει· ἡ πρεσβεία δὲ ἦν ἄλλοι τε πολλοὶ τῶν πατέρων, καὶ δὴ Σάβας αὐτὸς, ἡ τοῦ μετὰ χεῖρας λόγου ὑπόθεσις, ἐπὶ τρισὶν ἑβδομήκοντα ἤδη ὄρους(:) γεγενημένος· προσέτι δὲ καὶ ἐπιστολὴν Ἠλίας ἐκπέμπει, ἐγχαράξας αὐτῇ τοιάδε[1]·

« Τοὺς οἰκιστὰς τῆς ἐρήμου καὶ Σάβαν
» σὺν αὐτοῖς τὸ τῆς ἐρήμου κεφάλαιον τῷ
» σῷ κράτει πρέσβεις ὑπὲρ τῶν Ἐκκλησιῶν
» προβαλλόμεθα· σὺ δὲ τὸν νόμον αὐτῶν
» αἰδεσθεὶς καὶ τοὺς κατὰ Θεὸν ἱδρῶτας,
» ὦ βασιλεῦ, στῆσον τὸν κατὰ τῶν Ἐκκλη-
» σιῶν πόλεμον, καὶ μηκέτι περαιτέρω προ-
» ελθεῖν τὸ δεινὸν ἐάσῃς· οἶδα γὰρ ὅτι μέλ-
» λει σοι τὰ φίλα πράττειν Θεῷ, χαρισα-
» μένῳ σοι τὸ διάδημα».

§ μα'. Τῶν γοῦν θείων τούτων πατέρων ἀψαμένων ἤδη τῆς πρὸς τὸν βασιλέα φερούσης, ἐτύγχανέ τις ἐν Σιδῶνι τῶν τῆς Ἀνατολῆς τε καὶ Παλαιστίνης ἐπισκόπων σύνοδος κατὰ Φλαβιανοῦ καὶ Ἠλιοῦ τηνικαῦτα συγκροτουμένη, πρόφασιν μὲν τὰς βασιλέως προστάξεις ἔχουσα, Σωτήριχον δὲ τὸν Καισαρείας Καππαδοκίας καὶ Φιλόξενον τὸν Ἱεραπόλεως ἀρχηγοὺς εἰληφυῖα, οἳ τὴν ἐν Χαλκηδόνι Σύνοδον ἀθετοῦντες τὰ τοῦ παράφρονος Εὐτυχοῦς καὶ Διοσκόρου μᾶλλον κρατεῖν ἔσπευδον. Τῶν πρέσβεων τοίνυν τὴν Κωνσταντινούπολιν καταλαβόντων, ὁ βασιλεὺς ἰδὼν καὶ θεῖον ὡς ἀληθῶς εἶναι τὸν ἄνδρα νομίσας πολλὴν τὴν θεραπείαν περὶ αὐτὸν καὶ τὴν τιμὴν ἐπιδείκνυται, εἶτα καθίσαι πᾶσιν ἐκέλευε· ταῖς γὰρ ἀληθείαις πλεῖστον αὐτῷ τὸ σέβας περὶ τοὺς μοναχοὺς, εἰ καὶ ὑπό τινων μιαρῶν ἐπιταράτ

1. ῥῆλον οὖν τῷ 494.

1. φαίνεται, κατὰ τὸ ἔτος 512.

τειν τὸν ὑγιᾶ τῆς πίστεως λόγον παρεσκευάζετο. Πᾶσι τοίνυν ἀνεὶς τὰς ἀκοάς, ὅτου δέοιντο ἕκαστος ἐπέτρεπε λέγειν· οἱ δέ, τῆς κοινῆς ὥσπερ ἐπιλαθόμενοι τῶν Ἐκκλησιῶν πρεσβείας καὶ ὅτου χάριν ἐπέμφθησαν, ἰδίας ἕκαστος αἰτήσεις ἐποίουν· καὶ ὁ βασιλεὺς πᾶσι τὰ πρὸς θεραπείαν ἀποπληρώσας, ἐπεὶ, πάντων αἰτουμένων, ὁ Σάβας ἥσυχος ἦν καὶ οὐδὲν ὅλως ἠξίου, ἐπιστρέψας αὐτῷ τὴν ὄψιν ὁ βασιλεύς, « Σοὶ δέ, ὦ πάτερ, ἔφη, τί βούλεται ὁ τοσοῦτος ἄρα τῆς ὁδοῦ πόνος, μηδὲν αἰτουμένῳ τὸ παράπαν μηδ' ἀξιοῦντι;» Πρὸς ταῦτα ἐκεῖνος ὑπολαβών, « Τούτου, φησίν, ἕνεκεν, ὦ βασιλεῦ, ὥστε προηγουμένως μὲν προσκυνῆσαί σου τὴν εὐσέβειαν ἕως ἔτι ἐν σώματι τῷδε εἰμί· ἔπειτα δὲ καὶ ὑπὲρ τῆς ἁγίας τοῦ Θεοῦ πόλεως καὶ τοῦ προεστῶτος αὐτῆς δεηθῆναι, μηδὲ μίαν τοῦ σοῦ κράτους ἀγανάκτησιν ὑποστῆναι, ἀλλ' εἰρήνην βραβευθῆναι μᾶλλον ταῖς Ἐκκλησίαις· οὕτω γὰρ καὶ τὸ θεῖον αὐτὸς εὐμενὲς ἕξοις καὶ λαμπρά σοι κατ' ἐχθρῶν παρέξοι τὰ νικητήρια». Θαυμάσας οὖν αὐτὸν ὁ βασιλεὺς καὶ ὅτι μηδὲν τῶν βιωτικῶν ἠτεῖτο καὶ χαμαιζήλων, ἀλλ' ὅσα πρὸς θεραπείαν φέρει Θεοῦ καὶ τῆς Ἐκκλησίας κατάστασιν, τοῖς μὲν ἄλλοις ἐφῆκε τὴν ἀναχώρησιν, αὐτὸν δὲ ὡσεὶ χιλίοις χρυσοῖς δεξιοῦται, εἰς διανομὴν αὐτὰ ἔσεσθαι εἰπὼν τῶν ὑπ' αὐτοῦ τὴν σύστασιν εἰληφότων μοναστηρίων, καὶ ἅμα παραμένειν ἐκέλευεν, ἀκώλυτον αὐτῷ θέμενος τὴν ὡς αὐτὸν εἴσοδον.

§ μβ'. Κοιμῆσαι δὲ τὴν ὀργὴν οὐ φέρων, ἣν πάλαι κατὰ τοῦ ἐν Παλαιστίνῃ ἀρχιερέως ᾠδινεν Ἡλιού, φησί ποτε πρὸς τὸν μέγαν: « Ὁ τῆς ὑμετέρας προεστὼς Ἐκκλησίας, ὦ τίμιε πάτερ, πολλὴν ἡμῶν ὡς ἔοικε κουφότητα καταγνούς, οὐ τῆς ἐν Χαλκηδόνι μόνον προέστη Συνόδου, ἢ τὰ Νεστορίου ἐκύρωσε δόγματα, ἀλλὰ καὶ Φλαβιανὸν τὸν Ἀντιοχείας τοῖς ἴσοις στοιχεῖν παρεσκεύασε· καὶ νῦν μόνος πρὸς τὴν ἐν Σιδῶνι συναθροισθεῖσαν ἀντικατέστη σύνοδον, Φλαβιανῷ συμπεφωνηκὼς ὥστε μὴ ἀναθεματισθῆναι τοὺς τὰ Νεστορίου κακῶς πρεσβεύοντας· ἔνθεντοι καὶ διαπαίζειν ἡμᾶς οἰόμενος, τοῖς ἡμετέροις διὰ τῶν ἐπιστολῶν ἀντινομοθετεῖ διδάγμασι, πᾶν φρόνημα νεώτερον λέγων τὸ εἰς τὴν ἡμῶν πίστιν ἐπινοούμενον ἀποβάλλεσθαι· πλὴν ἀλλ' οὐχὶ καὶ τὸ λοιπὸν τῆς ὁμοίας παρ' ἡμῶν πραότητος ἀπολαύσεται. Ἀλλ' ἰδοὺ θεσπίζομεν, ὡς ὁρᾷς, ἐκεῖνον μὲν ἀπελαθῆναι τοῦ θρόνου, τὸν δὲ ἀξίως τῆς Ἐκκλησίας προστησόμενον ἀντεισενεχθῆναι· ὅτι μηδὲ προσήκει τοὺς ἱεροὺς τόπους ἐκείνους μιαροῖς δόγμασι τοῖς Νεστορίου βεβηλωθῆναι». Ταῦτα τοῦ βασιλέως διεξελθόντος καὶ οὕτω σφοδάζοντι θυμῷ κατὰ Ἡλιοὺ φερομένου, ὑπεραπολογεῖσθαι τοῦ πατριάρχου ὁ θεῖος Σάβας ἀρξάμενος οὕτως αὐτοῦ κατέστειλε τὴν ὀργήν, ὡς μὴ μόνον τὴν ἐξενεχθεῖσαν ἐκείνην παραλῦσαι ψῆφον, ἀλλὰ καὶ πλείονα τὴν ἀσφάλειαν τῷ πατριάρχῃ περιποιῆσαι, κελεῦσαί τε ἀναφαίρετον αὐτῷ τὸν θρόνον τοῦ λοιποῦ διαμένειν. Ἐκεῖθεν δὲ παρὰ τὴν βασίλισσαν ἐλθὼν Ἀριάδνην ἠξίου πολλὰ καὶ αὐτὴν, ὥστε τῆς τοῦ πατρὸς Λέοντος ἀντέχεσθαι δόξης καὶ τοὺς τῆς εὐσεβείας θεσμοὺς συντηρεῖν. Ἐντεῦθεν σφοδρότερον τὸν ἀσκητὴν ὁ τῆς ἡσυχίας ἔρως εἰσήει καὶ τὴν ἐπάνοδον ἰσχυρῶς ἐπόθει· ἐπεὶ δὲ μὴ κατὰ νοῦν εἶχεν αὐτῷ χωροῦντα τὸν καιρὸν, χειμῶνος γὰρ ἦν τηνικαῦτα τὸ ἀκμαιότατον, ἀλλὰ τοὺς ἀστικοὺς ἔγνω τό γε νῦν ἔχον ἐκκλῖναι θορύβους, καὶ εἴς τινα τόπον μικρῷ πρὸ τῆς πόλεως ἐξελθὼν, τὸ προάστειον Ῥουφίνου λεγόμενον, ἐκεῖσε τὸ λοιπὸν τοῦ καιροῦ διεχείμαζεν, ἔνθα καὶ ἄλλοι μὲν παρ' αὐτὸν ἐφοίτων, μάλιστα δὲ ἥ τε τοῦ βασιλέως Οὐαλεντίνου ἔγκονος Ἰουλιανὴ καὶ ἡ τοῦ Πομπηίου σύζυγος Ἀναστασία, ἥτις πολλοῖς κατά γε τὸ τῶν Ἐλαιῶν κομᾷ καὶ εἰς δεῦρο τοῖς κατορθώμασι.

§ μγ'. Μετὰ δὲ ταῦτα τοῦ ἔαρος ἐπιγενομένου, ὁ μὲν ὡς πολλοῦ τῆς ἡσυχίας ἐρῶν πρὸς τὴν ἐρημίαν ἀπάραι λοιπὸν εὐτρεπὴς ἦν· συμβὰν δέ τι περὶ τὰς ἐν Ἱεροσολύμοις κώμας ἐπέσχεν αὐτοῦ τὴν ὁρμὴν καὶ πρὸς τὸν βασιλέα πάλιν ἀφικέσθαι πεποίηκεν. Εἶτα μετὰ βραχὺ καὶ τῆς πρὸς τὴν ἔρημον φερούσης ἐπιλαβέσθαι ποθεινῶς λίαν αὐτῷ ἐξεγένετο· πλὴν ἀλλ' οὐκ ἄχαρι καὶ τοῦτο προσθεῖναι τοῖς εἰρημένοις, πολὺν τοῦ δικαίου σημαῖνον ἔλεον τὸν ὑπὲρ πενήτων ἀδικουμένων, καὶ ζῆλον κατὰ τοῦ κωλῦσαι τὸν ἔλεον μοχθηρίᾳ γνώμης φιλοτιμησαμένου. Λιμὸς ὁμοῦ καὶ λοιμὸς, τὰ δύο ταυτὶ κακὰ καὶ ἀναιρεῖν ὁμοίως δυνάμενα, τισὶ τῶν κειμένων ὑπὸ τῇ ῥωμαίων ἐνσκήψαντα πολλοὺς μὲν οἴκους ἀνθρώπων ἐκένωσε, κώμας δὲ ὅλας καὶ συνοικίας καὶ ἀγροὺς ἐρήμους τῶν οἰκούντων εἰργάσαντο, καὶ περαιτέρω δὲ προέβαινε τὸ δεινὸν καὶ πλείους ἔτι μᾶλλον διελυμαίνετο· σκεψάμενοι τοίνυν οἱ τῶν κοινῶν ἐπιμεληταὶ ὅπως ἂν μὴ τὸ κοινὸν τοὺς δι' ἔτους ἐκείνων φόρους ζημιωθείη, ψηφίζονται τοὺς πλησιοχώρους καὶ αὐτὰ τὰ τῶν ἐκτριβέντων τέλη εἰσπράττεσθαι· καὶ τοῦτο

κατὰ πάσης ἐκράτει τῆς ὑπηκόου, καὶ πᾶς ὁ ἐν γειτόνων οἰκῶν καὶ τοὺς τῶν πλησίον παρέχειν ἠναγκάζετο φόρους, εἴτε ὑπὸ τοῦ λοιμοῦ καὶ τῆς ἐνδείας ἐκτριβέντες ἦσαν, εἴτε τῶν οἰκείων ἀνάστατοι διὰ τὴν ἀνάγκην γεγενημένοι. Ὁ γοῦν μακάριος Σάβας ὑπὲρ οὕτως ἔργου ἀνοσίου ζηλώσας, μάλιστα ὅτι κἂν τοῖς Ἱεροσολύμοις τὸ παράνομον τουτὶ καὶ τυραννικὸν ἐτολμᾶτο διάταγμα, πρόσεισι τῷ βασιλεῖ τὴν ἀτοπίαν τοῦ πράγματος διαγγέλλων, τὴν ἀπώλειαν τῶν πενήτων ὑποδεικνὺς, ὑπὸ τῆς ἀδίκου ταύτης ἐκτριβομένων εἰσπράξεως, καὶ ἅπερ εἰς τὸ ἑξῆς αὐτοὶ μέλλοιεν καταθεῖναι καὶ ταῦτα τὸ κοινὸν ζημιούντων· εἶτα καὶ ἱκέτης ἐγίνετο καὶ μίαν ἀπήτει παρ' αὐτοῦ χάριν, ὥστε τὸν ἄδικον ἐκεῖνον ἀνεῖναι τοῖς πένησι φόρον καὶ μηκέτι διπλαῖς εἰσπράξεσι τοὺς ἀθλίους περιβαλεῖν· τοῦ δὲ καὶ τὸ δίκαιον αἰδεσθέντος καὶ τοῦ ἀνδρὸς τὴν ἱκετείαν δυσωπηθέντος καὶ οὐκ ἔχοντος ὅ,τι καὶ δράσοι, ἀλλ' ἤδη τῆς ἀπανθρώπου ἐκείνης λειτουργίας ἀτέλειαν παρασχεῖν τοῖς πένησι βουλομένου, Μαρῖνός τις, τὸν τρόπον σκαιὸς, τὴν γλῶσσαν οὐ καθεκτὸς, τὰ μεγάλα τότε δυνάμενος, ἄγων τε καὶ φέρων κατὰ πόδας ἐπιστὰς, τὴν φιλάγαθον ἐκείνην καὶ βασιλικὴν ὄντως ἀνέτρεψε γνώμην, νεοτοριανοὺς εἰπὼν εἶναι τοὺς κατὰ τὴν ἁγίαν πόλιν καὶ δωρεᾶς τοιαύτης οὐδαμῶς ἀξίους. Ἐπιτιμήσαντος τοίνυν αὐτῷ του μακαρίου Σάβα, κἀκεῖνα προσθέντος, ὡς εἰ μὴ ταχεῖά σέ τις ἐφ' οἷς εἴρηκας λάβοι μετάνοια μετ' ἄχου σοι τὸ μνημόσυνον ἀπολεῖται, Μαρῖνος μὲν οὐδὲν ἄμεινον ἑαυτοῦ γίνεται· ὁ δὲ τῷ βασιλεῖ εὐθὺς συνταξάμενος καὶ δραχμὰς ἑτέρας παρ' αὐτοῦ χιλίας λαβών, ὥστε τοῖς ὑπ' αὐτὸν διαδοῦναι μοναστηρίοις, ἐπὶ τὴν Παλαιστίνην καὶ τὰς ἐν αὐτῇ ἐρήμους εὐθέως ἀπαίρει, τῆς μεγάλης ταύτης κατὰ τῶν πενήτων ἀδικίας οὕτως ἐν τοῖς Ἀναστασίου χρόνοις ἀδιορθώτου μεμενηκυίας, ἧς μέρος μὲν Ἰουστῖνος ἰάσατο, τοῦ θείου καὶ τότε Σάβα γράμμασι πρὸς ἐκεῖνον διαπρεσβευσαμένου, ἐντελῆ δὲ αὐτῇ τὴν θεραπείαν Ἰουστινιανὸς ἔσχατον ἀποδέδωκεν.

§ μδ'. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ τοῦ τιμίου τοῦδε ἀνδρὸς αἱ πρὸς Μαρῖνον προρρήσεις πέρας ἐλάμβανον· νεωτερισμοῦ γάρ τινος ἐπισχόντος τὴν πόλιν, ἥ τε οὐσία Μαρίνου ἁνήρπαστο πᾶσα καὶ ἡ οἰκία πυρὶ κέκαυστο, ἦλθε δὲ καὶ αὐτὸν παρὰ μικρὸν ἀπολέσθαι, καὶ οὐκ ἂν ἐγγὺς ὄντα διαφυγεῖν τὸν κίνδυνον ἴσχυσεν, εἰ μὴ πρὸς ἐπιστροφὴν ὀξέως καὶ μετάνοιαν ἔβλεψε· τοῦτο δὲ ἄλλοι τε ἀπήγγειλαν πλεῖστοι καὶ δὴ καὶ Πομπήϊος ὁ τοῦ βασιλέως ἀνεψιός· πολλὰ μὲν τὸν ἄθλιον Μαρῖνον δακρύων τῆς συμφορᾶς, πολλὰ δὲ καὶ τὸν μακάριον Σάβαν τῆς ἀψευδοῦς ἀποθαυμάζων προρρήσεως, ὡς Ἀναστασία ὕστερον ἡ τοῦ Πομπηίου τοῦδε γυνὴ διηγεῖτο, ἣν δὴ κἀν τῷ τῶν Ἐλαιῶν ὄρει πάσῃ κομᾷν ἀρετῇ φθάσας ὁ λόγος ἤδη ταῖς ὑμῶν παρέδωκεν ἀκοαῖς. Ὁ θεῖος μέντοι Σάβας μέρος μὲν τοῦ δοθέντος αὐτῷ χρυσίου παρὰ τοῦ βασιλέως ἐκπέμψας τὸν ἐν Μουταλάσκῃ πατρῷον οἶκον Κοσμᾷ καὶ Δαμιανῷ τοῖς μάρτυσιν εἰς ναὸν μετεσκεύασε· τὸ δὲ περιλειφθὲν ἐπίσης αὐτοῖς τε καὶ τοῖς συνοῦσιν ἀδελφοῖς καὶ τοῖς ὑπ' αὐτὸν μοναστηρίοις διένειμεν. . . . . .

Ὁ δὲ θεῖος Σάβας καὶ Μάμαντά τινα τῶν ἐν Ἐλευθερουπόλει τὰ Σευήρου νοσούντων μοναχῶν προεστῶτα καὶ πολλὴν μὲν πρότερον ἐπὶ τοῦ βασιλικοῦ βήματος κατὰ τῆς ὀρθοδόξου πίστεως τὴν παρρησίαν ἐπιδειξάμενον, ὕστερον δὲ σφοδρῶς αὐτῷ Σευήρῳ διενεχθέντα, παραλαβὼν εἰς Ἱεροσόλυμα, τῆς τε πικρᾶς ἐκείνης αἱρέσεως τοῖς μελιχροῖς ἀφίστησι λόγοις καὶ τῷ Ἠλίᾳ προστεθεῖναι παρασκευάζει· ἔπειτα δὲ πολλοὺς τῶν αἱρετικῶν καὶ ἄλλους ὁ Μάμας τῷ καθ' ἑαυτὸν ὑποδείγματι σαγηνεύει καὶ πρὸς τὴν ὀρθοδοξίαν ἐπάγεται.

§ με'. Ἥκει δὲ λοιπὸν ὁ λόγος ἡμῖν ἐπ' αὐτὸ τῶν ὑπὲρ τῆς ὀρθοδοξίας ἀγώνων τοῦ ἀνδρὸς τὸ κεφάλαιον. Ἤδη μὲν γὰρ οἱ ἀμφὶ Σωτήριχον καὶ Φιλόξενον ἐτύγχανον εἰς Σιδῶνα κακῶς ἀναβάντες, ὥστε ἀναθέματι μὲν περιβαλεῖν τὴν ἐν Χαλκηδόνι Σύνοδον, Φλαβιανὸν δὲ τοῦ θρόνου καὶ Ἠλίαν καταγαγεῖν· ἀλλ' ἐκεῖνοι τὴν τοικύτην μεθ' ἑαυτῶν ἐπιβουλὴν ἱκεσίοις ἐπιστολαῖς πρὸς τὸν βασιλέα τηνικαῦτα μὲν διελύσαντο, ὕστερον δὲ οἱ περὶ Σωτήριχον, τῷ κατ' ἐκείνων φθόνῳ πλέον διακαυθέντες, ἐκμαίνουσι σφόδρα τὸν βασιλέα οἷα καὶ διαλοιδορούμερον δῆθεν ὑπ' αὐτῶν καὶ γελώμενον. Ἀμέλει καὶ τὴν κατὰ τῶν πατριαρχῶν ἐξουσίαν οἱ ἐναγεῖς οὗτοι παρὰ τοῦ βασιλέως ἐγχειρισθέντες χρυσίῳ τὸν τῶν ἀντιοχέων δῆμον ὑποποιοῦνται, καὶ τὰ ἑξῆς δάκρυσι μᾶλλον ἢ γράμμασι προσήκει συγγράφειν· Φλαβιανῷ μὲν γὰρ πᾶσαν ἐπιθέντες ἀνάγκην καὶ τί τῶν λυπηρῶν οὐκ ἐπενεγκόντες καὶ σχεδὸν ἀποπνίξαντες ἀναγκάζουσι τὴν ἐν Χαλκηδόνι Σύνοδον ἀναθεματίσαι, εἶτα καὶ τῆς καθέδρας αἰσχρῶς ἅμα καὶ τῆς πόλεως

ἀπελαύνουσι, Σευῆρον δὲ τὴν τῶν ἀκεφάλων βέβηλον κεφαλὴν ἔχοντες καὶ τὴν τοῦ βασιλέως πρὸς αὐτὸν ροπὴν τὰ μέγιστα συνεπιλαμβανομένην κακῶς ἀντικαθιστῶσιν, ὃς τοῦ τῆς Ἀντιοχείας θρόνου ἐπιλαβόμενος μύρια μὲν τοῖς μὴ κεκοινωνηκόσιν αὐτῷ τὰ χαλεπὰ εἰργάζετο· ἀποστέλλει δὲ καὶ τὰ αὐτοῦ συνοδικὰ Ἡλίᾳ τῷ πατριάρχῃ, ὧν ἥκιστα παραδεχθέντων, οὐ μετρίως εἰς ὀργὴν ἐξάπτει τὸν βασιλέα, καὶ πάλιν εἰς Ἱεροσόλυμα ταῦτα δὴ τὰ συνοδικὰ πέμπονται, συνεκπεμφθέντων καί τινων μὲν τῶν τοῦ κλήρου, πρὸς δὲ καὶ στρατιωτικῆς χειρὸς οὐκ ὀλίγης, ὥστε τοῖς μὴ πειθομένοις τὰ αὐτὰ πρεσβεύειν καὶ βίαν ἐπενεγκεῖν. Ἐπεὶ δὲ οὕτω ταῦτα καὶ οὕτως ἐτυραννεῖτο πικρῶς ἡ ὀρθοδοξία, καὶ ἤδη τῷ Ἡλίᾳ χαλεπὸς ἐπήρτητο κίνδυνος, καὶ τὸ δεινὸν ὑπὲρ κεφαλῆς, καὶ βοήθεια οὐδαμοῦ, συναγαγὼν ὁ θεῖος Σάβας πᾶν ὅσον ἔκκριτον ἦν τῆς μοναχικῆς εὐκοσμίας καὶ προσελθὼν σὺν αὐτοῖς καὶ τὸ προεστηκὸς ἐκεῖνο πλῆθος τὸν Ἡλίαν διατρεμὼν, ὦ ψυχῆς εὐγενοῦς, τοὺς τοῦ βασιλέως αὐτοῦ καὶ τοῦ Σευήρου καθάπερ ἀνδράποδά τινα ἐκεῖθεν ἀποδιώκει, ἔπειτα δὲ καὶ τὸ ἄλλο πλῆθος τῶν μοναχῶν πανταχόθεν συρρέοντες τοὺς τῷ Σευήρῳ κοινωνοῦντας ὑπὸ τοῖς ἐκείνων αὐτῶν ὀφθαλμοῖς ἀναθέματι θαρρούντως ὑπέβαλλον. Ταύτην τὴν αἰσχύνην καὶ ἀδοξίαν ὁ βασιλεὺς ἀποτρέψασθαι βουληθεὶς Ὀλύμπιόν τινα καισαρέα κατὰ τῶν ἀνδρῶν ἐκπέμπει, τὰς ἐν Παλαιστίνῃ δυνάμεις αὐτῷ παραδοὺς, αὐθεντίᾳ βασιλικῇ μᾶλλον χρώμενος· ὃς ὁμοῦ τε τῶν Ἱεροσολύμων ἐπέβη, καὶ τὸν μὲν Ἡλίαν τοῦ θρόνου καταγαγὼν ὑπερορίᾳ καταδικάζει, Ἰωάννην δὲ τὸν Μαρκιανοῦ παῖδα, τὴν Σευήρου μὲν ὁμολογήσαντα κοινωνίαν, ἀναθεματίσαντα δὲ τὴν ἐν Χαλκηδόνι Σύνοδον, εἰς τὸν ἐκείνου θρόνον ἀντικαθίστησιν· ὅπερ μαθόντι τῷ Σάβᾳ μέλειν οὐκ ἦν, ἀλλὰ τὸ ἱερὸν ἐκεῖνο καὶ αὖθις τῶν μοναχῶν στράτευμα συμπαραλαβών, καθάπερ τις στρατηγὸς ἄριστος, εἰσβάλλει πρὸς τὸν ἀγῶνα, καὶ τὸν μὲν Ὀλύμπιον οὐκέτι καταλαμβάνει, ἤδη γὰρ ἐκεῖνος οἷα καταρροῦν αὐτῷ τῶν πραγμάτων κεχωρηκότων, εἰς τὴν πόλιν ἀνέστρεφεν, Ἰωάννῃ δὲ τῶν Ἑῴων πατριάρχῃ περιτυχὼν μαρτύρεται καὶ παρεγγυᾷ Σευῆρον εἰς κοινωνίαν μὴ δέξασθαι, ἀλλὰ τῆς ἐν Χαλκηδόνι μᾶλλον Συνόδου μεταποιεῖσθαι καὶ μέχρις αἵματος προκινδυνεύειν αὐτῆς· ὅπερ οὖν κἀκεῖνος ποιεῖ, τὴν τῶν πατέρων διαμαρτυρίαν εὐλαβηθείς, τῶν πρὸς Ὀλύμπιον συνθηκῶν τὸ παράπαν ἐπιλαθόμενος· ἐφ' οἷς ἀγανακτήσας ὁ βασιλεὺς καὶ πολλὴν εὐήθειαν Ὀλυμπίου κατεγνωκὼς, ἐκεῖνον μὲν αὐτίκα τῆς ἀρχῆς παραλύει, Ἀναστασίῳ δὲ ταύτην ἐγχειρίσας καὶ δοῦκα Παλαιστίνης αὐτὸν πάσης καταστησάμενος ἐκπέμπει. Ὁ δὲ καὶ Ἱεροσόλυμα τὴν ταχίστην καταλαβών, καὶ μηδὲ ψιλοῦ τῷ πατριάρχῃ ῥήματος μεταδοὺς, ἀλλὰ τὰ πρὸς χάριν ἁπλῶς τῷ βασιλεῖ ποιῶν, καὶ τιμῆς ἀλόγου θεραπείαν ἀλογωτέραν ἀντιδιδοὺς, εἰς δεσμωτήριον αὐτὸν εὐθέως ἐμβάλλει· βιαζόμενος ἀνέδην καὶ ἀνάγκαις χαλεπαῖς ἐκδιδοὺς, ὥστε τὴν μὲν ἐν Χαλκηδόνι Σύνοδον ἀθετῆσαι, τὴν Σευήρου δὲ κοινωνίαν ἀσπάσασθαι. Ἀλλ' ἐκεῖνος τῷ τῆς καισαρέων προεστῶτι Ζαχαρίᾳ λανθανούσῃ περὶ τῶν προκειμένων συμβουλῇ κοινωσάμενος, τέχνῃ τὴν ἀνάγκην εὐμηχάνως ὑπέρχεται· ἡ δὲ ἦν· ἐπαγγειλάμενος πάντα ὅσα περ ἂν ὁ δοὺξ ἐπιτάττοι σὺν προθυμίᾳ δράσειν, εἰ ἀνεθείη τῆς φυλακῆς, δύο μόνων παρελθουσῶν ἡμερῶν, ἵνα μὴ πρὸς βίαν δοκῶμεν, φησὶ, τοῖς τοῦ βασιλέως προστάγμασι πείθεσθαι, οὕτως ἀφίεται τῆς εἱρκτῆς· εἶτα, μιᾶς νυκτὸς τὸ πλῆθος τῶν πέριξ μοναχῶν ἐν τῷ τοῦ πρωτομάρτυρος Στεφάνου συγκαλεῖται ναῷ, τῷ μὲν δοκεῖν ἑορτὴν ἄωθεν κοινὴν τῷ πρωτομάρτυρι συντελέσων, τῇ δὲ ἀληθείᾳ πρὸς συμμαχίαν καὶ αὐτοὺς τῆς ὀρθοδόξου πίστεως συγκαλούμενος, ἵνα καὶ μᾶλλον οὕτω τοῖς αἱρετικοῖς τὸ αὔθαδες καταστείλῃ· συνῆκτο οὖν ἅμα φωτὶ πλῆθος πολὺ, τὸ μὲν ἀπὸ τῶν κληθέντων ἐκεῖ μοναχῶν, ὥσπερ εἴρηται, τὸ δὲ συνήθως οὕτω τῇ συνάξει προσβάλλον, τὸ δὲ καὶ κατὰ θέαν Ὑπατίου συνδεδραμηκὸς, ὃς Ἀναστασίου τοῦ βασιλέως ἀνεψιὸς ἦν, ἄρτι τῆς αἰχμαλωσίας ἀνασωθείς· ἦν γὰρ καὶ ὁ ναὸς εἰς πλήθους ὑποδοχὴν πολυχωρητότατος, παρῆν δὲ καὶ αὐτὸς ὁ δοὺξ, ὡς ἂν ὑπὸ μάρτυρι αὐτῷ ἡ ἐν Χαλκηδόνι Σύνοδος ἀπόρρητός τε καὶ ἐκκήρυκτος καταστῇ. Ἄνεισι μὲν οὖν εὐθὺς ἐπ' ὀκρίβαντος ὁ Ἰωάννης, ἑκατέρᾳ χειρὶ Σάβα καὶ Θεοδοσίου τῶν προμάχων τῆς εὐσεβείας ἐχόμενος, ἐπισχὼν δέ τινα χρόνον ἀκούειν ὑποψιθυρίζοντος ἠρέμα τοῦ πλήθους ἐδόκει καὶ δεῖν τοὺς μὴ ὑγιῶς φρονοῦντας ἀναθεματίζεσθαι λέγοντος.

§ μΣ'. Τοῦτο τοίνυν ἐκεῖνος καθάπερ τι σύνθημα θεῖον λαβὼν, καὶ θάρσους τὴν καρδίαν ὑποπλησθείς, ἀφίησι μίαν μετὰ τοῦ πλήθους φωνὴν « Εἴ τις τὰ Εὐτυχοῦς φρονεῖ καὶ Νεστορίου, Σευήρου τε καὶ Σωτηρίχου τοῦ Καισαρείας Καππαδοκίας ἀνάθεμα· καὶ εἴ τις μὴ τοῖς τῶν τεσσάρων ἁγίων καὶ οἰκουμενικῶν Συνόδων ἕποιτο δόγμασιν ἀνάθεμα». Συνίησιν ἐνταῦθα τὴν ἀπάτην ὁ δοὺξ καὶ δείσας τὴν τοῦ πλήθους ὁμόψυχον συμφωνίαν, σιγῇ ὡς εἶχεν ἑαυτὸν ὑπεξαγαγών, φεύγειν ἠγάπα καὶ πρὸς Καισάρειαν ᾤχετο. Ὑπολειφθεὶς δὲ ὁ τοῦ βασιλέως ἀνεψιὸς ὅρκοις ἐπιστοῦτο τοὺς θείους πατέρας, ἢ μὴν μὴ κατὰ κοινωνίαν ἀπαντῆσαι τῆς Σευήρου κακοδοξίας, ἀλλ' ὥς τε προσκυνητὴς τῶν σεβασμίων γενέσθαι τόπων καὶ ὡς τῆς αὐτῶν μᾶλλον ὁσιότητος εἶναι κοινωνὸς βούλεται· ταύτῃ τοι καὶ δίδωσι πλῆθός τι χρημάτων τῷ Σάβᾳ, διαδοῦναι τοῦτο τοῖς ἐκεῖ μοναχοῖς ἐπισκήπτει, ὁμοῦ μὲν τὴν πρὸς τὸ θεῖον αὐτοῦ πίστιν ἐπιδεικνὺς, ὁμοῦ δὲ καὶ ἣν εἶχε περὶ ἐκεῖνον εὐλάβειαν ἐπίδηλον καθιστάς. Ἐπεὶ δὲ οὕτω κατὰ γνώμην ὁ ὑπὲρ τῆς ὀρθοδοξίας ἀγὼν τῷ μακαρίῳ Σάβᾳ κεχώρηκεν, εἰδὼς ἐκεῖνος ὡς οὐκ ἀνέξεται ἄρα τούτων ὁ βασιλεὺς, ἀλλ' ἐν αἰσχύνῃ τὸ πρᾶγμα θήσεται καὶ χαλεπανεῖ καὶ πάντα τρόπον ἀμυνεῖσθαι σπουδάσει, συναγαγὼν τὸν κλῆρον πάντα τῶν μοναχῶν καὶ αὐτοῖς κοινολογησάμενος, γράφει τῷ βασιλεῖ σὺν αὐτοῖς ἐπιστολὴν ἔχουσαν οὕτως:

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ πάντων αἰώνιος βασιλεὺς καὶ Θεὸς, τὰ σκῆπτρα τῆς μετ' ἐκεῖνον ὑψηλῆς βασιλείας τῷ ὑμετέρῳ θεοφιλεῖ εὐδόκησεν ἐγχειρίσαι κράτει· βουλόμενος ἀτεχμῶς καὶ πάσαις μὲν ταῖς ἁγιωτάταις Ἐκκλησίαις, προηγουμένως δὲ τῇ μητρὶ τῶν Ἐκκλησιῶν, τὸ τῆς εἰρήνης ἀγαθὸν διὰ τῆς ὑμῶν βραβεῦσαι θεοσεβείας· ἴσασι γὰρ πάντες ὡς ἐκ τῆς δε τῆς Ἐκκλησίας ἀρξάμενον τὸ μέγα ὄντως τῆς εὐσεβείας μυστήριον ἄχρι καὶ περάτων διέβη τῆς γῆς· ὅπερ ἡμεῖς οἱ τῶν δε τῶν θείων τόπων οἰκήτορες ἄνωθεν ἐκ τῶν ἱερῶν ἀποστόλων παραλαβόντες καὶ ἀπαρεγχείρητον μέχρι καὶ νῦν ἐφυλάξαμεν χάριτι, μηδὲν ὑπὸ τῶν ἀρτικειμένων τῇ ὀρθοτομίᾳ τοῦ λόγου παρατρεπόμενοι ἢ ταῖς βεβήλοις αὐτῶν ὑποφθειρόμενοι κεφοφωρίαις.

Ἐν ταύτῃ γοῦν τῇ ἀμωμήτῳ πίστει καὶ τῆς ὑμῶν βασιλείας ἐκ νεότητος τριχὸς τραφείσης ἅμα καὶ ἀναχθείσης θαυμάζειν ἡμῖν ἔστι, πῶς ἐν ταῖς ἡμέραις τῆς ἡμῶν εὐσεβείας τάραχος τοσοῦτος καὶ κλόνος τὴν μητέρα ταύτην κατείληφε τῶν Ἐκκλησιῶν, ὡς μηδὲ αὐτῶν φειδὼ γίμεσθαι τῶν Θεῷ λειτουργούντων, ἀλλ' ἱερεῖς ἄνδρας καὶ μοναχοὺς, ἐκ παίδων ἀρετῆς μετανοουμένους καὶ κοσμίως ζῆν καὶ ἡσύχως ἀσπασαμένους, ἕως ὄψεσιν ἰουδαίων καὶ ἄλλων δή τινων ἐθνικῶν, ἀπ' αὐτῆς ἁγίας Σιὼν, διὰ μέσης πόλεως ἀκόσμως καὶ ἀφειδῶς ἕλκεσθαι καὶ εἰς τιμὰς βεβήλους ἐξωθεῖσθαι τόσους·, οὐ μὴν ἀλλὰ καί τινα πρὸς μῶμον τῆς εὐσεβοῦς πίστεως ἀναγκάζεσθαι δρᾶν· ὡς ἐντεῦθεν τοὺς εὐχῆς χάριν ἀφικνουμένους, ἀντὶ τῆς κατὰ ψυχὴν ὠφελείας, βλάβης καὶ σκανδάλων ὑποπιμπλαμένους ἀναχωρεῖν.

Λεόμεθα τοίνυν τοῦ κράτους ὑμῶν ἀμεθῆναί ποτε τῶν τοσούτων κακῶν καὶ ἡμᾶς, ὧν αἴτιος πάντων καὶ ἀρχηγὸς Σευῆρος ὁ τῆς ἀντιοχέων προεδρεύειν εἰς ἔκτισιν τῶν ἡμετέρων ἁμαρτιῶν προβληθεὶς, ἑαυτῷ κακῷ πρότερον τῆς οἰκείας ψυχῆς καὶ τοῦ παντὸς τῆς Ἐκκλησίας πληρώματος. Πῶς γὰρ οὐκ ἄτοπον ἱεροσολυμίτας ὄντας ἡμᾶς ἀπερὶ πίστεως ἐκμαθάνειν καὶ τοὺς πατέρας πάντων εἰς τὸν τῆς θεοσεβείας λόγον ἀποδεδειγμένους οὕτως ὀψιμαθεῖς φαίνεσθαι τὴν εὐσέβειαν. Πῶς δὲ οὐ φανερὸν ἐντεῦθεν ὅτι περ ἡ κεφοφωνὴς αὕτη καὶ τῷ δοκεῖν ἐπιδιόρθωσις οὖσα τῆς πατροπαραδότου καὶ ὑγιοῦς πίστεως οὐ διόρθωσίς ἐστιν ἄρτικρυς, ἀλλὰ διαστροφὴ καὶ μοθεία μᾶλλον τοῦ καλῶς ἔχοντος, μισθὸν τῆς παραδοχῆς τοῖς πειθομένοις ἀπωλείαν ψυχῆς προξενοῦσα. Οὔκουν ἡμεῖς ἕτερόν τι παρὰ τὰ δεδογμένα τοῖς τριακοσίοις δέκα καὶ ὀκτὼ ἁγίοις πατράσι τοῖς ἐν Νικαίᾳ καὶ ταῖς τρισὶ μετὰ ταῦτα Συνόδοις οὐδὲ καινοτομεῖν ἄλλως παραδεξόμεθα, ἀλλ' ὑπὲρ τούτου καὶ τὰς ψυχὰς προέσθαι καὶ μυρίους εἴπερ οἷόν τε θανάτους ἀπολαβεῖν ἡμεῖς ἕτοιμοι. Ἡ δὲ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσοι τὴν ἁγίαν αὐτοῦ Ἐκκλησίαν, καὶ τὴν ἐπεγερθεῖσαν αὐτῇ ζάλην πνεύματι τοῦ ὑμετέρου καταπαύσοι κράτους, εἰς δόξαν αὐτοῦ καὶ καύχημα τῆς θεοφιλοῦς ὑμῶν βασιλείας.

§ μΖ'. Ἀλλ' ὁ μὲν βασιλεὺς ταύτην δεξάμενος τὴν ἐπιστολὴν εἰς ἑτέρους τὰς ἀποκρίσεις καιροὺς ἀνεβάλετο· βαρβαρικὴ γὰρ ἐκάλει τηνικαῦτά τις αὐτὸν ἐκστρατεία. Μετὰ τὴν ἄδικον ἐκείνην Ἡλιοῦ τοῦ τῆς Παλαιστίνης προεστῶτος ὑπερορίαν, λιμὸς ἅμα καὶ σπάνις τῶν ἀναγκαίων, πρὸς δὲ καὶ αὐχμὸς καὶ ἀκρὶς καὶ βαρεῖαί τινες μάστιγες παρ' ὅλους πέντε χρόνους τὴν Παλαιστίνην ἐπίεζον, ἑπτὰ δὲ ὄντων τῶν ὑπ' αὐτοῦ τὴν σύστασιν εἰληφότων καὶ ὧν αὐτὸς τὴν πρόνοιαν ἐποιεῖτο μοναστηρίων, οὐδενὶ τούτων πρόσοδον ἐπενόησεν οὐδὲ μίαν, ἀλλὰ Θεῷ τὸ πᾶν τῆς φροντίδος αὐτῶν ἐπιτρέψας, καὶ αὐτῶν ὁμοίως τῇ τῶν ἀναγκαίων ἐνδείᾳ πιεζομένων, ἐκεῖνος οὐ

μόνον οὐδὲν μικρόψυχον καὶ τῷ καιρῷ προσῆκον ἢ ἔπαθεν ἢ ἐφθέγξατο, ἀλλὰ καὶ τοὺς τῶν μοναστηρίων ἐξηγουμένους συγκαλῶν, παρήνει μὴ ἀλύειν ἐν τούτοις, μηδὲ τῶν τοῦ σώματος ὅλως μηδὲν μεριμνᾷν, ἀλλὰ τῷ Πατρὶ πιστεύειν. Οὕτως οὖν συγγνωμόνως τοῦ Σάβα καὶ γενναίως διακειμένου, εἰς τοσοῦτο ποτὲ καὶ τὴν ὑπ' αὐτῷ λαύραν ἐπιλελοίπει τὰ ἀναγκαῖα, ὡς μὴ τοῦ εἰς θυσίαν ἄρτου τῷ Θεῷ καὶ προσφορᾶς εὐπορεῖν· πρόσεισι τοίνυν ὁ τὴν διακονίαν πεπιστευμένος, μηνύων αὐτῷ τὴν συμφορὰν καὶ ἅμα περὶ τῆς ἐγγιζούσης κυριακῆς ἰσχυρῶς διαβεβαιούμενος, ὡς ἀτέλεστα δήπου τὰ τῆς θείας ἔσται τηνικαῦτα μυσταγωγίας, μήτε ἄρτου τῇ λαύρᾳ προσόντος εἰς προσφορὰν μητέ τινος ἄλλου τῶν ἀναγκαίων· ἀλλὰ ταῦτα μὲν ἐκεῖνος, ἡ δὲ μεγάλη τῷ ὄντι καὶ θαυμασία ψυχὴ οὐδὲ οὕτως ἀπέγνω κηδεμονίαν Θεοῦ καὶ προνοίας ὁδοὺς ἀπορρήτους· «Ἀλλ' ἐγὼ, φησὶ πρὸς αὐτὸν, οὔμενουν Θεοῦ λειτουργίαν οὐδαμῶς κωλύσω, εἰ δὲ τοσαύτη τῶν ἀναγκαίων ἡ ἔνδεια, κειμήλιόν τι τῶν ἱερῶν ἀποδοθὲν τὰ εἰς λειτουργίαν ἡμῖν πορισεῖται· πλὴν ἀλλὰ πιστὸς ὁ τὴν αὔριον μερίμνης ἐλευθέραν ὅσα γε εἰς σώματος χρείαν μένειν ἡμῖν διακελευόμενος». Εἶπε· καὶ μήπω τῆς κυριακῆς ἐπιστάσης, ἤκουσί τινες πρὸς αὐτὸν, καθάπερ ἐκ προνοίας ἀπεσταλμένοι, τριάκοντα φόρτον ὑποζυγίων ὁμοῦ διακομιζόμενοι, ὁ δὲ φόρτος σῖτος ἦν καὶ οἶνος καὶ ἔλαιον καὶ ἄλλα μοναχοῖς ἀνδράσιν εἰς τροφὴν ἐπιτήδεια, ὡς σχεδὸν τὴν λαύραν στενοχωρεῖσθαι τοῖς ἐδωδίμοις. Αὐτίκα τοίνυν ὁ θεῖος Σάβας τῷ πρὸ μικροῦ τὴν ἔνδειαν ὑπομνήσαντι μικρολόγως «Τί λέγεις, φησὶν, ἐάσομεν τὰ τῆς λειτουργίας;» Ὁ δὲ, συνεὶς τὴν ἐρώτησιν ἔλεγχον εἶναι λογισμῶν τὸ πρὸς Θεὸν ἐλπίζειν οὐκ ἐρρωμένων, πίπτει πρὸς τοῖς ἐκείνου ποσὶ, συγγνώμην αἰτῶν καὶ μικροψυχίας οὕτως ἀγενοῦς μετάνοιαν θερμὴν ἀντεισφέρων· κἀκεῖνος ταχέως τε αὐτὴν τῷ μαθητῇ δίδωσι καὶ παραινεῖ τὰ προσήκοντα, μὴ οὕτω μικροψυχεῖν, λέγων, ἀλλὰ τῶν θείων ἐλπίδων θαρρούντως ἔχεσθαι.

§ μη'. Μιᾷ γοῦν ἡμέρᾳ, αὕτη δὲ ἦν ἡ ἐννάτη τοῦ ἰουλίου, ὁ πατριάρχης ἦν διαμέλλων περὶ τὴν πρόοδον· καὶ οἱ μὲν περιέμενον ἀπτόμενοι τροφῆς οὐδαμῶς, ὁ δὲ μέσων ἤδη νυκτῶν ἐξελθὼν δακρυώδεις ἔχων τοὺς ὀφθαλμούς: «Ὑμεῖς, ἔφη, μετάσχετε τροφῆς, ἐγὼ γὰρ οὐκ ἄγω σχολήν». Κἀκείνων ἐπιμελῶς ἄγαν πυνθανομένων τί πάθοι, πῶς οὕτω βραδὺς ἄρτι περὶ τὴν πρόοδον, καὶ ἡνίκα τί σκυθρωπὸς ἡμῖν ὤπται καὶ δακρύων τοὺς ὀφθαλμοὺς ἔμπλεως, πικρὸν ἀνοιμώξας ἐκεῖνος, «Ὦ μακάριε πάτερ, ἔφη πρὸς τὸν Σάβαν ἰδών, ταύτης, φεῦ, τῆς ὥρας Ἀναστάσιος ὁ βασιλεὺς τετελεύτηκε, καὶ δεῖ κἀμὲ πάντως δεκάτην ὕστερον ἡμέραν οἴχεσθαι, ἵνα ἀμφότεροι ὑπ' αὐτοῦ γε Χριστοῦ τοῦ φρικώδους βήματος δικασαίμεθα». Τοῦτο καὶ αὐτῷ δῆλον τῷ μακαρίῳ γέγονε Σάβᾳ, καὶ τῆς νυκτὸς ἐκείνης, καθ' ἣν ὁ πατριάρχης τῆς ὀπτασίας ἠξίωτο, λέγεται καὶ αὐτὸν ἰδεῖν σκηπτοὺς ἄνωθεν ἐπαφιεμένους τῷ βασιλεῖ καὶ οἱονεὶ διώκοντας αὐτὸν ὥστε ἐλεῖν· τὸν δὲ ὑπὸ τοὺς τῶν βασιλείων μυχοὺς φεύγοντα τὴν ψυχὴν ἀπορρῆξαι. Ἀλλ' ἡ μὲν τοῦ βασιλέως τελευτὴ ὡς αἱ φανεῖσαι παρεδήλουν ὄψεις εὐθέως ἠκούετο, ἔπειτα δὲ καὶ ὁ πατριάρχης ἀπεβίω Ἠλίας, καθάπερ οὖν ὑπ' αὐτοῦ καὶ προείρητο.

§ μθ'. Ἰουστίνου τοίνυν μετὰ τὸν Ἀναστάσιον εὐσεβῶς τὴν βασιλείαν παραλαβόντος καὶ προστάγματα πανταχοῦ τῆς οἰκουμένης ἀπεσταλκότος, ἐφ' ᾧ τοὺς ὀρθοδόξους μὲν ἀνίεσθαι τῆς ὑπερορίας, τὴν ἐν Χαλκηδόνι δὲ ἁγίαν Σύνοδον ἐγγράφεσθαι τοῖς ἱεροῖς πίναξι, τὰς παλαιὰς ἀποδίδοσθαι τοῖς ὀρθοδόξοις τιμὰς καὶ γαλήνην αὖθις καὶ εἰρήνην ἀπολαύειν τὰς Ἐκκλησίας· τούτων οὕτω γενομένων καὶ οὕτως ὑπὸ τῷ βασιλεῖ πάλιν Ἰουστίνῳ τῆς ὀρθοδοξίας ἐπανελθούσης, ἐτύγχανε μὲν ὁ μακάριος Σάβας ὑπὲρ τὰ ὀγδοήκοντα γεγονὼς ἤδη τῆς ἡλικίας ἔτη, καὶ σώματος ἀσθενείᾳ καὶ γήρᾳ καὶ τῇ μακρᾷ καὶ συντόνῳ τῶν ἀρετῶν ἀσκήσει τετρυχωμένος· πλὴν ἀλλὰ καὶ οὕτως ἔχων, ἐσφρίγα τῇ τῆς ψυχῆς προθυμίᾳ καὶ ἥκμαζε, καὶ τοὺς διὰ Χριστὸν πόνους πάσης ἀνέσεως προετίθει· ὅθεν καὶ πάντα μᾶλλον τοῦ ὑπὲρ τῆς ὀρθοδοξίας ζήλου τιθέμενος δεύτερα, διά τε Καισαρείας αὐτίκα καὶ Σκυθοπόλεως ἐχώρει κηρύσσων τὸ εὐσεβὲς τοῦ βασιλέως διάταγμα καὶ ταῖς τῶν Ἐκκλησιῶν πυξὶ [1], τὰς τέσσαρας ἐγγράφων Συνόδους καὶ τοὺς μὲν αὐτῶν νουθεσίαις καὶ παραινέσεσι, τοὺς δὲ καὶ ἐλέγχοις ἀνακαλούμενος καὶ πάντας μέλιτι τῆς διδασκαλίας αὐτοῦ καθηδύνων καὶ πρὸς τὴν ὀρθοδοξίαν ἅριστα ἐπαγόμενος. Ἦν δέ τις ἐπὶ τῆς Σκυθοπόλεως σχολαστικὸς ἀνὴρ, ὄνομα Ἰωάννης, ἀγαθὸς τὴν ψυχὴν καὶ τὸν βίον ἀρετῇ κοσμῶν, ὃς περὶ

1. πίναξιν ἢ πυξίσιν ἴσως.

Σιλουανοῦ τινὸς, σαμαρέως τὸ γένος, ἐπιφανοῦς δὲ τὸ ἀξίωμα, πολλήν τε ἄλλην κακοήθειαν καὶ ψυχῆς φαυλότητα διεξῄει καὶ δὴ καὶ μεγίστην αὐτὸν εἶναι χριστιανοῖς ἐπήρειαν ἔλεγε· τούτων ὁ μέγας ἀκούσας προέφη τινὰ περὶ Σιλουανοῦ, ἃ καὶ εἰς ἔργον οὐ διὰ μακροῦ ἐξέβη, ὥσπερ οὖν καὶ ὁ λόγος οὐ μετὰ πολὺ δηλώσει, ὅτι, πυρὸς ἐν μέσῃ τῇ πόλει διακαέντος, κακὸς κακῶς ἀπολεῖται.

§ ν'. Οὕτω μὲν οὖν τῇ τοῦ Σάβα ψυχῇ θεία τις ἐνεκάθητο χάρις, ὅσα περ ἂν αὐτὸς αἰτήσοι παραδόξως πάντα θαυματουργοῦσα, καὶ τὸ σῶμα δὲ ὑπεῖκον εἶχεν ἀεὶ τοῖς θελήμασιν, ὡς μήτε τῇ συνεχείᾳ τῶν πόνων ἀπαγορεύειν, μήτε τοῖς καθ' ἡδονὴν πάλιν ἀνίεσθαι. Παρ' ὅλον μὲν γὰρ τὸν τῶν νηστειῶν καιρὸν ἄσιτος διετέλει, ἅπαξ δὲ τῆς ἑβδομάδος σιτεῖσθαι διαπαντὸς αὐτῷ σύνηθες· εἰ δέ ποτε παρά τινος ἐπὶ δεῖπνον κληθείη, ἢ καὶ αὐτὸς πάλιν τύχοι τινὰ ἑστιῶν καὶ δὶς τῆς ἡμέρας πολλάκις ἐσθίων, ἀπαθὴς τὸν στόμαχον ἐτηρεῖτο καὶ βλάβης ἀνώτερος. Εἶτα μετὰ τὴν ἀπὸ Σκυθοπόλεως ἐπάνοδον, ἐράσμιος Ἰωάννῃ τῷ τῶν Ἱεροσολύμων ἀρχιερεῖ καὶ ποθεινὸς ἄγαν ἐμφανισθείς, ἐπέτεινε γὰρ ὁ μεταξὺ χρόνος τὸν πόθον οἷα δὴ τὰ τῶν φίλων, εἰς ἑστίασιν ὑπ' αὐτοῦ κληθείς, ἐπεὶ καὶ Ἀντώνιος ὁ τῆς Ἀσκάλωνος ἐπίσκοπος συμπαρῆν, ὃς ἀδελφὸς τῷ ἀρχιεπισκόπῳ ἐτύγχανεν ὤν, μέσον ἐκείνοι τὸν Σάβαν ἀπολαβόντες, προέπιόν τε αὐτῷ γνησίως καὶ ὡς ἡ δύναμις εἶχεν ἐδεξιοῦντο· πλὴν ἀλλ' οὐδὲ τῷ ἁγίῳ πάλιν αἱ χεῖρες ἠμέλουν, ἀλλ' ὡς εἰκὸς προσωπείου παντὸς ἔξω καὶ ὑποκρίσεως τῶν παρακειμένων ἀπέλαυε· παρὼν δὲ καὶ ὁ Θεοδόσιος ὁ θεῖος, ὃς ἄρα καὶ φίλος αὐτῷ ἐς τὰ μάλιστα καὶ συνήθης ἦν, ᾗ μοι καὶ πολλαχοῦ ἤδη τοῦ λόγου δεδήλωται, καὶ βουλόμενος οἷον ἥδυσμα τῇ τραπέζῃ εὐπρόσωπόν τινα λόγον καὶ φιλικὸν ἐμβαλεῖν, ἀστείως εὖ μάλα καὶ χαριέντως ὑπολαβών, οὕτως, ἔφη, τὸν θεῖον Σάβαν πεινᾷν, ὡς μηδὲ ἀμφοτέρους ὑμᾶς, οἳ τὴν Παλαιστίνην ὁμοῦ πᾶσαν τρέφοντες διαρκεῖτε, ἱκανοὺς εἶναι νῦν εἰς κόρον αὐτῷ τὴν γαστέρα θρέψαι.

§ νβ'. Χρόνου δὲ συχνοῦ τῷ μεταξὺ διαγεγονότος καὶ τῷ μεγάλῳ Σάβᾳ εἰς ὀγδοήκοντα καὶ ἓξ ἐνιαυτοὺς προελθούσης τῆς ἡλικίας, τελευτᾷ μὲν Ἰωάννης [1] Πέτρον, ἐπιφανῆ τὴν ἀρετὴν ἄνδρα, διάδοχον τοῦ θρόνου καταλιπών. Τρίτῳ δὲ ἐφεξῆς ἔτει καὶ ὁ βασιλεὺς Ἰουστῖνος βαθύτατα γηράσκων, ἄλλως τε δὲ καὶ νόσῳ τινὶ τοῦ σώματος βαρυνόμενος καὶ οὐχ ἱκανὸς ὢν ἔτι πρὸς τὴν τῶν κοινῶν ἐξαρκεῖν προστασίαν, τὴν ἀρχὴν ἀποτίθεται [1] Ἰουστινιανὸν ἀνθ' ἑαυτοῦ τὸν ἀδελφιδοῦν αὐτοκράτορα καταστήσας, πατρίκιον καὶ ὕπατον ὄντα καὶ στρατηγὸν καὶ κραταιῶς ἤδη τῶν τοῦ κοινοῦ πραγμάτων ἐπειλημμένον. Ἀλλ' ὁ μὲν περὶ τοῦ βασιλέως Ἰουστινιανοῦ λόγος τέως ἀναμεινάτω, ἡμεῖς δὲ τοῖς κατὰ τὸν διάδοχον Ἰωάννου Πέτρον ὑπὸ τοῦ ὁσίου παραδόξοις γεγενημένοις ἐνδιατρίψωμεν. Ἐροίτα μὲν γὰρ κατὰ τὴν ἔρημον συνεχῶς τῷ θείῳ Σάβᾳ καὶ οὗτος, καὶ τὴν ἴσην αἰδὼ περὶ αὐτὸν τοῖς προλαβοῦσι πατριάρχαις ἐτήρει· ἐν τούτῳ δὲ νόσῳ τῆς ἀδελφῆς ἁλούσης, καὶ γὰρ ἦν αὐτῷ ἀδελφὴ ὄνομα Ἡσυχία, τὴν ἀρετὴν οὐκ ἀθαύμαστος, καὶ πάσης ἰατρῶν τέχνης πρὸς τὴν ἴασιν ἀπειπούσης, αὐτὸς οὐδὲν ἧττον ἐκείνης ἀλγῶν τὴν ψυχὴν καὶ μηδὲν εὑρίσκων τῆς συμφορᾶς φάρμακον, ἐπὶ τὸν θεῖον ἔγνω Σάβαν καταφυγεῖν, εἴπως ἂν οὕτω τινὸς ἐπιτύχοι φιλανθρωπίας· ὁ δὲ ἀνήκεστα, ἥπερ ἔφημεν, νοσούτῃ τῇ γυναικὶ ἐπιστὰς καὶ τῇ χειρὶ τὸ τοῦ σταυροῦ σημεῖον τρίτον διατυπώσας, οὐκ εἰς ἀναβολὰς, ἀλλ' εὐθέως ὑγιῶς αὐτὴν ἔχουσαν τῷ ἀδελφῷ ἀποδίδωσι. Τοιαύτην μὲν οὖν ὁ ἐπίσκοπος τῆς πρὸς τὸν ὅσιον τιμῆς εὑρε τὴν ἀμοιβὴν, τηνικαῦτα δὲ καὶ τῆς ἄνω μοι τοῦ λόγου προειρημένης Ἰουλιανῆς τὸν βίον ἀλλαξαμένης, τῶν περὶ αὐτὴν εὐνούχων οἱ πιστότατοι, συνήθεις ἐκ πολλοῦ καὶ φίλοι τῷ μακαρίῳ Σάβᾳ τυγχάνοντες, ἀφικνοῦνται παρ' αὐτὸν χρημάτων σωροὺς ἐπικομιζόμενοι, ὧν οὐδεμίαν ἀντίδοσιν ἤτουν ἢ τὸ μόνον τοῖς ὑπ' αὐτῷ μοναχοῖς ἐναριθμηθῆναι· ὁ δὲ τὸν οἰκεῖον παραλῦσαι νόμον οὐκ ἔχων, οὐδέ τινα τῶν ἀγενείων εἰς τὴν οἰκείαν παραδέξασθαι λαύραν, πολλὰ παραινέσας αὐτοῖς καὶ διαλεχθεὶς καὶ πρὸς τὸ μέλλον ἀσφαλισάμενος, τῷ μακαρίτῃ αὐτοὺς ἐκπέμπει Θεοδοσίῳ. Ἐκεῖνοι δὲ μετὰ μικρὸν εἰς λόγους ἐλθόντες τῷ πατριάρχῃ αἰτοῦνται παρ' αὐτοῦ τινὰ τόπον, ἰδιάζειν ἐν αὐτῷ βουλόμενοι καὶ μόνοις προσέχειν ἑαυτοῖς καὶ Θεῷ· καὶ ὃς Ἀλεξάνδρῳ πάλιν αὐτοὺς, τῷ τῶν Ἡλιοῦ προεστῶτι μοναστηρίων, βραχύν τινα παραθέμενος χρόνον, ἐσκέπτετο καθ' ἑαυτὸν τίνα τε αὐτοῖς ἀπονείμῃ τόπον καὶ ὅπως πέρας αὐτῶν ἐπιθῇ τῷ

1. τοῦτο τῷ 524 ἔτει.

1. τοῦτο τῷ 527, ὡς γνωστόν.

θελήματι· μεταξὺ δὲ χρήμασιν ὑποκλαπεὶς ὁ Ἀλέξανδρος καὶ πάσας ἐκείνας τὰς πρὸς Ἰλίαν συνθήκας ἠθετηκὼς διαιρεῖ τὰ μοναστήρια τοῖς εὐνούχοις, ἅπερ ἐκεῖνος ἱδρῶσι καὶ μόχθῳ πολλῷ συνεστήσατο· ἀφ' ὧν ἔν τι τῶν μοναστηρίων καὶ εἰς τόν δε τὸν χρόνον τῶν Εὐνούχων ὠνόμασται· ἀλλὰ περὶ μὲν τούτων ἄλις.

§ νγ'. Ἄρτι δὲ τὴν ἀρχὴν Ἰουστινιανοῦ παραλαβόντος καὶ τῶν πραγμάτων ἐπιτροπεύσαντος, ἐννενηκοστὸς μὲν καὶ εἷς ἠνύετο χρόνος τῷ μακαρίτῃ Σάβᾳ[1], τέλος δὲ τοῦ βίου τὸν θεῖον ἐλάμβανε Θεοδόσιον. Ὁ ἐν Παλαιστίνῃ μέν τοι τῶν σαμαρέων δῆμος Σιλουανόν τινα, σαμαρείτην καὶ αὐτόν, ἐπιφημίσαντες ἑαυτοῖς βασιλέα, πολλὰ κατὰ χριστιανῶν ἐξύβρισαν, ἐκκλησίας λεηλατοῦντες καὶ πυρὶ νέμοντες, χριστιανοὺς τιμωρίαις παραδιδόντες, κώμας τε παρακειμένας αὐτοῖς κατατρέχοντες, καὶ τὰς τῶν ἁγίων θήκας ἀναρρηγνύντες καὶ κατακαίοντες· ἃ καὶ μάλιστα ἐν τοῖς περὶ Νεάπολιν εἰργάσαντο τόποις, μαχαίρᾳ μὲν τὸν ἐπίσκοπον ἀνελόντες, τινὰς δὲ κατασχόντες τῶν πρεσβυτέρων. Ταῦτα δὲ ὡς ἀνηγγέλη τῷ βασιλεῖ, χεῖρα πολλὴν κατ' ἐκείνων ἐκπέμπει, οἳ καὶ συμβαλόντες αὐτοῖς ἄλλους τε πολλοὺς ἀναιροῦσι καὶ Ἰουλιανὸν αὐτόν· ὑφ' ὧν δὴ καὶ Σιλουανός ἐν Σκυθοπόλει τηνικαῦτα καταληφθεὶς εἰς πῦρ ἐμβάλλεται καὶ πικρὰν οὕτω τοῦ βίου καταστροφὴν δέχεται, ἀνὴρ πολλὰ κατὰ χριστιανῶν πεπαρωνηκὼς καὶ διὰ τοῦτο οἶμαι καλῶς ἐνταῦθα παρὰ τῆς δίκης ταμιευθείς. Εἶτά τις τῶν ἀκολούθων αὐτοῦ, Ἀρσένιος τὴν κλῆσιν, ἰλλούστριος τὴν ἀξίαν, τὰ ψευδῆ πλάσασθαι καὶ ἀλήθειαν συγχέαι τῶν πάντων ἐπηβολώτατος, μετὰ τὴν Σιλουανοῦ χαλεπὴν οὕτως ἀπώλειαν, ἐν Κωνσταντινουπόλει γενόμενος καὶ προσελθὼν βασιλεῖ, πολλήν τε οὐκ οἶδ' ὅθεν πρὸς αὐτόν τε καὶ τὴν σύνοικον οἰκείωσιν ἐσχηκώς, πολλὰ μὲν λέγει, πρὸς πολλὴν δὲ κατὰ τῶν ἐν Παλαιστίνῃ χριστιανῶν τὴν ὀργὴν ἀνάπτει. Ταῦτα ὡς ἀνηγγέλθη κατὰ τὴν Παλαιστίνην τῷ πατριάρχῃ, οἶκτος αὐτὸν εὐθέως τῶν ψευδῶς κατηγορουμένων εἰσέρχεται καὶ προσελθὼν τῷ μακαρίῳ Σάβᾳ ἐδεῖτο θερμῶς ἀπελθεῖν καὶ διαπρεσβεύσασθαι πρὸς βασιλέα καὶ λῦσαι τὸ τῆς συκοφαντίας δρᾶμα, καὶ τηλικούτων κινδύνων ἀπαλλάξαι χριστιανούς· καὶ ὃς ἤκουσέ τε καὶ ἐν μέσῳ ἐποίει οὐδέν, ἀλλ' ὁδοῦ εὐθὺς εἴχετο· καὶ ἣν ἀληθῶς πέρα πίστεως τὸ ὁρώμενον, ἄνθρωπον ἐν οὕτως ἀμυδρῷ σαλεύοντα γήρει καὶ κλίνῃ μόνῃ καὶ ἀνέσει προσήκοντα τοσαύτης ὁδοῦ μῆκος ἀμελλητὶ προϊέναι μηδαμῶς ἐνδιδόντα, ἀλλ' ὥσπερ ἀκμάζοντα ἔτι καὶ πολλὴν ἀσθένειαν σώματος προθυμίᾳ νικῶντα.

§ νδ'. Ἤδη δὲ αὐτοῦ τοῖς τῆς Κωνσταντινουπόλεως προαστείοις ἐπιδεδημηκότος, μηνύεται μὲν ἡ παρουσία τῷ βασιλεῖ καὶ αὐτὸς εὐθὺς μίαν τῶν βασιλικῶν νεῶν καὶ τινας τῶν οἰκείων δορυφόρων ἐκπέμπει, τιμῶν ὡς μάλιστα τὴν ἐκείνου ἐπιδημίαν, ὡς ἂν ἐπὶ τῇ καθηκούσῃ δορυφορίᾳ ἡ πρὸς αὐτὸν τοῦ ἀνδρὸς ἄνοδος γένοιτο· ἔπειτα δὲ καὶ τὸν πατριάρχην Ἐπιφάνιον καὶ πᾶν ὅσον περὶ αὐτὸν ἐπιφανὲς ἦν εἰς ὑπάντησιν ἐκείνου καὶ αὐτοὺς ἐπιπέμπει· οὐδὲ γὰρ τῶν ἐπιγείων τινὰ καὶ περὶ τὸν κόσμον, ἀλλ' οἷα τῶν ἀγγέλων ἕνα καὶ τῆς ἄνω Ἱερουσαλὴμ πολίτην ἔκρινεν ὑποδέχεσθαι, καὶ τῆς καθέδρας ὡς εἶχεν ἐξαναστὰς εὐλαβῶς ἄγαν τὴν ἱερὰν ἐκείνην κεφαλὴν καὶ ἡδέως ἠσπάζετο, εἶτα τῆς παρ' αὐτοῦ εὐλογίας ἐκεῖνος πάλιν ἀξιωθεὶς συμμετασχεῖν ταύτης αὐτῷ καὶ τὴν σύζυγον ἐλιπάρει· ὡς δὲ καὶ αὐτὴ παρῆν, προσεκύνει τε καὶ ἠξίου λυθῆναι αὐτῇ τῆς μήτρας τὴν πήρωσιν, καὶ γὰρ ἦν πέτρας ἀγονωτέρα, καὶ παῖδα ἐκ τῶν ἑαυτῆς ὠδίνων ἰδεῖν. Ὁ δὲ πρὸς ταῦτα σιγῶν, τοῦ κράτους αὐτῇ μόνον ἐπηύχετο φυλακήν· ἐκείνη δὲ καὶ αὖθις ἐπέκειτο παιδοποιίας εὐχὴν ἀπαιτοῦσα· ὁ δὲ τὴν προτέραν αὐτῇ καὶ πάλιν ἐπέμενεν εὐχὴν ἐπιλέγων καὶ δῆλος ἦν τὸ γενέσθαι μητέρα παίδων αὐτὴν παραιτούμενος· ὡς δὲ πολλάκις τοῦτο ἐκείνης αἰτησαμένης, αὐτὸς οὐδὲν πλέον ἐπένευε τῇ αἰτήσει, οὔτε μὴν εὐχὴν ἐδίδου κατάλληλον τῇ ἐπιθυμίᾳ, τέλος ἀπῆλθεν ἡ βασιλὶς πολλὴν εἰς τὴν ψυχὴν ἔχουσα λύπην τῇ τῆς γνώμης ἀποτυχίᾳ. Εἶτα τῶν τῇ δεήσει παρατυχόντων ἐγκαλούντων αὐτῷ τῆς εὐχῆς τὴν παραίτησιν, καὶ ὅτι δὴ λυπήσειε σφοδρῶς τὴν βασιλίδα λεγόντων, ἐκεῖνος περιαλγήσας ἐξήνεγκε φανερῶς τὴν αἰτίαν· «Ἐάσατε, εἶπεν, ὦ μακάριοι, οὐ γὰρ δώῃ Θεὸς καρπόν τινα τῶν ὠδίνων αὐτῆς προελθεῖν, ἵνα μὴ τῶν Σευήρου καὶ αὐτὸ θηλάσῃ δογμάτων καὶ χείρους ἢ πρότερον ὑπὸ Ἀναστασίου θόρυβοι τὴν τοῦ Θεοῦ διαταράξωσιν Ἐκκλησίαν».

§ νε'. Ὁ μέντοι Ἰουστινιανὸς τοσοῦτον περὶ τὸν ὅσιον αἰδοῦς τε καὶ εὐλαβείας τὸ περιὸν ἔδειξεν, ὡς ἐντυχὼν αὐτῷ μὴ μόνον ἦν ἐκ πολλοῦ τοῖς ἐν Παλαιστίνῃ χριστιανοῖς ὠδινεν ὀργὴν ἀφῆναι, ἀλλὰ καὶ σαμαρείτας τέλεον τῆς πόλεως ἀπελάσαι, στῆσαί τε αὐτοῖς τοῦ λοιποῦ τὰς συναγωγὰς, καὶ τόμον τοιοῦτον περὶ ἐκείνων εἰσενεγκεῖν μὴ κληρονομεῖν ἀλλήλους, ἵνα μὴ κατὰ διαδοχὴν ὁ βίος αὐτοῖς πλεονάζῃ καὶ αὔξηται· ἐφ' οἷς καταπτύξας Ἀρσένιος, εἷς τῶν σαμαρέων καὶ αὐτὸς ὤν, καὶ τῷ ἀνθρωπίνῳ φόβῳ καὶ θείου συνεισδραμόντος, ἱκέτης γίνεται τοῦ ἀνδρὸς, ὥστε παρ' αὐτοῦ τὸ βάπτισμα δέξασθαι, καὶ τῆς δεήσεως, οὕτω θεοφιλοῦς οὔσης, ἐπιτυγχάνει· ἀλλὰ ταῦτα μὲν ὕστερον. Ὁ δὲ βασιλεὺς τοιοῦτον θεὶς κατὰ σαμαρέων τὸν νόμον, τὴν ἐσχάτην ἐνόμιζεν ὑπομένειν ζημίαν, εἰ μὴ βασιλικῶς αὐτὸν εὐεργετήσει καὶ φιλοτίμως, καὶ περιουσίαν οἶμαι πίστεως τὴν πρὸς αὐτὸν ἐπιδείξει φιλοδωρίαν. Ἀμέλει καὶ συνεχῶς ὁμιλῶν αὐτῷ καὶ τιμῶν, ὥσπερ καὶ πρότερον Ἀναστάσιος, ἐπέκειτο σφοδρῶς καὶ πρόσοδόν τινα χρημάτων τοῖς μοναχοῖς ἐντάξαι τοῖς ὑπ' αὐτῷ· ὁ δὲ, «Πρόσοδον μὲν, ἔφη, καὶ χρημάτων ὅσον ἐπὶ ταῖς τῶν ἀναγκαίων χρείαις ἐκεῖνος ἡμῖν φροντιστὴς ὁ καὶ λαὸν ἐν ἐρήμῳ πλουσίως ἀπειθοῦντά ποτε διαθρέψας καὶ ὕδωρ ἐκ πέτρας ἐξαγαγὼν καὶ παρέχων οὐ τῶν ἀναγκαίων μόνον, ἀλλὰ καὶ τῶν περιττῶν πολλάκις, τὴν χορηγίαν· σοὶ δὲ εἰ μέλλει τοσοῦτον, ὦ βασιλεῦ, καὶ χάριτος ἡμετέρας, πάρεισι καὶ ἄλλαι οὐ μικραὶ οὐδὲ ἄξιαι παριδεῖν ἀφορμαὶ, δι' ὧν ἔξεις τὸ περὶ ἡμᾶς φιλότιμον ἐπιδείξασθαι. Παλαιστινοί τε γὰρ καὶ ὑπὸ τῶν σαμαρέων κακῶς παθόντες, καὶ πολλὴν λείαν ἀφαιρεθέντες, πολλὰ δὲ κτίσματά τε καὶ θείους ναοὺς, ἔτι δὲ καὶ ἀνδράποδα καὶ βοσκήματα, τόν τε σῖτον καὶ τοὺς ἄλλους καρποὺς πυρὸς ἐν ὀφθαλμοῖς ἔργον ἰδόντες, καὶ νῦν οὐκ ἔχοντες ὅθεν ἐκεῖνοι τὴν ἐφήμερον τροφὴν κομιοῦνται, δέονταί τινος πρὸς καιρὸν ἀτελείας, ὥστε μικρὸν ἀναλαβεῖν ἑαυτοὺς καὶ ταῖς ἐτησίοις πάλιν συντελείαις ὑπηρετεῖν, οἵ τε κατὰ προσκύνησιν τοῦ ζωοποιοῦ Τάφου πρὸς τὴν ἁγίαν ἀφικνούμενοι πόλιν δέονται καὶ αὐτοὶ στέγης, τοῦ τὸν ἐκ τῆς ὁδοῦ κόπον μικρόν τι διαναπαύειν, μάλιστα εἰ καὶ νόσῳ τις αὐτῶν ἁλοίη ποτὲ, ἀναγκαίαν ἀπαιτούσῃ περὶ τὸ σῶμα θεραπείαν. Οὐ μὴν ἀλλὰ καὶ ὁ τὴν ἀρχὴν εἰληφὼς πρὸς οἰκοδομὴν ὑπὸ τοῦ πατριάρχου Ἡλιοὺ πρότερον τῇ Θεοτόκῳ ναὸς ἐνδεὴς ἐστιν ἔτι πολλῶν, κόσμου τε καὶ ἄλλης κατασκευῆς λειπόμενος, τά τε ὑπὸ τῆς ἐμῆς συστάντα χειρὸς εἰς ἐπιμέλειαν ψυχῶν μοναστήρια οὐκ ἔχοντά τι φρούριον ἐγγὺς εἰς καταφυγὴν εὐάλωτα πρόκεινται τοῖς ἐχθροῖς καὶ ἐξ αὐτῆς ἐφόδου χειρούμενα· πρὸ δὲ πάντων τὰ τοῦ Ἀρείου, φημὶ, καὶ Νεστορίου καὶ Ὠριγένους θορυβεῖ καὶ ταράττει τὰς Ἐκκλησίας καὶ γαλήνης ἀπολαῦσαι ταύτας καθαρᾶς οὐκ ἐᾷ. Διὰ τοῦτο πολλὴ παρὰ τοῦ σοῦ κράτους τῷ πράγματι χρεωστεῖται σπουδὴ, ὥστε ἀνελεῖν αὐτὸ πάσῃ δυνάμει καὶ τοσοῦτον κακὸν ἐκ μέσου ποιήσασθαι. Ταῦτα τοιγαροῦν ἐκτελέσαντι, εὔελπίς εἰμι καὶ θαρρεῖν ἕτοιμος τῷ Θεῷ, ὅτι ἕψεταί σοι πλουσία καταπόδας ἡ ἀμοιβὴ, καὶ Ῥώμη πᾶσα καὶ Καρχηδὼν καὶ ὅσα γοῦν οἱ πρὸ σοῦ τὸ ἄρχειν λαχόντες ἀπέβαλον μέρη πάλιν τῆς σῆς ὀφθήσονται βασιλείας». Καὶ αὗται μὲν αἱ τοῦ μακαρίου Σάβα πρὸς Ἰουστινιανὸν αἰτήσεις, καὶ οὕτω φιλοθέως καὶ κοινωφελῶς ἔχουσαι. Τὰ μὲν τῶν ἄλλων αἱρέσεων τηνικαῦτα οὐ σφόδρα ἠνώχλει ταῖς Ἐκκλησίαις· ἡ δὲ τοῦ Ἀρείου, γόθους κατασχοῦσα καὶ οὐανδάλους καὶ γήπεδας καὶ πᾶσαν σχεδὸν τὴν ἑσπέραν περιλαβοῦσα, πάντας ἐπίσης τῆς ὀλεθρίας ἀνέπλησε λύμης. Τὰ δὲ τοῦ Νεστορίου πάλιν καὶ Ὠριγένους πολλοὶ τῶν μοναχῶν ἐνόσουν καὶ δέος ἦν μὴ καὶ ἄλλους εἰς κοινωνίαν τῶν κακῶν ἐφελκύσωνται· τῶν γὰρ συνελθόντων ἔναγχος αὐτῷ πρὸς τὸ Βυζάντιον μοναχῶν ὤφθησάν τινες τὰ Θεοδώρου τοῦ Μοψουεστίας φρονοῦντες. Τῶν δὲ Ὠριγένους πάλιν ἀντιποιούμενος Λεόντιός τις, καὶ αὐτὸς μοναχὸς, τὸ γένος βυζάντιος, εἷς ὢν τῶν μετὰ Νόννου τῇ Νέᾳ λαύρᾳ παρεισφθαρέντων, ὡς ἀνωτέρω μοι τοῦ λόγου προείρηται, οὓς ὁ μέγας ἐπεὶ ἔγνω τῆς τῶν οἰκείων εὐθὺς ἀπελαύνει διαγωγῆς· ἀλλ' ἐπανακλιτέον καὶ αὖθις τὸν λόγον ἡμῖν πρὸς τὴν ἀκολουθίαν τοῦ διηγήματος. Τοιαύτας πρὸς τὸν βασιλέα τοῦ θείου Σάβα τὰς αἰτήσεις προτείναντος, ἐκεῖνος καθάπερ ἐκ πολλοῦ διψῶν χαρίζεσθαι τῷ ἁγίῳ, γράφων εὐθὺς ἦν, προστάσσων, διατάγματα πανταχοῦ καταπέμπων, πάντα ποιῶν ὥστε μὴ ἀναβολαῖς δοθῆναι ταῦτα καὶ χρόνου τριβαῖς, ἵνα μὴ τῶν γινομένων ἡ μέλλησις χαρίτων οὕτω καλῶν ἀμβλύνῃ φιλοτιμίαν.

§ νϛ'. Ὁ δὲ τῷ δεδωκότι καὶ ψυχροῦ μόνον ποτήριον, ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ δηλαδὴ, ἑκατονταπλασίονα τὴν ἀμοιβὴν ὑποσχόμενος οὐκ ἐμάκρυνε πρὸς τὰς ἀντιδόσεις οὐδὲ τὴν ὑπόθεσιν ἀνεβάλλετο· ἀλλὰ, κατὰ τὴν τοῦ μεγάλου πρόρρησιν Σάβα, ὁμοῦ τε τὰ ἐπηγγελμένα ὁ βασιλεὺς διὰ τῶν κατὰ τόπους ἀρχόντων ἐπλήρου, καὶ Ἀφρικὴ πᾶσα καὶ Ῥώμη

1. τῷ 529, κατὰ τὴν βιογραφίαν.

τῇ ὑπ' αὐτὸν ἀρχῇ προσετίθεντο καὶ τοὺς ἐν ἑκατέρᾳ τυράννους Οὐιτιγιήν τε τὸν Ῥώμης καὶ Γελλίμερα τὸν Καρχηδόνος δορυαλώτους καὶ ἀντ' ἐχθρῶν ἱκέτας ἐλάμβανεν. Ἐνασχολουμένου γὰρ περὶ τὰς αὐτοῦ αἰτήσεις τοῦ βασιλέως, ἅμα Τριβουνιανῷ τῷ κοιαίστωρι, περὶ τὴν καλουμένην Μαγναύραν, σύνεδρον δὲ καὶ τὸν ἄνδρα πεποιημένου, ἐκεῖνος ἤδη τῆς τρίτης ὥρας καταλαβούσης, τὸν βασιλέα καταλιπὼν, ἰδίᾳ που τὰς εἰωθυίας εὐχὰς ἀπεδίδου Θεῷ, τοῖς ἱεροῖς τοῦ θείου Δαυὶδ ψαλμοῖς προσκείμενος· Ἱερεμίου δὲ τῶν μαθητῶν ἑνὸς προσελθόντος αὐτῷ καὶ «Τί δήποτε, πάτερ, εἰπόντος, οὕτω σπουδὴν πᾶσαν τοῦ βασιλέως εἰσφέροντος καὶ περὶ τοῦ πληρῶσαί σοι τὰς αἰτήσεις θερμότατα διαπονουμένου, σὺ τοῦτον ἀπολιπὼν ἀλλαχοῦ νῦν διάγεις»; ἐκεῖνος ἐλευθερίως ἄγαν ὑπολαβών, «Οὐδὲν ἀπεικός, ὦ τέκνον, ἔφη, αὐτός τε γὰρ ὃ προσῆκεν αὐτῷ ποιεῖ καὶ ἡμεῖς πάντως τὸ ἡμῖν ὀφειλόμενον». Ἀλλ' ἐπαναγέσθω καὶ αὖθις ὁ λόγος ἡμῖν ἐφ' ἃ προεθέμεθα. Ὁ βασιλεὺς τοίνυν οὕτω σπουδαίως περὶ τὰς τοῦ ἀνδρὸς αἰτήσεις διατεθεὶς πανταχοῦ τε τῆς οἰκουμένης διατάγματα καταπέμπει καὶ τοῖς ἐπισκόποις εὐθὺς, τῷ τε τῆς Ἀσκάλωνος Ἀντωνίῳ καὶ Ζαχαρίᾳ τῷ Πέλλης βασιλικαῖς διακελεύεται συλλαβαῖς ἐποπτεῦσαι μὲν τὰ ὑπὸ τῶν σαμαρέων πυρποληθέντα τῆς Παλαιστίνης καὶ ἀναλόγως αὐτοῖς ἐπικουφίσαι τοὺς φόρους, ἐποπτεῦσαι δὲ καὶ τοὺς ἁγίων ναοὺς καὶ ὅσην ἂν καὶ αὐτοὶ βλάβην ὑπέστησαν διὰ τῆς αὐτῶν ἐκείνων οὐσίας. ἢ τῶν τοῦ δημοσίου θεραπεῦσαι χρημάτων· δείμασθαί τε πρὸς τῇ ἁγίᾳ πόλει νοσοκομεῖον καὶ προσόδους ἐτησίας αὐτῷ πεντήκοντα καὶ ὀκτακοσίων ἐπὶ τοῖς χιλίοις χρυσὸν ἀπονεῖμαι· οὐ μὴν ἀλλὰ καὶ οἶκον ἕτερον εἰς καταγωγὴν τῶν μακρόθεν ἐκεῖσε φοιτώντων, τόν τε τῆς Θεοτόκου ναὸν ἐπιτερπῶς ἄγαν ἐποικοδομῆσαί τε καὶ διακοσμῆσαι, καὶ φρούριον ἔγγιστα τῆς λαύρας διατειχίσαι, ὡς ἂν ἐν ἐχθρῶν ἐφόδοις ἀσφαλὲς εἴη τοῖς μοναχοῖς καταφύγιον. Πρὸς τούτοις καὶ τὰς πρὸς ὄνομα δηλωθείσας αἱρέσεις ἀνελεῖν ἐκ μέσου καὶ ἀναθέματι λαμπρῷ καθυποβαλεῖν. Περὶ τούτων δὲ μικροῦ πάντων καὶ Προκόπιος ὁ καισαρεὺς ἔν γε τῷ πέμπτῳ λόγῳ τῶν περὶ τῶν Ἰουστινιανοῦ κτισμάτων αὐτῷ φιλοπονηθέντων κατὰ μέρος διαλαμβάνει, αὐτόν τε τὸν κτισθέντα τῆς Θεοτόκου ναὸν πρὸς ἀκρίβειαν ἐξηγούμενος, κάλλος τε αὐτοῦ καὶ μέγεθος ὅμοιον εἶναι μηδενὶ λέγων, καὶ νέαν ἐκκλησίαν αὐτὸν καλεῖσθαι, συνωδὰ Κυρίλλῳ τῷ τὸν βίον ἐξ ἀρχῆς τοῦ θείου Σάβα συγγραψαμένῳ φθεγγόμενος· πρὸς δὲ καὶ περὶ τῶν κτισθέντων δύο οἴκων ἐκείνῳ συνηγορεῖ, τοῦ μὲν εἰς καταγωγὴν τῶν ξένων, τοῦ δὲ εἰς ἀνάπαυσιν τῶν νόσῳ πιεζομένων· οὐ μὴν ἀλλὰ καὶ τὰς ἀποταγείσας ἐκεῖ συχνὰς τῶν χρημάτων προσόδους, καὶ τοὺς τῶν ἱερῶν ἀνακαινισμοὺς τῶν ὑπὸ τῶν σαμαρέων δήπου καταφλεγομένων καὶ τὴν τοῦ φρουρίου κτίσιν συμφώνως αὐτῷ διέξεισι.

§ νζ'. Τὰς γοῦν τοιαύτας διατάξεις ἐν γράμμασιν ὁ θεῖος Σάβας ἐκ τοῦ βασιλέως λαβὼν καὶ Κωνσταντινουπόλεως ἀπάρας τῆς ἐπὶ τὰ Ἱεροσόλυμα ᾤχετο· ἐκεῖ τοῖς ἐν τέλει τὰς βασιλικὰς ὡς εἶχε συλλαβὰς ἐγχειρίσας, διά τε Καισαρείας ἐκεῖθεν καὶ Σκυθοπόλεως ἔρχεται, κηρύττων πανταχοῦ τὰ τοῦ βασιλέως προστάγματα, διδάσκων τὰς πόλεις, πρὸς τὸ ὀρθόδοξον, ἔπειτα καὶ τοὺς τὰ χαλεπὰ ἐκεῖνα πρὸς τῶν σαμαρειτῶν ὑποστάντας ἄλλοις τε τρόποις ἀναλαμβάνων καὶ τῇ τῶν φόρων ἀτελείᾳ παραμυθούμενος. Ἱερεμίας μέν τοι ὁ μοναχὸς, οὗ καὶ ἤδη μνήμην ἐποιησάμεθα, κατά τι μικρόψυχον τῆς μεγίστης λαύρας ἀποστὰς, ἐν χειμάρρῳ τινὶ ἐρήμῳ κατοικεῖν εἵλετο, πέντε σταδίοις ἀπέχοντι ἐκ βορρᾶ τοῦ σπηλαίου· ἐκεῖσε δὲ ὁ μέγας γενόμενος καὶ τὸν τόπον ἰδὼν σφόδρα ἐπιτηδείως ἔχοντα, μὴ μέλλειν ἐν τοῖς καλλίστοις εἰδὼς, θυσιαστήριόν τε μικρὸν καὶ εὐκτήριον καὶ κελλία διάφορα ἐντὸς ἡμερῶν ὀλίγων οἰκοδομεῖ, τῶν μοναχῶν τέ τινας ἀποτάξας ἐκεῖ κατοικεῖν, αὐτῷ δὴ τῷ Ἱερεμίᾳ τὴν αὐτῶν πρόνοιαν ἐγχειρίζει καὶ οὕτω, τῇ τοῦ Θεοῦ χάριτι, εἰς λαύραν ὁ τόπος συνέστη, ἣ καὶ εἰς δεῦρο καὶ νῦν ἀνθεῖ, τὴν Ἱερεμίου κλῆσιν ἀπολαχοῦσα. Ἐν Σκυθοπόλει δὲ, ὥσπερ ἔφημεν, γενομένῳ τῷ μακαρίῳ προσέρχονται αὐτῷ οἱ Κυρίλλου πατέρες, γνώριμοι πάλαι τῷ ἁγίῳ τυγχάνοντες καὶ τρόποις αὐτῷ φιλίας ᾠκειωμένοι, οἳ καὶ συνιστῶσιν αὐτῷ τὸν Κύριλλον, ἔτι κομιδῇ νέον ὄντα, καὶ μεταδοῦναι τῷ παιδὶ τῆς εὐλογίας παρασκευάζουσι. Κύριλλος δὲ οὗτός ἐστιν, ὃς καὶ τὸν τοῦ μεγάλου βίον ἐξ ἀρχῆς συγγράψας ἡμῖν παραδίδωσι· λέγει γοῦν αὐτὸς ἐκεῖνος ὁ Κύριλλος «ὅτιπερ ὁ μέγας ἐμὲ θεασάμενος, εὐλογίας τε τῆς παρ' αὐτοῦ καὶ ἀσπασμοῦ ἀξιώσας, «Οὗτος ἀπό γε τοῦ νῦν μαθητής ἐμός ἐστι» πρὸς τὸν ἐμὸν πατέρα φησί, διδασκέσθω τοιγαροῦν τὸ ψαλτήριον, ἐπεὶ καὶ χρήζω αὐτοῦ». Ἀλλὰ γὰρ ἐπανιτέον πάλιν ὅθεν ἐξέβημεν.

§ νη'. Τῶν τοίνυν βασιλικῶν γραμμάτων τοῖς ἐπισκόποις ἐμφανισθέντων καὶ τῶν γενομένων ἀφανισμῶν τῶν ἐκκλησιῶν εἰς ὄψιν αὐτοῖς ἐλθόντων, τῇ μὲν πρώτῃ Παλαιστίνῃ, ἅτε δὴ παντελῆ τὴν ἐρήμωσιν ὑποστάσῃ, δώδεκα κεντηναρίων ἄφεσιν ἐποιήσαντο δημοσίων· τῇ Σκυθοπόλει δὲ, μετρίαν δεξαμένῃ τὴν βλάβην, οὐ πλεῖον ἑνός. Ἐπεὶ δὲ καλῶς εἶχε τῷ μεγάλῳ ταῦτα, ἐπανελθὼν εἰς Ἱεροσόλυμα καὶ τοῖς ἁγίοις τόποις τὴν προσκύνησιν ἀποδοὺς καὶ οἱονεὶ τὰ ἐξιτήρια προσειπών, εἰς τὴν μεγίστην αὐτοῦ ἔρχεται λαύραν, ἐν ᾗ, μικρὸν διατρίψαντι, νόσος τις ἐπισκήψασα τῇ κλίνῃ τὸν ἰσχυρὸν ὄντως ἀδάμαντα δίδωσιν. Ὅπερ τῷ πατριάρχῃ Πέτρῳ γνωσθὲν, εἰς ἐπίσκεψιν ἐκείνου παραχρῆμα φοιτᾷ[1]· ἐλθὼν μέντοι καὶ οὕτως αὐτὸν ἐν τῷ κελλίῳ κείμενον ἐπιδεᾶ πάντων τῶν ἀναγκαίων ἰδών, ἡνίκα καὶ αὐτοῖς χρὴ τοῖς περιττοῖς εὐθηνεῖσθαι καὶ πᾶσαν περὶ τὸ σῶμα θεραπείαν ἐπινοεῖν, ἅτε καὶ νόσου καὶ γήρως καὶ τῶν μακρῶν καμάτων ἰσχυρῶς τρύχειν δυναμένων, ἱκέτης τοῦ ἀνδρὸς γίνεται, ὥστε μετακομισθῆναι γοῦν πρὸς τὴν ὑπ' αὐτὸν ἐκκλησίαν, ἵν' ἔχοι τινὸς ἐκεῖ καὶ τῶν πρὸς ἄνεσιν ἀπολαύειν. Ὁ δὲ, τοῦ πατριάρχου τὴν ἱκετείαν δυσωπηθείς, κἀκεῖσε δὲ μετακομισθείς, ἔκειτο τῇ αὐτῇ νόσῳ παλαίων καὶ ὑπ' αὐτῆς ὁμοίως κατεργαζόμενος· χρόνου δέ τινος τῷ μεταξὺ διελθόντος, θεία τις ἐπιφοιτᾷ τῷ ἀνδρὶ ὄψις, γνωρίζουσα τὴν ἐντεῦθεν ἀποδημίαν. Ἀνακομισθεὶς οὖν αὐτίκα πρὸς τὸ κελλίον, καὶ τοῖς ἀδελφοῖς τὰ ἔσχατα προσειπών, καὶ μεταδοὺς αὐτοῖς τελευταίου φιλήματος, καί τινι Μελιτᾷ τὴν ἐκείνων ἀναθεὶς προστασίαν, ἀνδρὶ πρόνοιαν ψυχῶν ἱκανῷ πιστευθῆναι, τὰ οὐράνια τῶν ἐπιγείων ἀλλάττεται, ψυχὴν χερσὶ Θεοῦ παραθέμενος, ἐννενηκοστὸν ἤδη καὶ τέταρτον γεγονὼς ἔτος[2]. Πέμπτη δὲ τοῦ δεκεμβρίου μηνὸς ἦν ἡμέρα, καθ' ἣν ὁ ἀοίδιμος ἐτελεύτα καὶ πρὸς τὴν ἐκεῖθεν ζωὴν διέβαινε. Τῆς τοῦ ὁσίου τοιγαροῦν τελευτῆς ἐν βραχεῖ πανταχόσε διαδραμούσης, συντρέχει μὲν πρὸς τὸ ἱερὸν ἐκείνου σῶμα πλῆθος ἀριθμὸν ὑπερβαῖνον, συντρέχει δὲ καὶ τὸ τῶν μοναχῶν ἅπαν σύνταγμα, καὶ ὅσον ἐν ἐπισκόποις, οἳ δὴ καὶ κόσμῳ τῷ προσήκοντι τὸν νεκρὸν περιστείλαντες, καὶ τοὺς νενομισμένους ὕμνους αὐτῷ καὶ τὰς ᾠδὰς ἀποδόντες, εὐλαβῶς ἄγαν καὶ ὁσίως μεταξὺ τῶν δύο ἐκκλησιῶν πρὸς τῇ μεγίστῃ λαύρᾳ κατατιθοῦσιν.

§ νθ'. Τοιοῦτος μὲν οὖν ὁ τοῦδε τοῦ μακαρίου βίος καὶ οὕτως ὑπερφυῆ αὐτοῦ καὶ κρείττω φύσεως ἀνθρωπίνης τὰ κατορθώματα.

. . . . . .

. . . . . .

. . . . . .

§ ξγ'. Ἀλλὰ πάντα μὲν τὰ τοῦ θείου Σάβα καταλέγειν οὐκ ἀσφαλὲς, ὅπως μὴ ῥαθυμίαν αὐτοὶ φεύγοντες ἀμετρίας ἁλῶμεν παρὰ πολλοῖς ἐγκλήματι· τρεπτέον δὲ πρὸς τὰ ἑξῆς τῆς ἀκολουθίας, καὶ διηγητέον τὸν ἐνσκήψαντα μετὰ ταῦτα ταῖς Ἐκκλησίαις πόλεμον, καὶ ὅσα τοὺς μαθητὰς κατέσχε κακὰ, μετὰ τὴν τοῦ πατρὸς ἀποβίωσιν. Ἐπειδὴ γὰρ ἦν προσφάτως τῶν αἱρέσεων ἀπαλλαγεῖσα ἡ Ἐκκλησία καὶ τῶν μακρῶν ἐκείνων θορύβων καὶ τῆς ταραχῆς ἀναπνεύσασα, καὶ γαλήνη τὸ λοιπὸν εἶχεν αὐτὴν καὶ ἀταραξία, ἐπιβαλὼν αὐτῇ βάσκανον καὶ αὖθις ὁ πονηρὸς ὀφθαλμὸν, κινεῖ τινὰς πάλιν κατ' αὐτῆς τῶν περὶ Νόννον, Δομετιανὸν, φημὶ, καὶ Θεόδωρον, οἳ, τὰ Ὠριγένους πάλαι φρονοῦντες, ἐπειδὴ καὶ τὴν ἐκ τοῦ καιροῦ τηνικαῦτα συμμαχίαν παρέλαβον, καὶ ὁ μὲν αὐτῶν τῆς Γαλατῶν, Θεόδωρος δὲ Καισαρείας Καππαδοκίας προεδρίαν εἰλήφεισαν, πολλαχοῦ τῆς Παλαιστίνης τὰ ὠριγένεια κατὰ πολλὴν ἐξουσίαν κατέσπειραν. Ἔνθεντοι καὶ οἱ περὶ Νόννον, κατὰ συμμορίαν πάντα τὰ τῶν ὀρθοδόξων φροντιστήρια καὶ τὰς ἐκκλησίας ἀδεῶς κατατρέχοντες, ἐπιστρατεύουσι καὶ αὐτῇ τῇ μεγίστῃ τοῦ Σάβα λαύρᾳ, μετὰ πελέκεων καὶ λαξευτηρίων καὶ ἄλλων τινῶν τῶν πρὸς καταστροφὴν ὀργάνων, ὡς ἢ καταστρέψαι ταύτην ἐκ βάθρων, ἢ τῆς ἑαυτῶν λύμης καὶ αὐτὴν ἀναπλῆσαι. Ἀλλ' ὁ τοῦ μεγάλου Σάβα Θεὸς μέγα καὶ νῦν ἐργάζεται θαῦμα, καὶ σκότει παχεῖ καὶ αὐτοὺς, ὥσπερ πάλαι τὴν Αἴγυπτον, καὶ ὁμίχλῃ βαθείᾳ καλύπτει, καὶ, ὥρας ἡμερινῆς οὔσης δευτέρας, ἐκεῖνοι, καθάπερ ὑπὸ νύκτα, διὰ πάσης ὁδεύσαντες τῆς ἡμέρας, καὶ μηδὲ ὅ,τι ποτὲ εἶεν εἰδότες, ἀλλὰ τραχείᾳ τριβῷ καὶ ἀνάντει καὶ ὅλως ἀτριβεῖ ἐντυχόντες, μόλις εἰς τὴν ἐπιοῦσαν περὶ τὴν τοῦ μακαρίτου Μαρκιανοῦ μονὴν εὑρέθησαν, καὶ οὕτω τὸ κοινὸν φῶς ἰδόντες αἰσχύνης τε ἀνεπλήσθησαν καὶ ἄπρακτοι ἐπανῆλθον. Τοῦτο ἤρκεσεν ἂν ἀνθρώποις νοῦν ἔχουσι καὶ μανίας ἀπηλλαγμέ-

1. ἀμαθείας δεῖγμα, κατὰ λεῖψιν ἴσως ἐδαφίων τινῶν, παρέχεται τὸ χωρίον.
2. ἔτει 533 θετέον τὸν θάνατον.

νοις, εἰ καὶ μικρόν τι τοῦ καλοῦ παρετράπησαν, ὅτι τε μὴ φίλα Θεῷ πράττουσι γνῶναι καὶ ἀποστῆναι τοῦ ἐγχειρήματος, ἀλλ' οὐκ ἐκείνοις, ἀλλ' ἥκμαζε μᾶλλον αὐτοῖς ἡ κακία, καὶ χαλεπώτερον ὁ πόλεμος ἦρετο. Συνθέντες γὰρ δόλους καὶ πονηρὰ κατασκευάσαντες δράματα, πέμπουσί τινα μετὰ βραχύ, Θεόδωρον ὄνομα, πρὸς Πέτρον τὸν τῶν Ἱεροσολύμων ἐπίσκοπον καὶ ἀναπείθουσιν, οἴμοι, καὶ τὸν γενναῖον ἐκεῖνον οἷς αὐτοὶ κακούργως ἐπλάσαντο τὴν Πέτρου Ἀλεξανδρείας καὶ Ἰωάννου, ᾧ Στρογγύλος ἦν ἡ ἐπωνυμία, κοινωνίαν ἑλέσθαι, ὅπερ ἐπέτεινε μᾶλλον τοῖς περὶ Νόννον τὴν παρρησίαν καὶ τὴν ἑαυτῶν αἵρεσιν οὐ λεληθότως ἀλλὰ καὶ φανερῶς περιϊόντες ἐνομοθέτουν· οὐ μὴν ἀλλὰ καὶ εἴ τινα τῶν ὀρθοδόξων μοναχῶν εἰς τὴν ἁγίαν καταλάβοιεν πόλιν, χειρὶ παίοντες ἀνοσιωτάτῃ καὶ σαβαΐτην ἀποκαλοῦντες, αἰσχρῶς αὐτὸν ἐκεῖθεν ἀπήλαυνον, πολλοὺς δὲ καὶ βαρυτάταις ἐκδόντες κολάσεσιν, ἐπεὶ μὴ λαθεῖν οἱοί τε γεγόνασι, φανερὰν αὐτοῖς ἐπικηρύττουσι μάχην. Αἰσθόμενοι δὲ τοῦ πράγματος οἱ προσοικοῦντες τὸν Ἰορδάνην ἄνδρες, τὸν Ἠλιοῦ ζῆλον ὡς τὸ εἰκὸς πνέοντες, κατὰ συμμαχίαν αὐτῶν ἀφικνοῦνται. καὶ κοινῇ σὺν αὐτοῖς, ὥσπερ ἐπί τι φρούριον, τὴν τοῦ θείου Σάβα καταφεύγουσι λαύραν· ὡς δὲ ταῦτα τοῖς ὡριγενισταῖς ἀπηγγέλη, χωροῦσιν ὡς εἶχον ὁρμῆς ἐπ' αὐτοὺς καὶ, τὰς καταρράκτας τῶν πυλῶν διακόψαντες, τῆς λαύρας ἐντὸς ἐγεγόνεισαν· καὶ γίνονται πολλοὶ τραυματίαι τῶν τε ὀρθοδόξων καὶ τῶν συμμάχων, συγχωροῦντος τοῦ Θεοῦ κἀνταῦθα λόγοις ἀπορρήτοις καὶ οὐ κωλύοντος, ὥστε καὶ τὴν τῶν αἱρετικῶν μανίαν ἐπὶ πλέον ἐκκαλυφθῆναι καὶ λαμπρότερον τοῖς οἰκείοις ἀγωνισταῖς διαπλακῆναι τὸν στέφανον.

§ ξδ'. Τούτων δὲ οὕτω κεχωρηκότων, πέμπεται, κοινῇ τῶν πατέρων ψήφῳ, Γελάσιος ὁ τὴν προστασίαν τῆς λαύρας πεπιστευμένος εἰς τὸ Βυζάντιον, ὥστε γνωρίσαι τῷ βασιλεῖ τὰ γεγενημένα, ὃς γῆν μεταξὺ τοσαύτην ἀνύσας καὶ θάλασσαν, ὅμως ἀποκεκλεισμένης αὐτῷ πάσης τῆς πρὸς τὸν βασιλέα καὶ τὸν πατριάρχην εἰσόδου, προκατειλήφει γὰρ αὐτὰς τῆς κακίας ὁ κολοφών, τὸ τῶν περὶ Νόννον κεφάλαιον, ὁ Θεόδωρος, φύλακας αὐταῖς ἀκριβεῖς καὶ σκοποὺς ἐπιστήσας, μὴ λάθῃ μοναχὸς ἐξ Ἱεροσολύμων διά τινος αὐτῶν εἰσελθὼν καὶ τάς τε τοῦ πατριάρχου καὶ τοῦ βασιλέως ἀκοὰς ἐφελκύσηται. Οὕτως οὖν ἀποκλεισθείσης πάσης εἰσόδου Γελασίῳ μετὰ τοσοῦτον ὁδοῦ μῆκος, ὁ διὰ Χριστὸν ὑπὲρ τῆς ὀρθοδοξίας ὑπέμεινε, μετὰ τοσαύτην ταλαιπωρίαν, κεναῖς αὖθις ἀναστρέφει χερσί, καὶ γενόμενος κατὰ τὸ Ἀμώριον, πόλιν ἐπιφανῆ καὶ λαμπράν, οἰκείᾳ τελευτῇ καταλύει τὸν βίον. Τοῦτο δὲ μαθόντες οἱ περὶ Νόννον καὶ Θεόδωρον καὶ Δομετιανὸν καὶ ὅσοι τὴν κακίαν ὁμόζηλοι Γεώργιον, τὰ Ὠριγένους καὶ αὐτὸν πρεσβεύειν προηρημένον, ἡγούμενον τῇ λαύρᾳ καὶ ἀρχηγὸν ἀντεισάγουσι καὶ εἰς τὸν τοῦ θειοτάτου Σάβα, κακῶς, ὦ δίκη! καὶ ἀνοχὴ Θεοῦ! θρόνον ἐγκαθιδρύουσι. Συμβαίνει γὰρ ἐλεεινῶς ἐντεῦθεν τοὺς ἐν τῇ λαύρᾳ πατέρας ἄλλον ἀλλαχόθι διασπαρῆναι, οἷα τινὰς ἄρνας λύκου παρουσίᾳ. Ἀλλ' οὐκ ἐπὶ πολὺ καὶ αὖθις τὰ τοῦ κλύδωνος τοῦδε κρατεῖν ὁ Θεὸς παρῆκεν, οὔτε μὴν αἱ τοῦ θείου Σάβα εὐχαὶ σιγᾷν ἠνέσχοντο, ἀλλ' ὅσον οὔπω καὶ τὴν θείαν δίκην διανιστῶσι πρὸς ἐκδικίαν, καὶ διὰ τοῦτο Νόννος μὲν ὁ τῶν πονηρῶν ἐκείνων τῆς κακίας ἐπιτηδευμάτων δημιουργὸς ἀθλιώτατα τὴν ζωὴν καταστρέφει, παρὰ πόδας δὲ καὶ Γεώργιος εἰς ἀσέλγειάν τινα διαβληθείς, ἧς καὶ τὸ μνημόσυνον μίασμα γλώττης, τῆς ἱερᾶς ἐκείνης λαύρας αἰσχρῶς ἀπελαύνεται, μῆνας ἑπτὰ μόνους ἄρξας αὐτῆς, ἑξῆς δὲ Κασιανὸς τὴν ἀρχὴν διαδέχεται, ἀνὴρ ἐκ βρέφους ἔτι παρὰ τῷ θείῳ Σάβᾳ τραφεὶς καὶ τῇ καλῇ ἐκείνου παιδείᾳ κάλλιστα ἀναχθείς καὶ ἱερεὺς τῆς μεγίστης λαύρας γενόμενος, οὗ δέκατον ἐν τῇ ἀρχῇ μῆνα διατελέσαντος, εἶτα τὸν ἐνταῦθα βίον ἀπολιπόντος, Κόνωνι μετ' αὐτὸν οἱ μοναχοὶ τὴν ἑαυτῶν ἐγχειρίζουσι προστασίαν, ἐγχειρίζουσι δὲ τοῦ Θεοῦ πάντως, ὡς οἶμαι, τὰς τῶν μοναχῶν ψυχὰς πρὸς τοῦτο κινήσαντος. Ἀνὴρ γὰρ ἐκεῖνος δόγμασιν ὀρθοδόξοις καὶ ἀρετῇ πάσῃ καὶ κατορθώμασιν εἰς τὸ ἀκρότατον διαλάμπων, ὃς καὶ πολλὴν εἰσήνεγκεν εὐθέως τῇ προστασίᾳ σπουδήν· τούς τε γὰρ ἀπαναστάντας ἐκεῖθεν ὑπὸ τῶν ὡριγεναστῶν πατέρας αὖθις συνήγαγε, καὶ τὴν λαύραν ὑπὸ τῶν συνεχῶν ἐκείνων θορύβων καὶ τῆς τῶν αἱρετικῶν ἐπιστρατείας ἐπὶ γόνυ κλίνασαν ἤδη ἀνώρθωσέ τε ὀξέως καὶ οἷον ἀνενεώσατο. Μετὰ ταῦτα τῆς ἁγίας καὶ οἰκουμενικῆς Συνόδου ἐν Βυζαντίῳ συγκροτηθείσης, Θεόδωρός τε ὁ Μοψουεστίας καὶ Ὠριγένης καὶ σὺν τούτοις τὰ προϋπάρξεώς τε καὶ ἀποκαταστάσεως ἐναγῆ δόγματα καθολικῷ ὑπεβλήθησαν ἀναθέματι, καὶ οὕτω, πάσης τοῖς αἱρετικοῖς παῤῥησίας λοιπὸν περιαιρεθείσης, αἵ τε τοῦ θείου Σάβα λαῦραι καὶ πᾶσα

σὺν αὐταῖς ἡ Παλαιστίνη σχεδόν, τρίτῳ μετὰ τὴν ἐκείνου τελευτὴν καὶ εἰκοστῷ χρόνῳ, τῶν χαλεπῶν αἱρέσεων καὶ τῆς τοῦ καιροῦ σφοδρότητος καὶ τῆς ἀνωμαλίας ἀνέπνευσαν, καὶ ἀστασίαστον τὸ λοιπὸν ἦγον καὶ εἰρηναίαν διαγωγήν. Χάριτι καὶ φιλανθρωπίᾳ κλπ.

Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρκιανοῦ πρεσβυτέρου γενομένου καὶ οἰκονόμου τῆς ἁγιωτάτης καθολικῆς καὶ ἀποστολικῆς [ἁγίας] Ἐκκλησίας.

Τῆς τοῦ Μαρκιανοῦ βιογραφίας, ἣν ἐκδίδωμι ᾧδε, ὁ τίτλος οὗτος ἐν τῷ χειρογράφῳ κεῖται ἐν ἑπτὰ γραμμαῖς· ἔστι δὲ τὸ χειρόγραφον κτῆμα τῆς ἐν Ἁγίῳ Ὄρει ἱερᾶς τοῦ Κουτλουμουσίου μονῆς, ἀριθμὸν 37 φέρον ἐν τῇ βιβλιοθήκῃ αὐτῆς, ἐπὶ μεμβράνης γεγραμμένον εἰς σελίδας διστήλους, εἰς φύλλον, κατὰ τὸν ΙΑ΄ αἰῶνα.

Βιογραφίας τινὸς τοῦ Μαρκιανοῦ γέγονε τῷ 1897 ἐκδότης ἐν Πετρουπόλει διὰ τῶν «Ἀναλέκτων Ἱεροσολυμιτικῆς Σταχυολογίας» ὁ τοῦ Παλαιστινιακοῦ Συλλόγου βιβλιογράφος Ἀθανάσιος Π. Κεραμεύς. Ἀλλ' ἡ βιογραφία, ὡς εὕρηται ἐν τῷ 242 σαβαϊτικῷ κώδηκι, κακίστου τυχοῦσα ὑπογραφέως, ἔμενεν ἐλεεινὴ καὶ θρήνων ἀξία καὶ ὀδυρμὸν προκαλοῦσα ἐπί τε τῇ ὀκνηρίᾳ τοῦ μεταγράψαντος καὶ τῇ προθυμίᾳ τοῦ ἐκδότου πρὸς τὴν διὰ τοῦ τύπου διάσωσιν τοιούτων κειμένων προκρουστικῶς φονευομένων. Ὁ λαμβάνων μετὰ χεῖρας τὸν Δ΄ τόμον τῆς «Σταχυολογίας» εὑρίσκει ἀπὸ σελ. 258—270 ἐκτεινομένην τὴν βιογραφίαν, ἀντιβάλλων δ' αὐτὴν τῇ ὑπ' ἐμοῦ ἐκδιδομένῃ νῦν, κατανοεῖ τὴν διαφοράν, καὶ συνομολογήσει μοι βεβαίως ὅτι σπατάλη χρημάτων ἀνόητός ἐστιν ἡ ἔκδοσις τοιούτων ἐξαμβλωμάτων.

Ἀπὸ τοῦ σαβαϊτικοῦ τέλεον ἐξερρύησαν αἱ παρ' ἐμοὶ §§ ε΄, ιβ΄, ιγ΄, ιδ΄ καὶ ιε΄, σπουδαίας εἰσάγοντες εἰδήσεις περί τε τῶν λεγομένων *πολιτικῶν ἄρτων*, περὶ τῶν δωρεῶν Ἄσπαρος καὶ Ἀρδαβουρίου, περὶ τῶν *ἑβδομαρικῶν*[1], ὡς καὶ περὶ τῶν ἀργυροπρατείων καὶ τῶν πορνικῶν ἐργαστηρίων· ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν κεφαλαίων τῆς βιογραφίας ἡ ἐν § ια΄ μνεία τῆς ὑπὸ Μαρκιανοῦ οἰκοδομῆς τοῦ ναοῦ τοῦ Προδρόμου ἐν τοῖς Δανιὴλ ἐξερρύη ἀπὸ τοῦ παρὰ τῇ Αἰωνίᾳ Σταχυολογίᾳ κειμένου. Παρατήρησιν ὁμοίαν δυνάμεθα ποιήσασθαι καὶ περὶ ἑτέρων μερῶν, ἀνοήτως ἐχόντων· οὕτω τὸ ἐν τέλει τοῦ παρὰ Κεραμεῖ § ιγ΄ γραφόμενόν ἐστιν ἀνόητον ἂν μή τις ἀναγνῷ τὴν ἀρχὴν τοῦ § ιζ΄ τοῦ παρ' ἐμοὶ κειμένου. Χάριν τῆς ἐπιστήμης, ἡ κεραμεϊκὴ ἔκδοσις δεῖται συμπληρώσεως, εἰ οὐχὶ πυρπολήσεως.

Ἡ τελευταία § τῆς ἐμῆς ἐκδόσεως γνωστὸν ποιεῖται τὸν τῆς βιογραφίας συγγραφέα Σέργιον, ὄντα σύγχρονον, ὡς φαίνεται, ἢ γοῦν μικρῷ μεταγενέστερον.

1 Περὶ πολιτικῶν ἄρτων μέτιθι Δουκάγκιον· Constantinopolis Christiana, ἐκδόσεως τοῦ 1729, σελ. 124 α-6 τοῦ Α΄ μέρους· τὰ δ' ἑβδομαρικὰ λεγόμενα τὸ πρῶτον γίνονται γνωστά, τοὐλάχιστον ἐμοί,

Ὁ κουτλουμουσιανὸς κώδηξ ὀλιγίστας ἀριθμεῖ ἀνορθογραφίας, ὁ δὲ γράψας αὐτὸν ἐνοῖ δύο λέξεις συνήθως εἰς μίαν, ὡς π. χ. *προσπαραμυθίαν*, *προσπορισμὸν*, *προσπάντας*, *κρατοίμεγοσπερὶ*, ἀναλύει δὲ τὸ *πρὸ-ὁδευσάντων*.

Ἀτυχῶς ὁ κώδηξ ἔστιν ἔν τισι μέρεσιν ἐφθαρμένος εἰς βαθμὸν οὐδαμῶς ἐπιτρέποντα ἐπανόρθωσιν· ὅπου δ' ἦν δυνατή, ἐπεχείρησα αὐτῆ.

Ἡ βιογραφία, ἀρχομένη ἀπὸ φύλλου 86 A, 1, λήγει εἰς τὸ 93B,1 καὶ ἔστιν αὐτη·

Μ. ΙΩ. ΓΕΔΕΩΝ

α'. ΕΥΛΟΓΗΤΟΣ Ο ΘΕΟΣ καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ, ὁ διὰ τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος αὐτοῦ καθεκάστην γενεαν φανερώσας τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐν τοῖς εὐαρεστήσασιν αὐτῷ ἁγίοις· ὁ τὰ πάντα παραγαγὼν ἐξ οὐκ ὄντων· ὃς ὑπάρχων ἀπροσδεὴς ἀνέχεται τῷ τῶν ἀνθρώπων γένει συγκαταβαίνειν καὶ ὁδὸν ὑποδεικνύειν σωτηρίας. Οὗτος Νῶε τὸν δίκαιον ἐκ τοῦ κοινοῦ τῆς οἰκουμένης κατακλυσμοῦ διέσωσεν καὶ στῆσαι θυσιαστήριον καὶ θυσίαν προσαγαγεῖν ἐδίδαξεν· καὶ πάλιν Ἀβραὰμ τὸν πατριάρχην τὸν ἐξ ἐπαγγελίας αὐτῷ γενόμενον υἱὸν εἰς θυσίαν ἔπεισε προσαγαγεῖν, τύπον αὐτῷ παραδοὺς τῆς ἐν Χριστῷ σωτηρίας ἡμῶν· καὶ πάλιν ζῶντα αὐτῷ τὸν (A 2) μονογενῆ ἀπέδωκεν· αὐτὸς καὶ τῷ θεράποντι αὐτοῦ Μωϋσεῖ τῆς ἁγίας κιβωτοῦ καὶ τῆς ἐν αὐτῇ λατρείας, τοῦ τε ἁγίου τῶν ἁγίων καὶ τοῦ ἐν αὐτῷ θυσιαστηρίου τὸν τρόπον γνωρίσας ἐχορήγησεν· καὶ πᾶσαν τῷ ἔργῳ χρείαν καὶ σοφίαν τοῖς ὑπουργήσασιν ἔδωκεν εἰς τὴν κατασκευὴν τῶν προτυπουμένων ἐπὶ τῇ μελλούσῃ φανερώσει τῆς ἁγίας Ἐκκλησίας, ἣν, εὐδοκίᾳ τοῦ Θεοῦ καὶ πατρός, ὁ ὢν ἐν τοῖς κόλποις αὐτοῦ Θεὸς λόγος ἀξιώσας ἐνανθρωπῆσαι ἐθεμελίωσεν ἐπὶ τῇ πέτρᾳ τῆς εἰς αὐτὸν πίστεως, τῇ χάριτι τοῦ ἁγίου Πνεύματος, διὰ τῶν ἐξυπηρετησαμένων τοῖς αὐτοῦ προστάγμασιν ἁγίων ἀνδρῶν. Αὐτὸς ἐν πλήθει οἰκτιρμῶν ἤγειρεν ἡμῖν ὅσιον πατέρα καὶ οἰκονόμον, πρεσβύτερον καὶ λειτουργὸν τοῦ ἁγίου αὐτοῦ θυσιαστηρίου, Μαρκιανὸν τὸν τῆς τιμίας μνήμης, ἐν τοῖς χρόνοις τῆς βασιλείας Μαρκιανοῦ τοῦ τῆς εὐσεβοῦς λήξεως ἐπὶ τῆς Ῥωμαίων (86 B 1) ἡγεμονίας γεγονότος, ἵνα ὡς σοφὸς ἀρχιτέκτων ἐξυπηρετήσηται πᾶσιν, ὅσοις ἡ χεὶρ καὶ ἡ βουλὴ τοῦ Θεοῦ προώρισεν γενέσθαι· ὅπερ κατὰ μικρὸν ὁ λόγος προϊὼν παραστήσει.

β'. Ἐκ γονέων γὰρ γενόμενος ὁ ὅσιος πατὴρ ἡμῶν ἐν Κυρίῳ πιστῶν, ὁρμωμένων μὲν ἐκ τῶν τῆς πρεσβυτέρας Ῥώμης μερῶν, ἐνταῦθα δὲ κατοικησάντων, ἐν πρώτοις ἐδιδάχθη τὰ τῆς ὀρθῆς πίστεως δόγματα· προέκοπτεν δὲ πάσῃ συνέσει, ἐν τοῖς ἱεροῖς στρεφόμενος καὶ θεοπνεύστοις γράμμασι, τὴν ὅλην διάνοιαν πρὸς Θεὸν ἔχων. Καὶ πᾶσαν μὲν τὴν ἔξω παιδείαν ἐξῆλθεν, ὥςπερ καὶ Μωϋσῆς ἐπαιδεύθη πάσῃ σοφίᾳ Αἰγυπτίων· ὁμοίως δὲ τούτων καταφρονήσας ἐφάνη καὶ πρὸς τὴν ἀληθῆ θεογνωσίαν ἀναδραμών. Περὶ δὲ γένους λαμπρότητος ἢ τῆς τῶν ὑπαρχόντων τοῖς αὐτοῦ γονεῦσι περιφανείας, λέγεται πλοῦτον μὲν αὐτὸν (B 2) πλεῖστον ἐκ προγόνων διαδέξασθαι, ἐκ δὲ βασιλικῆς σειρᾶς ἔχειν τὴν συγγένειαν· ὅμως οὐ χρὴ σεμνολογεῖν τὰ τοιαῦτα, κἂν μεγάλα εἶναι νομίζηται τοῖς ἔξωθεν· οἱ δὲ τοῦ Χριστοῦ τὸ πολίτευμα ἔχοντες ἐν οὐρανοῖς οὐδὲν τούτων ἀντιποιοῦνται. Τραφεὶς δέ γε πιστῶς, ἦν μὲν καὶ ἐν λαϊκοῖς περίβλεπτος, μικρὸν δὲ ὕστερον καὶ εἰς τὸν εὐαγῆ καταλέγεται κλῆρον, τοῦ τηνικαῦτα τῆς μεγάλης πόλεως Κωνσταντίνου, διὰ τὴν ἐπανθοῦσαν τοῖς αὐτοῦ τρόποις σεμνότητα, βιασαμένου σχεδὸν αὐτὸν πρὸς τὴν χειροτονίαν· τοὺς δὲ τεταγμένους βαθμοὺς ἐπιτόμως διανύσας, τοῖς θεοτιμήτοις ἐγγράφεται πρεσβυτέροις, καὶ ἀναγκάζεται ἐκ κοινῆς, ὡς εἰπεῖν, τῶν αὐτὸν ἐπισταμένων μαρτυρίας οἰκονόμος τῶν πραγμάτων γενέσθαι τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας.

γ'. Ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγένετο. Ἔτι δὲ νέος ὑπάρχων καὶ ἄρτι τὴν χειροτο(87 A 1)νίαν λαβών, καὶ τὴν ἑκατέρου τῶν γονέων ἄφθονον οὐσίαν διαδεξάμενος, πρὸς οὐδὲν ἐκ τῆς ὀρφανίας ἀπέκλινεν, ἀλλὰ λογισμῷ σώφρονι τὰς τῆς νεότητος ὁρμὰς χαλινώσας τῇ ἱερᾷ λειτουργίᾳ καὶ τῇ ἀναγνώσει τῶν θείων Γραφῶν ἐσχόλαζεν, ἐν νηστείαις καὶ προσευχαῖς καὶ ἀγρυπνίαις διατελῶν, ἀεὶ πρὸ ὀφθαλμῶν ἔχων τὸ τῷ ἁγίῳ ἀποστόλῳ εἰρημένον «μηδείς σου τῆς νεότητος καταφρονείτω», τὸν δὲ πλοῦτον ἀφειδῶς ταῖς τῶν δεομένων ἐδίδου χρείαις, κατὰ τὸ γεγραμμένον «ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν». Ἦπιος δὲ ὢν πρὸς πάντας, καὶ ταῖς ἁγιωτάταις ἐκκλησίαις προσκαρτερῶν καὶ ἁγίων ἀκροώμενος λογίων, ζηλωτὴς ἐσπούδαζε γενέσθαι τῶν τὸν ἀρέσκοντα τῷ Θεῷ βίον προοδευσάντων. Τούτων ἐχόντων ὧδε, εὐκαιρόν ἐστι τὸ ἐνδέον ἐξηγήσασθαι.

δ'. Μαρκιανὸς οὗτος ὁ μακάριος (A 2) θερμῷ ζήλῳ κρατούμενος περὶ τὴν οἰκοδομὴν τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ μάλιστα τῆς περιφανοῦς ἐν μάρτυσι τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἀναστάσεως[1] διενοεῖτο ἡμέραν ἐξ ἡμέρας τόπον ἐπιτήδειον, ἔνθα τὸ τοιοῦτον ἐγερεῖ τέμενος· καὶ δή, περὶ τοῦ τοιούτου διαπορουμένου αὐτοῦ, γινώσκεται αὐτῷ ὡς Νικώ τις τοὔνομα, ἐκ τῆς Σύρων Ἀντιοχείας ὁρμωμένη, τὸν σύζυγον προσεχῶς ἀποβεβληκυῖα, ἐξ οὗ ἐκεκληρονομήκει οἰκίαν ἐνθάδε κειμένην πρὸς τῷ ἡμικυκλίῳ τοῦ ἀντιφόρου Κωνσταντίνου τοῦ τῆς εὐσεβοῦς λήξεως, ταύτην, ἐκ τῆς περὶ τὴν χηρείαν λύπης ἀνιαθεῖσα, πιπρᾶσαι βουλεύεται καὶ τὸ τίμημα κομιουμένη ἐπὶ τὴν ἰδίαν ἐπανελθεῖν θρεψαμένην. Ταῦτα μεμαθηκὼς ὁ ὅσιος πατήρ, καὶ τὸν τόπον ἁρμόδιον πρὸς κατασκευὴν ἐκκλησίας ἑωρακώς, προσδιελέχθη τῇ γυναικὶ περὶ τοῦ τοιούτου (87B1) συναλλάγματος καὶ συμφωνήσας τὰς περὶ τῆς[2] τοιαύτης οἰκίας τιμὰς ὑπὲρ τοὺς δισχιλίους χρυσοῦς κατέβαλεν αὐτῇ τὰς ἀγορὰς καὶ ἀπελύθη παρ' αὐτῆς. [Ἀλλ' ὁ] ἀρχέκακος ἐχθρός, πᾶσι τοῖς ἀγαθοῖς ἀντισπεύδων καὶ ὧδε πρὸς ἐμποδισμὸν τοῦ τοιούτου ναοῦ ἁγίου οὐδ' ὀλίγων ἡμερῶν ἐνδοὺς καιρόν, ἐπὶ μετάμελον ἤγαγε τὸ γύναιον, ὑποβάλλων σοφιστικῶς ὡς εἴη κωμῳδουμένη ὑπὸ πολλῶν οὐδὲ βραχὺ[ν] χρόνον διακατασχεῖν δυνηθεῖσα τὴν ἀνδρικὴν οἴκησιν καίτοι εὐπρόσοδον αὐτὴν πρὸς παραμυθίαν ἔχουσα στεγονομίων τε πρὸς πορισμὸν καὶ πολιτικῶν ἡμερησίων ἄρτων χορηγίᾳ· οἵτινες αὐτῇ καὶ συνεπράθησαν κατὰ τὸ τῶν λοιπῶν οἰκιῶν δίκαιον· τούτους γὰρ τοὺς ἄρτους ὁ μέγας ἐν βασιλεῦσι Κωνσταντῖνος οὐ μόνον τῷ δήμῳ τῆς ἐνδόξου ταύτης πόλεως ἀλλ' ἰδικῶς καὶ ταῖς οἰκίαις αὐτῆς, αἷς εὗ(B2)ρεν διένειμεν μετὰ καὶ ἐλαίου οὐγκίαις ἡμερησίας καθ' ἕκαστον[3] ἄρτον, ἅτινα οἰκιακὰ σιτηρέσια καὶ ἰδίαν ἀπογραφὴν . . . . σίοις ἔχει . . . . .

. . . . . .

ὁ παμπόνηρος δαίμων πέπεικε τὴν γυναῖκα

1. οὕτως ὁ Κώδηξ· ἤτοι *Ἀναστασίας*.
2. ὁ Κδξ. τὰς, ἀλλὰ καὶ κατωτέρω διορθωτέον.
3. ἴσ. καθ' ἑκάστην

πρὸς τὴν παλιμβουλίαν, καὶ τὴν ἐναγωγὴν αὐτῇ μετὰ ψευδοῦς συνεπλάσατο πανουργίας, ὡσανεὶ ὑπὲρ τὸ διπλάσιον ἀξίων ὄντων τῶν οἰκημάτων, ὃ δὴ καὶ πέπραχεν ἡ γυνή. Ἐκβληθεὶς τοίνυν ὁ ὅσιος ἐξ αὐτῆς, ἕτοιμος μὲν καὶ πᾶν ἕτερον ὅπερ ἐζήτει κατατιθέναι ποσὸν γέγονεν· καὶ δυνατὸν ἦν αὐτῷ μὴ ἀφίστασθαι τοῦ κτήματος· ἀλλά γε θεάρεστον ἔργον κτίζειν προθυμούμενος οὐ δεῖν συνιδεῖν ἐξ ἀπροθέτου τὸν τόπον συναλλάγματος· οὐκοῦν ἀναδέδωκεν μὲν σὺν ταῖς ὠναῖς τῇ πωλησάσῃ τὰ οἰκήματα, ἀνέλαβεν δὲ παρ' αὐτῆς τὰ (88 A1) τιμήματα. . . . . .

. . . . . .

ε'. . . . . .

Διέθηκεν ἀπόβασιν αὐτοῦ, Μαρκιανοῦ τοῦ πάνυ ταῖς ἁγίαις εὐχαῖς· ὃς ἐντυγχάνων τοῖς πνευματικοῖς λόγοις τοῦ ἁγίου πατρὸς ἡμῶν Γρηγορίου τοῦ γενομένου ἐπισκόπου Ναζιανζιανζοῦ καὶ δικαίως ἐπικληθέντος θεολόγου ἔγνω καὶ τὴν διὰ τοῦ ἁγίου Πνεύματος γενομένην προφητείαν περὶ τοῦ οἴκου τῆς ἁγίας μάρτυρος Ἀναστασίας τοῦ ἐν τοῖς Δομνίνου ἐμβόλοις ὄντος, διδάσκοντος ἐν τῷ εὐκτηρίῳ αὐτῆς οἴκῳ τῷ ἀρχαίῳ, ἐν ᾧ καὶ τὰ λείψανα αὐτῆς ἕως τοῦ νῦν ἀπόκεινται, λέγοντος οὕτως· «Ἀναστασίαν ταύτην τὴν τῆς ἀναστάσεως ἐπώνυμον ὄψεσθε πλατυτέραν (A2) εὖ οἶδα καὶ μείζω· τάδε μοι προλέγει τὸ Πνεῦμα τὸ ἅγιον». Ταῦτα μὲν οὖν ὁ μέγας πατὴρ ἡμῶν Γρηγόριος προεφήτευσεν . . . . .

. . . . . .

εἰπεῖν τὴν αἰτίαν τῆς προφητείας. Συνέβη τότε ἐκ τῆς τοῦ διαβόλου βασκανίας τὴν Ἀρείου κακοδοξίαν πλανῆσαι τοὺς πολλούς, ὡς εὐαριθμήτους γενέσθαι τοὺς τὴν Ἁγίαν καὶ ὁμοούσιον Τριάδα προσκυνοῦντας, καὶ μόνον ἔχειν τὸν εὐκτήριον οἶκον τῆς ἁγίας μάρτυρος Ἀναστασίας μικρὸν ὄντα τὸν μέχρι νῦν τῷ μείζονι αὐτῆς οἴκῳ κατὰ ἄρκτον, καὶ ἐν αὐτῷ τὰς ἱερὰς ἐπλήρουν λειτουργίας λανθάνειν σπουδάζοντες διὰ τὰς τῶν ἀρειανῶν ἐπιβουλάς· ἐν ᾧπερ ἐκκλησιάζων ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Γρηγόριος, καὶ τὸν ὀρθόδοξον παραθαρσύνων ἀποβλέπειν μὲν εἰς τὴν τοῦ Θεοῦ βοήθειαν, πίστιν δὲ διδοὺς αὐτῷ τῆς τῶν αἱρετικῶν κα(88B1)θαιρέσεως τὴν εἰρημένην πεποίηται προφητείαν· ἣν πληρῶν ὁ ὅσιος πατὴρ ἡμῶν Μαρκιανὸς διὰ τῆς τοῦ Θεοῦ χάριτος, πληροφορηθεὶς ὅτι ὅπερ ἐπηγγείλατο δυνατός ἐστι καὶ ποιῆσαι, καὶ, ὥσπερ ὁ πατριάρχης Ἀβραὰμ, ἐνδυναμωθεὶς τῇ πίστει, τὸν

μὲν εὐκτήριον οἶκον τῆς ἁγίας Ἀναστασίας ἐπὶ τοῦ προτέρου καταλιμπάνει σχήματος, εἰς ἀπόδειξιν τῆς ἐπ' αὐτῷ προφητείας, τὸν μείζονα δὲ κατασκευάζει μεγαλοπρεπῶς ἐν τοῖς λεγομένοις Δομνίνου ἐμβόλοις τῆς βασιλευούσης πόλεως, κοσμήσας αὐτὸν προαυλίοις καὶ στοαῖς ποικίλαις καὶ ὑπαίθροις κυκλόθεν· εἶτα τὸν ναὸν αὐτῆς ὥςπερ μαργαρίτην ἢ ἄλλον τινα τίμιον λίθον ἐν μέσῳ περιγράψας, τῷ τε τῶν κιόνων κάλλει καὶ μεγέθει φαιδρύνας καὶ τῇ ἄλλῃ τῶν ὑλῶν λαμπρότητι, χρυσῶδες (B2) τὴν ὀροφὴν φαιδρύνας γραφαῖς τὰς ὑποκειμένας στοὰς ἐκαλλώπισεν· τό τε ἅγιον θυσιαστήριον σεμνὸν κατασκευάσας καὶ μάλιστα [τῇ τοῦ ἀρ]γύρου ἀφθονίᾳ [περιβα]λὼν προστίθησι καὶ τὸν τοῦ σεπτοῦ φωτίσματος οἶκον· οὑτινος πῶς ἄν τις τὸ κάλλος ἐξείποι; ἢ τοῦ ἱεροῦ τόπου εἰς φυλακὴν τῶν τιμίων σκευῶν πεποιημένου; ἢ αὐτὸ τὸ τῶν σεπτῶν σκευῶν πλῆθος καὶ τὴν πολυτέλειαν; ἕκαστον γὰρ τούτων πρὸς ἑαυτὸ τοὺς θεωμένους ἕλκει, ὥςτε, πάντων ὄντων θαυμαστῶν, μὴ εἶναι ῥάδιον εἰπεῖν ποῖον μᾶλλον χρὴ τῶν ἄλλων προτάττειν· οὕτω μετὰ πάσης κατεσκεύασται συνθέσεως, καὶ ὄντως κατ' ἐπαγγελίαν Θεοῦ γέγονεν. Πάντων δὲ μεγάλως ἐξειργασθέντων, γίνεται ὁ ἐγκαινιασμὸς τοῦ ἁγίου οἴκου μηνὶ δεκεμβρίῳ εἰκάδι δευτέρᾳ, ἐν ᾗ καὶ ἐτελειώθη ἐν τῇ α(89A1) καὶ μαρτυρίας[1] δέδωκεν. Καὶ ταῦτα μὲν οὕτως ἐπράχθη, καὶ ἔξεστι τοῖς βουλομένοις αὐτῇ τῇ ὄψει κατανοῆσαι τὴν μεγαλοπρέπειαν τοῦ οἴκου τού[του τῆς ἐν]δόξου μάρτυ[ρος Ἀναστα]σίας καὶ εὑ[ρήσει] ὅτι πολλὰ τῷ λόγῳ παραλέλειπται τῆς τοῦ Θεοῦ θαυματοποιίας καὶ τῆς τοῦ ὁσίου πατρὸς ἡμῶν μεγαλουργίας.

ς'. Οὗτος ὁ ἀοίδιμος τῆς ἁγίας μάρτυρος Ἀναστασίας οἶκος πεπίστευται, καθάπερ καί τισιν ἑτέροις ἱστόρηται, θεοφανείαις ἐν[α]ργέσιν[2] ἐλλάμπεσθαι, προφαινομένη γὰρ ἐνθάδε θείᾳ δυνάμει ὕπαρ τε[3] καὶ ἐν ὁράμασι πολλοῖς πολλάκις νόσοις τε καὶ περιπετείαις πραγμάτων κάμνουσιν ἐπαμῦναι· καὶ ὅτιπερ ἡ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἄχραντος μήτηρ θαυματουργεῖ πανάληθες, τοιούτῳ γὰρ ἐπιφαίνεται εἴδει τε καὶ σχήματι· ὧν τινων αὐτῆς θαυμάτων ἓν καὶ τοῦτο τυγχάνει. Κατὰ γὰρ τὰς ἡμέρας τῶν ἀρχῆθεν γεγενημένων ἐγκαινίων τοῦ ἁγιωτάτου τῆς μάρτυρος Ἀ(A2)ναστασίας ναοῦ, ἐκκλησιάζειν μέλλοντος τοῦ λαοῦ, γυνὴ ἐγκύμων ἀπὸ τῆς τοῦ εὐωνύμου μέρους ὑπερῴου στοᾶς τοῦ λεγομένου κατηχουμένου κατακύψασα πέρα τοῦ μέτρου καὶ καταπεσοῦσα ἐκ τοῦ ὕψους ἐν τῷ ἐδάφει τοῦ ναοῦ τέθνηκεν· κοινῆς δὲ παρὰ πάντων καὶ αὐτοῦ Μαρκιανοῦ τοῦ ὁσίου γενομένης εὐχῆς ἐν τῇ λειτουργίᾳ, ἀνέστη ἡ γυνὴ καὶ σὺν τῷ βρέφει ἐσώθη. Ταῦτα τῶν εὐχῶν καὶ τῆς ἐνθέου πολιτείας τοῦ ὁσίου Μαρκιανοῦ, τὰ παρὰ τῆς θείας προνοίας[1] γνωρίζεται ἡ ἀντιμισθία.

ζ'. Ἄξιον δὲ τοῖς ἐν Κυρίῳ πιστοῖς ἀφηγήσασθαι ὅπως καὶ τὸν πάνσεπτον οἶκον τῆς ἁγίας Εἰρήνης πρὸς θάλασσαν καὶ τὸ ἐν αὐτῇ σεβάσμιον μαρτύριον τοῦ ἁγίου Ἰσιδώρου, συνεργείᾳ Θεοῦ, ὁ αὐτὸς ὅσιος τὴν μνήμην Μαρκιανὸς κατεσκεύασεν· μικρὸν δὲ ἄνωθεν καὶ τὰ περὶ τούτου λεκτέον. Ἦν γὰρ πρώην μικρὸς καὶ συνεσταλμένος ὁ αὐτὸς οἶκος, οὔτε μεγέθει, οὔτε τῇ ἄλλῃ (88B1) διακοσμήσει γνώριμος ὤν· ὁ δὲ φιλάνθρωπος Θεὸς ἠξίωσε δι' ἀποκαλύψεως ἐπιτρέψαι Γενναδί[ῳ τῷ] τῆς θεοφιλοῦς μν[ήμης ἀρ]χιεπισκόπῳ Κων[σταντινουπό]λεως οὕτως· [«Λῦσον] τὸν ναὸν τοῦτον, καὶ ἐπὶ τοῦ μετὰ σὲ ἐγερῶ αὐτόν». Ὁ δὲ τὸ προσταχθὲν ἐκπληρώσας ἐκοιμήθη. Τὴν δὲ τοιαύτην ὀπτασίαν μαθὼν ὁ τοῦ Θεοῦ θεράπων Μαρκιανός, ἤδη, καθὰ μικρῷ πρόσθεν εἴρηται, τὴν οἰκονομίαν τῆς ἁγιωτάτης Ἐκκλησίας παραλαβών, ἀναγκαίως ἐγεγόνει[2] τὸ ἔργον, καὶ πᾶσαν εἰσῆγε προθυμίαν· καὶ λαθὼν σχεδὸν ἅπαντας ἐν τῷ τόπῳ γίνεται, νυκτός τε ἐπιλαβομένης, τοὺς συνόντας αὐτῷ ἀπολύσας καὶ τὰ γόνατα κλίνας ἔνθα νῦν τὸ ἅγιον ἥδρασται θυσιαστήριον, ἐδέετο τοῦ Θεοῦ λέγων «Κύριε Ἰησοῦ Χριστέ, υἱὲ καὶ λόγε τοῦ Θεοῦ· ὁ λυτρωσάμενος τὸ γένος τῶν ἀνθρώπων ἐκ τῆς τῶν εἰδώλων πλάνης, καὶ τῇ ἀρρήτῳ (B2) σου ἀναστάσει καταργήσας τὸν θάνατον, καὶ τοῖς ἁγίοις σου μαθηταῖς εἰπὼν «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν», ἐπίβλεψον ἐπὶ τὸν τόπον τοῦτον [καὶ ἁγί]ασον αὐτὸν [καὶ ἀνάστη]σον οἶκον [ἐπὶ τῷ ἁγίῳ σου] ὀνόματι· ὅτι [Σὺ εἶ ἡ εἰρήνη] πάντων ἡμ[ῶν καὶ ἔγει]ρον, κατὰ τὴν ἀψευδῆ σου ἐπαγγελίαν, ἅγιον ἐν αὐτῇ θυσιαστήριον. Ναί, δέσποτα ὕψιστε· γεννηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν»· καὶ πολλὰ δακρύσας,

1. ἴσως λείπουσι τὸν κώδηκα λέξεις.
2. ὁ Κδξ *ἐνεργέσιν*.
3. ὁ Κδξ *ὑπέρ τε*.

1. ἀρκετὰ ἀσαφὲς τὸ χωρίον.
2. ἐνενόει παρὰ τῇ *Ἱεροσ.l. Σταχυολογίᾳ*.

καὶ εἰπὼν τρίτον τὸ ἀμήν, ὕπνῳ, κατ' οἰκονομίαν Θεοῦ, κατέχεται· καὶ χρηματισθεὶς κατ' ὄναρ τὸν τύπον τῆς τοῦ οἴκου κατασκευῆς καὶ δόξης, θείας ἀκούει φωνῆς λεγούσης αὐτῷ «Μαρκιανέ· πάντα δυνατὰ τῷ πιστεύοντι»· ἀνεβόησεν δέ· «Πιστεύω, Κύριε· βοήθει μου τῇ ἀπιστίᾳ»· καὶ ἀναστὰς μετὰ φόβου καὶ χαρᾶς μεγάλης ἀφηγησάμενος τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ τὴν ὀπτασίαν, καὶ αἰτήσας αὐτὸν εὐχὴν ἐπιτελέσαι. εὐθέως εἶχετο τῶν ἔργων. Καὶ (90A1) ἵνα πρὸς τὸ ὑποδειχθὲν αὐτῷ σχῆμα μεγαλοπρεπῆ τὸν οἶκον καταστήσῃ, παραχρῆμα πολλῷ πόνῳ καὶ δαπάνῃ τὴν [πλησίον θάλασσαν] ἐξωθήσατό . . . . . τε σχεδὸν . . . . . [ἐκκ]λησίαν ἐπι[κλύζουσαν]. Ὄντος [τῇ τοῦ] Κυρίου δυνάμει καὶ τοῦτο τὸ ἔργον ἐστί, κατὰ τὸ γεγραμμένον «Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν».

η'. Μετὰ δὲ τὴν τῶν θεμελίων θέσιν, ἁρμοδίως προέκοπτεν ἡ ἄλλη τοῦ οἴκου κατασκευή· κίονας γὰρ διαπρεπεῖς στιχηδὸν στήσας ἑκατέρωθεν καὶ τούτοις ἄλλους ἐπιθείς, τάς τε κάτω στοὰς καὶ τὰς ὑπερκειμένας εἰργάσατο· εἶτα διαλαβὼν ὑπαίθροις[1] τὸν οἶκον πανταχόθεν οὕτως τὴν ὀροφὴν ἐπιτίθησιν, ξύλοις αὐτὴν ὑπερμεγέθεσιν ἀσφαλισάμενος καὶ μολύβδῳ κατακαλύψας. Καὶ τί ἄν τις εἴποι περὶ τῆς τῶν τοίχων στερρότητος; ἢ τῆς τοῦ ἐδάφους εὐπρεπείας; ἢ τοῦ πλήθους καὶ κόσμου τῶν θυρῶν πρὸς ἀναλογίαν τοῦ παντὸς (A2) οἴκου πεποιημένων; Φανεῖται γὰρ πᾶς λόγος τῇ ἀληθείᾳ τῶν ἔργων ἐλαττούμενος. Ἐκεῖνο δὲ προσθεῖναι καλόν· τῶν γὰρ ἑστώτων δύο [μεγάλων κιόνων πρὸ τοῦ] σεπτοῦ θυσιαστηρίου μελλόντων ἀνίστασθαι[2], συνέβη τὸν ἕνα τούτων ἐκ τῆς τοῦ ἐχθροῦ βασκανίας ἐπὶ πολὺ τῆς ἁρμοδίου κωλύεσθαι στάσεως, διαῤῥηγνυμένων πολλάκις τῶν ὀργάνων καὶ τῶν ἐργαζομένων ἀπολεγόντων, ὡς καὶ εἰς ἀνελπισίαν τὸ ἔργον αὐτοῖς περιίστασθαι, εἰ μὴ φρονήσαντες πρὸς τὸν ὅσιον ἀνέδραμον Μαρκιανόν, τὸ γεγονὸς ἀπαγγέλλοντες· ὁ δὲ μαθών, καὶ θαῤῥεῖν εἰς τὴν τοῦ Θεοῦ βοήθειαν παραινέσας αὐτοῖς, ἔρχεται κατὰ τὸν τόπον, καὶ ἐκτείνει τὰς χεῖρας εἰς προσευχήν, καὶ τὸν σωτήριον τοῦ σταυροῦ τύπον ποιήσας, ἐπετίμησε τῷ μισοκάλῳ, λέγων· «Ἔχθρὲ πάσης ἀληθείας· παῦσαι διαστρέφων τὰς ὁδοὺς τοῦ Κυρίου τὰς εὐθείας»· καὶ συνεφαψάμενος ταῖς ἤδη γεγηρακυίαις αὐτοῦ χερσὶν (90B1) τοῦ ἔργου εὐκόλων ἐποίησε τὴν τοῦ κίονος στάσιν· μένει δὲ μέχρι τοῦ νῦν τοῦ γενομένου θαύματος ἡ φανέρωσις εἰς δόξαν τοῦ Θεοῦ διὰ τῆς ἐμφαινομένης τῷ κίονι κλίσεως περὶ τὴν ὀρθὴν αὐτοῦ στάσιν· ὃς ἕστηκεν ἐξ ἀριστερῶν τοῦ θυσιαστηρίου, ἤτοι τῶν πρὸς ἀνατολὰς εὐχομένων. Ἔστι δὲ καὶ τὸ κατασκευασθὲν σεμνὸν[1] φροντιστήριον μεστὸν πάσης ἐκπλήξεως· πέντε γὰρ στοαῖς διήπλωται, ὥσπερ τὴν ἐν Ἱερουσαλὴμ Προβατικὴν κολυμβήθραν κατασκευασθῆναι συνέβαινεν, ὅποι τηνικαῦτα τῶν ἀσθενούντων τὸ πλῆθος ἀνεκλίνετο. Ἐνταῦθα δὲ μείζω τὰ θαύματα· ἐκεῖ μὲν γὰρ διὰ τῆς τοῦ ἀγγέλου τοῖς ὕδασιν ἐπιφοιτήσεως ἕνα μόνον, καὶ αὐτὸν δυσχερῶς, ὑπῆρχε θεραπεύεσθαι, δοῦλος γὰρ ἦν ὁ τούτοις διακονούμενος· ἐν τούτῳ δὲ, δεσποτικῆς οὔσης τῆς χάριτος καὶ ἐπιφανείας, ἁμαρτημάτων μὲν οἱ τῷ ἁγίῳ (B2) φωτίσματι προσιόντες ἄφεσιν λαμβάνουσιν, οἱ δὲ τῷ σεπτῷ οἴκῳ προστρέχοντες καὶ νόσων ποικίλων καὶ πάσης βιωτικῆς ἀπαλλάττονται δυσκολίας· ἔδειξε δὲ ὁ πατὴρ ὅτι τῆς Προβατικῆς εἰργάσατο σχήματι[3]. Καὶ γὰρ θόλοις τὸν ὄροφον καταμερίσας, καὶ χρυσολίθῳ κατακοσμήσας, τὰ τῶν νοσούντων ἀπειργάσατο σχήματα, ὥσπερ ἐστὶν αὐτῇ τῇ ὄψει καταλαμβάνειν[3]. Δι' ὅπερ οὐδὲν πλέον εἰπὼν περὶ τῆς ἐν διακοσμήσει πολυτελείας, ἐφ' ἕτερον τρέψω τὸν λόγον.

θ'. Ἔχων γὰρ ὁ ἐν ἁγίοις Μαρκιανὸς πολλὴν προθυμίαν ἐν ταῖς τῶν εὐκτηρίων οἴκων οἰκοδομαῖς, ἐσπούδαζε[4] καὶ τίμια λείψανα τοῦ ἁγίου μάρτυρος Ἰσιδώρου κομίσας[5] οἶκον αὐτῷ σεμνὸν ἀναστῆσαι, καὶ τόπον ἐπιτήδειον ἀνεσκοπεῖτο· τέως δὲ τὴν τὰ ἅγια λείψανα δεξαμένην ἁγίαν σορὸν παρακατέθετο ἐν τῷ τότε κατασκευαζομένῳ παρ' αὐτοῦ σκευο(91A1)φυλακείῳ τῆς Ἁγίας Εἰρήνης· καὶ μετὰ μικρὸν, ἐπιχειροῦντος αὐτοῦ πρὸς ἕτερον τόπον ταῦτα μεταγαγεῖν, οὔτε σαλεύειν ἔτι τὴν θήκην τις δυνατὸς ἦν· καὶ θεῖον εἶναι τὸ τῆς κωλύσεως φαίνεται· καὶ δι' ἐπιφανείας αὐτὸν τοῦ μάρτυρος γνῶναι ὅτι ἐπαναπαύεται τῷ τόπῳ· καὶ οὕτω λοιπὸν

1. ὑπέθροιστον ὁ Κδξ.

1. κακῶς ὁ κ. Α. Κεραμεὺς *ἀφίστασθαι* γράφει, μὴ ἐννοήσας προδήλως τὴν λέξιν.

1. ἡ Σταχυολογία *σεπτόν*.
2. *σχῆμά τι* προδήλως.
3. ὁ Κδξ. *καταλαμβάνον*.
4. ὁ κ. Κεραμεὺς *ἐσπούδασε*.
5. ὁ Κδξ. *κοσμήσας*.

τῇ ὀπτασίᾳ πειθαρχήσας, τὸν προσκείμενον οἶκον τῇ Ἁγίᾳ Εἰρήνῃ κατεσκεύασεν εἰς τιμὴν τοῦ ἁγίου μάρτυρος Ἰσιδώρου, ὅστις καὶ διὰ πολλῶν θαυμάτων παρίστησι τὴν οἰκείαν ἐν τῷ τόπῳ παρουσίαν, ἑκάστῳ τῶν δεομένων, χάριτι Θεοῦ, τὰ πρόσφορα δωρούμενος, δαιμόνων τε καταργῶν κακίαν, καὶ τοῖς ἐν θαλάσσῃ κινδυνεύουσι παριστάμενος, καὶ ἰώμενος τὰς ψυχάς τε καὶ σώματα τῶν εἰς τὸν ἅγιον καταφευγόντων οἶκον.

ι'. Ὁ δὲ ὅσιος πατὴρ ἡμῶν Μαρκιανός, τὸν τῆς Ἁγίας Εἰρήνης ἐντελῶς σχεδὸν κατασκευάσας οἶκον (A 2) καὶ μέλλων ἔτι διακοσμεῖν, πρὶν γενέσθαι τὸν ἐγκαινισμόν, καταλύει τὸν βίον ἐν γήρει καλῷ καὶ πρὸς Θεὸν ἀπέρχεται, ἐπευξάμενος καὶ εἰπών «Τριὰς ὁμοούσιε· εἰς χεῖράς σου παρατίθημι τὸν οἶκον τῆς Εἰρήνης σου, ὃν κτίσαι με ἐκέλευσας»· καὶ εὐθέως ἀπέδωκε τὴν ψυχὴν τῷ Θεῷ. Τότε τὸ ἅγιον αὐτοῦ σῶμα οἵ τε εἰς τὸν εὐαγῆ κλῆρον τεταγμένοι καὶ αὐτὸς ὁ ἀρχιεπίσκοπος, καὶ πλῆθος μοναχῶν, γυναικῶν τε σεμνῶν τάγματα καὶ τῶν ἐν τέλει λογάδων, συνελθόντων μετὰ τῆς πρεπούσης ὁσίοις τιμῆς προπέμψαντες ἀπέθεντο, κατὰ κέλευσιν αὐτοῦ, ἐν τῷ προφητείῳ τοῦ ἁγίου Ἰωάννου τοῦ Βαπτιστοῦ ἐν τοῖς Δανιὴλ, πλησίον τοῦ ἁγίου μάρτυρος Μωκίου[1], ὅπερ μοναστήριον ὁ αὐτὸς ὁσιώτατος ἀνὴρ ᾠκοδόμησε. Γίνεται δὲ ἡ ὁσία αὐτοῦ μνήμη μηνὶ ἰανουαρίου ι'.

ια'. Τοῦ δὲ οἴκου τῆς Ἁγίας Εἰρήνης ἐποιήσατο πρόνοιαν ἡ εὐσεβεστάτη Βηρίνα (91 B1), τά τε ἐλλείποντα κοσμήσασα καὶ τὴν ὀροφὴν χρυσῷ καλλωπίσασα, ὥσπερ δηλοῦται καὶ διὰ τῆς ἐν αὐτῇ ἐπιγραφῆς. Καὶ γίνεται τὰ ἐγκαίνια τῆς ἁγίας Εἰρήνης μηνὶ ἰανουαρίῳ εἰκάδι, καὶ προθυμίᾳ πολλῇ τοῦ πλήθους [καὶ] συνδρομῇ, καὶ διὰ τὸ κάλλος τοῦ οἴκου καὶ τὴν τοῦ κατασκευάσαντος ὁσίου μνήμην· ὥστε καὶ τοὺς ἁπλότητι κρατουμένους λέγειν «Ἰδοὺ καὶ ἄλλη θυγάτηρ τοῦ ὁσίου Μαρκιανοῦ, ἀδελφὴ τῆς ἁγίας ἐνδόξου μάρτυρος Ἀναστασίας». Ἐκεῖνο δὲ προσθεὶς ἐκ τῶν πολλῶν τὴν τοῦ ἀνδρὸς ἀρετὴν διηγήσομαι. Καὶ γὰρ τὰ ἐκ τῶν γονέων καὶ τοῦ γένους εἰς αὐτὸν ἀχθέντα σχεδὸν δαπανήσας καὶ περὶ τὴν κατασκευὴν καὶ ἐπιμέλειαν τῶν τε εἰρημένων καὶ ἄλλων εὐαγῶν οἴκων, τοὐτέστι τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ ὄντος ἐν τῷ Τενέτρῳ, παντοίως γὰρ καὶ τοῦτο πανάρετον εὐκτήριον κοσμῆ(B2)σας καὶ θαυμαστῶς διαγράψας ἄξιον τοῦ ἐνδόξου μάρτυρος, καὶ τοῦ ἁγίου Στρατονίκου ἐν τῷ Ρηγίῳ κατασκευάσας καὶ εὐ[πρεπῶς κο]σμήσας κ[αὶ τὰς τῶν πτω]χῶν ἀπ[οτροφὰς πα]ρέχων [οὕτω σύμμετρος ἦν] περὶ τὴν διαιτάν τε καὶ χρείαν. Καὶ ἄλλο δὲ μυστήριον ἀπομνημονεύεται τοῦ ἐν ἁγίοις Μαρκιανοῦ· ὅτι περιερχόμενος ταῖς νυξὶ τὰς πλατείας καὶ τοὺς ἐμβόλους περιήει ὅπου ἂν εὕροι νεκρὸν κατακείμενον ἐν πτωχίᾳ ἐπιμελήσηται αὐτοῦ· καὶ ἔλουε, καὶ ἐνέδυε, καὶ ἔλεγε πρὸς τὸ σῶμα «Δεῦρο ἀδελφέ, δός μοι τὴν ἀγάπην». Καὶ ἠγείρετο ὁ νεκρὸς, καὶ ἠσπάζετο αὐτὸν καὶ πάλιν ἀνεπαύετο.

ιβ'. Τοιγαροῦν, πολλῶν ὄντων τῶν περὶ αὐτὸν ἀξιεπαίνων Μαρκιανοῦ θαυμάτων, ἐνίων δὲ καὶ ὑπὲρ ἄνθρωπον, τὰ πλεῖστα, διὰ τὸ μὴ τοῖς ἀπίστοις ἀμφιβάλλεσθαι, σεσιώπηται. Οὗτος ὁ τοῦ Θεοῦ ἄνθρωπος Χριστὸν τὸν Θεὸν τὸν τοὺς ἁμαρτωλοὺς ἐπὶ σωτηρίᾳ(92A1) συναναστραφέντα ἐκμιμούμενος, δι' ἑαυτοῦ φοιτῶν ἐπὶ τὰ πορνικὰ ἐργαστήρια, ταῖς προεστώσαις πα[ρήνει] τὰ πρὸς σωτηρίαν . . . . . αὐταῖς ὑ . . . . . ὡσης ἡ . . . . . ὅσον τε ἔλεγον ἐκ τῆς ἀσωτείας ποριζεσθαι μισθὸν, παρήγγελλεν, ὕδατι λουσαμένας, ταῖς ἁγίαις ἐκκλησίαις παρεδρεῦσαι, στεναγμοῖς τε καὶ δάκρυσι τὸν ἐλεήμονα καθικετεῦσαι Θεὸν οἰκτειρῆσαι αὐτάς· οὗ δὴ πολλάκις γινομένου, εἰς ἐπίγνωσιν ἰόντα τὰ γύναια καὶ τὰ μὲν τῆς πορνείας καταγώγια ἔρημα κατελίμπανον, τὸν δὲ τῆς ἐν Χριστῷ ἀσκήσεως ἀνελάμβανον ζῆλον, ὥστε τοὺς ταύτας ἤδη νεμομένους τοῦ ἐξ αὐτῶν τούτῳ τῷ τρόπῳ στερουμένους πόρου τὸν ὅσιον κακολογίαις διασύρειν· πολλαῖς γὰρ ἐξ αὐτῶν ἀναλώματα παρέχων ἐπὶ τὰ Ἱεροσόλυμα ἐξέπεμψεν(A2), αἳ καὶ συμπολίτιδες τῶν ἁγίων ἀνεδείχθησαν, ἐξ ὧν ἔνιαι ἰαμάτων χαρίσμασιν ἐκοσμήθησαν καὶ κατὰ πνευμάτων ἀκαθάρτων θεόθεν ἔλαβον ἐξουσίαν.

ιγ'. Καὶ ἕτερον δὲ ἱστορίας ἄξιον τοῦ ἰσαγγέλου τούτου πατρὸς ἡμῶν πρόσφορόν ἐστιν ἐξειπεῖν· ὅτι περ τὰ πρὸς νύκτας μέσας ἐπιτηρῶν, παρεγίνετο ἔν τινι ἀργυροπρατείῳ τὸ δοκοῦν αὐτῷ καταλλάσσων λεπτῷ χαράγματι πρὸς διάδοσιν εὐποιίας χρυσίον, τὸ πᾶν δὲ τῇ διακρίσει τοῦ στήτορος κατελίμπανεν· ὁ δὲ ζυγοῖς ἀδίκοις ἀντεστάθμιζεν. Ὁ τοίνυν δίκαιος οὐδαμῶς ἠκριβολόγει, ὥστε ἐπὶ πολλαῖς

1. ἡ σπουδαία, ὡς νομίζω, αὕτη εἴδησις οὐ κεῖται παρὰ τῷ κ. Κεραμεῖ.

καθόδοις τοῦτο πράττων ὁ στήτωρ, καὶ θαυμάζων ὅτι μηδέπω ἐνεκλήθη, παῖδα ἀκολουθεῖν ἐκ διαστήματος τῷ ὁσίῳ ἐξέπεμψεν γνῶναι θέλων ὅποι τὸ καταβαλλόμενον ἀναλίσκεται ποσόν· καὶ γὰρ ἄδηλος τῷ ἀργυροπράτῃ ὁ ὅσιος ἐτύγχανεν ἐν τῷ κατακαλύπτεσθαι τὴν κεφαλήν (92B1)· τοῦ δὲ διαδιδόντος τοῖς κειμένοις κατ' ἔμβολον[1] καὶ ἐπί τινα νεκρὸν φθάσαντος, τοῦτόν τε λούσαντος ὕδατι, ὃ εἵληφεν ὁ ὅσιος ἐξ οἰκίσκου καπηλικοῦ, καὶ ἐγείραντος αὐτὸν καὶ ἀσπασαμένου, καὶ παλινδρομήσαντος τοῦ νεκροῦ, ὡς εἶδεν ὁ παῖς, ἔφυγε φρίττων, καὶ τῷ πέμψαντι ἀνήγγειλεν· ὁ δὲ ὠλόλυξέν ἐφ' οἷς ἠδίκησεν· καὶ παραγενομένου τῆς καταλλαγῆς χάριν καθ' ἑτέραν τοῦ ὁσίου τοῖς ποσὶ προσέπιπτεν, τὸ πλεονεκτηθὲν προσάγων ποσὸν καὶ συγχώρησιν αἰτῶν· ὁ δὲ μηδὲν εἰρηκὼς ἠδικῆσθαι οὐδὲν εἴληφεν· καὶ συνεχώρησε μὲν, ἀλλ' ἀνεχώρησε τοῦ συναλλάγματος.

ιδ'. Τοῦτον τὸν μακάριον ἄνδρα καὶ ὁ Θεὸς ᾠκειώσατο, καὶ ἄγγελοι ἐπήνεσαν, καὶ βασιλεῖς κατηδέσθησαν, καὶ δῆμοι κατεπλάγησαν, καὶ σύγκλητος ἐτίμησε καὶ μάλιστα ὁ ἐν πατρικίοις [σὺν] Ἄσπαρι γραφεὶς (B2) Ἀρδαβούριος· οἵ γε καὶ διάφοροι πρὸς ἡμᾶς περὶ τὴν ὀρθὴν ἐτύγχανον πίστιν, ἀλλ' ὅμως, αἰδοῖ τοῦ πατρὸς, πλεῖστα καὶ ἀξιοθέατα [πολυτε]λῆ σκεύη τῷ [σεπτῷ καὶ] παναγίῳ τῆς [μάρτυ]ρος Ἀναστασίας μαρτυρίῳ, οἷα πρὸς ἄρκτον αὐτῷ γειτνιῶντες, προσήνεγκαν. Ὅθεν τούτους ἀμειβόμενος ὁ ὅσιος ἀντίδωρον αὐτοῖς ἐχαρίσατο, διατυπώσας ἐφ' ᾧ τῇ πατρῴᾳ αὐτῶν γλώττῃ τῶν γότθων ταῖς ἐπισήμοις ἡμέραις τὰς θεοπνεύστους ἐν τῷ αὐτῷ ἁγιωτάτῳ μαρτυρίῳ Γραφὰς ἀναγινώσκεσθαι.

ιε'. Οὗτος ὁ τρόπος τοῦ πιστοῦ οἰκονόμου· οὗ καὶ τοῦτο ἄδεται· ὡς τῷ εὐαγεῖ τῶν ἁγίων κλήρῳ αὐτὸς ἐπενόησε τὰ λεγόμενα ἑβδομαρικὰ, ὅπως ἂν τὰ τῆς ἐκκλησιαστικῆς μὴ καταμελῆται χρείας.

ιϛ'. Τὰ περὶ τοῦ ὁσίου τούτου ἀνδρὸς τὶς γυνὴ συγκλητικὴ ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ ἀκηκουΐα, ἥτις αἱμορροΐᾳ ἐβασα(93A1)νίζετο χρονίᾳ, οὐδὲν ὠνούντων αὐτῇ τῶν ἰατρῶν, πίστει δὲ τοῖς δεῦρο ἐνδημήσασα, προσελθοῦσα τῷ ὁσίῳ τὰ τῆς μάστιγος ἀπήγγειλεν· οὕπω δὲ αὐτῆς τὸν λόγον πληρωσάσης, ἰάθη τῆς τοῦ αἵματος φορᾶς[2].

1. κατέμβολον ὁ Κδξ.
2. ἀμαθείας δεῖγμα τὸ χωρίον.

ιζ'. Τίς δὲ αὐτοῦ τὴν εὔπορον ἀπορίαν μὴ θαυμάσῃ; Μεταδιδοὺς γὰρ τὸν πλοῦτον, αὐτίκα ἐπένετο, ὥστε αὐτὸν εἰς ἄκρον καρτερίας καὶ ἀκτημοσύνης ἐλθεῖν· λέγεται γοῦν ὅτι ἐκ μνήμης ἁγίων ἐπανιόντος αὐτοῦ, καὶ γὰρ εἰς τὰ τοιαῦτα προθύμως ἀνέτρεχεν, κατάβροχος ὑπὸ ὄμβρου γέγονεν ὁ περικείμενος αὐτῷ χιτών· εἰσελθὼν τοίνυν εἰς τὸ ἑαυτοῦ κελλίον καὶ μετρίως ἐκπυρώσας ἄνθρακας ἔμεινε, τὸ ἱμάτιον αὐτοῦ καταψύγων· οὔτε γὰρ ἕτερον ἐκέκτητο εἰς τὸ περιβαλέσθαι καὶ τὴν προσέλευσιν ποιήσασθαι. Κατὰ συγκυρίαν δὲ ὁ τότε θεοφιλέστατος ἀρχιεπίσκοπος μετεπέμπετο τὸν ὅσιον (A2)· οἱ δὲ ἀποσταλέντες, κεκλεισμένον εὑρόντες τὸ κελλίον, ἠνώχλουν ἔξωθεν τὴν αἰτίαν λέγοντες· ὁ δὲ παραγενέσθαι ὑποσχόμενος διέτριβεν, διὰ τὸ μήπω κατεψύχθαι τὸ ἱμάτιον· συνέβη τινὰ τῶν καλούντων διὰ σανίδος θεάσασθαι τὸ γινόμενον καὶ τοῖς σὺν αὐτῷ ἐξαγγεῖλαι τὸ θεαθὲν, οἱ δὲ καὶ αὐτοὶ κατανοήσαντες ἀπῆλθον ἐκπεπληγμένοι καὶ ἅπαντα ταῦτα τῷ ἀρχιεπισκόπῳ διηγήσαντο· τὸν δὲ λέγουσιν ἀκούσαντα καὶ ἡσύχως ἐπιμειδιάσαντα τοῖς παροῦσιν εἰπεῖν· «Μηδεὶς θαυμαζέτω ταῦτα περὶ Μαρκιανοῦ μανθάνων· ταύτην γὰρ ἐκ νεότητος ἔσχε τὴν μελέτην, ὅλον ἑαυτὸν ἀναθεὶς τῷ φιλανθρώπῳ Θεῷ, καὶ ἔργῳ τὸ ἀποστολικὸν πληρώσας ἐν ᾧ εἴρηται «ἔχοντες διατροφὰς καὶ σκεπάσματα ἑαυτοῖς ἀρκεσθησόμεθα»—»[1].

ιη'. Ταῦτα ἐγὼ ὁ ἐλάχιστος (93B1) Σέργιος ἐκ τῶν τὰ περὶ τοῦ πατρὸς τούτου ἀκριβῶς ἐπισταμένων πολυπραγμονήσας, τισὶ δὲ καὶ αὐτὸς παρατυχὼν, ἐκ πολλῶν ὀλίγα συνέγραψα, εἰς τὸ τοὺς ἐντυγχάνοντας ἔργῳ δοξάζειν τὸν Θεὸν καὶ ζηλοῦν τὸν τοῦ ὁσίου βίον, ἵνα ταῖς αὐτοῦ πρεσβείαις ἀξιωθῶμεν τῶν αὐτοῦ πόνων μιμηταὶ γενέσθαι καὶ μέτοχοι τῶν ἐπικειμένων ἀγαθῶν τοῖς ἁγίοις ἀναδειχθῆναι. Δυσωπῶ δὲ τοὺς ἀναγινώσκοντας ἵνα, διὰ τὴν ἀγάπην τοῦ Θεοῦ, μνημονεύητέ μου καὶ λέγητε· «ὁ Θεὸς, ταῖς πρεσβείαις τοῦ ὁσίου Μαρκιανοῦ, ἱλάσθητι ταῖς ἁμαρτίαις τοῦ ταῦτα συγγράψαντος»· ὅπως καὶ ὑμεῖς ἀφέσεως ἁμαρτιῶν τύχητε, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

1. ἐνταῦθα λήγει τὸ κεραμεϊκὸν χαρτίον, ἀνοήτως προστιθὲν *χάριτι καὶ οἰκτιρμοῖς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ . . . . . κ.τ.λ.*

ΠΕΡΙΛΗΨΙΣ ΑΝΕΚΔΟΤΩΝ ΒΙΟΓΡΑΦΙΩΝ

ΤΟΥ ΟΣΙΟΥ

ΑΥΞΕΝΤΙΟΥ ΤΟΥ ΕΝ ΤΩι ΒΟΥΝΩι

Εἰς τὴν Ἱστορίαν τοῦ Ε΄ αἰῶνος, μετὰ τὴν βιογραφίαν τοῦ Μαρκιανοῦ, ἀνάγεται ἡ βιογραφία τοῦ σύρου μοναχοῦ Αὐξεντίου, ἀφ' οὗ ὠνομάσθη ὁ ὕπερθεν τοῦ Βρύαντος βιθυνικὸς βουνός, ὁ κοινότερον Καΐς-δὰγ ὀνομαζόμενος διὰ λέξεως τουρκικῆς. Ὁ μοναχὸς Αὐξέντιος ἦν, ὡς τεκμαίρεταί τις, ἔξοχος ἀνήρ, οὐκ ὀλίγους σχὼν βιογράφους, ἴσως ὅσους οὐδ' ὁ μέγας τῶν τοῦ Στουδίου μοναχῶν καθηγητὴς Θεόδωρος. Μίαν μὲν ἐγνώσκομεν μέχρι πρό τινος ἐκδεδομένην τοῦ ὁσίου ἀνδρὸς βιογραφίαν παρὰ Migne ἐν ΡΙΔ΄ τόμῳ τῆς Πατρολογίας αὐτοῦ, ἑτέραν δ' ἐξέδωκεν ὁ τὸν δεδεκάτομον ἐν Ἀθήναις ἐκδοὺς Συναξαριστήν· τρίτης, ἀνεκδότου, τὴν ὕπαρξιν ἐγνώρισεν ἡμῖν ἐν τῷ «Δοκιμίῳ περὶ θεάτρου καὶ μουσικῆς τῶν βυζαντινῶν» ὁ πολυμαθέστατος Κ. Ν. Σάθας, ἑτέρας δὲ διὰ τῆς «Ἱεροσολυμιτικῆς Βιβλιοθήκης» ὁ κ. Ἀθανάσιος Π. Κεραμεὺς ὁ τοῦ Παλαιστινιακοῦ Συλλόγου·

δυοῖν ἐντυχὼν ἐγὼ ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν Ἁγίῳ Ὄρει μονῆς μεγίστης Λαύρας ἔκρινα καθῆκον ἵνα καταστήσω γνωστὸν τὸ περιεχόμενον αὐτῶν τοῖς φιλόστορσιν· εἴ τι δ' ἐνόμισα χρήσιμον ταῖς τούτων μελέταις ἀρυόμενος αὐτὸ παρατίθημι.

Τὰ λαυριωτικὰ χερόγραφα εἰσὶν ἐπὶ μεμβράνης γεγραμμένα, τὸ μὲν ἀρχαιότερον κατὰ τὸν ΙΒ΄ αἰῶνα, τὸ δὲ νεώτερον κατὰ τὸν ΙΔ΄, καὶ ἐκεῖνο μὲν εἰς φύλλον, δίστηλον, φέρει ἀριθμὸν 186Ε, τοῦτο δὲ, εἰς τέταρτον, ἀριθμεῖται 99Γ. Τὸ ἀρχαιότερον ἐκτείνει τὴν βιογραφίαν ἀπὸ φύλλου 204α—247β, τὸ δὲ νεώτερον ἀπὸ φύλλου 21α—70α. Τὸ ἀρχαιότερον ὑποδεικνύει συγγραφέα μικρῷ τοῦ Αὐξεντίου μεταγενέστερον, καὶ ἄρχεται μὲν «Καλοὶ μὲν καὶ οἱ ἐξ ἀλλοδαπῆς χώρας καρποὶ ὅταν ὦσι γλυκεροί τε καὶ τρόφιμοι»—λήγει δὲ «δακρύων ροαῖς ἐπικαμπτόμενος ὡς φιλόκτενος πλήρου τὰ παρὰ|τούτων αἰτούμενα· εἰς δόξαν τοῦ Πατρὸς» κλπ. Κατὰ τὸ παλαιότερον, ὁ πιθανῶς σύγχρονος τούτου συγγραφεὺς φαίνεται καταγόμενος ἐκ τῶν περὶ τὸν βουνὸν τοῦ Αὐξεντίου μερῶν καὶ μοναχὸς, αὐτόσε βιῶν, ὡς ἐν 246αι γάρ ει «Ὦ πάτερ φιλοτεκνότατε καὶ ἡμέτερε δέσποτα» καὶ ὡς ἐκ τῶν ἐν 204β φερομένων κατ' αὐτὴν δὴ ταύτην τὴν ἀρχὴν τοῦ λόγου «Τοίνυν καὶ ὁ θεῖος Αὐξέντιος μᾶλλον παρ' ἡμῶν ἀγαπᾶται ὅτι τε πρώτιστος *ἐν τοῖς καθ' ἡμᾶς ὄρεσιν ἐκτραφεὶς* τῶν ἡδυσμάτων τῆς αὐτοῦ πολιτείας ἡμῖν τὴν ἀπόλαυσιν ἐχαρίσατο· καὶ ὅτι κόσμος καὶ καλλωπισμὸς *ἡμῖν ἐστιν οἰκειότατος*. . . . . ἀλλ' ἅμα μὲν ἡμῶν τὸ εὔγνωμον γυμνωθήσεται, οὓς εἰ καὶ πολὺ κατόπιν ἐλθεῖν ἀνάγκη τῶν πράξεων, ἡττωμένους τῇ τούτων μεγαλειότητι, ἀλλ' ὅμως ὁ πόθος πείθει τὸ χρεὼν καταβαλεῖν ὡς ἡ δύναμις». Ὥστε οὐδαμοῦ τῶν λόγων δείκνυναι τῆς ἐποχῆς τῆς βιογραφίας τεκμήριον· νομίζω δ' ὅτι διὰ τῶν λέξεων τοῦ προλόγου φαίνεται τὴν ἀφορμὴν τῆς συγγραφῆς διδοὺς ἕτερός τις· «Τί λέγεις, ὦ τῶν ἐμῶν ἐπιστάτα λόγων, ὦ χορηγὲ τῶν χρηστῶν τουτωνὶ πονημάτων;

Ἔχεις τὸ πρόθυμον· τὴν ἐν προοιμίοις ἔχεις ἁρμονίαν *ἐν εὐτελέσι πλήκτροις ἀνακρουομένην ὑπακοῆς*. Ταῖς εὐχαῖς λοιπὸν ῥῶσον τὸν λογισμόν· τόνωσον (20562) τὴν διάνοιαν· δίδου χεῖρα τῷ λόγῳ . . . . . καὶ δέχομαι καὶ πληρῶ τὸ ἐπίταγμα».—Τὸ νεώτερον χειρόγραφον νεώτερον ἔχει καὶ συγγραφέα· τὸν διάσημον Μιχαὴλ Ψελλόν· ἐπιγραφὴν ἡ βιογραφία φέρουσα «Λόγος τοῦ σοφωτάτου Ψελλοῦ. | Βίος καὶ πολιτεία τοῦ ὁσίου καὶ|θεοφόρου πατρὸς ἡμῶν Αὐξεντίου|τοῦ μεγάλου» ἄρχεται μὲν ὡς ἐξῆς «Ἀρχὴ μὲν ἡμῖν τῆς πρὸς τὸ ἀγαθὸν ἐκ τοῦ παλαιοῦ πτώματος ἀναστάσεως ὁ Κύριος πέφυκε καὶ Θεός»— λήγει δὲ «βοᾷ δὲ ὁ βίος καὶ τὰ θαύματα μέγα κέκραγεν, οὐχ ἃ πρότερον ἐπετέλει μόνον, ἀλλὰ καὶ ἃ νῦν βλύζει τοῖς χρῄζουσιν, εἰς τιμὴν τοῦ μεγάλου Θεοῦ» κλπ. Ἐξ ἀμφοτέρων, ὡς εἶπον, ἀνθολογῶ τὰ τοῖς φιλίστορσι χρήσιμα.

Τοῦ Αὐξεντίου γονεῖς καὶ πατρὶς ἄγνωστοι παρὰ τῷ Ψελλῷ· γνωστὸν δὲ τοῦτο· ὅτι στρατιώτης ὢν ἐπὶ Θεοδοσίου τοῦ νέου, ὃν λέγει *γενναιότατον ἄνδρα καὶ δραστήριον*, ἔλαβε μέρος εἰς πολλὰς στρατείας, εἶχε δὲ θεῖον ἐκ πατρὸς στρατηγὸν, ὑφ' ὃν ταχθεὶς ἦλθεν εἰς Κωνσταντινούπολιν· ἔνθα «τοῖς τοῦ βασιλέως ἁλοὺς ὀφθαλμοῖς, τό τε τοῦ σώματος αὐτοῦ θαυμάσαντος μέγεθος καὶ τὴν σὺν ἐπιστήμῃ τόλμαν ἐν οἷς ἐπεδείκνυτο, μέρος οὐκ ἐλάχιστον τοῦ πρώτου τάγματος τῶν ἱππέων ἐγένετο» (23β). Διετέλει δ' ὅμως ὁ ἀνὴρ προσευχόμενος διαρκῶς καὶ νηστεύων, τὰς τοιαύτας αὐτοῦ σκέψεις κοινούμενος «Σίττᾳ τινὶ καὶ Μαρκιανῷ· ὧν ὁ μὲν ἐξ ἀρχῆς (Σίττας δηλαδὴ) τὰ χριστιανῶν ἐμεμύητο, ὁ δέ γε Μαρκιανὸς, τὰ Ναυάτου (24α) πάλαι στέρξας νόμιμα, ἐπειδὴ τὴν πλάνην διέγνω, ταχὺ πρὸς τὴν ἀλήθειαν ἐπανῆλθε, τὴν προτέραν δόξαν ἐξομοσάμενος· ᾧ τοσοῦτον τὰ τῆς πίστεως ἐνεστήρικτο. ΩΣ ΚΑΙ ΔΙΔΑΣΚΑΛΟΥ ΤΑΞΙΝ ΛΑΧΕΙΝ ΚΑΙ ΤΟΝ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΘΡΟΝΟΝ ΚΑΡΠΙΟΝ ΤΗΣ ΕΥΣΕΒΕΙΑΣ ΛΑΒΕΙΝ[1]· μετεῖχε δὲ αὐτοῖς τοῦ σκοποῦ καὶ Ἄνθιμος, πᾶσαν ἀρετὴν ἐν βασιλείοις ἀνθῶν, ὃς διὰ τὴν τοῦ τρόπου σεμνότητά τε καὶ καθαρότητα τὰς βασιλικὰς σφραγίδας πεπίστευτο φύλαξ τῶν βασιλείων ἐπιστολῶν καὶ ὧν καὶ, λεγόμενος». Ἰωάννης δ' ὁ ἐπὶ στύλου διάγων «τὸν Ἕβδομον οὕτω λεγόμενον τόπον κατειληφὼς» ἐξῆρχε τῆς τετράδος ταύτης, ἐν ᾗ οἱ μᾶλλον ἀλλήλους φιλοῦντες καὶ τοῖς θείοις ναοῖς ὁμοῦ προσιζάνοντες Αὐξέντιος ἦσαν καὶ Μαρκιανός. Ἀλλὰ καὶ ὁ σύγχρονος βιογράφος ἐπίσης πατρίδα καὶ γονεῖς ἀγνοεῖ· «τοῦτο δὴ οὖν εἶμι λέξων, καὶ μόνον, *οὗ γε καὶ τὴν γνῶσιν ἔγγραφον ἔσχηκα*· ὡς ἐν ἀνατολικοῖς τισι κλίμασιν ἔσχε τὰς τοῦ γένους πηγὰς ὁ θαυμασιώτατος, ἀφ' ὧν ἐξανίσχων ὥς πέρ τις φαιδρότατος ἥλιος, εἰσήλασε τὸ Βυζάντιον, ἄρτι τελῶν εἰς ἥβῶν(206α1)τας καὶ πρὸς τὸν ἴουλον βαίνων, κατὰ τὸ πρῶτον ἄνθος τῆς φύσεως· ἠκηκόει γὰρ ἐνδιατρίβειν τῇ βασιλίδι τὸν πρὸς πατρὸς αὐτῷ θεῖον, ἀρχῆς οὐκ ἀσημοτάτης ἐπειλημμένον· ἀλλ' ἐπεὶ τὸν θεῖον μεμάθηκε τὸν βίον μετηλλαχότα, τῷ βασιλεῖ προσεληλυθὼς, ὁ νέος δ' ἦν Θεοδόσιος, εἶλε τοὺς βασιλικοὺς ὀφθαλμοὺς» κλπ. καθὰ γινώσκομεν ἤδη· «καὶ τοῖς τοῦ στρατηλάτου σχολαρίοις ἐκ πρώτης ἐγκατεγράφη». Ἐκτίθησιν εἶτα τὸν αὐστηρὸν αὐτοῦ βίον καὶ τὴν ἐν *Λειτουργίαις παρρήχοις* στάσιν, καὶ τὸν πρὸς τοὺς τότε μονάζοντας σεβασμόν· οὗ ἕνεκεν (20761). . . . . «ἔνθα πεφήμιστό τις τὸν μονήρη βίον ἀσκητικώτατος, ἐκεῖ παρῆν Αὐξέντιος πανημέριος· τὸ δέ γε πλεῖστον ἐν τοῖς τοῦ Ἑβδόμου, τοῦ κειμένου πορρωτάτω τοῦ ἄστεος». Ἐπαινεῖ τὸ φιλελεῆμον ὁ βιογράφος, ἀναφέρων καί τι θαῦμα, καὶ δίδωσι λόγον τῆς περὶ τοὺς ναοὺς καὶ τὰς ἀγρυπνίας καὶ τὰ μοναχικὰ συστήματα συχνῆς ἐνδιατριβῆς: «τῆς γὰρ (209α2) βαρβαρικῆς ἁπάσης χειρὸς ἠρεμούσης παντάπασι, πᾶν ὄργανον ἠρέμει τότε τοῖς ῥωμαϊκοῖς στρατοπέδοις πολεμικόν· διὸ ῥωμαλεώτερον τοὺς πνευματικοὺς ἀγῶνας (20961) οὗτος μετεχειρίζετο».... καὶ μετὰ τοὺς λόγους τούτους ἄρχεται τῆς ἀφηγήσεως τῶν θαυμάτων, πρώτου μὲν τοῦ γενομένου γυναικί τινι, ἥτις «ἐγγαστρίῳ φόρτῳ βαρυνομένη, τὴν κοσμοῦσαν αἰδὼ τὸ θῆλυ πόρρω που ῥίψασα, τὸν συνδέοντα κρώβυλον περιελοῦσα τῆς κεφαλῆς . . . . . προσυπήντησεν αὐτῷ»· καὶ δευτέρου τοῦ περὶ πτωχούς τινας οἰνοπώλας, παρ' οἷς ἑκουσίως προσελθὼν ὑπηρέτης ἐγένετο αἴτιος αὐτοῖς πλουτισμοῦ, διὰ τῆς εὐλογίας «ὡς ἅπαντας

1. ἐντεῦθεν εἰκάζω ὅτι ὁ Μαρκιανὸς ἐγένετο πρωτοδιδάσκαλος τῆς Οἰκουμενικῆς σχολῆς.

τοὺς ἀσκοὺς αὐτῶν ὑποπλῆσαι», ἐξ οὗ βλέπομεν μήτε βυτία, μήτε πίθους ἔχοντας εἰς χρῆσιν τοὺς τότε καπήλους.

Εἶτα περὶ τοῦ βουνοῦ γράφει «βραχὺ (212 α 2) τῆς Χαλκηδόνος διεστηκός, ὅπερ Ὀξεῖα Πέτρα κικλήσκεται, τὴν ἐπωνυμίαν συμβαίνουσαν τοῖς πράγμασι κληρωσάμενον (212 β 1)· οἱ γὰρ ἐν αὐτῷ βῶλοι βαρεῖς εἰσί, κατὰ τοὺς αἰγυπτίους, καὶ τραχεῖς καὶ ἀνώμαλοι· τὸ δὲ ἀνώμαλον ἀκμαὶ τῶν λίθων ὑπάρχουσιν, ὡς τε κρούσαντας διπλοῦν ἐν ταὐτῷ τὸ τραῦμα ἐργάζεσθαι καὶ οἴδημα ὡς ἀπὸ λίθου καὶ τομὴν ὡς ἀπὸ βέλους· οὗπερ κατὰ τὴν προνενευκυῖαν πλευρὰν ἐπὶ τὸ πρανὲς εὑρηκὼς ἄντρου σχῆμά τι θαυμασιώτατον, τὸ τοιοῦτον οἰκεῖν ἠρετίσατο· ὅπερ κατά γε μεσημβρίαν δι' ὀπῆς ἀνοιγόμενον ὠρόφοται μὲν ἔνδοθεν εἰσιόντι σοι, εἰς ἄγαν δὲ βρα(212β2)χυτάτους αὐλῶνας, καὶ ὅσον ἐν ὁρμῇ ὄντας τοῦ γενέσθαι αὐλῶνας, κοιλαινόμενον κατασχίζεται· οἱ σιδηρίοις μὲν δοκοῦσι λελατομῆσθαι, φύσει δὲ κοῖλοι καὶ σηραγγώδεις εἶναι πιστεύονται . . . . . ὑπερανεστηκυίαις δὲ καὶ ἀπορρῶξι πέτραις τὸ πετραῖον ἄντρον τουτὶ μεσολαβούμενον κύκλωσε καθάπερ ἐπάλξεσι τειχέων ἔρυμα ταύτας πρὸς τὰς θυέλλας τῶν σφοδροτάτων ἀνέμων προβέβληται». Μετὰ δὲ τὴν ἀναγραφὴν καὶ πάλιν θαυμάτων, ἔρχεται ὁ βιογράφος εἰς τὸν περὶ τῆς Δ΄ ἐν Χαλκηδόνι Συνόδου λόγον (223α1)· «Ὁ μέν τοι χρηστὸς βασιλεὺς καὶ ὁ τότε δὴ Θεοῦ ψήφοις ἐπὶ τῶν ἱερατικῶν ἰάκων[1] καθήμενος Ἀνατόλιος, κεκλιμένην ἐπὶ γόνυ θεώμενοι τὴν εὐσέβειαν καὶ τὸ (223α2) σύστημα τῶν πιστῶν κυκώμενόν τε καὶ ταρασσόμενον, καὶ κυμαινούσας ἔχοντες τὰς ψυχὰς ἐπὶ τούτοις, δεῖν ᾠήθησαν τοὺς ἁπανταχοῦ τῆς οἰκουμένης εὐσεβεστάτους ἀρχιερεῖς κελεῦσαι συναθροισθῆναι. . . . . παρεῖναι δὲ ταῖς ψήφοις καὶ τὸν μέγαν Αὐξέντιον» — οὐ τὰς γνώμας καὶ τὰς περὶ τῶν αἱρεσιαρχῶν ἰδέας ἠγνόουν, ὡς ἐκ τῶν γραφομένων τοῦ βιογράφου δείκνυται σαφῶς· — διὸ δὴ καὶ οἱ πρὸς πρόσκλησιν τοῦ Αὐξεντίου πεμφθέντες ἦσαν τῶν τῆς *Ἐκκλησίας τροφίμων δοκιμώτατοι τὴν τῶν θείων ἐμπειρίαν*[2].

Αἱ κατόπι σελίδες οὐδὲν χορηγοῦσι χρήσιμον τῷ πολυπραγμονοῦντι τὴν Κωνσταντινούπολιν καὶ τὴν ἱστορίαν αὐτῆς· ὅθεν ἔρχομαι εἰς τὴν τοῦ Αὐξεντίου κατάβασιν ἐκ τῆς Ὀξείας. Ἀνακλιθεὶς ἐφ' ἁμάξης συρομένης ὑπὸ βοῶν καὶ καθ' ὁδὸν διαπράξας θαύματά τινα (227β2) . . . . «ἤδη χωρίον τι καταλαβόντι, ᾧ Διγίδες ἡ κλῆσις, προσυπαντᾷ νεανίσκος δαίμονι κάτοχος. . . . . κλπ. (229α1). Ἐπεὶ δὲ οὕτως ἁμαξευόμενος τὸ τοῦ Ἀντιφίλου κατείληφε μοναστήριον, ὅπερ ἐπ' ὀνόματι τοῦ ἐν γεννητοῖς γυναικῶν[1] ὑπὲρ ἅπαντας ἵδρυταί τε καὶ κέκληται, ἔνθα δὴ καὶ τὸ τοῦ κρατοῦντος καραδοκεῖν ἔμελλε σύνθημα . . .» Τότε προσελθόντες αὐτῷ (230α1) «στρατηλάτης τις τοὔνομα Κωνσταντῖνος καὶ κόμης Ἀρτάκιος, πιστοτάτω φίλω τούτῳ τυγχάνοντε, χρυσίῳ παρειχέτην ἀπόδεσμον, βατράχῳ οἶνον κιρνῶντε, φασὶν οἱ παροιμιάζοντες· ὁ δὲ λαβεῖν ἐν χερσὶν οὐκ ἠνέσχετο, ἀλλ' «Αἱ ἐμαὶ χεῖ(230α2)ρες, εἶρηκε πρὸς αὐτούς, οἱ ὄρειοι ὑπάρχουσι πένητες· τῇ πρακτικῇ καὶ οὗτοι γὰρ συντελοῦσιν οὐχ ἥκιστα· ἄνιτε τοίνυν καὶ τοὺς χρυσοῦς ἐκείνους ὁρέξατε, τὰς ἐμὰς τάς δε χεῖρας ἀπέχειν τούτους πληροφορούμενοι». Καὶ οἱ μὲν τὸ κελευσθὲν ἐξιόντες εὐθὺς πεποιήκασιν. Ὁ δὲ τῆς τοῦ ἁγίου Ὑπατίου τῷ τότε χρόνου μονῆς ἡγεμών, ἥτις ἐν τοῖς Ῥουφίνου κεῖται παράλιος[2], ἀνὴρ φίλος ὑπάρχων τῆς ἀρετῆς» ἐλθὼν ἐκάλεσεν εἰς τὴν μονὴν ταύτην τὸν Αὐξέντιον, ὅστις καὶ μετέβη· καὶ ἀπὸ ταύτης, διὰ βασιλικῆς νηὸς, ἐπὶ τούτῳ πεμφθείσης, ἦλθεν εἰς τὸ Ἕβδομον (230β2) «ἀπῄει γὰρ ὁ βασιλεὺς τότε μετά γε τῆς συγκλήτου πάσης πρὸς τὸ τοῦ ἠγαπημένου μαθητοῦ τέμενος, τελέσων τελετὴν αὐτῷ τὴν ἐτήσιον, καὶ τὸν θρίαμβον ἦν τελῶν πομπικώτερον». Ἐκεῖ μετὰ τοῦ βασιλέως ἐλάλησεν, ὡς καὶ τῶν βιογράφων οἱ λοιποὶ γράφουσι, πρὸ τῆς ἱεροτελεστίας, διότι ἀναφέρεται ὅτι (231β1).... «ὁ μὲν τῆς πομπῆς εἶχετο καὶ τῆς ὁρμῆς ὁμοῦ πρὸς τὸ τέμενος, ὁ δὲ πανάγαστος ἀναπλεύσας πάλιν ἐν τῷ τοῦ ἁγίου Ὑπατίου φροντιστηρίῳ, καὶ ἑωρακὼς ἐπὶ τῶν παρακτίων ὄχθων μυριάνθρωπον πλῆθος ἐγηγερμένον». . . . . κλπ. Μετὰ βραχὺν χρόνον με-

1. διὰ χειρὸς μικρῷ μεταγενεστέρας· ἴσως τὸ κείμενον ἔδει γράφειν *θώκων*.

2. Πρακτικὰ Συνόδων Labbei· τόμος Δ΄, στήλη 981· ἐν ἐπιστολῇ τῆς ἐν Κωνσταντινουπόλει συνόδου πρὸς τὸν ἀρχιμανδρίτην Εὐτυχέα γράφεται ὅτι «*Ἰωάννης καὶ Παῦλος οἱ πρεσβύτεροι εἰς τὰ ἐν Χαλκηδόνι διαβήσονται μοναστήρια*, ἐπὶ τῷ γνῶναι παρ' αὐτῶν, εἰ ἀπεστάλη αὐτοῖς τόμος παρὰ τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς πείθοντος αὐτοὺς» κλπ.

1. ἐπ' ὀνόματι δῆλα δὴ τοῦ Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου.

2. πιστότατος μάρτυς ὅτι τῶν Ῥουφινιανῶν ἡ μονὴ παράλιος ἦν· τῇ λέξει *παράλιος*, καίπερ οὐχ ἁρμοζούσῃ, χρῶμαι ἵνα μὴ παρά τινι τῶν ἀναγνωστῶν τῇ **ἀκτῇ** συγχέηται ἡ **παραλία**.

τεπέμψατο Μαρκιανὸς ὁ αὐτοκράτωρ τὸν Αὐξέντιον καὶ μαθὼν ὁμοφρονοῦντα τῇ Συνόδῳ παρέστησεν αὐτῇ, καὶ τῶν ἐν τῇ Συνόδῳ *ψηφισθέντων γερόμενος αὐτήκοος* ὁ Αὐξέντιος ἐπανῆλθεν εἰς τὴν φίλην ἡσυχίαν, κατοικήσας ἐν μικρῷ κελλίῳ *οὐχὶ ἐπὶ τοῦ ὄρους τῆς Ὀξείας* (233α1) «*ἀλλ' εἰς τὸν ἀντικρὺ τούτου βουνὸν, τραχύτερόν τε ὄντα καὶ ὑψηλότερον. . . . . ὃς Σκοπὸς* (233α2) τοῖς πλησιοχώροις κατονομάζεται, τῷ, ὡς οἶμαι, τὸν ἐκεῖ ἀνελκυσθότα ἐν περιωπῇ γεγενημένον πολλῇ, οἷα δὴ τοῦ βουνοῦ τῶν πέριξ βουνῶν τε καὶ ὀρέων ὑπερανεστηκότος ἀποσκοπεῖν ἐξ ἀπόπτου μετέωρόν τι καὶ ὑπερόριον».

Ἀλλὰ περί τε τοῦ βουνοῦ τούτου καί τινων πράξεων Αὐξεντίου τοῦ σύρου μοναχοῦ ἀκούσωμεν ἀφηγουμένου καὶ τοῦ Ψελλοῦ· ὅστις, τὴν περὶ Μαρκιανοῦ τοῦ οἰκονόμου καὶ πρεσβυτέρου σπουδαιοτάτην εἴδησιν ὅτι *διδάσκαλος οἰκουμενικὸς οὗτος ἐγένετο* διασώσας, καὶ περὶ τοῦ ναοῦ τῆς Ἁγίας Εἰρήνης γράφων «ὅτι δὴ ἐπιθαλάττιός τέ ἐστι καὶ ὀφθαλμοῖς κάλλιστον θέαμα» (25α), μετὰ τὴν ἀφήγησιν θαυμάτων τινῶν τοῦ Αὐξεντίου, παραδίδωσιν ὅτι τοῦ πλήθους ἐν Κωνσταντινουπόλει διαιρεθέντος, ἕνεκα τῶν καὶ πρὸς τὴν ὀρθὴν πίστιν καὶ πρὸς ἀλλήλας ἀντιτιθεμένων ἑτεροδιδασκαλιῶν Εὐτυχοῦς καὶ Νεστορίου, μακρὰν τῆς πόλεως ἀπῆλθε (306) «καὶ μικρόν τι τὴν Χαλκηδόνα παραλλάξας, πόλις δὲ αὕτη πάλαι μὲν ἐπιφανὴς καὶ διάσημος, ... ταύτην δὴ παραμείψας, ἐπὶ τὸ κατ' εὐθὺ ὄρος, κατὰ τὸ πλάγιον μέρος τῆς πόλεως κείμενον, ἄνεισιν· ὅπερ δὴ πάλαι μὲν οὔπω μεγίστου ὀνόματος κατῃξίωτο. . . . . (31α) τοῦτο δὴ τὸ ὄρος ἀνιὼν, ἐπί τινος *πέτρας, Ὀξείας* οὕτω λεγομένης, *ἴσως ἀπό γε τοῦ σχήματος*, τοὺς πόδας ἐστήριξε» κλπ. Κατόπιν ἀναφέρεται τὸ θαῦμα τὸ περὶ τοὺς ποιμένας, ἐξ οὗ, τῆς φήμης ὡς ἀνδρὸς ἁγιωτάτου διαδοθείσης (32β) «τὸ πλῆθος καταπλαγέντες, πρὸς τὸ ὄρος, ὡς εἶχον τάχους, ἀνέδραμον . . . . . καὶ μετ' αἰδοῦς ἀπάσης κατασπασάμενοι, ἠξίωσαν ἐκεῖνο μὲν τὸ *μέρος ἀφεῖναι τοῦ ὄρους, ἐπὶ δὲ τὴν κατάντικρὺ ἀγιέναι περιωπὴν*, ἔνθα τε καὶ χειροποίητον τούτῳ οἰκίδιον σχεδιάσαντες, ἐκεῖσε (33α) ἀφέντες, αὖθις κατήεσαν». Εἶτα γίνεται θαυμάτων διήγησις, ὧν ἓν δεικνύει τὸν συγγραφέα κάτοχον γνώσεων ἰατρικῶν τῆς τότε ἐποχῆς· (36β) «Ἀμέλει δύο ποτέ τινας κατεσχήκει νόσος, ἱερὰν ταύτην ἐπευφημοῦντες κεκλήκασιν οἱ πολλοί, παρὰ δέ γε τοῖς ἀσκληπιάδαις ἐλέφας αὐτῇ ὄνομα· δύο δὲ λόγους περὶ τῆς κλήσεως ταύτης ἐγὼ ἐντετύχηκα· ὁ μὲν γὰρ διότι μέγα τὸ πάθος ἐστὶ καὶ ἰατρικαῖς χερσὶν ἀνάλωτον, τῷ μεγέθει προσίκασε τοῦ ἐλέφαντος, κἀντεῦθεν αὐτῷ τὴν κλῆσιν ἐπήνεγκεν· ὁ δὲ τὸ θηρίον οἴεται τὸν ἐλέφαντα αἴτιον τοῦ ἐπὶ τῷ πάθει ὀνόματος· τῷ γὰρ νοσήματι τούτῳ (37α) ἀλωτὸν εἶναι τὸ θηρίον λόγοι φασὶ φυσικοί· ἔνθεν τοι καὶ τὸ περὶ τὸν λαιμὸν πνῖγμα κυνάγχην οἱ πολλοὶ ὠνόμακασιν, ὅτι τοῦ κυνὸς ἰδιαίτατον τοῦτο τυγχάνει πάθημα· ὅτι μὲν οὖν τῷ κυνὶ τοῦτο τὸ πάθος φυσικῶς ἐπιγίνεται οὕτω δὴ τοῖς εἰρηκόσι περὶ αὐτοῦ ἐντετύχηκα· τὸ δὲ τοῦ ἐλέφαντος πάθος συμφυές ἐστι τῇ τε φύσει αὐτοῦ καὶ τῷ χρώματι· πλεονάζει γὰρ αὐτῷ μάλιστα τῶν χυμῶν ὁ μέλας· ἔνθέν τοι καὶ περὶ τὸ γῆρας τὴν φυσικὴν ἀποβάλλων θερμότητα, χείρονος αἰσθάνεται τοῦ χυμοῦ μονωθέντος τῆς ἐναντίας τούτῳ ποιότητος, ἐντεῦθεν δέ, σήψεως αὐτῷ προσγενομένης, ἐξανθεῖ τὸ ζῶον τοῖς ἀπὸ τοῦ χυμοῦ τούτου οἰδήμασι, καὶ τὴν ἐντεῦθεν καλουμένην πάσχει ἐλεφαντίασιν».

Μετὰ ἀφήγησιν πάλιν θαυμάτων τινῶν, ὁ Ψελλὸς ἀναφέρει τὴν ὑπὸ Μαρκιανοῦ τοῦ αὐτοκράτορος πρόσκλησιν τοῦ Αὐξεντίου εἰς τὴν Δ΄ ἐν Χαλκηδόνι Σύνοδον, ἣ μᾶλλον εἰς τινα μετὰ τοῦ Μαρκιανοῦ συνέντευξιν, λέγει δ' ὅτι, πλησιάσαντος τοῦ μάκαρος Αὐξεντίου (45β) . . . . . «τῇ καταγωγῇ, ἣ δὴ παρὰ τοῦ βασιλέως αὐτῷ ἐπιτέτακτο, ἦν δὲ αὕτη ὁ τοῦ Προδρόμου νεὼς, οὐ μακρὰν τοῦ ὄρους ἀφιδρυμένος. . . . . (46α) καὶ πᾶσιν ὁμοῦ ἐπευξάμενοι τὴν τοῦ Βαπτιστοῦ εἰσῆει μονὴν . . . . . (46β) ἄρτι δὲ τῆς ἁμάξης ἀποβαίνοντι, μειράκιόν τι» κλπ. ἐξ οὗ φαίνεται ὅτι ἦν οὐχ ἡ τοῦ *Προδρόμου μονὴ κατὰ τὸ Ἕβδομον* διότι ἐφ' ἁμάξης ἦλθεν εἰς αὐτὴν ἐκ τοῦ βουνοῦ. Τὰ μετὰ ταῦτα γραφόμενα χρήσιμά εἰσιν ἡμῖν διότι, τὴν μονὴν ἀφεὶς τοῦ Προδρόμου ταύτην «ἐπὶ τὸ ἔγγιστα κατελήλυθε *μοναστήριον, ὃ δὴ οὐ πόρρω μὲν τοῦ ὄρους καθίδρυται, τῇ θαλάσσῃ δὲ προσκέκευκε, καὶ τοῖς τοῦ μάρτυρος Ὑπατίου καταλάμπεται θαύμασιν, ἀφ' οὗ δὴ καὶ τὴν ἐπωνυμίαν ἔσχηκεν*[1] . . . . . οἵ τε τὴν ἄσκησιν ἐκεῖσε ποιούμενοι, θεῖοί τινες ἄνδρες πῷ ὄντι τυγχάνοντες, ὡς Θεῷ προσανεῖχον αὐτῷ, καὶ τὰς ἀκοὰς ὑπετίθουν τοῖς παρ' ἐκείνου λεγο-

1. ἐξ οὗ δή πως ὁρίζεται τῆς τῶν Ῥουφινιανῶν μονῆς ἡ τοποθεσία, οὐκ ἐπὶ βουνῶν κειμένης.

μένοις, καὶ τὴν ζωὴν ἐπὶ τὸ κάλλιον μεταμείψαντες κατὰ τὰς ἐκείνου ὑποθήκας ἐπολιτεύοντο». Λέγει δ' ὅτι καὶ κατὰ τὰς τῆς Δ' Συνόδου συσκέψεις «ἐπιστὰς, ἀμφίστομος ὡς ἀληθῶς τῇ συνόδῳ διεδείκνυτο μάχαιρα»· μεθ' ὃ, Μαρκιανὸς ὁ αὐτοκράτωρ πολλὰ τὸν ἄνδρα τιμήσας, οἷα καὶ σεβόμενος, ἀπέλυσε, δῆθεν μετὰ τὴν τῆς Συνόδου λῆξιν, ἐπανῆλθε δ' ὁ Αὐξέντιος εἰς τὸν βουνόν· (52β) «ἀμέλει ἠξίου τοὺς ἑπομένους αὐτῷ *πρὸς τῷ τοῦ Σκοποῦ ὄρει* τὴν σκηνὴν τούτῳ συμπήξασθαι, *ὃ δὴ ταπεινοτέραν μὲν τοῦ προτέρου τὴν θέσιν εἰλήφει, τραχυτέραν δὲ τὴν φύσιν παραπολύ*» καὶ κατασκευάσας κλωβὸν ἠσκεῖτο, καὶ τὸ συῤῥέον πλῆθος ἐδίδασκε κατ' Εὐτυχοῦς καὶ Νεστορίου, πολλὰ, κατὰ τὴν βιογραφίαν, ὑπὸ τῶν δαιμόνων πειραζόμενος Δι' ἡμᾶς ὅμως σπουδαιότερα τὰ μετὰ ταῦτα γραφόμενα· (55β) «Ἐπήνθουν δὲ τῷ μακαρίῳ καὶ φυσικαί τινες χάριτες, οἷον ῥώμη σώματος, μέγεθος ἡλικίας, κάλλος μορφῆς, φωνῆς τόνος, ἐμμελὴς ἦχος πρὸς πᾶσαν ψαλμῳδίαν θεόπνευστον ἀκριβῶς μουσουργούμενος. Καὶ ἦν ἀτεχνῶς Δαυὶδ ἄλλος τῷ καθ' ἑαυτὸν βίῳ, πλὴν ὅσον οὐκ αἰσθητὸν μεταχειριζόμενος τύμπανον, οὐδὲ τὰς ἐν τῷ ψαλτηρίῳ πλήττων χορδὰς, ἀλλ' ἑαυτῷ ὀργάνῳ πρὸς εὐφωνίαν χρώμενος. Ἵνα γὰρ μὴ δυσχεραίνῃ τὸ πλῆθος τῆς ψαλμῳδίας τὸ σύντονον, στιχήρη οἷον ποιούμενος ᾄσματα καὶ μέλεσι ταῦτα ῥυθμίσας τερπνοῖς, ἐκ διαδοχῆς ἐδίδου τοῖς συνειλεγμένοις ἀντᾴδειν· οὐδὲν δὲ οἷον καὶ αὐτὰς παραθεῖναι ψιλὰς τὰς ᾠδάς· «Πτωχὸς καὶ πένης ὑμνοῦμέν Σε, Κύριε». Εἶτα δὴ ὁ κοινὸς ἐπῳδὸς «Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι». Τούτῳ ἐπικινουμένῳ τῷ μέλει ὁ ἕτερος ἀντῇδε χορός· «Στρατιαὶ ἐν οὐρανοῖς ὕμνον Σοὶ ἀναπέμπουσι· καὶ ἡμεῖς οἱ ἐπὶ γῆς τὴν δοξολογίαν». Εἶτα τὸ ἐπὶ πᾶσιν «Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος, Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης Σου» (56 α). Καὶ αὖθις ἐκ διαδοχῆς ὁ κατάρξας χορός· «Δημιουργὲ πάντων· Εἶπας καὶ ἐγενήθημεν· Ἐνετείλω καὶ ἐκτίσθημεν· Σῶτερ εὐχαριστοῦμέν Σοι»[1]. Οὕτω τοιγαροῦν ἀντᾴδοντες πρὸς ἀλλήλους ἐκ διαστήματος οἱ χοροὶ καὶ μέλεσι καταποικίλλοντες τὰ ᾄδόμενα ἀκμῆτες ἦσαν καὶ νεαροὶ, πρὸς τὴν ἠχὼ τοῦ μέλους ἀντεγειρόμενοι, καὶ τῷ διαφόρῳ τῆς μουσουργίας συντονώτατα διανιστάμενοι πρὸς τὴν ἀντήχησιν τῶν μελῶν. Συνήχει δὲ τούτοις καὶ ὁ μακάριος, ἐμμελέστατα τὴν φωνὴν κάμπτων καὶ πρὸς τὸ μέλος ἐπιτείνων ἢ ἀνιεὶς τὴν φωνὴν, καὶ τὴν ἁρμονίαν συντιθεὶς εὐφωνότατα. Ἀναβαλλομένοις δὲ τοῖς ψάλλουσι τὴν τῶν τριῶν Παίδων ᾠδὴν, τηνικαῦτα κορυφαῖος αὐτοῖς ἐγίνετο τοῦ χοροῦ καὶ, ὑψοῦ τὴν φωνὴν αἴρων. εὔηχόν τι ἐρθέγγετο καὶ τορὸν «Ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας». Τούτοις δὲ τοῖς μέλεσιν ἡδέως καὶ αὐτὸς ἐντυγχάνω· εἰμὶ μὲν φιλομουσότατος· αἱρεῖ δέ με οὐ τοσοῦτον ἡ συνθήκη τῶν ᾀδομένων φωνῶν, ὅσον ἐπιτερπῶς τὸ μέλος τοῖς ᾄσμασιν ἁρμοζόμενον καὶ εὔηχον ποιούμενον τὴν ᾠδήν. Εἰ μὲν οὖν καὶ τὰ κατὰ τὸν (56β) οὐρανὸν κινούμενα ἢ ἀντικινούμενα μέλους εἶεν ἐργαστικὰ, ἄλλοι λεγέτωσαν. Ἐγὼ δὲ παρὰ τῆς Γραφῆς οἶδα καὶ τὰ πρῶτα περὶ Θεὸν τάγματα ἁρμοδιωτάτην τῷ δημιουργῷ φωνὴν ἀναπέμποντα· καὶ ἡμῖν δὲ ὅσα τῶν ᾀδομένων ἐν ἐκκλησίαις μετὰ χάριτος ἐμμελοῦς σύγκειται ἐνδύεται μάλιστα τῇ ψυχῇ, καὶ κἂν, ἐμοῦ ἕνεκα, μηδὲν εἴη ψιλὸν λεγόμενον τῷ Θεῷ, ἀλλὰ μεστὰ ῥυθμοῦ τε καὶ τέρψεως. Ἀλλὰ ταῦτα μεν ἐς τοσοῦτον παρατεθεωρείσθω ἡμῖν».

Τὰς ἀρετὰς δὲ καὶ πάλιν ὁ Ψελλὸς ἐπαινῶν Αὐξεντίου, στρέφει τὸν λόγον περὶ τὰς ἑορτασίμους διατάξεις, ἰδίᾳ περὶ παρασκευῆς καὶ κυριακῆς, ἀλλ' ἔχει τὴν ἑξῆς διασάφησιν (61 α) «Τοιαῦτα μὲν οὖν τοῖς τελειοτέροις ὁ μέγας ἐμυσταγώγει πατήρ· *Τοῖς δέ γε ἀτελεστέροις κατὰ τὴν ἄλλην παιδαγωγίαν* καὶ δύο τῆς ἑβδομάδος ἀφῄρει ἡμέραις, τήν τε κυριακὴν καὶ τὴν λεγομένην παρασκευὴν, ὡς ἂν ἐν ταύταις πανημέριοι τῷ Θεῷ προσεδρεύωσι καὶ τὴν μὲν παρασκευὴν, αὐτὸ δὴ τοῦτο, παρασκευάζοιντο πρὸς τὴν τῶν θείων μυστηρίων μετάληψιν, τὴν δὲ κυριακὴν, μυούμενοι τὰ θειότερα, τῷ θείῳ προσανέχοιεν».

Παριστῶν δὲ τὸν Αὐξέντιον ὁ Ψελλὸς ὡς ἀξιωθέντα καὶ θείων ἀποκαλύψεων, καὶ σαφῶς ἀγγείλαντα τοῖς σὺν αὐτῷ τὸν τοῦ στυλίτου Συμεὼν θάνατον, ἀναγράφει πολλὴν γυναικῶν προσέλευσιν αἰτουμένων ἵνα καταρτίσωσι συστήματα μοναχικά· καθ' ὃν δὲ γράφει τρόπον φαίνεται δεικνὺς ὡς μήπω καταρξαμένας ἐν Κωνσταντινουπόλει τὰς γυναῖκας τοῦ μοναδικοῦ συστήματος, πρὸς ὃ ἀντίκεινται τὰ περὶ τῆς ὁσίας Δομνίκης ἡμῖν παραδεδομένα. Μετὰ τὸν τῆς Πουλχερίας δηλ. θάνατον, προσῆλθεν Αὐξεντίῳ Στεφανὶς ἡ τοῦ τε κατὰ Θεὸν ζήλου καὶ τῆς γνώμης ἐκείνῃ κοινωνὸς γενομένη· ταύτην δὲ παρήνεσεν ὁ Αὐξέντιος *τὴν πεδιάδα τῆς Σκοπιᾶς ἀνταλλάττεσθαι* (65α), δηλῶν διὰ πολλῶν λόγων ὅτι δυνατὸν εὐαρεστῆσαι Θεῷ καὶ τὸν ἐν πόλεσι μένοντα. Ἐπιμένουσαν οὖν ἔκειρε μοναχὴν, ἥτις ἐγένετο τῶν ἐκεῖ μοναστριῶν ἀρχηγέτης «κατὰ τὴν ἑτέραν τοῦ ὄρους πλευράν»· ταύτῃ δὲ προσῆλθε δευτέρα μονάστρια ἡ Κοσμία, καὶ ἄλλαι, ὥς τε ἀνάγκη ἐγένετο τῆς οἰκοδομῆς ἰδίου μοναστηρίου δι' αὐτὰς, ὧν τὸ φόρεμα καὶ ὡμοφόριον περιγράφεται καθ' ὃν τρόπον καὶ ἄλλοθεν γινώσκομεν. Περίεργον δὲ τὸ περὶ θεμελιώσεως τῆς γυναικείας μονῆς *Τριχυραΐας*, ὅτι, πολλοῦ πλήθους ἀνδρῶν τε καὶ γυναικῶν ἐπὶ τούτῳ προσκληθέντος, ἐξῆλθεν ἐκ τῆς κέλλης ὁ Αὐξέντιος (66β) «νεάζων τῷ πνεύματι· *εἶτα δὲ τὸν λαὸν* ΕΚΑΤΕΡΩΘΕΝ ΔΙΕΛΩΝ *ἐκ διαστήματος* ΣΤΙΧΗΔΟΝ, *ᾅδειν τε ἐπιτάξας καὶ ὕμνοις γεραίρειν τὸν ἐπὶ πάντων Θεὸν*, αὐτὸς, οἷά τις μυσταγωγὸς τῆς θείας ἐκείνης τελετῆς τε καὶ πανηγύρεως (67α) κατόπιν τοῖς ὅλοις ἐβάδιζε, τῶν θείων τούτων ἐξάρχων ᾠδῶν καὶ τῶν ψαλμῳδιῶν καταρχόμενος»· ἐλθὼν δ' ἐπὶ τὸ μέρος, ἐν ᾧ τὴν γυναικείαν ἔμελλεν ἐγεῖραι μονὴν τῇ κοινῇ συνεισφορᾷ, εἶπεν εὐχὴν βραχυτάτην, διέγραψε τὸ σχέδιον τοῦ μοναστηρίου, καὶ «πρῶτος αὐτὸς τὴν κρηπίδα προκατεβάλλετο, λίθον τινα τῇ διώρυχι θέμενος ἀκρογωνιαῖον ὁμοῦ καὶ θεμέλιον».

Ἀλλὰ καὶ ὁ ἀρχαιότερος τοῦ Αὐξεντίου βιογράφος, τούτῳ σύγχρονος, προκειμένου λόγου περὶ τῆς γυναικείας μονῆς, εἰς ἣν ἑβδομήκοντα μοναχαὶ συνήχθησαν, γράφει ὅτι αἱ μοναχαὶ αὗται διὰ τὸ φορεῖν χιτῶνας τριχίνους τριχιναραῖαι ἐκλήθησαν, ὥστε κατανοεῖν ἔνεστιν ἡμῖν ὅτι *μονὴν Τριχιναραιῶν γυναικῶν* δεῖ καλεῖν αὐτήν. Ὁμοίως δὲ τῷ Ψελλῷ μαρτυρεῖ καὶ αὐτὸς ὅτι τὰς αὐτῷ προσελθούσας καὶ πρὸς τὴν ἐν μοναχαῖς κατάταξιν ἱκετευούσας ἠρνεῖτο ἵνα κείρῃ μοναχὰς διὰ τὸ τοῦ πράγματος ἄηθες, ἐξ οὗ δύναταί τις εἰκάζειν ἢ ὅτι τέως οὐκ ἔθος ἦν γυναῖκας κείρεσθαι μοναχὰς, ὅπερ ἀναιρεῖται δι' ὧν γινώσκομεν περὶ τῆς ὁσίας Δομνίκης, ἢ διότι αἱ προσελθοῦσαι ἐζήτουν 'να κατασταθῶσιν ἐν τῷ βουνῷ τούτῳ ἢ πλησίον αὐτοῦ. Τὰ δὲ γραφόμενα δεικνύουσιν ὅτι ὁ Ψελλὸς εἶχεν ὑπ' ὄψει πηγὰς ἑτέρας πλατυτέρας· οὕτως ὁ παλαιὸς βιογράφος περὶ Στεφανίδος λαλεῖ ξηρῶς, χωρὶς ἑτέρου τινος προσδιορισμοῦ, καὶ τὸ τῆς Κοσμίας ὄνομα ψιλὸν ἀναγράφει, ἐνῷ ὁ Ψελλὸς ὀνομάζει καὶ τὸν αὐτῆς σύζυγον, Πάμφιλον. Ἐπειδὴ δὲ τὰ λοιπὰ τῆς ἀρχαιοτέρας βιογραφίας περί τε θανάτου καὶ ταφῆς εἰσι τὰ καὶ παρ' ἑτέροις ἀναφερόμενα, μεταγράφω νῦν ἐνταῦθα τὰ περὶ τῶν ὑπ' Αὐξεντίου ψαλλομένων ᾠδῶν, χάριν τῶν μουσικῶν[1], διότι περὶ τῶν πρὸς αὐτὸν[2] ἐρχομένων λαλῶν ὁ παλαιότερος βιογράφος λέγει (2356β) «οὐκ εἶα δὲ τούτους ἄγειν ὅλως ἐκεχειρίαν· *ἦ γὰρ λόγων θεοπνεύστων ἐπηκροῶντο, ὧν τὰς ἐπιλύσεις*, ἅτε βίον ἔλκουσιν ἰδιώτην, ἐπιχαρίτως Ο ΤΑ ΘΕΙΑ ΣΟΦΩΤΑΤΟΣ ὑπετίθετο, *ἢ προσευχομένῳ* ΚΑΙ ΑΔΟΝΤΙ *συμπροσηύχοντο* ΚΑΙ ΣΥΝΗΔΟΝ ΤΟΥΣ ΥΜΝΟΥΣ, ΩΝ ΤΙΝΑΣ ΚΑΙ ΟΥΤΟΣ ΞΥΝΕΘΗΚΕΝ ΟΙΚΟΘΕΝ, μυρίον ἔχοντας ἐν τῷ ᾄδεσθαι συγκεραννύμενον αὐτοῖς τὸ ὠφέ(236α1)λιμον· ΕΥΡΥΘΜΩ ΓΑΡ ΜΕΛΕΙ ΚΑΙ ΑΤΕΧΝΩΣ ΗΔΕΙ ΜΟΥΣΟΥΡΓΟΥΜΕΝΟΙ, σκίρτημά τε καὶ σφάδασμα πρὸς κρεῖττω καὶ θεόληπτον ἀγαλλίασιν ταῖς τῶν ᾀδόντων καρδίαις ἐνέσταζον· δεῖγμα πάντως σαφὲς τῆς ψυχικῆς ἐμμελείας ὑπάρχοντες ΤΟΥ ΣΥΝΘΕΝΤΟΣ ΑΜΑ ΚΑΙ ΜΟΥΣΟΥΡΓΗΣΑΝΤΟΣ».

Ὅσα δὲ περὶ τῆς ἔριδος γράφονται τοῦ θᾶψαι τὸν ὅσιον ἄνδρα ποῦ καὶ τίνες εἰσιν ἡμῖν χρήσιμα διὰ μόνον ἕνα στίχον· «Οἱ δὲ τῆς ἐπὶ τῇ κλήσει τοῦ ἐν ὁσίοις Ὑπατίου σεμνυνομένης *μονῆς* ἀντεπῆγον ἑαυτοῖς ἐκεῖνον ἀνήκειν *τῷ τε κεῖσθαι τὴν μονὴν αὐτῶν περὶ τὰ παράκτια*, ἐν ᾗ συῤῥέειν εὐπετέστερον οἱ τῶν ἰάσεων χρῄζοντες δύναιντο, καὶ τῷ χρόνον ἐκμετρῆσαί τινα τὸν ἅγιον ἐν αὐτῇ».

1. ἀνάννωθι ὅσα κατ' εἰκασίαν ἐπὶ τούτου τοῦ κεφαλαίου ἔγραψα ἐν σημειώσει «Τυπικοῦ τῆς Αὐξεντίου μονῆς», σελ. 68, ἀγνοῶν τότε (1895) τὰ τοῦ Ψελλοῦ ταῦτα.

1. ἀναγράφω ἐνταῦθα τὸ ἐν φύλλῳ 240β² φερόμενον ὅτι, τῶν χωρικῶν τις προσελθὼν «*Καλή σοι ἡμέρα*»· προσηγόρευε τὸν Αὐξέντιον· τοῦ δὲ γεγο(241α¹)νότος πως ἐν ὁρμῇ μειδιάματος καὶ «*Ὦ λῷστε, καλός σοι καιρὸς*» ἀντιπρυσειρηκότος» κλπ. ὡς τύπον προσαγορεύσεως ἐν ἐκείνοις τοῖς χρόνοις ἐν χρήσει.

2. πρὸς τὸν Αὐξέντιον δῆλα δή.

('Ανεγνώσθη ἐν συνεδρίᾳ τῆς 'Αρχαιολογικῆς 'Επιτροπῆς, ὡς καὶ περίληψις τῆς βιογραφίας τοῦ ὁσίου Μαρκιανοῦ).

ΑΝΘΟΛΟΓΙΑ

ΕΚ ΤΗΣ ΒΙΟΓΡΑΦΙΑΣ ΣΤΕΦΑΝΟΥ ΤΟΥ ΝΕΟΥ

ΤΟΥ ΕΝ ΤΩι ΒΟΥΝΩι ΑΥΞΕΝΤΙΟΥ

Πρὸς πλήρωσιν ἐπαγγελίας[1] ἐξεδόθησαν ἐν τῷ παρόντι βιβλίῳ αἱ ἐκλογαὶ ἀπὸ τῶν βιογραφιῶν Μιχαὴλ τοῦ συγκέλλου καὶ Σάβα τοῦ κοινοβιάρχου, καθὼς καὶ ὁ «βίος καὶ πολιτεία» τοῦ ὁσίου Μαρκιανοῦ τοῦ πρεσβυτέρου καὶ οἰκονόμου τῆς Ἁγίας Σοφίας. Ἕνεκεν ὁμοίου λόγου[2] ἐκδίδοται καὶ ἡ «ἀνθολογία ἐκ τῆς βιογραφίας Στεφάνου τοῦ νέου», χρήσιμά τινα, καθὼς νομίζω, περιέχουσα.

Τὸ χειρόγραφον, τὸ τὴν βιογραφίαν περιέχον, ἀπόκειται ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν Ἁγίῳ Ὄρει μονῆς τῆς μεγίστης Λαύρας, ἀριθμὸν μὲν φέρον 78Δ, γραφὲν δ' ἐν τέλει τοῦ ΙΒ΄ ἢ γοῦν ἐν ἀρχαῖς τοῦ ΙΓ΄ αἰῶνος, ἐπὶ μεμβράνης, εἰς φύλλον, δίστηλον. Τὸ μνημεῖον, ἐξ οὗ τὰ χρήσιμα δῆθεν ἀνθολογῶ, φέρει μὲν ἐπιγραφὴν «ΒΙΟC ΚΑΙ ΠΟΛΙΤΕΙΑ ΚΑΙ ΑΓΩΝΕC ΤΟΥ | ΟCΙΟΥ ΠΑΤΡΟC ΗΜΩΝ ΚΑΙ ΟΜΟ|ΛΟΓΗΤΟΥ CΤΕΦΑΝΟΥ ΤΟΥ ΝΕΟΥ. ΕΥΛΟΓΗCΟΝ ΠΑΤΕΡ», ἐκτείνεται δ' ἀπὸ φύλλου 326A2—358B2, καὶ ἄρχεται μὲν « Θεῖόν τι χρῆμα ἡ ἀρετὴ καὶ πολλῶν ἀξία τῶν ἐγκωμίων· οὐ μόνον ὅτι φιλοτίμως οἶδε» κλπ. λήγει δὲ « ἧ καὶ ἡμεῖς παρασταίημεν, εὐχαῖς αὐτοῦ καὶ πρεσβείαις, διὰ τῆς τοῦ Χριστοῦ χάριτος καὶ τῶν οἰκτιρμῶν· ὯΙ πρέπει πᾶσα δόξα» κλπ. Ἔστιν ἡ βιογραφία γεγραμμένη ἐν ὕφει καὶ γλώσσῃ καλῇ. Καὶ ἥκιστα μὲν δύναται 'να θεωρηθῇ *σπουδαῖον μνημεῖον* τῆς ἐκκλησιαστικῆς ἢ πολιτικῆς ἱστορίας τοῦ Η΄ αἰῶνος· σημειωτέον ὅμως ὅτι, καίπερ δυσμενῶς διακείμενος ὁ βιογράφος τῷ κοπρωνύμῳ, οὐ γράφει περὶ ἀσελγιῶν αὐτοῦ καὶ ἀθεμιτουργιῶν· οὐδὲ βάλλει ταῖς αὐταῖς ὕβρεσι τὸν πατριάρχην Ἀναστάσιον.

Ἀνθολογῶ ἐκ τῆς βιογραφίας εἰδήσεις τινὰς περὶ προσώπων καὶ γεγονότων· καὶ δή:

Περὶ τοῦ ναοῦ τῶν Βλαχερνῶν ἐν οἷς γράφει: (326B[2]) «μιᾶς τῶν παρασκευῶν, τῆς συνήθους παννυχίδος ἐκτελουμένης» δηλοῖ ὅτι κατὰ πᾶσαν παρασκευὴν ἐτέλουν ἀγρυπνίαν ἐν τῷ περιωνύμῳ ναῷ κατὰ τὸν Η΄ αἰῶνα.

Περὶ (327a[2]) «*Γερμανοῦ* τοῦ θαυμασίου πρὸς τὸν πατριαρχικὸν μέλλοντος ἀναβαίνειν θρόνον, συνδρομή τις ἦν πλήθους συχνοῦ πρὸς τὸν μέγιστον τῆς τοῦ Θεοῦ Σοφίας ναόν, κατὰ πόθον τῆς τοῦ πατριάρχου θέας· *καὶ γὰρ ἦν περιφανὴς τὴν ἀρετὴν ἀνὴρ καὶ διὰ πάσης γλώττης σὺν ἡδονῇ φερόμενος*».

Περὶ τοῦ χρόνου τῆς ἐκδηλώσεως τῶν αἱρετικῶν τοῦ *Λέοντος Ἰσαύρου* φρονημάτων, ὃν ὁρίζει (328a[1]) «Ἐπεὶ δὲ *χρόνος αὐτῷ δέκατος τῆς βασιλείας* ἠνύετο, ἐκρήσσει τὸ πονηρὸν κύημα». Μεθ' ὃ γράφονται τὰ γνωστὰ περὶ παύσεως τοῦ Γερμανοῦ («ἀλλ' ἐκεῖνον μὲν εὐθέως ὁ μονήρης ἐλάμβανε βίος καὶ τὸ φιλήσυχον»), διορισμοῦ τοῦ Ἀναστασίου, ὃν καλεῖ μιαρὸν ἐνῷ τὸν Ἴσαυρον ἐπωνυμεῖ παμμίαρον, ἀποκαθηλώσεως τῆς εἰκόνος τοῦ Χριστοῦ (329a[2]) («ὑπεράνω τῆς πύλης, ἣ οὕτω συνήθως ἡ Χαλκῆ λέγεται») καὶ τῆς ἐναντίον Ἀναστασίου τοῦ πατριάρχου κατακραυγῆς.

Περὶ τοῦ βουνοῦ τοῦ Αὐξεντίου γράφει (329B[2]) «κεῖται δὲ τοῦτο ἀντικρὺ Βυζαντίου περὶ τὴν τῶν Βιθυνῶν ἐπαρχίαν, τοὺς ἐκ γειτόνων βουνοὺς ἱκανῶς ὑπερκείμενον»· τούτου μονασταί, κατοικήσαντες ἐν τῇ καλύβῃ τοῦ Αὐξεντίου ἀναγράφονται «Σέργιος ὁ μαθητὴς ἐκείνου, τοῦ βίου ἅμα καὶ τοῦ σπηλαίου διάδοχος· τρίτος ἐπὶ τούτοις ὁ θαυμάσιος Βενδιανός· ὁ ἱερὸς Γρηγόριος τέταρτος· πέμπτος δὲ ὁ τὴν ψυχὴν διορατικώτατος Ἰωάννης», πρὸς ὃν ἤγαγον τὸν μείρακα Στέφανον οἱ γονεῖς, γεννηθέντα μικρῷ μετὰ τὴν ἐκλογὴν τοῦ πατριάρχου Γερμανοῦ (5—6 μῆνας). Ἐκάρη δὲ μοναχὸς ὑπὸ τοῦ Ἰωάννου τούτου δεκαεξαετὴς, ὀλίγῳ μετὰ τὴν ἐκλογὴν Ἀναστασίου τοῦ πατριάρχου δῆλά γε δὴ τῷ 730, ὥστε ἐγεννήθη τῷ ἔτει 715.

Παρατήρησις *περὶ μοναστηρίων ὁμούρων* κεῖται ἐν φύλλῳ (330B[1]): «Ἔτυχε δὲ τῶν πλησίον μοναχῶν παραβαλεῖν τινας τῷ ἁγίῳ· καὶ γὰρ πάμπολλα ἦν τότε τὰ ἐκείνοις τοῖς ὄρεσι μοναστήρια· ἅπερ ὁ τύραννος, τοῦτο μὲν περὶ τὴν κυνηγίαν αὐτὸν ἐπτοῆσθαι, τοῦτο δὲ καὶ τῷ μυσάττεσθαι κομιδῇ τὸ τῶν μοναχῶν ἔνδυμα, τέλεον ἐκ μέσου πεποίηκεν».

Τριάκοντα καὶ ἑνὸς ἐτῶν (τῷ 745) γενόμενος ὁ Στέφανος θανόντος Ἰωάννου, εἰσῆλθεν αὐτὸς εἰς τὸ σπήλαιον Αὐξεντίου, μικρῷ πρότερον θανάτῳ τὸν πατέρα ἀποβαλών, καὶ ἐκ Βυζαντίου τὴν μητέρα καὶ τὴν ἀδελφὴν μεταγαγὼν καὶ μοναχὰς κείρας ἐν τῇ τῶν Τριχιναραιῶν μονῇ, τῆς ἑτέρας ἀδελφῆς εἰσελθούσης προηγουμένως εἴς τι τῶν ἐν Κωνσταντινουπόλει μοναστηρίων. Περίεργον δ' ὅτι τὸν Ἰωάννου θάνατον ἤγγειλε (331B[1]) «τῷ ξύλῳ διασημήνας τὴν τοῦ πατρὸς τελευτὴν, μοναχῶν ἀγέλας, ὥσπερ ἐλάφους, ἐπὶ πηγὰς συνεκάλει». Διετέλεσε δὲ, κατὰ τὸν βιογράφον (331B[2]), «τὴν ἀποστολικὴν τῶν δικτύων τέχνην μεταχειρίζων, οὐ μὴν ἀλλὰ καὶ τὸ εἰς κάλλος γράφειν μεμαθηκὼς ἐπονεῖτο ταῖς βίβλοις». Διὰ δὲ τὴν ἀρετὴν αὐτοῦ πολλοὶ συνέῤῥευσαν εἰς τὸ ὄρος, οἵτινες ἠριθμήθησαν εἰς εἴκοσιν ἐντὸς μικροῦ, καὶ τούτων ἕνα, τὸν Μαρῖνον «ἄνδρα χρηστὸν καὶ τὸν τρόπον ἐπιεικῆ δόξαντα», κατέστησεν ἡγούμενον, λιπὼν τὸ σπήλαιον (τῷ 755) καὶ κατωτέρω τούτου κατασκευάσας οἰκίδιον δύο μὲν πήχεων μῆκος ἔχον, πλάτος δὲ μιᾶς καὶ ἡμισείας. Φαίνεται δ' ὅτι τοῖς ἐν τῷ βουνῷ μοναχοῖς, χωρὶς οἰκοῦσιν, ἦν ἔθος ἱερὸν 'ν' ἀθροίζωνται πρὸ τοῦ σπηλαίου τοῦ ἡγουμένου (332B[1]) «μετὰ τὰς ὀρθρινὰς ὑμνῳδίας, πατρικῆς εὐλογίας τυχεῖν αἰτούμενοι».

Τὰ λοιπὰ γραφόμενα γνωστά εἰσι, δηλαδὴ περὶ τῆς ψευδοσυνόδου τοῦ Κωνσταντίνου κοπρωνύμου καὶ τῆς τοῦ Στεφάνου προσκλήσεως ὅπως ὑπογράψῃ τὸν ὅρον αὐτῆς, καὶ τοῦ θανάτου αὐτοῦ τῇ 28 νοεμβρίου (ἐν ἡλικίᾳ πεντήκοντα τριῶν ἐτῶν) 767. Ἀνθολογητέον δ' ἐκ τῆς βιογραφίας εἰδήσεις τινὰς περὶ ναῶν καὶ μονῶν Κωνσταντινουπόλεως, περί τινων ὁμολογητῶν, ἀνδρῶν διαπρεπῶν, καὶ μαρτυρικῶν ναῶν, ὡς καί τινων ἐθῶν.

Ναοὶ καὶ μοναὶ ἀναφέρονται μέν, ἀλλ' οὐχὶ σαφῶς ὥστε μαθεῖν ἀκριβῶς τὴν θέσιν αὐτῶν. Ἐν πρώτοις, ἐν τῷ βουνῷ τοῦ Αὐξεντίου, ὃν μόνον Αὐξέντιον, οὐχὶ δὲ ὄρος Αὐξεντίου ἐκάλει ὁ κοπρώνυμος, ἀναφέρεται τὸ *κάτω* μοναστήριον, καὶ συμφυῶς ὁ τάφος Αὐξεντίου[1], ἐξ οὗ δῆλον ἐστὶν ὅτι νοεῖ τὸ γυναικεῖον. Ἐπίσης ἀναφέρει *ναὸν τοῦ ἁγίου μάρτυρος Θεοδώρου πλησίον*, ὡς φαίνεται, κείμενον *τοῦ πραιτωρίου*, ἐν ᾧ Στέφανος ἦν ἐγκεκλεισμένος[2]: . . . «ὡς δὲ τὴν πρώτην πύλην τοῦ πραιτωρίου ἐλκόμενος ἤγετο, καὶ ἤδη κατὰ τὰ προπύλαια ἦν τοῦ εὐκτηρίου Θεοδώρου, φημί, τοῦ μάρτυρος». Ἐκεῖθεν ἀναχωρήσας καὶ ὁδηγούμενος πρὸς τὸν Βοῦν, παρελθὼν αὐτὸν ἦλθεν εἰς *τὴν μονὴν τοῦ Μονοκίονος*, ὅπου διέμενεν ἡ ἀδελφὴ τοῦ Στεφάνου[3], ἐξ οὗ δηλοῦται ὅτι τὸ μοναστήριον τοῦτο γυναικεῖον ἦν. Τῷ 767 ἐσώζετο αὕτη ἡ μονή, καθὼς καὶ ἡ μονὴ τοῦ Δίου, ἔχουσα καὶ[4] «*εὐκτήριον τοῦ πρωτομάρτυρος Στεφάνου*, ὅπερ ἐν δεξιᾷ τοῦ τῆς μονῆς ὑπῆρχε ναοῦ». Ἐκ τῆς μνείας *Πελαγίου* καὶ *ναοῦ ἁγίας Μαύρας* οὐδὲν ποριζόμεθα γνωστὴν ποιούμενον τὴν θέσιν ἑκατέρου ναοῦ· περὶ τοῦ πρώτου τούτων γράφει[5] «τὸν νεκρὸν τοῦ μάρτυρος ἕλκοντες εἰς τὸν τῶν ἐθνικῶν καταδίκων ῥίπτουσι βόθυνον, ἔνθα πρότερον μὲν τοῦ θείου μάρτυρος Πελαγίου[6] ὑπῆρχε ναὸς, τοῦτον δὲ δὴ τῷ χρόνῳ πεπονηκότα κατασκάψας ὁ δυσσεβὴς πολυάνδριον μὲν τὸν τόπον πεποίηκε, Τὰ Πελαγίου δὲ αὐτὸν μετωνόμασε»· περὶ δὲ τοῦ δευτέρου[7] «τῆς φυλακῆς ἐξαγαγόντα τὸν ἅγιον *πέραν τοῦ ἄστεος* ἀνελεῖν, ἔνθα πρότερον μὲν ὁ τῆς καλλινίκου *μάρτυρος Μαύρας ναὸς* ἵδρυτο, ὕστερον δὲ φονευτήριον ὁ τόπος κατέστη, τοῦ τυράννου τὸν ναὸν εἰς ἔδαφος καταστρέψαντος». Ἀρκετὰ δὲ καὶ τὰ *περὶ Προικονήσου* γραφόμενα, ἅτε τοῖς ἤδη

1. Ἴδε «Βυζαντινὸν Ἑορτολόγιον»· Ἰανουαρίου 4 καὶ 10, καὶ δεκεμβρίου 5.

2. αὐτόθι, εἰς τὴν 28 νοεμβρίου.

1. 338B[1] καὶ [2] καὶ 339B[1]. 2. 356a[2]. 3. 357a[1]. 4. 357B[2]. 5. 357a[2].

6. περὶ δὲ τῶν Πελαγίου ὁ μὲν Ζωναρᾶς γράφει ὅτι Κωνσταντῖνος ὁ κοπρώνυμος τὸν ναὸν Πελαγίου κρημνίσας, ὤρυξεν ἐν ἐκείνῳ τῷ τόπῳ βαθὺν βόθρον πρὸς ταφὴν τῶν κατακρίτων· Ζωναρᾶς ΙΕ΄, 7 (Γ΄, 351 τῆς ἐκδόσεως Δινδορφίου)· καὶ Στέφανος δ' ὁ διάκονος γράφει ὅτι ὁ κοπρώνυμος *συμπεπτωκότα εὑρὼν* καταδίκων τάφον πεποίηκε *τὸν τοῦ ἁγίου Πελαγίου ναὸν*, καὶ τὰ Πελαγίου ἐπωνόμασε· Στεφάνου βίος ὑπὸ Στεφάνου διακόνου· βλέπε παρὰ Migne, τόμ. Ρ΄, 1177.

7. 354a[2].

γνωστοῖς οὐχ ὅμοια, κυρίως ὅσον ἀφορᾷ εἰς τὴν *Κισσοῦδαν*, ἣν οὐδαμῶς λέγει κειμένην πρὸς βόρειον ἢ νότιον μέρος[1]· «Περιελθὼν δὲ τοὺς ἐρημικωτέρους τῶν τῆς νήσου τόπους σπηλαίῳ ἐντυγχάνει θαύματος ἀξίῳ· Κισσοῦδα ἐγχωρίως κατωνομάζετο, ἔνθα τῆς τοῦ Χριστοῦ προμήτορος *Ἄννης εὐκτήριον ἦν*. . . . . ἐν αὐτῷ κατοικήσας . . . . . ὅσοι δὲ μαθηταὶ ἦσαν ἐκείνου, τοῦ ὄρους ἀπελαθέντες, ζητοῦντες, ἐφεῦρον εἰς τὴν[2] Προικόνησον ἀφικόμενοι, δύο μόνον τῆς καλλίστης ἐκείνης ποίμνης ἀπορραγέντων . . . . . .[3] οἱ ἄλλοι πάντες τῇ Προικονήσῳ φοιτήσαντες μοναστήριον συνεστήσαντο. . . . . ἡ τοῦ Στεφάνου μήτηρ ἅμα τῇ ἀδελφῇ τὴν νῆσον καταλαβοῦσα συνοικεῖν αὐτῷ ᾑρετίσαντο. Ἐκεῖ τοιγαροῦν ὁ θεῖος Στέφανος, στύλον οἰκοδομήσας καὶ ἐπ' αὐτῷ οἰκίσκον ὅτι στενώτατον, τούτῳ ἑαυτὸν ἐγκατέκλεισεν, ἔννατον καὶ τεσσαρακοστὸν ἔτος ἤδη γενόμενος»· ἄρα τῷ 763[4], «τοῦ θεσπεσίου ἐν τῇ νήσῳ λάμποντος, δευτέρῳ τῆς ὑπερορίας χρόνῳ (764-65), ἡ καλλί[5]παις ἐκείνου μήτηρ πρὸς τὸν κοινὸν ἐχώρει πατέρα», μεθ' ἡμέρας ἑπτὰ δὲ καὶ Θεοδότη ἡ ἀδελφὴ ἐκείνου.

Περὶ καταστροφῆς τῆς ἐν Βιθυνίᾳ μονῆς Πελεκητῆς οὐδὲν γράφεται πλέον ὧν γινώσκομεν· κατεστράφη δ' αὕτη μικρῷ πρὸ τοῦ 767 καθ' ἡμέραν Μ. Πέμπτης.

Ἀλλ' εἰς γνῶσιν τῶν τόπων καὶ τῶν ἐθῶν τῶν ἐν Κωνσταντινουπόλει συμβάλλονται βεβαίως τὰ ἑξῆς·

1) ὅτι ἡ *Φιάλη εἶχεν εἴρκτὴν*, ἐν ᾗ τὴν μοναχὴν Ἄνναν ἐνέκλεισαν, μετά τινα δὲ καιρὸν καὶ τὸν Στέφανον[6] «δεδεμένον τε χειροπέδαις καὶ τοὺς πόδας τῷ ξύλῳ πρὸς ἀκρίβειαν δεσφαλισμένον»· γράφεται δὲ δὶς ἡ *φρουρὰ τῆς Φιάλης ζοφώδης* «καὶ σχεδὸν τῷ ᾅδῃ προσεοικυῖα»[17].

2) ὅτι ἡ *Στοὰ τοῦ Μιλίου*, ἣν φαίνεται τιθεὶς ὁ βιογράφος οὐ μακρὰν τοῦ παλατίου, καὶ εἰς ἣν ὁ κοπρώνυμος μετέβη τῇ 28 νοεμβρίου 767, ἦν ἐζωγραφημένη[8]· «ἔνθα πρότερον μὲν αἱ ἓξ ἅγιαι καὶ οἰκουμενικαὶ Σύνοδοι ἀνάγραπτοι ἦσαν, μετὰ ταῦτα δὲ, οὕτω τοῦ δεινοῦ κελεύσαντος βασιλέως, ἐκεῖναι μὲν ἀπεξέσθησαν, κονίας ἐπιβληθείσης αὐταῖς, ἀντ' ἐκείνων δὲ τὸ φίλον αὐτῷ καὶ παντὸς τιμώμενον ἱπποδρόμιον καὶ ὁ ποθητὸς ἡνίοχος ἱστόρητο· ὃν ἐκεῖνος οὐρανιακὸν ἐπωνόμασεν, οὐδὲ γῆς ὅλως ἄξιον ὄντα»·

3) ὅτι δ' εἶχον ἐν χρήσει *πυροσβεστικὰς ἀντλίας οἱ βυζαντινοί*, τοὐλάχιστον διὰ τὴν πρωτεύουσαν τοῦ κράτους, δείκνυται κάλλιστα[1]: «ταῦτα εἰπὼν, παρὰ τοὺς ἐκεῖσε σίφωνας ἀποτρέχει, οἳ διὰ τοὺς ὡς εἰκὸς συμβαίνοντας ἐμπρησμοὺς ἦσαν, καὶ ξύλον αὐτῶν ἀποσπάσας οὗ τι μικρὸν» κλπ. ἦσαν δ' οἱ ἐν λόγῳ σίφωνες πλησίον τοῦ ναοῦ τοῦ ἁγίου Θεοδώρου, ἐξ οὗ εἰκάζει τις ὅτι παρ' ἑκάστῳ τῶν ναῶν ὑπῆρχον τοιοῦτοι.

Μανθάνομεν ἐπίσης ὅτι, τῇ 28 νοεμβρίου 767[2] «αἰθρίας οὔσης, καὶ τοῦ ἀέρος ταῖς ἡλιακαῖς ἀκτῖσι πυρσευομένου, ἄφνω, περὶ τὴν τρίτην ὥραν», νέφος προερχόμενον ἀπὸ τοῦ βουνοῦ τοῦ Αὐξεντίου κατεσκότισε τὴν Κωνσταντινούπολιν καὶ *βαγδαίαν* κατέρριψε *χάλαζαν* «τὸ μέγεθος οὐδὲ πιστευθῆναι ῥαδίως· καὶ πολλοῖς κινδύνου καθίσταται πρόξενος»·

καὶ τέλος, ὅτι στρατεύων «κατὰ σκυθῶν» ὁ κοπρώνυμος, εἰς ὃν τὰ περὶ Στεφάνου[3] «διά τινος εὐζώνου τῷ βασιλεῖ πέμπουσι», κατέλιπεν τὴν ἐν Κωνσταντινουπόλει φύλαξιν «*Ἄρθη τῷ ἀπ' αὐτοῦ τὴν πρόνοιαν τῆς πόλεως πιστευθέντι*»[4].

Περὶ τῶν πρὸ τοῦ ὁσίου Στεφάνου μαρτυρησάντων ἡ βιογραφία ἀναφέρει·[5] «Πέτρον ὅσιον τὸν ἐν Βλαχέρναις κατακλεισθέντα, ὃς ὑπὲρ τῆς εἰκόνος (τίνος οὐ λέγει) βουνεύροις ἀνηλεῶς συγκοπτόμενος. . . . . ἀποθνήσκει· Ἰωάννην τὸν τῆς Μοναγρίας ἡγούμενον. . . . . οὐδὲ πεισθέντα τὴν τοῦ Χριστοῦ εἰκόνα καὶ τῆς τεκούσης αὐτὸν πατῆσαι, σάκκῳ συγκλείσας καὶ λίθον αὐτῷ βαρὺν ἐξαρτήσας, τῷ θαλασσίῳ καθῆκε βυθῷ»·

περὶ Θεοστηρίκτου μοναχοῦ τῆς Πελεκητῆς οὐδὲν καινοφανὲς γράφεται·

ἀναφέρεται δὲ καί τις *Στέφανος*, τέως ὑπὸ Στέφανον ἐν τῷ βουνῷ μοναχὸς, ὃν τὸ σχῆμα τῶν μοναχῶν ἀπαμφιασάμενον ὁ κοπρώνυμος[6] «ἠσθείς, τοῦ ἐν Σοριαναῖς αὐτὸν τοῦ[7] παλατίου καθίστησι λειτουργὸν, συνεχῶς αὐτῷ προσιών» κλπ.

Τῶν ἀναφερομένων ἐν τῇ βιογραφίᾳ λογάδων ἀνδρῶν, γνωστοὶ μέν εἰσιν *Αὐλικάλαμος* ὁ ἀρχιτελώνης τοῦ κόλπου τῆς Νικομηδείας, μικρῷ μετὰ τὰ μέσα τοῦ Η' αἰῶνος, καὶ *Λαχανοδράκων* ὁ τῆς Ἀσίας ἡγεμονεύων (δηλ. πρὸ τοῦ 767), καὶ *Θεοφάνης* ὁ *Λαρδότυρος*, ὃν (κατὰ λάθος βέβαια) τῆς Κύπρου γράφει ἀρχισατράπην, ἐνῷ λόγος γίνεται περὶ τοῦ *πραιτωρίου κατὰ τὸ Ἡράκλειον* καὶ δὴ ὑπὸ μοναχοῦ τινος Ἀντωνίου ἐκ Κρήτης ὁρμωμένου καὶ τῷ Στεφάνῳ συμπεφυλακισμένου τῷ 767. Σύγχρονος δ' ὁ Λαρδότυρος ἐγένετο τῷ Λαχανοδράκοντι.

Εἰς τὸν βίον ἀναφέρονται Κωνσταντίνου τοῦ κοπρωνύμου 1) *αἱ διαταγαὶ περὶ κουρᾶς τοῦ πώγωνος* εἰ οὐχ ὑπὸ πάντων, ἀλλὰ γοῦν ὑπὸ τῶν ἐν τῷ παλατίῳ διαμενόντων·[1] «καὶ παντὶ πρεσβύτῃ καὶ νέῳ τὸν πώγωνα τίλλειν ἄχρι καὶ δορᾶς ἐκέλευε»· 2) *τὰ κατὰ μοναχῶν* (οὓς *ἀμιγεμονεύτους* καὶ *σκοτεινδύτας* ἐκάλει) *διατάγματα*, πάντως ἐκδοθέντα τῇ 26 ἢ 27 νοεμβρίου 767[2]· «παραχρῆμα διατάγματα κατὰ πᾶσαν ἐτίθει τὴν μεγαλόπολιν· τὰ δὲ ἦν· ὁ φωραθεὶς φίλον ἔχων μονάζοντα ἢ ἀγχιστεύοντα ἢ ὅλως αὐτῷ κατὰ γένος προσήκοντα, καὶ συγκαλύπτων αὐτὸν, ἢ τὸ παράπαν ἱμάτιον ἔχων μέλαν, μετὰ πολλῶν οὗτος τιμωριῶν πεῖραν, καὶ τὴν ὑπερορίαν κατακριθήσεται»· 3) ὅτι δῆθεν ἐτέλει ἑορτάς τινας εἰδωλολατρικάς[3]· «*οὐδὲ τῆς τῶν βρουμαλίων τελετῆς ἠμέλει*, ἀλλὰ καὶ ταύτην ἦγε λαμπρῶς, Βρουμόν τινα καὶ Διόνυσον θεραπεύειν ἐν τούτοις ἑλληνικῶς προελόμενος, ἅτε ἐφόρους ὄντας καὶ τελεσφόρους τοῦ σίτου τε καὶ τοῦ οἴνου πρεσβεύων αὐτούς· ἔμελλε γοῦν καὶ τῆς τρίτης αὐτοῦ[4] γυναικὸς Εὐδοκίας ἐκτελεῖν τὸ βρουμάλιον κατὰ τὴν τοῦ Ε περιαγωγὴν στοιχείου.[5]

1. 342a¹. 2. 345b¹. 3. 351a¹. 4. 351a². 5. τὸ Πασχάλιον Χρονικὸν οὕτως ἐξηγεῖ τὰ *Βρουμάλια*· ὅτι τάχα Ῥῶμος ὁ κτίτωρ Ρώμης ἐπενόησεν αὐτὰ, λέγων ὁ Ῥῶμος ὅτι τὸν βασιλέα ἀναγκαῖόν ἐστι τρέφειν τήν τε σύγκλητον αὐτοῦ πᾶσαν καὶ τοὺς ἐν ἀξίαις καὶ τοὺς ἐν παλατίῳ στρατοὺς ἐν καιρῷ χειμῶνος, ὅτε ὁ στρατὸς ἀργεῖ· καλῶς δὲ κατ' ἀλφάβητον ἀπὸ Α — Ω ἔθρεψε· «καὶ ἔθρεψαν καὶ αὐτοὶ τὸν ὄχλον ἅπαντα· καὶ σιτιζόμενοι παρά τινι οἱ πάνδουροι ἑκάστου ἀριθμοῦ (turmarum tubicines) τὴν ἑσπέραν μετέβαινον αὐλοῦντες εἰς ἑτέραν οἰκίαν, δηλοῦντες ὅτι τὴν ἐπαύριον παρ' ἐκείνῳ σιτισθήσονται *Βρουμάλια ὅ ἐστι τραφῆναι ἐκ τῶν ἀλλοτρίων*». Χρον. Πασχ. Βόννης, σελ. 212.

16. 356b¹. 17. 357b¹. 18. 339b¹. 19. αὐτόθι. 20. 353a¹ καὶ ². 21. 347a¹. 22. παρέλκει τὸ τοῦ.

1. 346b¹. 2. 346b². 3. 347a¹. 4. 348a². 5. 348b¹. 6. 349a¹. 7. 340b¹. 8. 354b².

Τὰ κατὰ τὴν περιβολὴν τῶν μοναχῶν ἀναγράφονται λαμπρῶς, διότι ὁ βιογράφος ἀναφέρει[1] τὴν ἱερὰν ἐπωμίδα, τὸν ἀνάλαβον σὺν τῷ λώρῳ, καὶ τὸ κουκούλιον.

ὃ δὲ προσοχῆς ἄξιον, ἐμφαῖνον τὸν πρὸς τὸν πάπαν Ῥώμης σεβασμὸν ὡς ἐν ἴσοις πρῶτον καὶ ὃ ἀπέδιδον αὐτῷ κῦρος ὡς καὶ τοῖς πατριάρχαις οἱ τότε μοναχοί, ὅτι, διαλεγόμενος ὁ Στέφανος περὶ τῆς ὑπὸ κοπρωνύμου συναγερθείσης ψευδοσυνόδου, καὶ λόγους τινας ἀκυροῦντας αὐτῆς τὰς πράξεις ἀπαριθμῶν, πρώτιστον τίθησι τοῦτον:[2] «Πῶς δὲ καὶ οἰκουμενικὴ ἂν κληθείη, **ἐφ' ᾗ οὐχ ὁ Ῥώμης εὐδόκησε πρόεδρος**· οὗ χωρὶς ἀδύνατον πάντως τὰ ἐκκλησιαστικὰ κανονίζεσθαι; **οὐχ ὁ Ἀλεξανδρείας συνήνεσεν· οὐχ ὁ Ἀντιοχείας· οὐδ' ὁ Ἱεροσολύμων**».

Ἐν τέλει τοῦ βίου τούτου σαφὴς ἡ μαρτυρία περὶ τῆς ὡς ἁγίου φήμης τοῦ Στεφάνου[3]· «ἤδη γὰρ ὡς τοῖς πᾶσι σχεδὸν ὁ θεῖος Στέφανος ἅγιος ὡμολόγητο».

1. 355b². 2. 345b¹. 3. 358b¹.

ΒΙΟΣ ΤΟΥ ΟΣΙΟΥ ΘΕΟΦΑΝΟΥΣ

ΤΟΥ ΕΝ ΤΩ$_{\text{Ι}}$ ΜΕΓΑΛΩ$_{\text{Ι}}$ ΑΓΡΩ$_{\text{Ι}}$

Καθ' ὑπόσχεσιν δοθεῖσαν, ἔδει 'να ἐκδοθῇ νῦν ἡ βιογραφία Θεοφυλάκτου τοῦ μητροπολίτου Νικομηδείας, κατὰ χειρόγραφον τῆς ἐν Ἁγίῳ Ὄρει μονῆς Λαύρας· ἀλλ' ἐπειδὴ περίληψιν αὐτῆς ἐξέδωκε διὰ τῶν «Βυζαντινῶν Χρονικῶν» τῆς Πετρουπόλεως ὁ κ. Χρύσανθος Λοπάρεβ[1], περιττὴ τῆς βιογραφίας ταύτης ἡ ἔκδοσις, ἐξ ἧς ἀνθολογήσας τὰ κυριώτερα, μεταβαίνω εἰς τὴν τοῦ ὁσίου Θεοφάνους τοῦ τῆς Σιγριανῆς.

§

Θεοφύλακτος ὁ Νικομηδείας, ἐκ τῶν τῆς Ἑῴας μερῶν καταγόμενος, ἦλθεν εἰς Κωνσταντινούπολιν νέος καὶ ἐτάχθη ὑπὸ τῷ πρώτῳ τῶν βασιλικῶν μυστογράφων Ταρασίῳ, ὅστις, ἐκλεγεὶς πατριάρχης «παρὰ Εἰρήνης τῆς βασιλίσσης καὶ τοῦ ὑπὸ χεῖρα ταύτης ὀρθοδόξου λαοῦ», εἰσήγαγε τὸν Θεοφύλακτον ἅμα Μιχαὴλ τῷ κατόπιν ἀρχιεπισκόπῳ Συννάδων εἰς μοναστήριον *οὐχ ὁποιονοῦν ἀλλὰ καὶ τῶν πάνυ θαυμαζομένων πρὸς τῇ εἰσβολῇ τοῦ Πόντου δειμάμενος.* Ἀμφοτέρους δὲ δοκιμάσας, ἐχειροτόνησε πρεσβυτέρους καὶ μετ' οὐ πολὺ τὸν μὲν Νικομηδείας, τὸν δὲ Συννάδων ἀρχιεπίσκοπον.

Ἡ ἐν Νικομηδείᾳ ἐπισκοπὴ τοῦ Θεοφυλάκτου περιγράφεται ἐν ὀλίγοις οὕτως· «*Οἴκους γὰρ ἀνεγείρας ἐν ταύτῃ τῇ πόλει διωρόφους*[2], *καὶ εὐκτήριον* **ναὸν** *ἐπ' ὀνόματι* **τῶν ἁγίων** *καὶ θαυματουργῶν* **ἀναργύρων Κοσμᾶ** *τε καὶ* **Δαμιανοῦ** ἐν αὐτοῖς δειμάμενος κάλλιστον, *κλίνας τε καὶ στρωμνὰς ἀποθέμενος* τούτοις καὶ ὅσα τοῖς δεομένοις ἐπαρκεῖν οἶδεν ὁ λόγος, *ἀπόμοιράν τε οὐκ ὀλίγην αὐτοῖς προσκυρώσας, περιφανὲς* **φροντιστήριον ἀπετέλεσεν, ἰατροὺς καὶ ὑπηρέτας** *καταστησάμενος* καὶ τὴν ἄλλην ἅπασαν χρείαν, ἧς ὁ ἐνδεὴς ἐπαρκεῖται λαός· **ὅπερ ἰατρεῖον ἐξ ἐκείνου καὶ μέχρι τῆς δεῦρο περίεστι,** τὸ πρὸς τοὺς δεομένους εὐσυμπάθητόν τε καὶ φιλάνθρωπον τοῦ πατρὸς σοφῶς ἐνδεικνύμενον. Χηρῶν γὰρ ἀνὴρ Πνεύματι καὶ πατὴρ ὀρφανῶν καὶ τῶν καθ' ἥν τινα αἰτίαν ἀπορουμένων ἐλέους χορηγὸς δαψιλέστατος ἐγνωρίζετο· *καὶ τούτων πρὸς ὄνομα γένος, πατρίδα, ἰδέαν ἐγγράφως ἐκθέμενος, ἐν ἑκάστῳ μηνὶ τὴν τροφὴν πᾶσιν ἐδίδου ἀπαράσπαστόν τε καὶ ἀδιάλειπτον·* **ὃ καὶ εἰσέτι διετηρήθη παρὰ τῶν κατὰ διαδοχὰς ἱερα**(300A1)**τεύειν ἐκεῖσε λαχόντων.** Ταῦτα μὲν οὕτως· καὶ ἕτερα δὲ πρὸς ἐπὶ τούτοις ὁ λόγος ἔρχεται λέξων· Οὗτος γάρ, τοῦ εἰρηνικοῦ καὶ πράου Χριστοῦ μιμητὴς καθεστὼς, καθ' ἑκάστην μὲν τοὺς νοσοῦντας οὐ διελίμπανεν ἐπισκέπτεσθαι, συμπαθεῖ γνώμῃ τὰ πρόσφορα πᾶσι προσνέμων, ἐν δὲ τῇ ἕκτῃ

1. ἐν τόμῳ Δ΄, σελ. 354—355.
2. παρὰ Λοπάρεβ κεῖται *διαφόρους*.

ἡμέρᾳ τῆς ἑβδομάδος λουτρῷ τούτοις τῶν πόνων τὴν ἴασιν ἐδαψίλευε· λέντιον γὰρ χριστομιμήτως διαζωννύμενος, εὐχῆς καὶ ὁλονύκτου ἱκεσίας τελουμένης, καὶ φιάλης τῷ λουτρῷ θερμῶν προκειμένης ὑδάτων, πάντας τοὺς νόσῳ κατειλημμένους καὶ λώβῃ βαρείᾳ πιεζομένους οἰκείαις χερσὶ προθύμως ἀπέσμηχε. *Καὶ κανὼν εἰσέτι τὸ ἔργον καὶ τοῖς καθεξῆς προϊοῦσι παρείληπται».*

Ταῦτα παρατίθημι πρὸς ἀπόδειξιν ὅτι αὐστηρὸν ἔθετο κανονισμὸν τοῖς ὑπ' αὐτοῦ συσταθεῖσιν ἐν Νικομηδείᾳ, πάντως περὶ τὰ τέλη τῆς Η΄ ἑκατονταετηρίδος, φιλανθρωπικοῖς καθιδρύμασιν, ἴχνη δὲ κανονισμοῦ τοιούτου, ἀμυδρῶς ἐν τοῖς εἰρημένοις ἄρτι διαβλεπόμενα, δεικνύουσι τὸν φρόνιμον ἄνδρα, τὸν ἀποτελεσματικῶς καὶ μετὰ λόγου κοινωφελεῖς καθιστάντα θεσμούς.

Νικηφόρος ὁ πατριάρχης Κωνσταντινουπόλεως παρὰ τῷ αὐτοκράτορι Λέοντι Ε΄ κληθεὶς ἐπὶ συζητήσει τοῦ περὶ τῶν ἁγίων Εἰκόνων δόγματος, εἶχε μεθ' ἑαυτοῦ τὸν Σάρδεων Εὐθύμιον, τὸν Κυζίκου Αἰμιλιανόν, τὸν Θεσσαλονίκης Ἰωσὴφ, τὸν Ἀμορίου Εὐδόξιον, τὸν Συννάδων Μιχαὴλ καὶ τὸν Νικομηδείας Θεοφύλακτον, οἵτινες συνεζήτησαν ἀνωφελῶς τότε σὺν τῷ πατριάρχῃ μετὰ τοῦ Λέοντος, μετὰ ταῦτα δὲ καὶ χωρὶς τοῦ πατριάρχου, παραίτησιν ὑποβαλόντος· ἄρα τῷ 815. Τὸ ἱερὸν τοῦ Θεοφυλάκτου λείψανον ἐπὶ Μιχαὴλ καὶ Θεοδώρας εἰς τὴν Νικομήδειαν ἀνεκομίσθη «τῷ παρ' ἐκείνου καλῶς κομισθέντι ἐναποδοθὲν θρόνῳ καὶ τοῦτον μᾶλλον τῇ καταθέσει φαιδρῦναι, ἢ ὅτε ζῶν διετέλει. Ὅθεν σεπτῶς καὶ εὐσεβῶς κηδευθὲν κατατίθεται ἐν τῷ ὑπ' αὐτοῦ κτισθέντι ναῷ Νικομηδείας τῆς πόλεως».

Ἐκ τῆς τελευταίας § δῆλον ἐστὶν ὅτι συγγραφεὺς τῆς βιογραφίας[1] ἦν Θεοφύλακτός τις· οὗτος δ' ἐν ἀρχῇ τοῦ λόγου, τὴν παραίτησιν ἀναφέρων τοῦ πατριάρχου Παύλου τοῦ Κυπρίου γράφει τὴν ἑξῆς περίεργον παράδοσιν· «Ἐπεὶ δὲ τοῦ κυπρίου Παύλου, τοῦ τότε τῆς ἀρχιερωσύνης τοὺς οἴακας ἐγκεχειρισμένου, ἀποβάντος τοῦ θρόνου, ὡς *παρὰ τῶν αἱρεσιαρχῶν καὶ εἰκονομάχων δεξαμένου τὴν χρίσιν* **καὶ οὐκ ἀξίως τὸ πρῶτον χρισθέντος,** καὶ φυγῇ μᾶλλον τὴν σωτηρίαν πορισαμένου».

§

Θεοφάνης δ' ὁ τῆς Σιγριανῆς, ὁ ἡγούμενος δῆλα δὴ τοῦ Μεγάλου Ἀγροῦ ἐστιν ὁ πολὺς βυζαντινὸς χρονογράφος. Δύο τούτου βιογραφίας — ἡ μία λόγος ἐστὶ μᾶλλον ἐγκωμιαστικὸς — ἐξέδωκε τῷ 1896 καὶ τῷ 1897 διὰ τῶν Πρακτικῶν τῆς ἐν Μονάχῳ Ἀκαδημίας ὁ φίλτατος καθηγητὴς τοῦ αὐτόθι πανεπιστημίου Κάρολος Κρουμβάχερ[2]. Κατὰ τὴν ἑτέραν τῶν βιογραφιῶν, ὁ Θεοφάνης ἐγεννήθη τῷ 760, ἔμεινε δ' ὀρφανὸς πατρὸς τῷ 763· ἐμνηστεύθη τῷ 770 τὴν ὀκταέτη Μεγαλώ· τῷ 778 διωρίσθη ὑπὸ τοῦ Λέοντος Δ΄ στράτωρ, τότε δ' ἐτέλεσε τὸν γάμον αὐτοῦ, ζῶν ἐν ἁγνείᾳ ὡς μοναχὸς σὺν τῇ συζύγῳ. Τῷ 781, θανόντος τοῦ πενθεροῦ, μετέβησαν αὐτὸς μὲν εἰς τὴν μονὴν τοῦ Πολυχνίου ἐν τῇ Σιγριανῇ, ἡ δὲ Μεγαλὼ «τῷ *ἐν Πριγκήπῳ παρθενῶνι*», καὶ μετ' ὀλίγον τὴν τοῦ Πολυχνίου τῷ μοναχῷ Στρατηγίῳ λιπών, αὐτὸς ἔρχεται εἰς Καλώνυμον καὶ κτίζει μονὴν, μοναχοὺς ἐγκαταστήσας ἐκ τῶν τῆς μονῆς Θεοδώρου τοῦ Μονόχειρος

3. ἄρχεται μὲν «Ἄλλοις μὲν ἄλλαι βίων αἱρέσεις καὶ δόξαι καὶ πράγματα» κλπ. λήγει δὲ «ὅτε κατ' ἀξίαν ἑκάστῳ τῶν βεβιωμένων τὰς ἀντιδόσεις παρέχει· Ὃ πρέπει πᾶσα δόξα, κράτος, τιμὴ καὶ προσκύνησις» κλπ.
2. σελ. 371—399 καὶ 583—625 μετὰ πολλῶν καὶ χρησιμωτάτων παρεκβολῶν καὶ σχολίων.

=ἴσως 782 ἢ 783, — καὶ ἐκεῖ κλεισθεὶς *ἐξαετίαν* ἐν κελλίῳ μετήρχετο τὴν καλλιγραφίαν, μεθ' ὃ ἦλθεν εἰς Σιγριανήν, ὅτε καὶ ἡ Ζ' συνεκροτεῖτο Σύνοδος (787). — Τῷ 810 προσβληθεὶς ὑπὸ λιθιάσεως ἐτυραννεῖτο ὑπὸ τῆς νόσου. Εἰς Σαμοθράκην ἐξορισθεὶς, ἀφίκετο εἰς τὴν νῆσον ταύτην τῇ 17 φεβρουαρίου 815, καὶ μείνας ἐξόριστος εἴκοσι τρεῖς ἡμέρας ἐν αὐτῇ, τῇ 12 μαρτίου 815 ἀπέθανεν ἐκεῖ. Τῷ 821 οἱ μαθηταὶ αὐτοῦ κομίζουσιν εἰς τὰ Ἱερεῖα (Φενὲρ-μπαγτζὲ), κτῆμα τῆς μονῆς ὄντα, καὶ καταθέτουσι τῇ 25 δεκεμβρίου προσωρινῶς, τῷ δὲ πάσχα τοῦ 822 φέρουσιν εἰς τὴν μονήν· «τῇ μονῇ φέροντες τιθενται» (τίνι μονῇ;) ἐξ ἧς μετήνεγκον «εἰς τὴν ὑπ' αὐτοῦ κτισθεῖσαν μονὴν, Ἀγρὸν ἐπιλεγομένην».

Πρὸς συμπλήρωσιν τῶν βιογράφων τοῦ Θεοφάνους, τεσσάρων ὄντων γνωστῶν, προστίθεται καὶ ὁ νῦν ἐκδιδόμενος ὑπ' ἐμοῦ, ἴσως γράφων τι νέον. Ἡ μετὰ χεῖρας βιογραφία μετεγράφη ἐκ τοῦ ὑπ' ἀριθμὸν 23 μεμβρανίνου κώδηκος τῆς μονῆς Κουτλουμουσίου, γεγραμμένου κατὰ τὸν ΙΒ' αἰῶνα, οὐ μετ' ἐπιμελείας· καὶ ἔστιν αὕτη:

(166B2) **Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοφάνους τοῦ ἐν τῇ Σιγριανῇ.**

α'. ΕΜΠΡΑΚΤΟΝ κάλλος καὶ προαιρετικὴν εὐμορφίαν λόγῳ διαγράφειν λυσιτελὲς καὶ ὠφέλιμον αὐτῷ τε τῷ γράφοντι καὶ τοῖς ἀκούειν προθυμουμένοις· ὁ μὲν γὰρ, κἂν ἀρετῆς ὀλιγωρῶν ὅλως ὑπάρχῃ, ἀλλά γε τὴν ἀρετὴν λογῳ σεμνύειν βουλόμενος, τὸν οἰκεῖον λόγον, εἰ μή τι ἄλλο, ἐπαισχυνθήσεται, καὶ ἅπερ ἐγκωμιάζειν προῄρηται τούτοις ἑαυτὸν ὀψέποτε δοῦναι προθυμηθήσεται· τοῖς δὲ, τῶν ἐγκωμιαζομένων τὸ κλέος (167A1) ἱκανὴ παράκλησις ἔσται πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν. Εἰ γὰρ καὶ ὄκνον ἐμποιεῖ τοῖς πολλοῖς τὸ ἐκείνης ἐπίπονον, ἀλλὰ τὸ ἀκούειν ταύτην πολλοὺς ἤδη πρυκατορθώσαντας σὺν οὐδενὶ τῷ κωλύοντι ἐφελκύσεται τούτους πρὸς τὴν κτῆσιν αὐτῆς. Ἐπεὶ οὖν, σὺν πολλοῖς ἑτέροις, καὶ ὁ νῦν ἡμῖν προκείμενος εἰς διήγησιν Θεοφάνης ὁ τρισμακάριστος τὴν ἀρετὴν εὐχερῶς ὤφθη κατωρθωκὼς καὶ τὴν τραχεῖαν αὐτῆς καὶ ἀνάντη πορείαν εὐψύχως μάλα διωδευκὼς, χρὴ καὶ τὰ κατ' αὐτὸν εἰς διήγησιν προθεῖναι τοῖς φιλοκάλοις, τούτοις τε τὰς ἐκείνων ἀγιάσαι ψυχάς· λόγος γὰρ πάντως ψυχῶν ὑπάρχει τροφή. Ἀρ(A2)κτέον τοίνυν τῶν τοῦ μεγάλου ἐνθένδε, καὶ τὴν αὐτοῦ θεάρεστον πολιτείαν ἀρχῆς ἀπ' ἄκρας ἄχρι δὴ καὶ τοῦ τέλους συντετμημένῳ καὶ ληπτῷ λόγῳ πᾶσι διηγητέον.

β'. Οὗτος τοίνυν ὁ θαυμαστὸς Θεοφάνης πατέρας ἔσχε πολλά τε κεκτημένους καὶ οὐ μικρὰ δυναμένους· καὶ τό γε μεῖζον ἁπάντων, ἐπισήμους τὴν ἀρετήν· Ἰσαάκιος αὐτοῖς καὶ Θεοδότη ἐτύγχανε τὰ ὀνόματα. Ἐκ τούτων γοῦν γεννηθεὶς κατὰ παῖδας ἐτρέφετο, καὶ ὅσα βρέφος ἐχρῆν ὑπὸ τῶν γεννητόρων ἐξεπαιδεύετο. Μετὰ δὲ τριετίαν τῆς τούτου γεννήσεως, ὁ παὶηρ Ἰσαάκιος βίου τοῦ παρόντος μεθίσταται, τὴν ἀρχὴν τηνικαῦτα διέπων τὴν τοῦ Αἰγαίου πελάγους (167B1), ὅθεν δὴ καὶ ὡρμᾶτο αὐτός τε ἅμα καὶ ἡ τοῦ βίου κοινωνός· ἥτις ὀρφανίαν τὸν υἱὸν τὴν ἀπὸ πατέρα δυστυχήσαντα ἐν πάσῃ παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, ὡς τῷ μεγάλῳ ἀποστόλῳ Παύλῳ παρήγγελται, τοῦτον ἀνῆγέ τε καὶ φιλοστόργως ἀνέτρεφεν. Ἐπεὶ δὲ καὶ εἰς ἀνδρὸς ἡλικίαν ἥκοντα ἤδη τὸν υἱὸν ἡ μήτηρ ἑώρακε, κάλλει τε καὶ τρόποις καὶ ἤθεσι τῶν ὁμηλίκων παραπολὺ[1] διαφέροντα, γυναῖκα τούτῳ ἁρμόζεται, Μεγαλὼ μὲν οὕτω μὲν οὕτω καλουμένην, μεγάλοις δὲ κατορθώμασι διαλάμψασαν, ὡς τὰ τοῦ λόγου προϊόντα δηλώσει· ἣν δὲ καὶ τῇ νύμφῃ γένος τε λαμπρὸν καὶ ἐπίσημον καὶ πατέρες (B2) πλούτῳ κομῶντες πολλῷ. Ὁ μέν τοι μακάριος Θεοφάνης τὸν μὲν τοῦ γάμου ζυγὸν, μητρικαῖς ὑπείκων βουλαῖς, καταδέχεται, τῶν δὲ γαμικῶν ἔργων ὅλως ἀπείχετο· σκοπῶν μὲν ἐκχωρῆσαι τοῦ βίου καὶ δι' ἀσκήσεως εὐαρεστῆσαι τῷ κτίσαντι· ὑπὸ δὲ τοῦ κηδεστοῦ τῇ καλλίστῃ ταύτῃ ἐπιθυμίᾳ δοῦναι τέλος εἰργόμενος· ἀλλὰ δὴ, καὶ αὐτοῦ βασιλέως, Λέων ἦν οὗτος ὁ δυσσεβὴς καὶ τῆς τῶν εἰκονομάχων αἱρέσεως ἐραστὴς σφόδρα διάπυρος, ὃς, ἀξιώμασι τοῦ κόσμου περιβαλὼν τὸν ὑπὲρ κόσμον ὑπάρχοντα, ὀφθαλμῶν τε αὐτῷ στέρησιν καὶ θάνατον ἠπείλει τὸν οἰκτιστον τῷ μοναδικῷ καὶ ἡσυχίῳ βίῳ (168A1) προσδραμεῖν ἐθελήσαντι. Τοιαύταις οὖν ὁ θεῖος ἀνὴρ περιπετείαις ἐχόμενος ἔγνω, τό γε

1. *παραπολὺ μία λέξις.*

νῦν ἔχον, ἐπιμένειν βίῳ τε καὶ τοῖς ἐν βίῳ θορύβοις, συμβούλῳ χρώμενος γέροντί τινι τῶν μεγάλων, ᾧ Γρηγόριος ὄνομα, κατὰ τὸ τῆς Σιγριανῆς ὄρος ποιουμένῳ τὴν ἄσκησιν· ὃς καὶ προφητικώτατα τούτῳ προαγορεύει τόν τε τοῦ κηδεστοῦ οὐκ ἐς μακρὰν ἐσόμενον θάνατον, καὶ τὸν τοῦ δυσσεβοῦς βασιλέως αὐτοῦ, ὅτε φησὶ καὶ τὰ κατὰ σκοπόν σοι πέρας αἴσιον λήψεται. Καὶ ταῦτα μὲν τῷ θαυμαστῷ Θεοφάνει ὁ διορατικὸς ἐκεῖνος ἀνὴρ καὶ παλαιὸς ἡμερῶν ἀριδήλως προείρηκε· πρὸς δέ τινα τῶν συνήθων, μετὰ τὴν ἐκείνου ἀ(A2)παλλαγὴν, καὶ τὰ περὶ τοῦ τέλους αὐτοῦ προανεφώνησεν ὁ μακάριος, μαρτυρικὸν ἀναδήσασθαι Στέφανον τὸν νεανίαν εἰπών· ὃ καὶ συνέβη, ὡς τὸ μετὰ ταῦτα γνωσθήσεται.

γ'. Διέμενε τοίνυν ὁ τὰ πάντα καλὸς Θεοφάνης βίου μοναδικοῦ καὶ ἐν μέσῳ πολλῶν στρεφόμενος, τάξιν καὶ ἀκρίβειαν ἐνδεικνύμενος, καὶ τὴν ἁρμοσθεῖσαν αὐτῷ κόρην ὁμιλίαις φιλοθέοις καὶ παραινέσεσι πρὸς τὴν ἴσην αὐτῷ γνώμην ἐφελκυσάμενος, παρθενεύειν τε πείσας καὶ σὺν αὐτῷ τὸν χρηστὸν τοῦ Κυρίου ζυγὸν βαστάζειν καὶ τῆς φίλης αὐτῷ πολιτείας εὐψύχως τέμνειν τὴν αὔλακα· πλοῦτον γὰρ τὸν προσόντα αὐτοῖς ἅπαντα (168B1) πένησιν οἱ μεγαλόφρονες διενείμαντο, ὀλίγα δέ τινα τῶν ἀναγκαίων αὐτοῖς ὑπελείποντο, ὡς μή τινα δοῦναι λαβὴν τοῖς ἐμποδὼν γίνεσθαι βουλομένοις τῷ θεοφιλεῖ τούτων σκοπῷ. Ἐπεὶ δὲ ὅ τε βασιλεὺς Λέων καὶ ὁ κηδεστὴς τοῦ θαυμαστοῦ Θεοφάνους ἐξ ἀνθρώπων ἦσαν, ὡς ἡ πρόρρησις τοῦ μεγάλου ἐκείνου γέροντος, τὰ καταλειφθέντα τοῦ πλούτου, σὺν ἅμα[1] τῇ λόγῳ μὲν γαμετῇ, ἔργῳ δὲ ἀδελφῇ, πένησι διαδοὺς, καὶ τὸ οἰκετικὸν ἅπαν ἐλευθερίας ἀξιώσας, λεγάτα τε παρασχόμενος, ὅποι βούλοιντο ἀπιέναι τούτους ἐκέλευε· τὴν δὲ σύζυγον, ὀνόματι μόνον οὐ πράγ(B2)ματι, τῷ ἐν Πριγκήπῳ παρθενῶνι φέρων ἀποκατέστησε, τὸ μοναδικὸν αὐτῇ σχῆμα περιβαλών· συνετέτακτο δὲ τοῖς μακαρίοις μὴκ ἔτι[2] ἀλλήλους ὄψεσθαι κατὰ τόν δε τὸν βίον ἄχρις οὗ ὁ καιρὸς ἐπέλθοι τῆς πάντων ἀνθρώπων ἐξαναστάσεως, ὅπως ὡς ὀφειλὴν παρὰ τοῦ δικαίου κριτοῦ τὴν τότε ὄψιν ἀλλήλων ἐκδέξωνται. Ἐπὶ τούτοις, ὁ μὲν ἀπῄει πρὸς τὸ τῆς Σιγριανῆς ὄρος, κἀν τῇ μονῇ τῇ λεγομένῃ Πολίχνιον τὸν μονήρη βίον ὑπέρχεται· ἡ δὲ παρέμεινεν ἄχρι τέλους ὡς πέρ τινι σίμβλῳ τῷ ῥηθέντι παρθενῶνι, τὸ θεῖον μέλι τῆς ἀρετῆς φιλοπόνως ἐργαζομένη καὶ εἰς ἄκρον αὐτῆς ἡ μακαρία φθά(169A1)σασα, Χριστῷ τῷ ἀθανάτῳ νυμφίῳ ὡς προῖκα πολυτάλαντον τὴν παρθενίαν προσάξασα, καὶ πάσαις ταῖς ἀρεταῖς ὡς πολυτελεῖ καὶ χρυσέῳ κόσμῳ πεποικιλμένη. Ἡ μὲν οὖν θαυμαστὴ Εἰρήνη, τούτῳ γὰρ ἐκλήθη τὸ μοναδικὸν ὑποδῦσα σχῆμα, καλῶς οὕτω βιώσασα, πρὸς τὸν αὐτῆς ἐραστὴν Χριστὸν μετατίθεται, τῶν οἰκείων καμάτων καὶ πόνων ληψομένη τὰς ἀμοιβάς.

δ'. Ὁ δὲ μακάριος Θεοφάνης, ἐπ' αὐτὸν γὰρ δεῖ τρέψαι τὸν λόγον, ἐν τῇ εἰρημένῃ μονῇ ἤδη γενόμενος, καὶ κελλίῳ ἑαυτὸν ἐγκλεισάμενος, τῇ καλλιγραφίᾳ ἐσχόλαζε, καμάτῳ δακτύλων ἑαυτῷ τὰ πρὸς τὴν χρείαν παρέχων καὶ ἄλλοις τούτων (A2) ἀφθόνως μεταδιδούς. Μετὰ δὲ χρόνους τινὰς ἀπάρας ἐκεῖθεν πρὸς τὴν Καλώνυμον οὕτω καλουμένην νῆσον ἀφίκετο· καὶ μοναστήριον ἐκεῖ μέγιστον συστησάμενος, αὖθις πρὸς τὸ τῆς Σιγριανῆς ὄρος ὑπέστρεψεν, ἡγεῖσθαι τῶν ἐκεῖ ἀδελφῶν προστησάμενος ἄνδρα τὸν συνέσει καὶ ἀρετῇ πάντων πρωτεύοντα. Αὐτὸς γὰρ ἐξέκλινε τὴν ἀρχὴν, τῷ περιόντι τῆς ταπεινώσεως, ὑποτάττεσθαι μᾶλλον ἢ ἄλλων κατάρχειν ἑαυτῷ συμφέρον ἡγούμενος· ταύτῃ τοι καὶ τὴν τῶν ἀρετῶν χρυσῆν ὄντως σειρὰν ἑαυτῷ ἀνεπλέξατο· πίστις γὰρ τῷ μακαρίῳ ἐπὶ τοσοῦτον ηὐλίσθη, ὥστε πάλιν εὐμαρῶς ἅπαντα κτᾶσθαι ὅτε καὶ βού(169B1)λοιτο ὧν ἑκὼν ἑαυτὸν διὰ Θεὸν ἀπεγύμνωσεν· ἐλπὶς δὲ ταύτην ἐκράτυνε μάλιστα, ἡ καὶ τὸ μὴ ἔχειν ὡς ἔχειν λογίζεσθαι πείσασα καὶ διδόναι τοῦτον τοῖς ἐνδεέσι παρασκευάσασα· ἀγάπη δὲ τὰς δύο ταύτας τῶν ἀρετῶν τὸ κεφάλαιον ἐτελείου τε καὶ ἀλύτως συνέσφιγγεν ἥ τε πρὸς Θεὸν ὁμοῦ καὶ τὸν πλησίον. Γέγονε δὲ μακρόθυμος οἷα φρόνιμος, ἐπειδὴ πολὺν ἐν φρονήσει τὸν μεγαλόψυχον Σολομῶν ἀπεφήνατο· καὶ τοῦτο δὲ ἐξ ἀγάπης αὐτῷ κατωρθώθη, τὸ ὑπομένειν[1] γενναίως τὸν παροξύνοντα. Ἁπλοῦς δὲ καὶ ταπεινὸς καὶ ἐλεήμων κατέστη, ἀνδρείᾳ τε καὶ σωφροσύνῃ, φρονήσει τε καὶ δικαιοσύνῃ περι(B2)φρουρούμενος. Τὸν τῆς νηστείας δὲ θεμέλιον ἐπὶ τοσοῦτον προϋπεστήρι(ζῆξ)εν[2], ὅσον μὴ τυραννεῖσθαι ταύτῃ πλέον ἢ προσῆκε τὸ σῶμα ποτὲ, ἀλλὰ ποιεῖσθαι κακείνου λόγον καὶ μὴ ἐᾶν εἰς τὸ παντελὲς ἀπρονόητον· ἤδει γὰρ ὁ σοφὸς

1. *σὺν ἅμα δύο λέξεις.*
2. *τὸ μὴκ ἔτι εἰς δύο λέξεις.*

1. ὁ Κώδηξ: *τῷ ὑπομένειν.*
2. ὁ Κώδηξ: *προϋπεστήριΣεν.*

ὡς δι' αὐτοῦ κατορθοῦται τὰ δεσποτικὰ πᾶσιν ἐντάλματα. Τούτοις ἠκολούθει τὸ πέρας τῶν ἀγαθῶν, ἡ διάκρισις· καὶ περιεκέκοπτο θυμὸς παντάπασιν ὁ ἀλόγιστος· πρὸς μόνον γὰρ τὸν δημιουργὸν τῆς κακίας ἠφίει τὸ κέντρον τοῦ θυμικοῦ τῆς ψυχῆς. Οὕτως ὁ μέγας δι' ὅλων ὑπῆρχε σώζων τὸ κατ' εἰκόνα τοῦ κτίσαντος.

ε΄. Περὶ δὲ τοῦτον τὸν χρόνον (170A1) ἡ ἐν Νικαίᾳ τὸ δεύτερον ἁγία οἰκουμενικὴ καὶ ἑβδόμη σεγκεκρότηται Σύνοδος, ᾗ παρῆν καὶ ὁ θεῖος οὗτος ἀνὴρ, τοῖς τοῦ ὀρθοῦ λόγου ὑπερμαχοῦσι πατράσι τὰ μέγιστα συναιρόμενος· εἶτα τῆς Συνόδου διαλυθείσης ἐπὶ τὸ οἰκεῖον ἐπάνεισι φροντιστήριον, καὶ αὖθις τῶν συνήθων ἔργων ἐχόμενος ἦν· ἐφ' οἷς ὁ τῆς κακίας πατὴρ λίαν ἀχθόμενος πλῆθος αὐτῷ πειρασμῶν ἐπεγείρει. Κοιμωμένῳ γάρ ποτε τῷ μεγάλῳ μέσων νυκτῶν ἐπιστὰς μετὰ πλήθους δαιμόνων ἐπιτάττειν τούτοις ἐδόκει τῆς τοῦ ἀνδρὸς χειρὸς ἅψασθαι· καὶ παρευθὺ δάκτυλον ἕνα τῆς θατέρας χειρὸς δηγμῷ πιέσαντες οἱ ἀλάστορες τὸν (A2) τῆς κακίας τε ἰὸν τούτῳ ἐγχρέμψαντες ἀπηλλάγησαν, ὀδόντων τύποις καὶ ἄλγους ὑπερβολῇ τὴν σφῶν κακουργίαν ἐνσημηνάμενοι· ἐπὶ τούτῳ, συνελθόντων τῶν ἀδελφῶν, ἀγιάσματι μὲν συνέβη περιχρισθέντα τὸν πεπληγότα δάκτυλον τοῦ ὁσίου τῆς ὀδύνης ἀπαλλαγῆναι· τὰ μέντοι τῶν δαιμονικῶν ὀδόντων τυλώματα ἐπὶ πλείστας ἡμέρας ἐν αὐτῷ ἦσαν φαινόμενα. Καὶ ἄλλοτε δὲ πάλιν, οἱ φθονεροὶ καθεύδοντι ἐπιστάντες ἐρράπιζον, μυρίαν τε αὐτῷ τὴν ὄχλησιν καὶ τὴν βλάβην ἐπέφερον, ἀλλ' ἑαυτοὺς μᾶλλον ἢ περ τὸν ὅσιον ἐλυμαίνοντο. Ἔκτοτε γὰρ τὴν κατ' αὐτῶν ἐξουσίαν λαβὼν δραπετεύειν εὐ(170B1)θὺς μόνῃ κελεύσει καὶ Χριστοῦ ἐπικλήσει παρεσκεύαζε τοὺς τῆς κακίας δημιουργούς.

ϛ΄. Καλὸν δὲ καὶ τῆς παρὰ Θεοῦ δοθείσης θαυματουργοῦ χάριτος τῷ μεγάλῳ βραχέα τινα δείγματα παραθεῖναι τῷ λόγῳ. Λιμὸς τοὺς κύκλῳ πάντας ἀπηνὴς διεβόσκετο καὶ θάνατον ἠπείλει τὸν οἰκτιστον· ἐπεὶ δὲ, πολλῶν προσερχομένων τῇ τοῦ ὁσίου μονῇ, ἐκεῖνος πᾶσι τὰ πρὸς τὴν χρείαν ἐπέτρεπε χορηγεῖσθαι μεγαλοψύχως, ἤδη γὰρ καὶ τῶν ἀδελφῶν ἐγκεχείριστο τὴν προστασίαν, ὑπ' αὐτῶν πολλὰ βιασθείς, ὁ τοῦ σίτου ταμίας προσελθὼν αὐτῷ «γίνωσκε, πάτερ, φησὶν, ὡς ὁ ἀποτεθειμένος ἡμῖν τοῦ ἐνιαυτοῦ σῖτος (B2) οὐδὲ εἰς ὅλους ἓξ μῆνας ἀρκέσει, τῷ πλήθει τῶν ἀναλισκομένων ἄρτων ἤδη ἐκλείπων». ὁ δὲ πρὸς αὐτόν· «εἰς τί μικρόψυχος, ὦ τέκνον, ὤφθης; καὶ ἵνα τί διστάζεις πρὸς τὴν τοῦ εὐεργέτου ἀντίληψιν; Ὕπαγε, μέτρησον τὸν ἐν τῷ σιτῶνι ἔτι μένοντα σῖτον, καὶ ὄψει τῶν τοῦ Θεοῦ δωρεῶν τὸ ἀμέτρητον». Ὁ δὲ, ἀπελθὼν καὶ τοῦτο ποιήσας, εὗρε μηδὲ μόδιον ἕνα τοῦ ἀρχῆθεν αὐτοῖς ἀποτεθέντος σίτου ἐνδέοντα. Ἤρκει τοῦτο τὴν τοῦ ἁγίου παραστῆσαι χάριν, καὶ ὅσην ἐ(171A1)πλούτει ἀπὸ Θεοῦ τὴν ῥοπήν. Ἀλλὰ χρὴ καὶ ἄλλο προσθεῖναι κατ' οὐδὲν ἐκείνου λειπόμενον· προσαιτοῦντος ἐν τῷ πυλῶνι τῆς μονῆς ἀδελφοῦ τινος, ὁ διαδότης τῷ ὁσίῳ τοῦτο ἐμήνυσεν· ὁ δὲ «ἄπελθε, φησὶ, καὶ τὸ κιβώτιον ἀνοίξας, νόμισμά τε λαβὼν N[1] τῷ αἰτοῦντι ἐπίδος»· ὁ μὲν οὖν ἀπῄει· τὸ δὲ, μηδὲν πρὸ τοῦ[2] φέρον, νόμισμα ἐθεάσατο ἔχον· ὃ καὶ ἀνελόμενος τῷ μεγάλῳ κομίζει, καὶ διεβεβαιοῦτο αὐτόν· «ἡ εὐχή σου, λέγων, καὶ ἡ κέλευσις, πάτερ, παρέσχε τὸ πρὶν οὐχ ὑπάρχον ἡμῖν»· οὗπερ τὸν λόγον ἐκκόπτων ὁ ταπεινόφρων ἐκεῖνος «ὕπαγε, φησὶ, δὸς τῷ ἀδελφῷ ὅπερ ὁ Θεὸς δι' αὐτὸν ἐχορήγησεν»· ὁ δὲ τὸ κελευσθὲν ἐ(A2)πλήρου, ἔτι θαύματι καὶ ἐκπλήξει ἐχόμενος. Ἐξ ὀνύχων ὁ λέων. Ἐκ τούτων δῆλος ἂν ἡμῖν γένοιτο καὶ ὁ μακάριος Θεοφάνης· εἰ γάρ τις ἐθέλοι τῶν ὑπ' αὐτοῦ θαυματουργηθέντων ἕκαστον διδόναι γραφῇ, καὶ χρόνου ἂν ἀπορήσοι καὶ λόγου τοῦ ταῦτα παριστᾶν δυναμένου· διὸ καὶ ἡμεῖς, τῶν ἄλλων πάντων ἀφέμενοι, πρὸς τὴν ἀθλητικὴν αὐτοῦ τελευτὴν τῷ λόγῳ βαδιούμεθα, ὀλίγα πρότερον πρὸ αὐτῆς εἰρηκότες τῶν συμπεσόντων αὐτῷ πειρασμῶν καὶ ἀκριβῶς δείξαντες ὡς οὐδεμία τῷ μεγάλῳ τούτῳ ἀνδρὶ παρ' ὅλον τὸν βίον προσεγένετο ἄνεσις.

ζ΄. Τῷ γὰρ πεντηκοστῷ τῆς ζωῆς αὐτοῦ χρόνῳ τὰ περὶ τὴν κύστιν καὶ τοὺς (171B1) νεφροὺς οὐ μετρίως νοσήσας δυσχερῆ τὴν τοῦ ὕδατος παρείχετο ἔκρυσιν· τοσαύτη γὰρ ἦν ἡ ἐξ ὑπεροπτήσεως χυμοῦ λιθοφορία, ὡς δοκεῖν τοῖς ὁρῶσι πέτραν τινα λατομεῖσθαι καὶ ταύτης ἀποθραύεσθαι τὰ ἐκβαλλόμενα· ἐκ τούτου λοιπὸν κλινήρης ἦν καὶ ἀκίνητος, εἰ καὶ τῇ ἀσθενείᾳ μᾶλλον οὐ κατεβάλλετο, διὰ τῆς ὑπὲρ ἄνθρωπον ὑπομονῆς ὄντως ῥωννύμενος. Μετὰ ταῦτα, Λέοντος τοῦ ἀρμενίου τυραννικῶς δραξαμένου τῆς βασιλείας καὶ κατὰ τῆς Χριστοῦ εἰκόνος καὶ πάντων τῶν ἁγίων λυττήσαντος, πρός τε τὴν τοιαύτην αἵρεσιν σὺν πολλοῖς καὶ ἄλλοις ἐπισπάσασθαι τὸν

1. N ὁ Κώδηξ.
2. οὗτω: *πρὸ τοῦ* εἰς δύο δηλ. λέξεις.

μέγαν σπουδάσαντος, οὐκ ἄνανδρος (B2) καὶ δειλὸς ὁ κλινήρης καὶ ἀκίνητος γίνεται· ἀλλὰ τῇ προθυμίᾳ καὶ τῇ πρὸς Χριστὸν ἀγάπῃ ῥωσθείς, ἐπείπερ ἀπειθοῦντι ὁ τύραννος θάνατον αὐτῷ τὸν δι' ἀγχόνης ἠπείλησεν, ὁ μακάριος «καὶ πυρὸς, εἶπε, καὶ βόθρου, καὶ κρημνοῦ διὰ τὴν τοῦ Χριστοῦ μου ἀγάπην καταφρονῶ». Ταῦτα ὡς ἤκουσεν ὁ ἀλάστωρ ἐκεῖνος, Ἰαννῇ τινι, μέγα ἐπὶ λόγοις αὐχοῦντι, τέχνῃ τε μαγικῇ προσκειμένῳ καὶ τῆς αὐτοῦ ἀναπεπλησμένῳ αἱρέσεως, εἰς ἅμιλλαν λόγων ἐκδίδωσι τὸν ἀοίδιμον· ὃν καὶ τῷ περιόντι κατεβρόντησε τῆς αὐτοῦ σοφίας τε καὶ συνέσεως, ἀγροῖκον μᾶλλον ἀποφήνας τὸν ἐπὶ λόγοις ἐναβρυνόμενον. Ἐντεῦθεν, οἰκημά τι ζο(172A1)φῶδες καὶ πνιγηρὸν οἰκεῖν κατακρίνεται, ἐν ᾧ καὶ διετῆ χρόνον διετέλεσεν, ὑστερούμενος, θλιβούμενος, κακουχούμενος, καὶ πάσαις στενοχωρίαις καὶ ταλαιπωρίαις παραδιδόμενος. Ἐκεῖθεν εἰς Σαμοθράκην ὑπερορίζεται, ἀμεταθέτως ἔχων τῆς εὐσεβείας παντάπασιν· ἣν καὶ καταλαβὼν, οὐκ εἰς μακρὰν αὐτῆς τε καὶ τῆς εἰρκτῆς τοῦ σώματος ἀπολύεται· ἡμέρας γὰρ τρεῖς καὶ εἴκοσι μόνας ἐν τῇ νήσῳ διατελέσας, πρὸς Κύριον ἐκδημεῖ, δωδεκάτην τοῦ μαρτίου ἐπέχοντος. Τί δὲ χρὴ λέγειν ὅσης μὲν εὐλογίας τὸν τόπον μετὰ (;) τέλος ἐνέπλησεν, οἵων δὲ νόσων καὶ παθῶν τοὺς ἐκεῖ ἐλυτρώσατο· οὐδὲ γὰρ θνήσκειν οἶδεν ὅ(A2)λως ἡ ἀρετή· Θεῷ γὰρ ζῶσι, κἂν θνήσκωσι, πάντες οἱ κατὰ Θεὸν ζήσαντες, ὡς ἡ θεολόγος που ἔφη φωνή.

η΄. Οὐ πολὺ τὸ μέσον, καὶ Λέων μὲν ὁ δυσσεβὴς ἐξ ἀνθρώπων ἠφάνιστο, πικρῷ τέλει τὴν ζωὴν καταλύσας, καὶ ἀνατέλλει πᾶσιν ἀνθρώποις κἂν οὐ καθαρώτατος ἥλιος, ἀλλά γε, ἀντὶ πολλοῦ ζόφου, ἑωσφόρου ἀπαύγασμα· καῦμά τε τὸ φλογώδες πῦρ διαδέχεται· Μιχαὴλ γὰρ, τὸν ἀλάστορα ἐκεῖνον διαχειρισάμενος Λέοντα, τῆς βασιλείας κρατεῖ· καὶ δέδωκεν ἀέρα μικρᾶς τινὸς ἀναψύξεως τοῖς πνιγεῖσι μακρότερα(;). Ὅτε δὴ καὶ οἱ τοῦ μεγάλου μαθηταὶ λαμβάνουσιν ἐκ τοῦ τόπου τῆς ὑπερορίας τὸ πολύαθλον σῶμα τοῦ διδασκάλου (172B1) καὶ πρὸς τὸν θεῖον ναὸν Προκοπίου τοῦ μεγίστου ἐν μάρτυσιν ἀποφέρουσι, δώδεκα σημείοις διέχοντα τῆς ἐκείνου μονῆς, εἶτα καὶ πρὸς αὐτὴν ἀποκομίσαντες θάπτουσι. Τὰ δ' ἐντεῦθεν, μεγίστων θαυμάτων πληθύς· νοσημάτων τε χαλεπῶν καὶ πνευμάτων πονηρῶν ταχεῖα φυγή· οἵ τε γὰρ ὑπ' αὐτῶν ὀχλούμενοι καὶ οἱ ἄλλῃ δή τινι ἀσθενείᾳ συνεχόμενοί τε καὶ πιεζόμενοι μόνῃ τῇ τῆς ἁγίας θήκης τοῦ ὁσίου ἐπαφῇ καὶ τῇ τοῦ ἀποβλύζοντος μύρου αὐτῆς ἀλοιφῇ τὴν θεραπείαν τῶν ἐνοχλούντων παθῶν καὶ νοσημάτων ἐλάμβανον· καὶ πάντων τῶν προσιόντων πιστῶς, οὐδεὶς τῆς τοῦ μεγάλου χάριτός τε καὶ θερμῆς (B2) ἀντιλήψεως ἐγίνετο ἄμοιρος· οὗ ταῖς σεπταῖς πρὸς Θεὸν παρακλήσεσιν ὁ εὐσεβὴς ἡμῶν βασιλεὺς εὕροι τὰ κατὰ θέλησιν ἅπαντα· μέγιστα κατὰ τῶν ἀνταιρόντων βαρβάρων τὰ τρόπαια· ἰσχὺν κατ' ἐχθρῶν ἁπάντων καὶ σθένος ἀκαταμάχητον· χρηστότητα Θεοῦ καὶ τῶν ἐν βίῳ πλημμελειῶν ἀπολύτρωσιν· ἀϊδίου βασιλείας τὴν μέθεξιν, μετὰ τὴν τῆς ἐπικήρου ἀπόθεσιν· ἣν ἀπὸ καταβολῆς κόσμου Χριστὸς τοῖς αὐτοῦ ἁγίοις ἡτοίμασε, λαμπρύνασιν ἀρεταῖς τὰς ἑαυτῶν ψυχὰς καὶ τὰ σώματα· παρ' οὗ καὶ πάντες χριστιανοὶ ταύτην λάβοιμεν, εἰς δόξαν τούτου καὶ ἄπαυστον αἴνεσιν· Ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

ΜΑΡΙΑ Η ΝΕΑ

Μετὰ τὴν βιογραφίαν τοῦ ὁσίου Θεοφάνους τάττω τρία μνημεῖα τῆς ἐκκλησιαστικῆς καὶ τῆς θύραθεν μεσαιωνικῆς ἡμῶν ἱστορίας, εἰσὶ δὲ ταῦτα τρεῖς βιογραφίαι ἁγίων, ὧν οἱ δύο γνωστοί, τρίτος δὲ γυνή, τὸ πρῶτον γινωσκομένη.

Ὁ θέλων ἵνα μελετήσῃ τὸν βυζαντινὸν μεσαίωνα δέον 'ν' ἀναζητήσῃ τὰς πηγὰς ἐν παντὶ προϊόντι τοῦ πνεύματος τῶν χρόνων ἐκείνων, τοῦ λόγου, τῆς μνήμης καὶ τῆς φαντασίας, δέον ἵνα πιστεύσῃ προσοχῆς ἄξιον πᾶν τεμάχιον χάρτου ἐναποτυποῦν τὸ πνεῦμα καὶ τὰς γνώσεις καὶ τοὺς πόθους τοῦ γράψαντος, τοὺς πόθους, τὰς ὁρμὰς καὶ τὰ ὄνειρα τῆς ἐποχῆς, ἐν ᾗ ἐγράφη, τὰ ἤθη, καὶ τὰς ἀβελτηρίας καὶ τὰ παραπτώματα, ἐξ ὧν ὁ ζόφος ἐσχηματίζετο τῆς τὸν γράψαντα περιβαλλούσης ἀτμοσφαίρας. Ἀλλὰ σπανίως ἠθέλομεν εὑρεῖ ἱστορικὰ κείμενα τῶν αἰώνων ἐκείνων ἄρτια καὶ πλήρη καὶ γεγραμμένα συστηματικῶς πρὸς στηλογράφησιν τῶν τυχῶν τοῦ γένους καὶ τῆς Ἐκκλησίας· καὶ μένει λοιπὸν ἡμῖν ἡ ἐλπὶς ὅτι θέλομεν ἀνακαλύψειν, ἐν τῇ τῶν παλαιῶν χειρογράφων ἐρεύνῃ, λόγους ἢ βιογραφίας, ᾠδὰς ἱερὰς ἢ κοσμικάς, πέλεκυν ἢ ὠὸν κατὰ πρότυπον ἀδέξιον ἢ ἐπιδέξιον κατασκευασθέν, φθειρὸς ἢ ψύλλης ἐγκώμιον, ἐν ᾧ δαπανᾷ τὸ πνεῦμα αὐτοῦ λόγιός τις, ἐν ἰδιωτικῷ ἢ δημοσίῳ μεγάρῳ σιτιζόμενος, ἴσως οὐχὶ σπανίως οἰκοδομῶν καὶ στίχους εἰς ἵππους καὶ σταύλους, εἰς περίπτερα καὶ λουτρῶνας, ὡς φρονῶ, μᾶλλον ἐμπνέοντας ἢ θεοθίκτων καὶ ἁγίων ὀρῶν αἱ κορυφαὶ καὶ ναῶν ὑπερυψήλων οὐρανογείτονες θόλοι.

Μνημεῖα τῆς βυζαντινῆς ἱστορίας πολλῆς μέτοχα σημασίας, εἰσὶν αἱ βιογραφίαι τῶν ὁσίων ἀνδρῶν ὅσοι ἤκμασαν μετὰ τὸν ϛ΄ αἰῶνα, διότι αἱ γραφεῖσαι κατόπιν τοῦ αἰῶνος τούτου ἐπιδιώκουσι κατὰ τὸ πλεῖστον εἰλικρινῆ καὶ ψιλὴν ἀφήγησιν γεγονότων ἄνευ πολλῶν κρίσεων ἐπὶ τῆς θείας φιλανθρωπίας τε καὶ δικαιοσύνης, ἄνευ τῆς ἀπαριθμήσεως θαυμάτων ἤ τινος ἑτέρου τοιούτου λόγου τῆς ἀνθρωπίνης διανοίας τὴν κατάληψιν ὑπερβαίνοντος. Ἐγὼ πολλὴν ἀποδιδοὺς σημασίαν εἰς ἱστορικὰ μνημεῖα τοιαῦτα, παρατρέχων δὲ πάντοτε τοὺς ἐπιταφίους λόγους ὅταν μὴ γινώσκωμεν ἄλλοθεν τὸν μὲν νεκρὸν ἄξιον ἐπαίνων, τὸν δὲ κήρυκα κολακειῶν ὑπεράνω κείμενον, ἀπό τινων ἐνιαυτῶν ἐπέβαλλον ἐμαυτῷ τὴν ἐπιμελῆ περισυλλογὴν μνημείων τῆς βυζαντινῆς ἱστορίας ἱερᾶς τε καὶ κοσμικῆς, καθ' ὃ πνεῦμα ἀνωτέρω ἐξέθηκα, καὶ τούτων νῦν ἐκδίδωμι περίληψιν ἐκτενῆ καὶ σαφῆ· τὰ πλείονα τούτων ἀναφέρονται εἰς ἐποχὴν ἐπιφανῆ, ἣν ἐμελέτησαν ὅ τε πρώην ἐν Γαλλίᾳ ὑπουργὸς τῆς παιδείας Alfred Rambaud καὶ ὁ πολυμαθέστατος συγγραφεὺς τῆς Βυζαντινῆς Σφραγιδολογίας Gustave Schlumberger.

Ἴσως διὰ τοιούτων ἐκδόσεων ἐπιχυθῇ φωτὸς ἀκτὶς ἀφαυρὰ πρὸς ἐκτίμησιν

χαρακτήρων τε καὶ γεγονότων κυρίως τῶν μετὰ τὸν Θ' αἰῶνα χρόνων, οἵτινες εἰσέτι διατελοῦσιν ἀφεγγεῖς, διότι οὐδεὶς ἡμῶν δυνηθήσεται πεῖσαι μήτε τὴν ἰδίαν αὐτοῦ συνείδησιν, μήτε τοὺς φιλίστορας ὅτι καλῶς ἐμελέτησε τὴν ἐποχὴν τῶν Μακεδόνων, ἢ τὴν ἐποχὴν τῶν Κομνηνῶν, πολλῷ δὲ μᾶλλον τὰ πρὸ τοῦ Η' αἰῶνος. Πιθανῶς ἀνευρεθήσονται καὶ μνημεῖα τῶν χρόνων ἐκείνων ἄπωθεν ἱστορικά, ἐὰν ἡ λέξις ἐπιτρέπηταί μοι καὶ τούτοις δέον ἵν' ἀρκεσθῶμεν, ἐφ' ὅσον λανθάνουσι τὰς ἐρεύνας ἡμῶν αὐθεντικὰ κείμενα ἐγγύθεν ἡμῖν ἀπαγγέλλοντα τὰς ἱστορικὰς ἀληθείας, οὐχὶ δ' ἀναγκάζοντα τοὺς ἐρευνῶντας ὅπως διαβλέπωσι μόλις, ἀναζητοῦντες δυσχερῶς, φωτὸς ἀληθείας ἴχνος ἐν μέσῳ τῆς ἀχλύος τῶν εἴτε ἐξ ἀγνοίας εἴτε ἐκ κολακείας διαστροφῶν τοῦ πραγματικοῦ. Παρέχομαι πίστιν καὶ εἰς τοιαῦτα κείμενα, ἐὰν παρ' ἐμοὶ κεῖνται τὰ δόκιμα, οὐχὶ τὰ ἐξ αὐτῶν μεταγραφέντα ἢ μεταγλωττισθέντα· ἀλλ' ὅπου ταῦτα λείπουσιν ἡμᾶς οὐδέποτε νομίζω χρηστὸν ἵνα παραδῶμεν ἡμᾶς αὐτοὺς εἰς τὴν χειραγωγίαν ὑποσκαζόντων τε καὶ παραπαιόντων ὁδηγῶν, ἵνα μὴ πέσωμεν εἰς τὸν βόθυνον ἀκουσίου τινὸς τῆς γραφίδος ἢ τῆς κρίσεως ἀμπλακήματος.

Ἐπιβάλλεται δ' ἡμῖν ἡ ἀναδίφησις καὶ ἔκδοσις βιογραφιῶν ὁσίων ἀνδρῶν, ἰδίᾳ τῶν ἀφ' ἧς ἡμέρας ἀνέθορεν ἡ αἵρεσις τῆς εἰκονομαχίας μέχρι τέλους τῆς ΙΕ' ἑκατονταετηρίδος ἀκμασάντων, ὅπως μελετηθῇ πρωτίστη πασῶν ἡ μακρὰ χρονικὴ περίοδος τῶν ἐκκλησιαστικῶν ἐκείνων ἀτασθαλιῶν· εἶτα δ' ἡ ἐξέτασις τῶν ἱστορικῶν μνημείων τοῦ Ι΄ αἰῶνος. Εἰς τοῦτον ἀνήκει τὸ παρατιθέμενον ᾧδε, περιγράφον τὸν βίον τῆς ὁσίας Μαρίας τῆς νέας, κυρίως δὲ τὰ μετὰ θάνατον αὐτῆς ἔν τισιν ἐπαρχίαις τῆς Θράκης συμβάντα, ἃ καὶ συνιστᾶσι τὴν ἀξίαν τῆς συγγραφῆς.

§

Ἀπόκειται τὸ χειρόγραφον ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν Ἁγίῳ Ὄρει μεγίστης Λαύρας, ὑπ' ἀριθμὸν Κ81, εἰς σχῆμα μεγάλου Δ^{ου}, γεγραμμένον ἐπὶ χάρτου κατὰ τὸν ΙΔ' αἰῶνα· καὶ ἄρχεται μὲν ἀπὸ φύλλου 89Α οὕτω «**Βίος καὶ πολιτεία καὶ μερικὴ θαυμάτων διήγησις τῆς | ἀοιδίμου καὶ μακαρίας Μαρίας τῆς νέας.** *Εὐλόγησον πάτερ* — Ἐπὶ μὲν τῶν ἔξωθεν ἀγώνων ἄνδρες μόνοι καλούμενοι ..... Εἶχε μὲν τὰ σκῆπτρα τῆς βασιλείας Βασίλειος, οὐχ ὁ τῆς πορφύρας βλαστός, ἀλλ' ὁ Μακεδών» — λήγει δ' ἐν φύλλῳ 105Α «τῷ ἀρχιερεῖ δὲ σὺν τῷ κλήρῳ παντὶ καὶ πᾶσι τοῖς ἐτησίως τιμῶσί σε σωτηρίαν ἀεὶ παρέχουσα καὶ πάσης νόσου ἀπαλλαγήν, εἰς δόξαν Πατρὸς, Υἱοῦ καὶ ἁγίου Πνεύματος» κλπ Καὶ ἐγράφη μὲν πάντως κατὰ τὰ τέλη τῆς Ι΄, εἰ οὐχὶ κατὰ τὰς ἀρχὰς τῆς ΙΑ΄ ἑκατονταετηρίδος· διαιρεῖται δ' εἰς τρεῖς στάσεις, ἐξ οὗ καθίσταται φανερὸν ὅτι ἀνεγινώσκετο κατὰ τὰς ἐπὶ τῇ ἐπετείῳ μνήμῃ αὐτῆς ἀγομένας παννυχίδας.

Ἡ μνήμη αὐτῆς ἤγετο ἐν Βιζύῃ, ὃ δείκνυται ἐξ ὧν ἐν τέλει τῆς βιογραφίας γράφονται, πιθανῶς δ' ἤγετο καὶ ἐν Κωνσταντινουπόλει ἐν τῇ μονῇ τῆς Θεοτόκου τῆς Κορώνης, οὐ μακρὰν τοῦ σημερινοῦ Σαλμὰ-τομβρούκ.

Ἐκ τῆς βιογραφίας Μαρίας τῆς νέας πολλὰ ποριζόμεθα: διὰ μὲν τὴν ἱστορικὴν **γεωγραφίαν** τὴν κατὰ τὰ μέσα τοῦ Θ΄ αἰῶνος ὕπαρξιν τῶν θρᾳκικῶν χωρίων Μεσύνης, καὶ Καμάρας (αἱ Καμάραι πιθανῶς) καὶ τοῦ «κτησιδίου» Τὰ Βράτζη· διὰ δὲ τὴν θύραθεν **ἱστορίαν** 1) τὴν ἐν τέλει τοῦ Θ΄ αἰῶνος καὶ κατὰ τὰ πρῶτα ἔτη τοῦ Ι΄ ἀκμὴν Νικηφό-

ρου τοῦ δρουγγαρίου καὶ τουρμάρχου Βιζύης (πάντως μετὰ τὰ 888—890) οὗ γνωστοὶ οἱ ἀδελφοὶ Ἀλέξιος καὶ Εἰρήνη, καὶ ὁ σύγγαμβρος Βάρδας ὁ Βρατζῆς· 2) τὴν μετὰ τὰ 907—908 ἀκμὴν Θεοδώρου τοῦ τὴν τούρμαν Βιζύης διαδεξαμένου μετὰ τὸν Νικηφόρον, καὶ βραδύτερόν πως τὴν ἀκμὴν Βαάνου τοῦ υἱοῦ τοῦ Νικηφόρου καὶ τῆς Μαρίας, ὅστις (Βαάνης) ἐγένετο δρουγγάριος, ἀλλ' ἡγεῖτο καὶ τοῦ ἐν Σηλυβρίᾳ στρατοῦ μικρῷ πρὸ τοῦ 932· καὶ 3) τὴν ἐρήμωσιν τῆς Βιζύης, γενομένην περὶ τὰ ἔτη 930—932. Ὁ δὲ κυριώτερον 4) τὸν τρόπον, καθ' ὃν διῴκει τὰς ὑπ' αὐτοῦ κατακτωμένας χώρας ὁ βούλγαρος Συμεών· διὰ τὴν **ἐκκλησιαστικὴν ἱστορίαν** ποριζόμεθα τρεῖς εἰδήσεις· 1) τὴν κατὰ τὰ κοχή τοῦ Γ' αἰῶνος ὕπαρξιν ἐν Καραβιζύῃ μονῆς γυναικείας, τῆς Καχλακίνης· 2) τὴν μεταξὺ τῶν ἐτῶν 908—930 ἀκμὴν Εὐθυμίου Βιζύης καὶ Στεφάνου τοῦ Βρύσεως (τῆς ἐν Θράκῃ) ἐπισκόπων, μὴ ἀναφερομένων ὑπὸ Lequien·

3) τὰ ἐν φύλλῳ 102 γραφόμενα περὶ ὑμνογραφίας· ἃ καὶ συνιστῶνται τοῖς ἀσχολουμένοις εἰς τὴν λειτουργικὴν καὶ τὴν ἱστορίαν τῆς ὑμνολογίας· τὰ δὲ περὶ τοῦ ἐν Ραιδεστῷ ζωγράφου τοῖς σπουδάζουσι τὴν ἱστορίαν τῆς ἁγιογραφίας.

§

Ἐκ τῶν ἐν φύλλῳ 102Α φερομένων βεβαιοῦμαι ὅτι ὁ θάνατος τῆς ὁσίας Μαρίας ἐπῆλθε τῷ 907 ἢ 908, καὶ ἐντεῦθεν ἐξάγω τὸν ἀριθμὸν τῶν ἐτῶν, ἃ ἀνωτέρω παρέθηκα.

Ἡ ἀνθολογία ἐκ τῆς βιογραφίας ἔστιν αὕτη:

Θυγάτηρ ἀρμενίου τινος ἐπισήμου προσελθόντος τῷ Μακεδόνι καὶ παρ' αὐτοῦ «ταῖς πρώταις τιμαῖς» δοξασθέντος, ἔχοντος δὲ δύο υἱοὺς καὶ τρεῖς θυγατέρας, ἦν ἡ Μαρία νεωτάτη πάντων τῶν παίδων· καὶ τὰς μὲν δύο ἔζευξεν ἀνδράσιν ὁ πατήρ, αὐτὴν δὲ θανὼν ἔλιπεν ἄγαμον. Τῇ Μαρίᾳ ἦν προάστειόν τι κατὰ τὴν ἐν Θράκῃ Μεσύνην, ἐν ᾧ διέμενε «Βάρδας ἐκεῖνος ὃ[1] Βρατζῆς ὠνομάζετο. . . . ὅπερ ἐξ ἐκείνου εἰς ἔτι καὶ νῦν τοῦ Βρατζῆ ἐπιλέγεται». Ἐν τῷ «κτησιδείῳ» τούτῳ συνήθως ἐξερχόμενος ὁ Βάρδας συνετύγχανε Νικηφόρῳ τῷ δρουγγαρίῳ, ὅστις ὡρμᾶτο ἐκ χωρίου τινός, «ὃ τὰς Καμάρας ἐπονομάζουσιν»· ὃν καὶ φίλον ἀγαπητὸν ἔχων ἔπεισεν ὅπως συγγενεύσωσι, καὶ τῇ τῆς μητρὸς ἀδείᾳ ἔδωκε τῷ Νικηφόρῳ τὴν Μαρίαν, αὐτὸς ἤδη τῇ ταύτης πρεσβυτέρᾳ ἀδελφῇ συνεζευγμένος. Συζευχθεῖσα δ' ἡ Μαρία τῷ δρουγγαρίῳ πᾶσαν ἤσκει χριστιανικὴν ἀρετήν· λιτῶς καὶ ἀπερίττως διαιτωμένη, τοὺς πάντας εὐεργετοῦσα, συμπάσχουσα τοῖς πάσχουσι, σεβομένη τοὺς τοῦ Θεοῦ λειτουργούς, καὶ τὰς μονὰς καὶ μοναχοὺς καὶ μοναστρίας προστατεύουσα, παρὰ πᾶσιν εὐφημουμένη.

Πρῶτον υἱὸν ἔσχεν ἐκ τοῦ γάμου, ὃν ὠνόμασεν Ὀρέστην, καὶ ὃς ἀπέθανε πενταετής· ἡ Μαρία καρτερικῶς ἤνεγκε τὸ ἀτύχημα καὶ κατὰ τὸν πολύτλαν Ἰὼβ μεγαλοψύχως, «δεύτερον δ' ἔτεκεν υἱὸν καὶ τοῦτον Βαρδάνην ὠνόμασεν· εἶτα τὴν ἐπὶ Βιζύης ἐστείλατο, καὶ ἡ αἰτία τῆς μετοικίας τοιαύτη ἦν. Μετὰ τὸν αὐτοκράτορα Βασίλειον, Λέων ὁ σοφὸς καὶ Ἀλέξανδρος, οἱ τούτου παῖδες τὴν ἀρχὴν διεδέξαντο· ὁ δὲ τῶν Βουλγάρων ἄρχων Συμεών, χριστιανοῦ μὲν φέρων προσηγορίαν, ἀνὴρ δὲ χρηματίζων αἱμάτων τέλειος, ἐπιστρατεύει τηνικαῦτα ῥωμαίοις καὶ πολὺν χρόνον ἐργάζεται. Τότε τοίνυν ὁ τῆς Μαρίας ἀνὴρ Νικηφόρος ἀριστεύει τοῖς βουλγάροις μαχόμενος καὶ ψήφῳ τῶν κρατούντων εἰς τὴν τῆς Βιζύης τοῦρμαν ἐκπέμπεται, καὶ δὴ τὴν πόλιν ταύτην σὺν γυναιξὶ καὶ τέκνοις (φύλλ.91Α) καταλαμβάνει. Ἐνταῦθα ἡ Μαρία τὸν μὲν τόπον ἤμειψεν, ἀπὸ κώμης εἰς πόλιν[2] μετελθοῦσα, τὸν δὲ τρόπον οὐκ ἤμειψε»· κἀκεῖ τὰς αὐτὰς ἀρετὰς ἤσκησε, καὶ τοῖς δούλοις οὐχ ὡς κυρία προσεφέρετο· νηστεύουσα δὲ κατὰ τὰς τεσσαρακοστάς, τοῦ συζύγου παρόντος, ἐνήστευε καὶ

1. προδήλως ὅς.

2. Ἴσως ἀπὸ πόλεως εἰς κώμην· ἐκτὸς ἂν ὑποτεθῇ τὸ Βράτζη κατοικοῦσα.

τὰς λοιπὰς ἡμέρας, ὁπότ' ἐκεῖνος ἐκ Βιζύης ἀπεδήμει, διαδιδοῦσ' ἅμα τοῖς πένησι τὴν πατρικὴν περιουσίαν, ἀλλὰ μηδαμῶς ἀπτομένη τῆς τοῦ συζύγου.

Θανόντος καὶ τοῦ δευτέρου παιδός, ἔτεκεν ἡ Μαρία δίδυμα, τούτων δὲ τὸ πρῶτον, υἱὸν ὄντα, ὠνόμασε Βαάνην, τὸν δὲ δεύτερον, υἱὸν ὡσαύτως, Στέφανον (92α) «καί τι ξένον εὐθὺς περὶ τοὺς τεχθέντας ἐγένετο· ὁ μὲν γὰρ πρωτότοκος ἀπὸ τοῦ δεξιοῦ ὤμου οἱά τινα ζώνην εἰς τὴν ἀριστερὰν πλευρὰν διατείνουσαν εἶχε κατὰ διάμετρον, ὁ δὲ μετ' αὐτὸν τεχθεὶς ἀπὸ κεφαλῆς μέχρις ὀσφύος διαζώσματι περιεβέβλητο· ἐδόκει δὲ ταῦτα τῷ πατρὶ καὶ τῇ μητρὶ οὐκ ἀσύμβολα, καὶ διηπόρουν τί ἄρα καὶ βούλεται τὰ ὁρώμενα· ἡ μὲν οὖν μήτηρ τὸν μὲν στρατιώτην, τὸν δὲ μοναχὸν ἔσεσθαι προηγόρευσεν· ὁ δὲ πατὴρ τὸν μὲν πρωτότοκον καὶ αὐτὸς εἰς στρατιώτας ἐγκαταλέξαι ἔφησε βούλεσθαι, τὸν δεύτερον γραμματιστῇ παραδοῦναι καὶ, τὰ εἰς λόγους δεξιὸν ἐργασάμενον, τοῖς περὶ τὰ βασίλεια στρεφομένοις ἐναριθμεῖν ἔλεγεν . . . . ὅτι δὲ κατὰ τὴν ἐκείνης ἐξέβη πρόρρησιν προϊὼν ὁ λόγος δηλώσει».

Πειρασμοὶ δ' ὅμως ἐπεγένοντο τῇ Μαρίᾳ, συκοφαντηθείσῃ πρὸς τὸν αὐτῆς σύζυγον ὡς σκορπιζούσῃ τὴν ἀνδρικὴν οὐσίαν καὶ τῷ θεράποντι Δημητρίῳ συμφθειρομένην· ἦσαν δὲ συκοφαντοῦντες Ἀλέξιος καὶ Ἑλένη οἱ ἀδελφοὶ τοῦ Νικηφόρου· καὶ δὴ καλέσας αὐτὴν ἐξήγγειλε τὰ ἀκουσθέντα, ἥτις ἐδικαιολογήθη μὲν περὶ τῆς φιλοπτωχίας, ἣν ἀπέστεργεν ὁ σύζυγος φοβούμενος «μήπως τὰς τῶν ἄλλων ἐνδείας οὕτω δαψιλῶς θεραπεύοντες, εἰς παντελῆ πτωχείαν ἡμεῖς καταντήσωμεν», ἐβεβαίου δ' ἐν ὅρκῳ καὶ δάκρυσιν, ἐπὶ μάρτυρι Θεῷ τῷ τῶν καρδιῶν ἑταστῇ, περὶ τῆς πρὸς αὐτὸν πίστεως. Ἐκεῖνος δὲ καὶ φύλακας ἐγκατέστησε καὶ τὰς θεραπαινίδας ἐξήταζε περὶ τῆς πίστεως τῆς συζύγου, μαρτυρούσας αὐτῆς τὴν ἀθωότητα καὶ σωφροσύνην, καί τινα φρονιστὴν τῇ οἰκίᾳ φύλακα δὲ τῆς συζύγου μᾶλλον, ὀνόματι Δρόσον, ἐπέστησεν, ὃς αὐτὴν ἀπεστέρει σχεδὸν καὶ τροφῶν, ἀσθενοῦσαν ἤδη καὶ τὸν στόμαχον· ἐκεῖνος δὲ συνέτρωγε τότε τοῖς ἀδελφοῖς καὶ τοῖς οἰκείοις, οὐχὶ δὲ τῇ συζύγῳ, ἥτις ἐν ἡμέρᾳ κυριακῇ, «καθ' ἣν τὴν τῶν κρεάτων ἀποχὴν οἱ χριστιανοὶ ποιούμενοι πρὸς τὴν ἁγίαν τεσσαρακοστὴν ἑτοιμάζονται», παρετήρει, τεθλιμμένη, ταῖς θεραπαινίσιν ὅτι καθ' ἡμέρας νηστείας, καθ' ἃς οἱ χριστιανοὶ καὶ τοῖς ἀδιαλλάκτως ἔχουσι διαλλάττονται, ὁ σύζυγος διάκειται τοσούτῳ δυσμενῶς πρὸς αὐτήν· τοῦτο ὁ Δρόσος ἀκούσας ἀνήγγειλε τῷ Νικηφόρῳ διεστραμμένως, ὅτι «ἡ σύζυγός φησιν οὐδὲ χριστιανὸν εἶναί σε πείθεται, οὐδὲ χρηστὰς ἔχειν ἐλπίδας, αὐτῇ μὴ καταλλαττόμενον». Ὀργισθεὶς ἐκεῖνος ἔλαβε φραγγέλιον καὶ εἰσελθὼν εἰς τὸν κοιτῶνα καὶ ἐπὶ κλίνης εὑρὼν μεθ' ἑνὸς τῶν τέκνων κατακειμένην ἔδειρεν ἀνηλεῶς· ἡ δὲ μόλις, συνδραμουσῶν τῶν θεραπαινίδων, διασωθεῖσα καὶ τὰς πληγὰς φεύγουσα, κατέφυγεν εἴς τι μέρος τῆς οἰκίας· ἀλλὰ χαμαὶ πεσοῦσα ἐτραυματίσθη τὴν κεφαλήν, ἤδη καὶ ἀσθενείᾳ δαμαζομένη. Νοσοῦσα δὲ καὶ ἐπὶ κλίνης κειμένη, τὸν ἄνδρα καλέσασα, τελευταίας ἔδωκε παραγγελίας, διαβεβαιοῦσα συνάμα τὴν πρὸς αὐτὸν πίστιν, καλέσασα δέ τινα τῶν οἰκείων καὶ τὴν περὶ τὸν ὦμον ἀποβαλοῦσα χλαμύδα «πωλῆσαι ταύτην καὶ ἀποδοῦναι τοῖς χρεώσταις τὸ χρέος ἐκέλευεν, εἰποῦσα καὶ τῶν δανειστῶν τὰ ὀνόματα καὶ ὅσον ἑκάστῳ τὸ ὀφειλόμενον»· ἀλλ' ὁ Νικηφόρος, εἰπὼν ὅτι τοῖς τέκνοις ἡ χλαμὺς ἀνήκει, τὸ χρέος αὐτὸς ἀνέλαβεν ἐξοφλῆσαι. Τοῦ δὲ προσεγγίζοντος αὐτῆς θανάτου γνωσθέντος ἦλθον αἱ τῶν γυναικῶν ἐπιφανεῖς, αἵτινες μετὰ μικρὸν ἐγένοντο τούτου μάρτυρες, θρῆνος δὲ καὶ κοπετὸς ἠγέρθη τοῦ τε συζύγου καὶ τῶν προσελθουσῶν γυναικῶν· «τοῦ δὲ θρήνου κατασιγασθέντος, ἐπιτάφια λουτρὰ ἡτοιμάζετο· πρὶν ἢ δὲ ταύτας (;) τῆς μακαρίας προσαχθῆναι τῷ σώματι, εὐωδία τις ἡδεῖα ἐφέρετο καὶ πάντα τόπον ἐπλήρωσεν, ὥστε (94β) θαυμάζειν τὰς συνδραμούσας γυναῖκας καὶ σκεῦος ἐκλογῆς ὀνομάζειν τὴν ἐκδημήσασαν· ἐπεὶ δὲ καὶ τὰ λουτρὰ προσήχθη, καὶ ἡ χρεία τὴν ἐντάφιον ἐσθῆτα ἀπῄτει», εἶδον καὶ ἔμαθον, ἀπὸ μαρτυρίας τῶν θεραπαινίδων, ὅτι τὰ ἱμάτια καὶ τὰς ἐσθῆτας ἐδίδου πτωχοῖς· ὥστε ὁ σύζυγος «ἑαυτοῦ χιτῶνα εἰς γυναικεῖον μεταβληθέντα συνταφῆναι τῇ μακαρίᾳ ἐκέλευσεν. Ἐπεὶ δ' ἐπὶ τῆς κλίνης ἐτέθη τὸ ἱερὸν ἐκεῖνο σῶμα, παρῆν μὲν ὁ ἀρχιερεὺς Εὐθύμιος, παρῆν καὶ ὁ οἰκονόμος Ἄνθιμος», ὅστις ἐνώπιον παντὸς τοῦ πλήθους τῆς πόλεως, ἅτε τῶν εὐεργεσιῶν ἐκείνης πρὸς τοὺς πάσχοντας ὑπηρέτης γενόμενος, πάσας ἀπηρίθμει τὰς ἀγαθοεργίας πρὸς ὀρφανὰ καὶ χήρας καὶ πένητας, ὥστε κινῆσαι πάντας εἰς κλαυθμούς.

Ὁ μὲν Νικηφόρος, ὀλίγων ἡμερῶν παρελθουσῶν «τοῦ πένθους ἀπολωφήσαντος, ἀνέπτυσσε τὰ κιβώτια»· καὶ μηδὲν τῶν τε σηρικῶν ἱματίων εὑρὼν καὶ τῶν ἀργυρῶν καὶ χρυσῶν

κοσμημάτων καὶ τῶν μαργάρων, ἀνεμάνθανε τὴν χριστιανικὴν ἀρετὴν τῆς Μαρίας καὶ καταμεμφόμενος ἀπεστράφη τοὺς συκοφάντας, ἑαυτὸν αἰτιώμενος ὅτι τὴν τοιαύτην ἐλύπησε σύζυγον. Τέσσαρας δὲ μετὰ τὸν τῆς Μαρίας θάνατον μῆνας, δαιμονιῶν τις, ὀνόματι Στρατήγιος, προσδραμὼν εἰς τὴν ἐκκλησίαν, ἐν ᾗ τὸ σκῆνος ἐτέθη τῆς ὁσίας γυναικός, ἐξ ὀνόματος ἐκάλει ταύτην, ὅτε ὁ ἀρχιερεὺς καὶ ὁ Νικηφόρος, ἐξ ὑποβολῆς συγγενῶν ἐνόμισαν ὅτι παρεπείσθη ὁ Στρατήγιος ὑποκριθῆναι τὸν δαιμονιῶντα, καὶ ἠπείλησαν αὐτῷ τιμωρίαν· ἀλλ' αὐτὸς βεβαιώσας ὅτι μήτε ταύτην ἐγίνωσκε, ζῶσαν, μήτε τοὺς συγγενεῖς αὐτῆς, ἐβασανίζετο· καὶ μιᾷ τῶν κυριακῶν, εἰς τὴν ἐκκλησίαν εἰσελθὼν καὶ τῇ χειρὶ τὸ καλύπτον τὸν τάφον μάρμαρον ἀπορρίψας, ἤγγισε τὴν δεξιὰν τῆς μακαρίας τῷ στόματι, θεραπευθεὶς καὶ κηρύττων τὸ θαῦμα. Τότε δ' εἶδον οἱ πάντες ὅτι σῷον ἦν τὸ λείψανον· πολλοὶ δὲ προστρέχοντες ἀπηλλάττοντο διὰ τῆς ἐπαφῆς τοῦ λειψάνου νόσων ἀνιάτων, ἢ χριόμενοι τῷ ἐλαίῳ τῆς φωταγωγοῦ λυχνίας τῆς ἐπὶ τοῦ τάφου· ἐν οἷς καὶ «γυνή τις ἐκ Καραβιζύης»· καί τις ἐξ Ἀρκαδιουπόλεως «γυνὴ τῶν εὐλαβῶν, μονῆς ἡγουμένη, τῆς Καχλακίνης τὴν μονὴν ὀνομάζουσι, ... τὴν ἐπὶ Βιζύης ὁδεύει», καὶ τὸν τάφον ἐπισκεψαμένη, σὺν ταῖς συνοδευούσαις αὐτῇ δύο μαθητρίαις, τῶν θαυμάτων γίνεται μάρτυς, ταῦτά τε διαδιδοῦσα καὶ μέχρις Ἀρκαδίου πόλεως.

Ἐπιταξάσης δὲ τῆς μακαρίας τῷ συζύγῳ κατ' ὄναρ τὴν οἰκοδομὴν ἰδίου ἐπωνύμου αὐτῇ ναοῦ, ὁ Νικηφόρος, ἀπιστήσας τῷ ὁράματι ἐτιμωρήθη παθῶν τοὺς ὀφθαλμούς· διατάξας δὲ κατόπι τὴν ἐξαγωγὴν τῶν πρὸς οἰκοδομὴν πετρῶν, ἐφ' ὅσον προὐχώρει τὸ ἔργον, ἀνεκτᾶτο τὴν ὅρασιν, ἕως οὗ ἀνέβλεψεν, ὁ δὲ ναὸς συνεπληρώθη, «προσαφιερωθεὶς τῷ ἀρχιεπισκόπῳ».[1] Τὴν ἀνακομιδὴν ὅμως τοῦ λειψάνου, διὰ τὴν τῶν ἱερέων περίεργον διδασκαλίαν, ἐβράδυνεν ὁ Νικηφόρος ἵνα ποιήσηται, ἕως οὗ καιρὸν ἐπιτήδειον εὑρὼν καὶ βοηθούμενος ὑπὸ τεσσαράκοντα σχεδὸν ἀνδρῶν, «καί τισιν ἐντυχὼν κληρικοῖς, οἳ τὴν ἀντίστασιν οὐκ ἐθάρρησαν», μετήγαγε τὸ λείψανον. Ἡ δὲ εἰκὼν αὐτῆς ἐκ Ῥαιδεστοῦ ἐπέμφθη εἰς Βιζύην ὑπό τινος ζωγράφου ἐγκλείστου γέροντος, εἰς ὃν φανεῖσα κατ' ὄναρ σὺν τοῖς τέκνοις Ὀρέστῃ καὶ Βαάνῃ καὶ τῇ θεραπαινίδι Ἀγάθῃ μετὰ χεῖρα φέρουσα λαμπάδα, «ἐν ᾗ ἐπεγέγραπτο *ἡ λαμπὰς τῆς ἐλεημοσύνης*, λευκὴν ἡμφιεσμένη στολὴν καὶ ὡμοφόριον ἐρυθρὸν ἐπὶ κεφαλῆς», διέταξεν οὕτω 'να ζωγραφηθῇ τὴν εἰκόνα δὲ γραφεῖσαν οὕτω καὶ σταλεῖσαν, ἰδόντες οἱ γινώσκοντες τὴν Μαρίαν, εὗρον ὁμοιοτάτην.

Ἀλλὰ μοναχοί τινες, φθόνῳ μᾶλλον ἢ ζήλῳ νικώμενοι, ἐπὶ τοῖς τελουμένοις «θαύμασιν, ἔλεγον· οὐ δύναταί τις ἐν κόσμῳ διάγων, κρεωφαγῶν τε καὶ ταῖς τῆς συζυγίας ἡδοναῖς ἐνηδόμενος, θαυματουργίας παρὰ Θεοῦ χάρισμα δέξασθαι· (97β - 98α) τῶν μοναχῶν στερουμένων πάντων ἡδέων καὶ κακουχουμένων καὶ θλιβομένων ἐν ἅπασι, πρὸς δὲ καὶ νυκτὸς καὶ ἡμέρας ὕμνοις προσκαρτερούντων καὶ μὴ ἀξιουμένων τινος τοιούτου χαρίσματος . . . . Ἥψατο δὲ τὸ τῆς ἀπιστίας πάθος καὶ τοῦ τῆς Βρύσεως ἐπισκόπου Στεφάνου», ὅστις ἐλθὼν εἰς Βιζύην ἐγένετο μάρτυς τῶν θαυμάτων, ἰδὼν γυναῖκα θεραπευθεῖσαν ἀπὸ δαιμονικοῦ πάθους, ἥτις ἑπταετίαν προσεδρεύουσα τῷ τάφῳ τῆς ὁσίας, οὐκ ἐθεραπεύετο, τῶν λοιπῶν ἀσθενῶν θεραπευομένων· «καὶ ὁ ἐπίσκοπος δι' αὐτὸν εἶπε τὸ θαῦμα γενέσθαι, ἵνα τοὺς τῆς ἀμφιβολίας λογισμοὺς ἀπορρίψῃ».

(Ὁ βιογράφος ἀφηγεῖται κατόπιν ὅτι Ἑλένη ἡ ἀδελφὴ Νικηφόρου τοῦ τουρμάρχου ὑπ' αὐτοῦ κληθεῖσα εἰς Βιζύην «ἐφ' ᾧ τὰ κατὰ τὸν οἶκον διοικεῖν», ἔτισε δίκας τῆς συκοφαντίας ἀποβαλοῦσα θανάτῳ τὴν θυγατέρα Σοφίαν, δύο δ' ἑτέρας ἔχουσα θυγατέρας εἶδεν αὐτὰς κυριευομένας ὑπὸ δαίμονος, ἕως θανάτου αὐτῶν· ὅτι καὶ Δρόσος ὁ συκοφάντης, ὑπὸ Νικηφόρου διωχθείς, ἐπένετο μηδὲ τὰ πρὸς ἀγορὰν ἄρτου χρήματα ἔχων, καὶ κακῶς τὸν βίον κατέλυσεν, ὡς καὶ Ἀλέξιος ὁ ἀδελφὸς τοῦ Νικηφόρου· καὶ Νικηφόρος δ' ὁ τάλας, σχολάζων κυνηγεσίοις καὶ πεσὼν ἀπὸ τοῦ ἵππου, τὴν χεῖρα τὴν δεξιὰν ἐξ αὐτοῦ τοῦ ὤμου ἀπώλεσε. Ταῦτα νομίζω συμβαίνοντα περὶ τὰ ἔτη 908 - 915· εἶτα δ' ἐπάγεται):

(99α) «Δίκαιον δὲ καὶ ταῦτα προσθεῖναι τοῖς εἰρημένοις· Συμεὼν ὁ ἄρχων Βουλγαρίας, τὴν ῥωμαίων ἐπιστρατεύσας, ἅπαν τὸ τῆς Θρᾴκης μέρος κατελῄσατο, μέχρις αὐτῶν τῆς Κωνσταντίνου πόλεως τειχέων πάντα καταναλώσας καὶ τὰς πλείους τῶν πόλεων κατασκάψας· ἔνθεν τοι καὶ οἱ τὴν Βιζύην κατοικοῦντες, μὴ δυνάμενοι πλέον ἐν ταύτῃ μένειν, πενταετίαν ὅλην πολιορκούμενοι, καιροῦ τυχόντες ἐπιτηδείου, τὴν πόλιν καταλιπόντες ᾤχοντο, πυρὶ τὰς οἰκίας πάσας κατατεφρώσαν-

1. ἐγκαινισθεὶς δῆλα δή.

τες· αἰχμάλωτος οὖν τις, διαδρὰς τὰς τῶν πολεμίων χεῖρας, δρόμῳ πολλῷ χρησάμενος ἑσπέρας ἤδη τὴν Βιζύην ἔφθασε· (99β) γυμνὴν δὲ πᾶσαν ἀνθρώπων καὶ οἰκημάτων εὑρὼν, εἰς τὸν ναὸν τῆς μακαρίας, πρὸς τὸ διαβιβᾶσαι τὴν νύκτα, κατέφυγε· μήπω δὲ εἰς ὕπνον τραπείς, γοερῶν φωνῶν τῆς σοροῦ τῆς ἁγίας ἐξερχομένων ἀκήκοε· σχετλιασμοὶ δὲ ἦσαν καὶ οἰμωγαί. Καὶ τίνος, ἔλεγε, χάριν, οἱ τὴν πόλιν οἰκοῦντες, χριστιανοὶ ὄντες, αὐτὴν καταλείψαντες ἔφυγον; ἐμοῦ καὶ ταῦτα ἐνθαδὶ κατοικούσης· εἰ δὲ οὕτως ποιῆσαι ἔμελλον, διατί μὴ καὶ ἐμὲ[1] μεθ' ἑαυτῶν ἀνείλοντο, ἀλλ' ἐν τοῖς ἔθνεσί με κατέλειψαν; Τούτοις ὁ ἄνθρωπος γενόμενος ἔμφοβος διανυκτερεύσας εἰς τὴν Μήδειαν παρεγένετο, καὶ τοῖς ἐκεῖσε πάντα διήγγειλε. Παρὼν οὖν ἐκεῖσε καὶ ἱερεὺς Νικήτας, ὁ Κανάκις ὀνομαζόμενος, ὃς παρ' ὅλην τὴν πολιορκίαν ἐν τῷ ναῷ τῆς ἁγίας τὰ τῆς λειτουργίας ἦν ἐκτελῶν, ἄρτι δὲ μετὰ τῶν ἐποίκων καὶ αὐτὸς ἐξελθὼν κατέλαβεν εἰς τὴν Μήδειαν, καὶ ἀκούων ταῦτα παρὰ τοῦ αἰχμαλώτου, εἰς μνήμην ἦλθε τῶν ἐπιτελουμένων παρὰ τῆς μακαρίας θαυμάτων, καὶ οὐκ ἔτι στέγειν ἠδύνατο εἰ μὴ τὴν Βιζύην καταλαβεῖν καὶ εἰς προσκύνησιν τῆς ἁγίας ἐλθεῖν, καὶ ταῦτα τῶν πολεμίων ὄντων ἐντός. Ὁ γὰρ λεχθεὶς Συμεών, ἐν τούτῳ καταλαβὼν τὴν Βιζύην καὶ κενὴν ταύτην ἀνθρώπων καὶ οἰκημάτων εὑρὼν, τὰ ἀπὸ τοῦ πυρὸς ἐναπολειφθέντα τείχη ἐκ θεμελίων ἀνατραπῆναι προστάττει, καὶ τὴν γῆν ἀροτριασθῆναι καὶ σπαρῆναι· ὃ δὴ καὶ γέγονε».

«Τοῦ καιροῦ εἰς τοῦτο ἁρμοδίως ἔχοντος, ὃ γέγονεν ἐπ' αὐτοῦ Συμεὼν οὐ δίκαιον ἂν εἴη παραδραμεῖν. Εἰσελθὼν γὰρ εἰς τὴν Βιζύην καὶ μόνους τοὺς ἐν αὐτῇ ναοὺς τῷ πυρὶ ἀναλώτους εὑρών, διήει περισκοπῶν καὶ οὓς μὲν εἰς ὀρρεῖα, οὓς δὲ εἰς οἰκίας, οὓς δὲ εἰς ἱπποστάσια καθιστῶν· ἀφικόμενος δὲ καὶ εἰς τὸν ναὸν τῆς ἁγίας καὶ τοὺς ὀφθαλμοὺς τῷ γλωσσοκόμῳ ἐπιβαλών, τοὺς παρατυχόντας τίνος ἂν εἴη ἠρώτα· τῶν δὲ ἀπαγγειλάντων καὶ περὶ τῶν ἐπιτελουμένων θαυμάτων παρὰ τῆς ἐν αὐτῷ κειμένης εἰπόντων αὐτῷ, διανοιχθῆναι προστάττει· ἀλλὰ, διανοιγομένου, ῥλιξ ἐξίει εὐθέως καὶ ἅπαντας κατεφόβησε· τοῦτο ἐκεῖνος ἰδών, τὸν ναὸν μὴ παραθίγειν ὅλως τοῖς οἰκείοις προσέταξε, καὶ τοῖς ἱερεῦσι καθ' ἑκάστην ἐπέτρεψε λειτουργεῖν· οἰκίσας δὲ τὴν πόλιν ταύτην τισὶ τῶν οἰκείων αὐτῷ καὶ φρουρὸν ἐπ' αὐτῇ Βουλίαν τινὰ ἄρχοντα καταστήσας ἐξῆλθε, ὡς καὶ τὰς ἑτέρας τῆς Θρᾴκης πόλεις οὕτως ἐγκα(100α)ταστῆσαι.[1] Ὁ γοῦν προρρηθεὶς ἱερεὺς ὁ Κανάκις τοῖς τοῦ αἰχμαλώτου λόγοις προθυμηθείς, ὡς εἴρηται, εἰς Βιζύην ἐλθεῖν, τὴν προθυμίαν πληρῶσαι ἔσπευδε· πλησίον δὲ τοῦ κάστρου γενόμενος ἐκρατήθη παρὰ τῶν Βουλγάρων καὶ ἀνηρεύνᾶτο τίς εἴη καὶ πῶς ἐνταυθοῖ παραγενέσθαι τετόλμηκεν· ὁ δὲ ἄρα, ἀληθείας ὢν παῖς καὶ ἀληθῆ λέγειν μεμαθηκὼς, ὅς τις τε εἴη καὶ τίνος χάριν ἐληλύθει διωμολόγει. Ταῦτα δὲ εἰς ὦτα τῷ Βουλίᾳ ἐλθόντα καὶ αὐτὸν τὸν ἄνδρα εἰς ὄψιν αὐτοῦ ἀγαγεῖν ἐκέλευσεν· ἐλθόντι δὲ ὑπεξίστατο· καὶ πατέρα ἐκάλει· καὶ μετὰ τιμῆς ὅσης ἐδεξιοῦτο· καὶ περὶ τοῦ τῆς ἁγίας βίου καὶ τῶν θαυμάτων παρ' αὐτοῦ ἐζήτει μαθεῖν μεθ' ὅσης τῆς ἀξιώσεως· καὶ ὁ μὲν ἐκδιηγεῖται τὰ κατ' αὐτὴν, ὡς εἴη μὲν ἐκ Κωνσταντίνου πόλεως, γονέων τε εὐγενῶν καὶ ἐνδόξων θυγάτηρ . . . . . καὶ ὡς τέκοι καὶ ἑτέρους δύο ἄρρενας διδύμους . . . . . ὁ μὲν γὰρ πρωτότοκος Βαάνης, εἰς στρατιώτας καταλεγείς, τοῦ ἐν τῇ Σηλυμβρίᾳ εὑρισκομένου ἀρτίως ῥωμαϊκοῦ στρατεύματος στρατηγεῖ· ὁ δὲ μετ' αὐτὸν τεχθεὶς Στέφανος. τὴν τῶν μοναχῶν ὁδεύσας, περὶ τὰ Ὀλύμπια που ὄρη ἀναστρεφόμενος, ζῇ μόνῳ ἑαυτῷ τε καὶ τῷ Θεῷ . . . . . (100β) καὶ ὅπως ὁ ἀνὴρ αὐτῆς Νικηφόρος, κατὰ τὸν καιρὸν τῆς πολιορκίας Βιζύης τέλει τοῦ βίου χρησάμενος, ἐτάφη παρὰ τῷ ἀριστερῷ μέρει τοῦ ἀνεγερθέντος παρ' αὐτοῦ τῇ μακαρίᾳ ναοῦ». Θαυμάσας δὲ τὸν βίον τῆς ὁσίας ὁ Βουλίας ἐπέτρεψέ τε τῷ ἱερεῖ λειτουργεῖν καὶ κατοικεῖν ἐν τῷ οἴκῳ τοῦ διοικητοῦ.

«Ἐπεὶ δὲ ὁ ῥηθεὶς Συμεὼν οὓς ἐν ταῖς ἁλωθείσαις παρ' αὐτοῦ πόλεσιν ἀνετίθει[2] φρουροὺς διά τινος χρονικοῦ διαστήματος μετεκαλεῖτο ὡς ἑαυτὸν, καὶ ἄλλους ἀντ' αὐτῶν ἔστελλε, μετακαλεῖται καὶ ἐκ Βιζύης Βουλίαν, ἕτερον ἀντ' αὐτοῦ πέμψας φρουρὸν τῆς πόλεως· οἱ δὲ τῆς φρουρᾶς ἐξερχόμενοι, δεῖν κρίνοντες πολέμου νόμῳ σὺν λαφύροις οἴκαδε ἀναστρέφειν, τοῖς ἐναπολειφθεῖσι τῶν ῥωμαίων ἐπέτρεχον, καὶ λείαν πολλὴν λαμβάνοντες οὕτω τὴν αὐτοὺς φέρουσαν ἐπορεύοντο. Ὡς δὲ καὶ Βουλίας

1. ὁ Κδξ *διατί μοι καὶ ἐμοί*.

1. ἐκ τῶν ἐνταῦθα γραφομένων δείκνυται ὅτι τὰ τῆς Βιζύης τείχη ἔμενον ἔτι, οὔπω κατεστραμμένα.

2. προδήλως ἐνετίθει.

τῷ διαδεξαμένῳ τὴν Βιζύην κατέλιπε, τῷ εἰρημένῳ νόμῳ στοιχῶν καὶ αὐτὸς εἰς λαφυραγωγίαν ἐτρέπετο· ἔνθεν τοι καὶ εἰς Σηλυμβρίαν καταλαβὼν συναντᾶται παρὰ τοῦ ἐκεῖσε ρωμαϊκοῦ στρατοπέδου, ὧν τὸν Βαάνην ἡγεῖσθαι φθάσας ὁ λόγος ἐδήλωσε. Γνοὺς οὖν ὡς σὺν τῷ τοιούτῳ στρατεύματι καὶ Βαάνης ἐστί, τοὺς οἰκείους αὐτοῦ ἐπιστήσας, μόνος εἰρηνικώτερον παρεξέβη· καί τινα προσκαλεσάμενος ἐκ τοῦ στρατοπέδου ρωμαίων, περὶ Βαάνου μαθεῖν ἠξίου εἰ παρήει[1] τῷ στρατοπέδῳ, παρόντα δὲ μαθὼν ἐδέετο τοῦτον ἰδεῖν. Μηνύεται ταῦτα Βαάνῃ, καὶ ὡς εἶχεν ἔνοπλος ἔρχεται πρὸς Βουλίαν. Ὁ μὲν οὖν εὐθὺς αὐτὸν ἤρετο· «Σὺ εἶ ὁ σεβάσμιός μοι Βαάνης ὁ υἱὸς (101α) τῆς ἐν Βιζύῃ ἁγίας Μαρίας;» Ὁ δὲ «Ἐγώ εἰμι, ἀπεκρίνατο· σὺ δὲ τίς εἶ, καὶ πῶς τὸ ἐμὸν ὄνομα οἶδας καὶ τὸ τῆς μητρός; καὶ πόθεν ἐμοὶ φιλίως διάκεισαι;» Ὁ δὲ Βουλίας, «Ἄνθρωπός εἰμι ἁμαρτωλός, ἀπεκρίνατο»· καὶ διηγεῖται πρὸς τὸν Βαάνην θαύματά τινα, καὶ βεβαιοῖ ὅτι μὴ δυνηθεὶς ἰδεῖν τὴν μητέρα πόθον εἶχε πολὺν ἰδεῖν τὸν υἱόν, ἅτε καὶ περὶ τούτου μαθὼν ἀπὸ τῶν παρὰ βουλγάροις αἰχμαλώτων. Καὶ διεχωρίσθησαν Βαάνης τε καὶ Βουλίας εἰρηνικῶς.

«Μετ' ὀλίγον δέ, τοῦ εἰρημένου Συμεὼν τὴν ψυχὴν ἐκρήξαντος, Πέτρος ὁ υἱὸς αὐτοῦ τὴν ἀρχὴν διαδέχεται· ὃς καὶ βαρβαρικώτερον τοῖς πράγμασι χρώμενος τὰς ὑπὸ τοῦ πατρὸς αὐτοῦ (101β) ἀλωθείσας πόλεις τῆς Θρᾴκης εἰς ἔδαφος κατασπᾷ, εἰς ἑαυτὸν τοὺς ἐν αὐταῖς εὑρισκομένους βουλγάρους μετακαλούμενος· μεθ' ὧν καὶ τὴν Βιζύην οὕτω διέθηκεν· ὅπερ μαθὼν Βαάνης, σὺν τισιν ἱερεῦσι καὶ στρατιώταις τῶν ὑπὸ χεῖρα, τὴν Βιζύην καταλαμβάνει· εἰσελθὼν οὖν μετὰ τῶν σὺν αὐτῷ ἐν τῷ θείῳ ναῷ τῆς ἁγίας μητρὸς αὐτοῦ, καὶ τὰ εἰκότα εὐξάμενοι καὶ εὐχαριστήσαντες, τὸ τίμιον αὐτῆς καὶ ἅγιον λείψανον κατησπάσαντο· τῆς θείας δὲ καὶ ἁγίας ἱεροτελείας ἐναρχομένης, τριγμὸς μέγας γέγονεν ἐν τῷ γλωσσοκόμῳ, καὶ φόβον πᾶσιν ἐνέβαλεν ὡς μικροῦ καταλιπόντας τὸν ναὸν ἐξελθεῖν· τούτου δὲ μεθ' ἱκανῆς τῆς ὥρας παυσαμένου, διαπορεῖν ἤρξαντο τί ἆρα τὸ σημεῖον βούλεται τοῦτο· Βαάνης οὖν ὁ υἱὸς αὐτῆς «Ὥσπερ, φησί, καταλιπόντων ἡμῶν τὴν Βιζύην, ἀγανακτοῦσα γοερὰς ἠφίει φωνάς, καθὼς ὁ αἰχμάλωτος διηγήσατο, οὕτως ἐπὶ τῇ παρουσίᾳ ἡμῶν σκιρτᾷ ἐν ἀγαλλιάσει». Τὰ τῆς θείας δὲ λειτουργίας τελέσαντες καὶ ἐπὶ τῷ γεγονότι δοξολογήσαντες, εἰς Σηλυμβρίαν αὖθις ὑπέστρεψαν».

«Ῥωμανοῦ δὲ τῶν ῥωμαϊκῶν σκήπτρων ἐπειλημμένου καὶ γαμικὰ συναλλάγματα ἐκτελέσαντος μετὰ τῶν βουλγάρων, εἰρηναία κατάστασις μέσον αὐτῶν τε καὶ τῶν ῥωμαίων ἐγένετο. Ἔνθεν τοι καὶ ἅπαντες συναχθέντες εἰς τὰς ἰδίας πατρίδας ἐκτός τινος δέους ἔθεον· καὶ Βαάνης ἐντεῦθεν μετὰ τῶν σὺν αὐτῷ ἐκ Σηλυμβρίας τὴν Βιζύην κατέλαβεν. Ἔτυχε δὲ ἐν τούτῳ καὶ τὸν εἰρημένον ἀδελφὸν αὐτοῦ Στέφανον ἐκ τῶν Ὀλυμπίων[1] ὀρέων, κατά τινα χρείαν, τὴν Κωνσταντίνου καταλαβεῖν, οὐχὶ Στέφανον ἔτι ὀνομαζόμενον, ἀλλὰ Συμεών, τῷ μοναχικῷ σχήματι τὸ ὄνομα εἰς τοῦτο ἀμείψαντα. Οὕτω τοίνυν ὁ Συμεών, τῇ τῶν πραγμάτων εἰρήνῃ ἐπευφρανθείς, καὶ ἅμα μὲν ποθῶν τὴν πατρίδα ἰδεῖν, ἅμα δὲ καὶ τῷ ἀδελφῷ ἐντυχεῖν, τὸ δὲ πλέον, ἵνα τὸ τῆς μητρὸς ἅγιον λείψανον προσκυνήσας καὶ ἀσπασάμενος, τῆς ἐξ αὐτοῦ καταπολαύσῃ χάριτος, τὴν Βιζύην καταλαμβάνει· εἰς τὸν ναὸν οὖν ἀφικόμενος, καὶ τὰ κατ' ἔφεσιν εὐχῆς τε καὶ εὐχαριστίας πληρώσας, ἐντυγχάνει καὶ τῷ αὐτοῦ ἀδελφῷ Βαάνῃ· ἔνθα δὴ κοινωσάμενοι ἄμφω τὰ κατὰ γνώμην, τὰς ἀνηκούσας αὐτοῖς ἀδελφικὰς μερίδας ἀποκληροῦσι τῷ ναῷ τῆς ἁγίας αὐτῶν μητρὸς καὶ εἰς μοναστήριον αὐτὸν ἀποκαθιστῶσιν. Ὁ γοῦν Συμεὼν ἐνταῦθα (102α) καὶ μετάθεσιν [ἐποίει;] τῶν λειψάνων· τὸ μὲν τοῦ πατρὸς αὐτοῦ, ἐκτὸς τῆς ἐκκλησίας τάφον ποιήσας, τίθησι· τὸ δὲ τῆς ἁγίας μητρὸς αὐτοῦ λείψανον ἀπέθετο ἐν ᾧ ὁ πατὴρ κατέκειτο ἐκ μαρμάρου πεποιημένῳ· σῶον δὲ τὸ τῆς ὁσίας ἦν λείψανον καὶ μηδεμίαν παθὸν φθοράν, πέμπτον καὶ εἰκοστὸν ἔτος κείμενον· ὃ καὶ ἀρτίως ὁρᾶται, χρόνων ἤδη συχνῶν παρεληλυθότων, μηδεμίαν ἔχον διάλυσιν. Ταῦτα δὲ οὕτω πληρώσαντες καὶ τὰ εἰκότα τελέσαντες, ἀπαίρει τῆς Βιζύης ὁ Συμεὼν καὶ εἰς ὄρος καταλαμβάνει τὸν Κυμινᾶν[2] ἐπονομαζόμενον, ἐν ὁρίοις Παφλαγονίας, τῆς Πλουσιάδος ἐγγύς, τὸν ἀσκητικὸν εἵλετο βίον καὶ ἔτι ἐξεργαζόμενος, μετὰ τούτων δὲ πλείστων θαυμάτων ἐκτελουμένων, καὶ ἐπὶ ταῦτα ὁ λόγος ὁρμᾷ, καταλιπεῖν τι τῶν γεγονότων οὐκ ἀνεχόμενος». Ἀριθμεῖ δέ τινας ὑπὸ τῆς ἁγίας θεραπευθέντας, ἐν οἷς ἦν καὶ «γυνή τις ἀπὸ τοῦ κάστρου Μηδείας».

1. γρπτ. *παρῆν*.

1. τοῦ βιθυνικοῦ βεβαίως Ὀλύμπου.
2. βλέπε ἐν βιογραφίᾳ Μιχαὴλ Μαλεΐνου.

Ἡ βιογραφία διδοῦσά τινας εἰδήσεις περὶ τῶν παίδων τῆς ὁσίας γνωρίζει ἡμῖν ὅτι (103α) «ὁ μὲν Βαάνης, ὑπὸ τῷ πατρὶ αὐξηθείς καὶ εἰς ἄνδρα φθάσας γυναικὶ συζεύγνυται τῶν ἐπιφανῶν, καὶ δρουγγαρίου τάξιν λαχών, οὐκ ἐπήρθη περί τινι τῶν τῷ κόσμῳ τιμίων· ἀλλὰ τὴν ἰδίαν μητέρα ἐν πᾶσιν ἀπομιμούμενος . . . . . ἦν μὲν ἀνδρεῖος κατὰ τὸ σῶμα, πολλῷ δὲ ἀνδρειότερος κατὰ ψυχὴν καὶ προαίρεσιν· χρημάτων δὲ καὶ κερδῶν πάντων ἀνώτερος ὢν παρεχώρει ἀεὶ τοῖς συστρατιώταις τῶν σκύλων, ὡς ἐντεῦθεν προσφιλὴς εἶναι αὐτοῖς καὶ περίδοξος . . . . . ἔσχε καὶ συνασκητὴν καὶ συνεργὸν ἁπάντων (103β) τῶν καλλίστων κατορθωμάτων Θεόδωρόν τινα τὸν τὴν τοῦρμαν διαδεξάμενον τοῦ πατρὸς αὐτοῦ, ἄνδρα γενναῖον τὰ στρατιωτικὰ καὶ ῥωμαλέον, γενναιότερον δὲ τοῖς κατὰ Θεὸν πολιτεύμασιν». Ἐπαινεῖ τὸν Βαάνην ἡ βιογραφία ὅτι λίαν ἤσκει τὴν ἀρετὴν τῆς ἐλεημοσύνης καὶ τῶν ἱερῶν ἀκολουθιῶν οὐδέποτε ἠμέλησεν, «ἀλλ' ἑκάστην ἡμέραν μετὰ καὶ ἀκολουθίας ὡρῶν δώδεκα τὸ ἅπαν ἐστιχολόγει ψαλτήριον· καὶ ἑσπέρας ἀεὶ πρὸ τῶν ὕπνων, μετὰ τὴν τῶν ἀποδείπνων ἀκολουθίαν, παράκλησιν πρὸς τὴν ἀειπάρθενον τοῦ Θεοῦ ἡμῶν μητέρα διὰ κανόνων τεσσαράκοντα ἐποιεῖτο, βίβλῳ τὸ παράπαν ἐν τούτοις μὴ χρώμενος». Ἀναφέρει δὲ κατόπιν ὅτι νοσήσας ἐκ κοιλιακοῦ νοσήματος ἦλθεν εἰς Κωνσταντινούπολιν ἐπὶ νοσηλείᾳ, πιθανῶς ἐκ Σηλυμβρίας, ἐν ᾗ ἡμέρᾳ τυχαίως κατελάμβανε τὴν πρωτεύουσαν καὶ Συμεὼν ὁ ἀδελφὸς ἐκ τοῦ Κυμινᾶ κατελθών· ὃς καὶ πρὸς τῷ τέλει τοῦ βίου γενόμενον τὸν Βαάνην ἔκειρε μοναχόν, Μαρῖνον μετονομάσας· (103β) «καὶ εἰς τὰς θείας σκηνὰς μετοικίζεται, δευτέραν τότε τοῦ ἰουνίου μηνὸς ἄγοντος· κατατίθεται δὲ τὸ σεβάσμιον αὐτοῦ καὶ τίμιον λείψανον εἰς τὴν μονὴν τῆς Θεοτόκου τὴν Τὰ Κορώνης ἐπονομαζομένην, πλησίον τῆς Ἀσπάρου γγιστέρνης[1]. Τὸ μὲν δὴ τούτου (104α) τέλος τοιοῦτον ἔσχε τὸν τρόπον· *Εἰ δὲ καὶ ὁ ῥηθεὶς Συμεὼν ἐκ τῶν πολλαχοῦ τοῦ λόγου περὶ αὐτοῦ λεχθέντων τοῖς ἁγίοις συντάττοιτο, τοῖς θείοις ἀνδράσιν ὁ λόγος σκοπεῖν ἀφίησιν*[2]. Γραμμάτων μὲν οὖν γέγονεν ἔμπειρος καὶ εἰς βασιλείους αὐλὰς ἀπετάχθη διάγειν, ὡς εἴρηται· καὶ ὁ τρόπος αὐτοῦ προκόπτειν αὐτὸν ἐδίδου τοῖς παρὰ ἀνθρώποις κρείττοσιν· ἀλλ' ἔρωτι τῶν θείων ἁλοὺς καὶ τὴν ὄντως μερίδα εὐαγγελικῶς ἐκλεξάμενος, ἑκουσίως καταλιμπάνει τὰς γηίνους τιμάς· καὶ Θεῷ μόνῳ ζῇν ἐγνωκὼς ἀσκητικοῖς πόνοις ἐκδίδωσιν ἑαυτόν· καὶ ὄρη διερχόμενος ἐξ ὀρέων, καὶ τόπους ἀμείβων ἐκ τόπου, καὶ κατὰ τὰς μελίσσας ὡς ἐξ ἀνθέων τῶν ἀρετῶν συλλέγων τὰ κρείττονα σκεῦος ἑαυτὸν τῆς ὄντως γλυκύτητος κατεσκεύασε, καὶ πάσης πικρίας γηίνης ἐκκαθαρθείς, οἶκος Θεοῦ ἐχρημάτισε· πλουτεῖ γὰρ καὶ ἄκων τὸ τῆς ἱερωσύνης ἀξίωμα, διὰ μόνην ὑποταγὴν τῷ ἐπιστατοῦντι καταπεισθείς».

Μεθ' ὃ ἕπεται ἐγκώμιον τῆς μητρὸς, καὶ κρίσις ὅτι τοιαύτης ἔδει 'να γένωνται ὅμοια τὰ βλαστήματα. Ἀλλ' οὐκ ἀναφέρει τὸν θάνατον τοῦ Συμεών. Ἐγράφη δὲ ἡ βιογραφία προδήλως ἐν Βιζύῃ, διότι λέγει πρὸς τὸ τέλος «προϊσταμένη δ' ἂν εἴης καὶ τῆς καλλίστης τῶν πόλεων *ταύτης* Βιζύης, καθ' ἣν σου τὸ ἱερώτατον καὶ ἅγιον σῶμα ἐπεβράβευσεν ὁ Θεὸς εἰς κοινὴν τῶν ἐνοικούντων βοήθειαν καὶ ἀντίληψιν . . . . . Τῷ ἀρχιερεῖ δὲ σὺν τῷ κλήρῳ παντὶ καὶ πᾶσι τοῖς ἐτησίως τιμῶσί σε σωτηρίαν ἀεὶ παρέχουσα» κλπ.

1. καὶ ἕτερα χειρόγρ. *γγιστέρνης*.
2. φαίνεται ὅτι παράδοσις ὑπῆρχε περὶ τῆς τοῦ Βαάνη ἀνακηρύξεως ὡς ἁγίου.

ΜΙΧΑΗΛ Ο ΜΑΛΕΪΝΟΣ

Κατὰ τὰ προταχθέντα τῆς βιογραφίας Μαρίας τῆς νέας, ἐκδίδωμι τὴν τοῦ ὁσίου Μιχαὴλ τοῦ Μαλεΐνου βιογραφίαν, ἀνθολογῶν τὰ χρήσιμα ἐκ μακροῦ «Βίου καὶ πολιτείας», μνημείου τῆς ἱστορίας τοῦ Ι' αἰῶνος, ἀναγνώσεως ἀξίου. Μετέγραψα τὸ κείμενον ἐκ χαρτίνου κουτλουμουσιανοῦ κώδηκος, γεγραμμένου τῷ 7057 ἀπὸ κοσμογενείας (1549 σωτηρίῳ ἔτει) εἰς μέγα 4ον, ὑπὸ Σωφρονίου μοναχοῦ, χάριν τῆς ἱερᾶς τοῦ Κουτλουμουσίου μονῆς.*

Ἡ βιογραφία, ἐκτεινομένη ἀπὸ σελίδος 646 μέχρις 682, ἄρχεται μὲν «Οὐκ ἔργοις χρὴ μόνον θαυμάζειν τὴν ἀρετὴν καὶ λοιποῖς προτερήμασιν, ἀλλὰ» κλπ. λήγει δὲ «Οὗτος ὁ βίος τοῦ ἰσαγγέλου πατρὸς ἡμῶν Μιχαήλ· αὕτη ἡ μέχρι τέλους εὐάρεστος αὐτοῦ πολιτεία καὶ ἀκριβεστάτη διαγωγή» κλπ.

Συγγραφεὺς τῆς βιογραφίας φέρεται Θεοφάνης ὁ μαθητὴς τοῦ Μαλεΐνου, ὁ καὶ ἑαυτὸν, ὡς φρονῶ, παραδεικνὺς ἡμῖν ἐν οἷς (σελ. 678) γράφει: «Τούτῳ τῷ Θεοφόρῳ καὶ φιλοτέκνῳ πατρὶ[1] ἐγένετό τις μαθητὴς Θεοφάνης ὄνομα· ὃς καὶ ἐπὶ τεσσαράκοντα ἔτεσι τῷ ἁγίῳ ἐξυπηρέτησεν, ὕδωρ ἐπὶ χεῖρας αὐτοῦ βάλλων καὶ ἐν πᾶσι διακονῶν . . . . . ἐκ νεαρᾶς ἡλικίας ἄχρις οὗ πρὸς Κύριον ἐξεδήμησε· τούτῳ τῷ Θεοφάνει ἐπεδόθη ποτὲ παρὰ τοῦ ὁσίου βιβλίον ἐπωφελὲς πρὸς τὸ μεταγραφῆναι· εἶχε γὰρ πρὸς τὸ καλλιγραφεῖν οὐ μικρὰν ἐπιτηδειότητα . . . . καὶ ὑπὲρ δύναμιν τὴν ἑαυτοῦ φύσιν βιασάμενος, ἐν ὀλίγῳ κομιδῇ χρόνῳ τὸ βιβλίον μετέγραψεν· ἐγένετο δὲ ἐκ τοῦ τοιούτου κόπου ἀθρόον αἷμα ἐκ τῆς κεφαλῆς διαρρεῦσαι καὶ . . . . . ὑπὸ φρικώδους οἰδήματος τούς τε ὀφθαλμοὺς καὶ τὰ ὦτα συγκαλυφθῆναι· καὶ τὴν ῥῖνα τέλεον (679) καὶ τὸ στόμα ἀποκρυβῆναι· ἐν οἷς καὶ ἰατρῶν παῖδες ἐξαπορήσαντες, διά τινος μεθοδίας ἰατρικῆς, μόλις τὸ στόμα ἀνοίγοντες τοῦ νοσοῦντος ὕδωρ εἰς πόσιν ἐδίδοσαν . . . . . (680) ἐν γὰρ τῇ βασιλίδι τῶν πόλεων ὁ ὅσιος τηνικαῦτα διέτριβεν».

Μιχαὴλ ὁ Μαλεΐνος ἀνῆκεν εἰς οἰκογένειαν ἐπιφανῆ. Ἡ βιογραφία, ἣν ὁ Θεοφάνης ἔγραψε, γνωρίζει ἡμῖν τοὺς συγγενεῖς αὐτοῦ Ἀδράλεστον πατρίκιον καὶ στρατηλάτην, Εὐστάθιον καὶ Κωνσταντῖνον καὶ Εὐδόκιμον Μαλεΐνους· ἔτι δὲ καὶ τὴν μητέρα Νικηφόρου τοῦ Φωκᾶ, τοῦ αὐτοκράτορος, ἀδελφὴν τοῦ ὁσίου Μιχαήλ· καὶ Κωνσταντῖνος μὲν Μαλεΐνος πατρίκιος καὶ στρατηγὸς Καππαδοκίας, ἀκμάζων ἐπὶ Ῥωμανοῦ Β' (959 κ. ἑξ.) γινώσκεται[1], Νικηφόρος δέ τις Μαλεΐνος ἀναφέρεται ζῶν ἐπὶ Μιχαὴλ τοῦ μεθύσου[2] κατὰ τὰ μέσα τοῦ Θ' αἰῶνος.

Περὶ τοῦ Κυμινᾶ, ὄρους ἀναφερομένου καὶ ἐν βιογραφίᾳ Μαρίας τῆς νέας, σημειῶ ὅτι τοῦτο κεῖται πλησίον τῆς Ἀχυράους[3], αὕτη δ' οὐ μακρὰν τοῦ Λοπαδίου[4], δῆλα δὴ τοῦ σήμερον Οὐλουμπὰτ τῆς Βιθυνίας.

Μνείαν τῆς βιογραφίας τοῦ Μαλεΐνου Μιχαὴλ ἐποιήσατο Χρύσανθος ὁ Λοπάρεβ[5] ἐν «Βυζαντινοῖς Χρονικοῖς».

Τὰ χρήσιμα τῷ φιλίστορι μέρη αὐτῆς εἰσι ταῦτα:

(648) Πατρὶς τοίνυν τῷ γενναίῳ τούτῳ τῆς εὐσεβείας ἀγωνιστῇ Χαρσιανόν· βαρβαρικαῖς ἐφόδοις δυσπρόσιτον· ἀφ' ἑαυτοῦ τῇ χώρᾳ πάσῃ μεταδεδωκὸς τοῦ ὀνόματος καὶ τὴν παλαιὰν κλῆ(649)σιν ἐναποσβέσαι φιλονεικοῦν· τῆς γὰρ Καππαδοκῶν μοίρας καθέστηκεν, ὡς πᾶσι δῆλον καὶ γνώριμον . . . . . Πρόγονοι δὲ πλούτῳ καὶ τιμῇ καὶ δόξῃ περίβλεπτοι· τίς γὰρ ἰδὼν οὐκ ἐθαύμασε τὸν πρὸς πατρὸς αὐτῷ πάππον, Εὐστάθιον ἐκεῖνον τὸν ἐν πατρικίοις μέγα κτησάμενον ὄνομα καὶ ἐν στρατηγίαις περιφανῶς διαπρέψαντα· πρὸς δὲ μητρὸς αὖθις Ἀδράλεστον, τὸν τῇ αὐτῇ μὲν τῶν πατρικίων ἀξίᾳ τετιμημένον, στρατηλάτην δὲ τῆς Ἀνατολῆς ἁπάσης διὰ τὸ τῆς ἀνδρείας καὶ φρονήσεως ὑπερβάλλον γενόμενον; ἢ τίς ἠγνόησε τὴν ἐξ αἵματος βασιλικοῦ γεγενημένην μάμμην αὐτῷ; τῷ μεγίστῳ γὰρ βασιλεῖ Ῥωμανῷ διέφερε πρὸς συγγένειαν. Τίς δὲ καὶ τοὺς κατὰ σάρκα γεννήτορας οὐ δι' ἐπαίνου καὶ θαύματος ἐποιήσατο; Εὐδόκιμον λέγω τὸν πάνυ, καὶ Ἀναστασὼ τὴν πᾶσι κεκοσμημένην . . . . . ἐξ ὧν ὁ θαυμάσιος οὗτος προελήλυθε . . . (650) καὶ γὰρ ὁ παρ' ἡμῶν εὐφημούμενος καὶ ἀδελφὸν ἔσχε Κωνσταντῖνον τὸν μέγαν, βουλῆς τε συγκλήτου μετέχοντα· ἐν γὰρ τοῖς πατρικίοις καὶ αὐτὸς κατηρίθμητο· καὶ τῆς Καππαδοκῶν χώρας ἐπὶ πλείστοις ἔτεσι στρατηγήσαντα . . . . . ἀοίδιμον δὲ τοῦτον καὶ περιφανῆ γεγονότα, κατ' ἀμφότερα περιδέξιον, ὑπερβαλέσθαι πως κατ' ἀρετὴν ἡ ἀδελφὴ ἐσπούδασε, πᾶν εἴ τι κάλλιστον ἐν ἀνθρώποις ἐστὶ καὶ κτησαμένη ῥαδίως καὶ μέχρι τέλους διαφυλάξασα· ταύτῃ συναφθεὶς Βάρδας ὁ εὐτυχέστατος καῖσαρ Νικηφόρον τε τὸν θεοστεφῆ βασιλέα, τὸν οὐχ ἧττον βαρβάρων ἢ παθῶν ὀλετῆρα, καὶ Λέοντα τὸν μεγαλοπρεπέστατον κουροπαλάτην εὐτυχῶς ἀπεγέννησε· καὶ μακρὰν ἂν εἴη ἀπαριθμεῖσθαι καθ' ἕνα τοὺς κατὰ γένος τούτῳ προσήκοντας· σκοπῶν γὰρ περὶ τούτων ἕκαστος ἀκριβέστερον, εὑρήσει καὶ τὸν θεῖον Εὐδόκιμον, τὸν ἐν ταύτῃ μὲν τῇ βασιλευούσῃ λαμπρᾶς εὐφημούμενον, θαύμασι δὲ πολλοῖς τὴν ὑφήλιον καταυγάζοντα, συγγενῆ τοῦ μεγάλου τούτου ὑπάρχοντα . . . . . (651) τεχθεὶς δὲ ὁ ἀνδρικῶς κατὰ τῶν παθῶν ἀριστεύσας, Μανουὴλ πρὸς τῶν γεγεννηκότων ὠνόμασται[1]· οὗ καὶ εἰς αὔξησιν ἡλικίας ἐλθόντος καὶ τῇ τοῦ σπαθαροκανδιδάτου τιμηθέντος ἀξίᾳ, περὶ γαμικῶν συμφώνων οἱ γονεῖς ἐβουλεύοντο . . . . . Θεὸς δὲ ἦν ἄρα ὁ ἐκ μήτρας τοῦτον καθα(652)γιάσας· ἐγένετο γὰρ, κατ' οἰκονομίαν τοῦ κτίσαντος, τὸν πατέρα αὐτοῦ ἐν Κωνσταντινουπόλει παραγενόμενον ἐπάγεσθαι τοῦτον μεθ' ἑαυτοῦ· καὶ ἐν τῷ μέλλειν ἀναχωρεῖν οἴκαδε ἐκεῖσε τοῦτον καταλιπεῖν· οὐ πολὺ τὸ ἐν μέσῳ· καὶ συνέβη Λέοντα τὸν εὐσεβῆ βασιλέα ῥωμαίων πρὸς Κύριον ἐκδημῆσαι· ὃν ἐκκομιζόμενον ὁ Μανουὴλ κατιδὼν καὶ τοῖς δάκρυσι συγχυθεὶς ὅλος πρὸς κατάνυξιν ἀθρόως μετερρυθμίζετο· λογισάμενος ὅτι, εἰ καὶ βασιλέων οὕτως ὑπερισχύει ὁ θάνατος, τί μοι τὸ ὄφελος ἐν τῷ κόσμῳ λοιπὸν ἀναστρέφεσθαι. . . . . Καὶ εὐθὺς, πόθον γονέων προφασισάμενος, καὶ ἐν Κωνσταντινουπόλει κατέχεσθαι παρὰ τῶν συγγενῶν μὴ βουλόμενος, ἐξῆλθε τῆς πόλεως· καὶ φθά(653)σας ἐν τῷ ποταμῷ Γάλλῳ, ὃς πλησίον

---

* *ἡ μνήμη αὐτοῦ τῇ 12 ἰουλίου.*

1. τῷ Μιχαὴλ Μαλεΐνῳ δῆλά γε δή.

1. ἴσως τῷ 894, ὡς εἰκάζω, ἢ 95.

1. Theophanis Continuati· Βόννης, σελ. 479.
2. Συμεὼν Μάγιστρος, σελ. 680. Γεώργιος μοναχὸς, σελ. 833. Λέων Γραμματικὸς, σελ. 247.
3. Γεώργιος Ἀκροπολίτης, σελ. 30.
4. Γεώργιος Παχυμέρης, τόμ. Α', σελ. 523.
5. βλέπε ἐν τόμῳ Δ', ἀπὸ σελίδος 358—363.

τοῦ κυμιναίου ὄρους διέρχεται, καὶ ἐν τῇ τοῦ Μονοκαμάρου γεφύρᾳ γενόμενος, τὸν μὲν συνεπόμενον αὐτῷ πρὸς ὑπηρεσίαν λαὸν προπορεύεσθαι διωρίσατο καὶ πρὸς τὸν ἑαυτοῦ πατέρα ἐξέπεμψε, κατ' ἴχνος αὐτοῖς ἐπακολουθεῖν προσειπών· ὀλίγους δέ τινας μεθ' ἑαυτοῦ ἔχων, τὴν πόλιν Κερσίνης κατέλαβε, πρὸς αὐτοὺς ἤδη κειμένην τοῦ ὄρους τοὺς πρόποδας . . . . . ἕνα τῶν τῆς κώμης κατ' ἰδίαν ἀπολαβών, ἠρώτα εἰ πλησίον ἐκεῖ μοναχός τις οἰκεῖ· τοῦ δὲ φήσαντος ὡς καὶ μέγας ἅγιος γέρων πλησίον οἰκεῖ, ὀνόματι μὲν Ἰωάννης, Ἐλατίτης δὲ τὸ ἐπίκλην προσαγορευόμενος, ὑφ' οὗ καὶ πολλοὶ νουθετούμενοι σώζονται, εὐχῆς χάριν πρὸς τὸν γέροντα ἀνελήλυθεν, ὃν . . . . . εἰς μεγίστην ἔκπληξιν ἤγαγε· τὸν γὰρ τοῦ σώματος καλλωπισμὸν ὁ γέρων ὁρῶν καὶ τὸ νεάζον τῆς ἡλικίας κατανοῶν . . . . . ὁ δὲ γυμνωθεὶς τῶν συνήθων, καὶ τῷ θείῳ ἔρωτι τρωθεὶς τὴν καρδίαν τὸν ἅγιον ἐξεβιάζετο γέροντα τάχιον αὐτὸν τὸ μοναδικὸν σχῆμα περιβαλεῖν[1]· ἐδεδίει γὰρ, μή ποτε ὁ πατὴρ αὐτοῦ τὰ συμβεβηκότα πυθόμενος ἀποστερήσει τοῦ ποθουμένου . . . . . (655) τῇ τετάρτῃ ἡμέρᾳ τὸ ἅγιον σχῆμα περιεβάλλετο, Μιχαὴλ κληθεὶς ἀντὶ Μανουήλ . . . . . Εἶχετο τοίνυν ὁ θαυμάσιος Μιχαὴλ τοῦ προκειμένου σκοποῦ . . . . Τῶν δὲ ἐκπεμφθέντων ἀνθρώπων αὐτοῦ πρὸς τοὺς γονεῖς ἀπελθόντων ἐν τῷ ἀνωτέρω μνημονευθέντι Χαρσιανῷ, ὅθεν καὶ ὥρμηντο, καὶ πάντα τὰ περὶ αὐτοῦ τῷ πατρὶ διασαφηνισάντων, ἦν ἰδεῖν θέαμα ἐλεεινὸν καὶ δακρύων ἄξιον . . . . . (656) τοὺς μὲν τὴν χαλεπὴν ἀγγελίαν διακομίσαντας σφοδρῶς κατηκίσατο· αὐτὸς δὲ εἶχετο τῆς ὁδοῦ πρὸς ζήτησιν τοῦ παιδὸς ἐπειγόμενος, ἐπεὶ δὲ τὸ προλεχθὲν ὅρος κατέλαβε, τὸν παρεπόμενον αὐτῷ λαὸν διατάξας κυκλόθεν τῆς κέλλης τοῦ γέροντος, πρὸς τὸ μὴ δυνηθῆναί ποθεν διαδρᾶναι τὸ θήραμα, αὐτὸς λεληθότως εἰσελθὼν ἔνδον τοῦ μοναστηρίου καὶ ἐν τοῖς προαυλίοις τοῦ εὐκτη-(657)ρίου οἴκου γενόμενος, ἔστη ἐν γωνίᾳ λανθάνειν ἐκμηχανώμενος· ἔτυχε δὲ ἐξ οἰκονομίας Θεοῦ τὴν ἑωθινὴν ὑμνῳδίαν ἀναπέμπειν Θεῷ τοὺς ἐκεῖσε μοναχούς· νυκτὸς γὰρ ἐπέστη τῷ μοναστηρίῳ ὁ εἰρημένος πατὴρ αὐτοῦ· καὶ ἐπειδὴ συνέβη τὸν υἱὸν αὐτοῦ ψάλλειν ἐν τῷ καιρῷ τοῦ καθίσματος . . . . . ἀκούσας καὶ ἐπεγνωκὼς αὐτὸν ἐστέναξεν ἐκ βάθους καρδίας. . . . . (658) τὸν ἴδιον υἱὸν παραλαβὼν ᾤχετο. . . . . ἐπεὶ δὲ τὴν πατρίδα κατέλαβον καὶ πρὸς αὐτὴν ἤδη τὴν οἰκίαν ἀφίκοντο. . . . . τέως ἐν χερ(659)σὶν, ὡς ἐδόκουν τὴν θήραν κατέχοντες . . . . . ἐπινοίαις ποικίλαις τὸν λογισμὸν αὐτοῦ χαυνῶσαι ἐσπούδαζον πρὸς τὸ πεῖσαι ἀφ' ἑαυτοῦ τὸ σχῆμα ἀποβαλέσθαι . . . . . ἐπεὶ δὲ ἀνήνυτα ἦν τὰ τούτων ἐπιχειρήματα, καὶ πᾶσαν μηχανὴν, ἣν προσήγαγον, ἀνίσχυρος ἔδοξεν, ἄκοντες πάλιν τὸν υἱὸν μετ' ὀργῆς τοῦ οἴκου ἐξέπεμψαν· ὁ δὲ μέγας τὴν ἀναγεννησαμένην αὐτὸν ποίμνην μετὰ σπουδῆς κατελάμβανε . . . . . (660) Ἐπεὶ δὲ εἰς τὴν ἰδίαν ποίμνην ἀποκατέστη, ἀνεδέξατο μὲν εὐθὺς τὴν τοῦ τραπεζίτου διακονίαν, ἐν τῷ τῆς ἑστιάσεως καιρῷ τοῖς ἀδελφοῖς παριστάμενος . . . . . (661) μετὰ δὲ διετοῦς χρόνου παρέλευσιν καὶ τὸ ἱερὸν σχῆμα[1] τῶν μοναχῶν τὸ τέλειον ἀνελάβετο, ἠνίκα καὶ ὁ πατὴρ αὐτοῦ ἐκεῖσε παραγενόμενος καὶ τετελειωμένον αὐτὸν κατιδὼν εὐφράνθη. Ἀπιὼν δὲ καὶ ἐν Ἀγκύρᾳ διασωθεὶς, ἔφη τῇ γυναικὶ αὐτοῦ ἐκεῖσε τότε διατριβούσῃ· Εἶδον τὸν υἱὸν Μανουὴλ καὶ εὐφράνθη μου ἡ ψυχή . . . . . Ἐν τούτοις ὄντων αὐτῶν καὶ πνευματικῶς ἀγαλλιωμένων, ἐγένετο μετ' οὐ πολὺν χρόνον Εὐδόκιμον τὸν θαυμάσιον τὸν βίον ἀπολιπεῖν, καὶ διὰ τὸ αἰφνίδιον τελευτῆσαι αὐτὸν, ἀδιάθετα πάντα τὰ ὑπάρχοντα αὐτοῦ καταλειφθῆναι. Ἡ οὖν καλὴ μήτηρ. . . . . (662) ἡ ὕστερον οἰκειωθεῖσα Θεῷ διὰ τοῦ μοναδικοῦ σχήματος καὶ ἀγγελικῶς βιοτεύσασα, μετοπεμψαμένη πρὸς ἑαυτὴν τὸν υἱὸν, καὶ τοῖς τέκνοις τὰ ἐπιβάλλοντα κατὰ κληροδοσίαν μερίσασα, ἐρημικῶς τε καὶ ἡσυχίως τὸ λοιπὸν τῆς ζωῆς διετέλεσε, καὶ καλῶς ἀγωνισαμένη πρὸς τας ἐκεῖσε μονὰς ἐξεδήμησεν . . . . . Ἐντεῦθεν ὁ πατὴρ ἡμῶν Μιχαὴλ, τὰ ἐκ γονικοῦ κλήρου περιελθόντα παρειληφὼς, τοὺς μὲν οἰκέτας ἐλευθερίᾳ τετίμηκε, λεγάτα προσεπιδοὺς, τὰ δὲ κινητὰ πάντα διένειμε τοῖς πτωχοῖς. . . . . τῆς δὲ ἀκινήτου πάσης μερίδος τῷ ἀδελφῷ Κωνσταντίνῳ παραχωρήσας ἑκουσίως. καὶ τὰ ἡμίση τῶν τιμημάτων λαβὼν τῷ πνευματικῷ πατρὶ προσεκόμισε, πρὸς τὸ ὑπ' ἐκείνου δοθῆναι πᾶσι τοῖς χρείαν ἔχουσι πένησί τε καὶ μοναχοῖς τοῦ ὄρους, οὐ μὴν ἀλλὰ καὶ πρὸς τὸ πλατυνθῆναι τὸ εὐαγὲς ἐκεῖνο καὶ ἱερὸν μοναστήριον. . . . . (663) Μετὰ τὴν ἐν τῇ τελείᾳ ὑπακοῇ τριετοῦς χρόνου[2] παραδρομὴν, ἐπιθυμία τις αὐτὸν ἡσυχίας

1. ἴσως τῷ 912 ἢ 913.

1. νομίζω περὶ τὸ 915.
2. τῷ ἔτει 919 κατὰ τὸν ἐμὸν ὑπολογισμόν.

ἀκριβεστέρας κατέφλεξεν . . . . . ἦν δὲ πλησίον τῆς ποίμνης πέτρα τις εὐμεγέθης καὶ εὔθετος . . . . . καὶ ἡσύχασεν ἐν αὐτῇ . . ,. . σαββάτῳ καὶ κυριακῇ κατιὼν πρὸς τὸν γέροντα, καὶ τοῖς ἀδελφοῖς συναναστρεφόμενος, κατὰ τὴν ἐκείνου ᾠκονομεῖτο διάκρισιν . . . . . μετὰ δὲ τὴν τοῦ τετάρτου ἐνιαυτοῦ[1] παρέλευσιν, τῇ εὐχῇ τοῦ μεγάλου γέροντος περιφραξάμενος, πρὸς τὴν ἐσωτέραν ἐχώρησεν ἔρημον μετὰ καί τινος συγγενοῦς αὐτοῦ· Ἀγάπιον λέγω τὸν πάνυ . . . . . (664) διετῆ δὲ χρόνον ἐν τῇ ἐρήμῳ[2] διαγενόμενοι καὶ ἔκ τινων θορύβων ὄχλησιν ὑπομένοντες, ἔκριναν μεταβῆναι ἐκ τῶν τοῦ Γάλλου μερῶν καὶ πρὸς τὰ τῆς Προυσιάδος ὅρια προχωρῆσαι. Ὁ μὲν οὖν μέγας Ἀγάπιος, πρὸς ἄλλης πολιτείας χωρήσας ὁδὸν, πολλοῖς διέπρεψε κατορθώμασιν· ὁ δὲ ὅσιος Μιχαὴλ χῶρον εὗρεν ἡσυχίας μεστὸν, Ξηρολίμνην πρὸς τῶν ἐγχωρίων ὀνομαζόμενον, οὗ πλησίον καὶ γέρων τις, τὸν ἐρημικὸν βίον εἰς ἄκρον κατασπαζόμενος κατὰ μόνας ᾐσκεῖτο· ἐν τούτῳ τῷ τόπῳ μικρὰν καλύβην πηξάμενος ἡσύχαζεν ἐν αὐτῇ . . . . . Διαβοωμένων δὲ τῶν θαυμαστῶν αὐτοῦ πράξεων (665) ἤρξαντο πλήθη λαῶν συρρέοντα τὴν μετ' αὐτοῦ συνοίκησιν ἐκβιάζεσθαι . . . . . (666) τῶν δὲ συνελθόντων αὐτῷ ἀδελφῶν εἰς πλῆθος ἐπιδιδόντων, ὑπὲρ τοὺς πεντήκοντα γὰρ ἐγεγόνεισαν, καὶ εἰς εὐρύτερον τόπον μετατεθῆναι βιαζομένων, τὴν τῆς Ξηρολίμνης λαύραν τῷ προλεχθέντι πατρὶ Ἀγαπίῳ καταλιπὼν, αὐτὸς μετά τινων μαθητῶν τῇ Βιθυνίᾳ προσώρμισε, καὶ, τοὺς ἐκεῖσε τόπους περινοστήσας, εὗρε χῶρον ἡσύχιον, νάμασι μὲν καθαροῖς καὶ ψυχροτάτοις κατάρρυτον, πάντων δὲ τῶν πρὸς χρείαν ἐπιτηδείων τὴν χορηγίαν ἄφθονον ἔχοντα· ἐξωνήσατο δὲ τοῦτον, καὶ εὐθὺς πρὸς οἰκοδομὴν λαύρας ἑαυτὸν ἀπησχόλησεν, ἀνήγειρέ τε τῇ Θεοτόκῳ ναὸν εὐμεγέθη καὶ κάλλιστον . . . . . καὶ συνοδίαν ἱερὰν συστησάμενος καὶ ἐν ἀκαριαίῳ χρόνῳ πολίσας τὴν ἔρημον, ἱερὰς νομοθεσίας τοῖς ἀσκεῖσθαι βουλομένοις ἐξέθετο καὶ τύπους ἀκριβεστάτους παρέδωκεν, οἷς οἱ κατακολουθεῖν προθυμούμενοι τὴν ἀσκητικὴν διαγωγὴν ἄριστα ἐκπαιδεύονται . . . . . (667) ὥς που καὶ μεγαλοφώνως βοῶσι τὰ ψυχωφελῆ καὶ σωτήρια τῶν αὐτοῦ συγγραμμάτων ἐναργῶς διηγήματα. . . . . *

1. τῷ 920; ἢ 923.
2. τῷ 922; ἢ 925.

* ἐντεῦθεν μανθάνομεν ὅτι καὶ συγγραφὰς τοῖς αὐτοῦ μαθηταῖς ἔλιπε καὶ τυπικήν τινα διάταξιν.

(669) καὶ μαρτυροῦσιν αἱ πρὸς πάντας ἀνθρώπους καθ' ἑκάστην, ὡς εἰπεῖν, εὐποιΐαι τε καὶ δαψιλεῖς ἐλεημοσύναι· καὶ τούτων αὖ πάλιν μειζόνως, σάλπιγγος γεγονώτερον καὶ εὐηχέστερον, ἀνακηρύττει τὸ φιλάνθρωπον καὶ φιλάδελφον τοῦ ἀνδρὸς τὸ κοινὸν ταμιεῖον καὶ σωτήριον καταγώγιον, τὸ μέγιστον λέγω ξενοδοχεῖον, ἐν ᾧ πᾶς τις ὁ κατὰ πάροδον καταλύων, ἀναπαύσεώς τε μεγίστης ἰδιωμένος καὶ ταῖς τῶν ἐπιδόσεων χορηγίαις τὸν ἐκ τῆς ὁδοιπορίας κόπον ἀποθέμενος, οὕτω τὸ ἑξῆς τῆς ὁδοῦ νεαρὸς ἀνύει καὶ πρόθυμος. Οὗτος ὁ μέγας πατὴρ ἡμῶν καὶ τοῦ μεγίστου τῆς ἱερωσύνης τετύχηκεν ἀξιώματος[1] . . . . . (673) Ἠνίκα κατὰ βουλγάρων ὁ ῥωμαϊκὸς στρατὸς ἐξωπλίζετο, ἐν τοῖς χρόνοις Κωνσταντίνου τε καὶ Ζωῆς τῶν βασιλευόντων, καὶ ἡ καθ' ἡμᾶς οἰκουμένη διεδονεῖτό τε καὶ σφοδρῶς ἐταράσσετο, ἐγένετό τις πρεσβεία πρὸς τὸν ὅσιον παρά τινων φιλοθέων ἀνδρῶν, ἐκλιπαρούντων ἐνδελεχῶς πρὸς τὸ ἐκ Θεοῦ τὸ τέλος τοῦ συγκροτουμένου πολέμου μαθεῖν· ὃς καὶ διὰ τὴν τῶν παρακαλούντων ἀξίωσιν. . . . . εὑρέθη ἐν μιᾷ σκυθρωπάζων καὶ ὀδυνηρῶς ἀποκλαιόμενος. . . . . ἔφησεν, ὡς εὑρέθη ἔν τινι πεδίῳ μεγάλῳ, ἐν ᾧ καὶ διῃρημένα πλήθη δύο λαῶν, λευκοφορούντων τε καὶ μελανειμονούντων, ἱστάμενα κατιδεῖν, τρίζοντα τοὺς ὀδόντας καὶ κατ' ἀλλήλων ἐξαρτυόμενα· ἐ(674)ξ ὧν κύνες δύο παμμεγέθεις ἀπολυθῆναι λευκόν τε καὶ μέλανα· οὕτω δὲ τὸν μέλανα καταφαγεῖν τὸν λευκὸν, ὡς μηδὲν ὅλως τῶν ἐκείνου ὑπολειφθῆναι σαρκῶν. Τῶν δὲ ὄχλων θορυβηθέντων σφοδρῶς, θεάσασθαι πάλιν ἐκ δευτέρου ἄνδρας δύο τρομεροὺς τῇ ἰδέᾳ καὶ τῷ μεγέθει ἐκπλήκτους, τὸν μὲν λευκὴν στολὴν περιβεβλημένον, τὸν δὲ μέλανα, ἐξ ἑκατέρου μέρους ἀποσταλέντας συρραγῆναι ἀλλήλοις κατὰ τὸ μέσον τοῦ πεδίου, καὶ οὕτω τὸν μέλανα εἰς γῆν καταβαλεῖν τὸν λευκόν· διὸ καὶ γινώσκειν ὑμᾶς, φησὶ, βούλομαι, μεγάλην καὶ ταχυνὴν ὀργὴν τοῦ Θεοῦ πρὸς ἡμᾶς ἔρχεσθαι· ὅπερ καὶ κατὰ τὴν πρόρρησιν τοῦ θεοφόρου πατρὸς διὰ τὰς ἡμῶν ἁμαρτίας ἐγένετο . . . . . (675) Τούτῳ τῷ διορατικῷ πατρὶ οἰκοδομεῖν ἀρξαμένῳ οἶκον μέγιστον, πρὸς δόξαν μὲν Θεοῦ τε καὶ τῆς αὐτοῦ παναχράντου μητρὸς, ἀ(676)νάπαυσιν δὲ τῆς ἐν Χριστῷ συνοδίας, ὁ τὰ τῆς οἰκοδομῆς ξύλα ὀφείλων διακομίσαι μαθητὴς ἤκουσε παρ' αὐ-

1. ἔπεται διήγησις θαυματουργιῶν, τὸ τοῦ Μαλεΐνου προορατικὸν δηλουσῶν.

τοῦ· πρόσεχε, τέκνον. μὴ ἐξ ἀπιστίας ἢ γογγυσμοῦ ἐκπέσῃς εἰς πειρασμόν . . . . , . ἀπόστειλον ῥύσασθαι ἐκ θανάτου τὸν πειραζόμενον Λέοντα· τοῦτο γὰρ ἦν αὐτῷ ὄνομα . . . . . Ῥωμανοῦ τοῦ ἐκ πατρικίων εἰς τὴν βασίλειον προεληλυθότος ἀρχὴν καὶ τῆς ῥωμαϊκῆς ἀπάσης ἡγεμονίας τὰ σκῆπτρα παραλαβόντος, οἷα παρὰ τῶν αὐτοῦ παίδων τοῖς ὑπηκόοις συνέβαινεν οὐδεὶς τῶν ἁπάντων ἠγνόησεν· ἐπεὶ οὖν εἰς διαφόρους δόξας καὶ ὑπολήψεις οἱ φρονήσεως ἐν μετουσίᾳ καθεστηκότες ἐσχίζοντο καὶ ὑπώπτευον ἤδη, διὰ τὴν ἐκείνων μοχθηρίαν τε καὶ κακίστην (677) προαίρεσιν τὴν μεταβολὴν τῶν πραγμάτων γενήσασθαι, καὶ μὴ ἐπὶ πλέον μακροθυμήσειν τὴν τὰ ἡμέτερα σοφῶς καὶ ἐπιστημόνως διϊθύνουσαν πρόνοιαν, καὶ ὥσπερ μεταιχμίῳ τῇ τῶν μελλόντων ἀδηλίᾳ ἱστάμενοι, οὐκ εἶχον σαφῶς τὸ τέλος διαγινώσκειν, προσελθόντες τινὲς ἐκ τούτων φιλόχριστοι γνωρίσαι τὸ μέλλον διὰ προσευχῆς ἐλιπάρουν· καὶ μόλις ποτε ταῖς αὐτῶν ἱκεσίαις ἐπικαμφθείς, τρανῶς τὰ μετ' οὐ πολὺν χρόνον ἐκβεβηκότα ἐγνώρισεν, εἰπών· Εἶδον, ὦ οὗτοι, λευχειμονοῦντά τινα λαβόμενον τῆς χειρός μου καὶ εἰς τὴν ἁγίαν τοῦ Θεοῦ μεγάλην Σοφίαν ἀπαγαγόντα καὶ φήσαντα· ὅρα σοι τὸ ζητούμενον καὶ μηκέτι κοπία· καὶ ἐν τῷ οὕτως εἰπεῖν, ὑπέδειξέ μοι, φησί, τέσσαρα λαρνάκια κείμενα, ἃ καὶ τὸ τάχος ἀποφέρεσθαι ἔξω προσέταξε· καθαρῶς δηλοῦντος τοῦ πράγματος, ὡς αὐτός τε ὁ δηλωθεὶς Ῥωμανὸς καὶ οἱ τρεῖς αὐτοῦ παῖδες, τῶν ἱερῶν περιβόλων ἀπελαθέντες, τάχιον ἐν λάρναξι κατοικήσουσι. Διὸ καὶ τῷ θεοστεφεῖ βασιλεῖ Κωνσταντίνῳ, ἀθυμοῦντι σφοδρῶς, εὐθυμεῖν ἐνετείλατο ὡς ταχὺ πάντως τὴν προγονικὴν βασιλείαν ἀπολαμβάνοντι· ὑπὲρ ὧν καὶ Θεοφύλακτος ὁ τὴν πατριαρχείαν ἰθύνων, ἐγκοτῶν τῷ ὁσίῳ διὰ τὴν πρόρρησιν καὶ πρὸς ζηλοτυπίαν τῆς τοῦ θρόνου διαδοχῆς[1] ἐκ(678)καυθείς, ἔσπευσε τὸν μέγαν κακῶσαι καὶ τὴν περιφανῆ αὐτοῦ ποίμνην εἰς τέλος ἐξαφανίσαι· ἀλλ' αὐτὸς μὲν οὐδὲν πλέον τῆς ἐπιχειρήσεως ἴγνυσε· τὰ δὲ ὁραθέντα ὑπὸ τοῦ ὁσίου κατὰ τὴν ἐκείνου ἐξέβαινε πρόρρησιν. . . . . (681) Οὗτος ὁ ἡγιασμένος καὶ φιλάγαθος πατὴρ ἡμῶν Μιχαὴλ ἀπετάξατο μὲν ἐτῶν ὑπάρχων ὀκτωκαίδεκα, χρόνους δὲ πεντήκοντα ἐν τῷ μονήρει βίῳ διήνεγκεν ἀγγελικῶς ἐν ἀνθρώποις πολιτευσάμενος· καὶ μέχρις ἐσχάτης ἀναπνοῆς[2] μὴ ἀλλάξας τὸν κανόνα τῆς ἀκριβοῦς αὐτοῦ ἐγκρατείας, ἄνευ ἀσθενείας βαρείας καὶ ἐπιφανοῦς ἑορτασίμου ἡμέρας καὶ παρουσίας φίλου τινὸς ἀξιολόγου καὶ πολλὴν τὴν οἰκείωσιν ἔχοντος.

1. βεβαιότατα μετὰ τὸ 933.
2. κατ' ἐρὲ τῷ 962.

ΚΥΡΙΛΛΟΣ Ο ΦΙΛΕΩΤΗΣ

Μνημεῖον ἄξιον λόγου τῆς ἐν γένει μὲν ἀλλ' ἰδίᾳ τῆς θρᾳκικῆς ἱστορίας τοῦ ΙΑ΄ αἰῶνος ἐστιν ἡ βιογραφία Κυρίλλου τοῦ Φιλεώτου, γραφεῖσα ὑπὸ Νικολάου Κατασκεπηνοῦ. Μετέγραψα ταύτην ἀπὸ τοῦ χαρτίνου χειρογράφου 191Η τῆς μεγίστης ἐν Ἁγίῳ Ὄρει Λαύρας, γραφέντος ἐν τέλει τοῦ παρελθόντος αἰῶνος, εἰς μέγα Δ^{ον}, εὐαναγνώστως, καὶ κατέχοντος 138 φύλλα, δῆλον οὖν 276 σελίδας. Ἀρχὴ τῆς βιογραφίας «Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· ὁ ἐκ | τεσσσάρων στοιχείων» κλπ· τέλος αὐτῆς

«ἥμβλυται ἡ χάρις· ἡ γὰρ χάρις τὸ Πνεῦμα τὸ ἅγιον ἐστὶν, ὃ οὐκ ἀσθενεῖ, οὐδὲ μακρύνεται ἀφ' ἡμῶν, ἀλλὰ πανταχοῦ πάρεστι, κατὰ δὲ τὴν ἀναλογίαν τῆς φυλακῆς τῶν ἐντολῶν τοῦ Χριστοῦ ἐνεργεῖ ἐν ἡμῖν· Ὧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις» κλπ. Καὶ τίς μὲν ὁ Κύριλλος Φιλεώτης ποιεῖται γνωστὸν ἡ βιογραφία· συγγραφεὺς δ' αὐτῆς ἐστι Νικόλαος ὁ Κατασκεπηνός, ἀκμάσας κατὰ τὸ πρῶτον ἥμισυ τοῦ ΙΒ΄ αἰῶνος·

ὡς ἐκ τοῦ ἐπωνύμου δηλοῦται, ὁ Νικόλαος ἦν μοναχὸς τῆς Κατασκέπης, γνώριμος ἡμῖν ὡς ποιητὴς δύο «παρακλητικῶν κανόνων» εἰς τὴν Θεοτόκον[1]· ἡ δὲ Κατασκέπη ἦν μοναστήριον, περί που τὸ τοῦ Πόντου στόμα κείμενον, ἴσως ἄνωθεν τοῦ σήμερον Γενὶ-μαχαλέ, ἴσως πλησίον τοῦ Ῥούμελ-ι-καβάκ· τὸ μοναστήριον τῆς Κατασκέπης ἔσχεν ἱδρυτὴν τὸν αὐτοκράτορα Μανουὴλ Κομνηνόν, τοὺς ἐπιφανεστέρους τῶν τότε μοναχῶν ἐν αὐτῷ συνελάσαντα[2], καὶ περὶ οὗ ὁ πατριάρχης Κωνστάντιος γράφει τιθεὶς εἰς τὴν πρὸ τοῦ κόλπου τῶν Θεραπείων κοιλάδα, «ὅπου πρὸ τῶν ἤδη νέων παραλίων οἰκοδομῶν ἔκειντο λείψανα ἀρχαίων κτιρίων, τάφων καὶ ἐκκλησίας, ... ἐρείπια τῆς μονῆς τῆς Κατασκέπης[3]. Ὁ Φιλεώτης ἐγεννήθη τῷ 1015, ἀπέθανε τῷ 1110.

Ὁ βιογράφος τοῦ Κυρίλλου διέσωσέ τινας εἰδήσεις ἱστορικὰς, ὡς τὴν περὶ τῆς **ἑτεροδιδασκαλέας τοῦ Μανοῦ,** ἐν φύλλῳ 65Β, τὴν περὶ συνήθους εἰς **τὰς Βλαχέρνας** *κατὰ παρασκευὴν* **προσκυνήσεως,** ὡς ἐν φύλλῳ 24Α, τὴν περὶ τῆς *πρὸς τοὺς τάφους* τῶν ἀποστόλων *Πέτρου καὶ Παύλου* εὐλαβείας τῶν ἀνατολικῶν χριστιανῶν, ἐν φύλλοις 34α καὶ 35Β, τὴν περὶ τοῦ **Ὡρολογίου τῶν ἐν Ὀλύμπῳ μονῶν,** ἐν φύλλῳ 43Β, καὶ τὴν ὕπαρξιν **ὑμνογράφου** *τινὸς* **Αὐξεντίου,** ὡς ἐν φύλλῳ 93α, συλλογὴν κανόνων καὶ στιχηρῶν ποιησαμένου. Δίκαιόν δ' ἐστιν εἰπεῖν ὅτι καὶ Κύριλλος ὁ Φιλεώτης ἦν λόγιμος ἀνὴρ, ὡς καὶ Μιχαὴλ ὁ Μαλεΐνος·

διότι πολλαὶ τέως ἄγνωστοι βιογραφίαι μοναχῶν, ὧν γεραίρομεν τὴν μνήμην, θέλουσι δείξει πιθανῶς ὅτι οἱ οὕτως ὑφ' ἡμῶν γεραιρόμενοι ἦσαν ἄνδρες γραμμάτων μέτοχοι.

Λέξεις τινές εἰσι περίεργοι, καθ' ὃν τρόπον ἐξεδέχοντο ταύτας οἱ τότε χρόνοι· λόγου χάριν: *ἄτοπος* (φυλ. 42α) ὁ μὴ ἔχων ὡρισμένην διαμονήν· *κατωβαρὴς* (φ. 55Β) ὁ πάσχων ἐξ ὑδροκήλης· *κυκλευταὶ* μοναχοὶ (φ. 40α, 42α) οἱ περιφερόμενοι ἀπὸ μονῆς εἰς μονὴν, οἱ τῆς σήμερον *ἁγιοπαντῖται· μαλλάκιον* (φ. 30Β) πιθανῶς δισσάκιον· *μελισσοφάτνια* (φ. 32) αὐτεξήγητον· *πασχικὸς* (φ. 137Β) ὁ πάσχων ἢ φιλάσθενος· *φιλεκκλήσιος* (φ. 23Β) ὁ καθ' ἡμᾶς φιλακόλουθος· *φοσσατικῶς* (φ. 42α) ἐκ τῆς λέξεως φοσσάτον= κατὰ στρατιὰς, ἢ κατ' ἀγέλας. Ἐν φύλλῳ 87α δίδωσιν ἡμῖν συνταγὴν κατασκευῆς *ἁγιοζωμίου.*

Περὶ Φιλέα καὶ Φιλεατίνης λίμνης, ἧς ἁλιεῖς, βεβαίως κάτοικοι τῶν περὶ αὐτὴν μερῶν, ἀναφέρονται τῷ 258, βλέπε Ζώσιμον, Κεδρηνὸν καὶ Χωνιάτην, ἀναφέροντα Φιλέαν ἄχρι τοῦ 1204 καὶ ὅσα περὶ τῶν περὶ Φιλέαν καὶ Δέρκον μερῶν ἔγραψα[4], ἐν οἷς παρατίθενται αἱ εἰς βυζαντινοὺς χρονογράφους παραπομπαί.

1. Θεοτοκάριον· ἔκδ. Β΄, σελ. 132, 163.
2. Ἴδε «Βυζαντινὸν Ἑορτολόγιον» εἰς τὴν 8 νοεμβρίου, ἀριθμ. 20. Ἐφραίμιον ἐν Χρονικῷ, στιχ. 4691—4701.
3. Κωνσταντινιὰς, ἔκδ. Β΄, σελ. 133. Χρήσιμα δὲ καὶ τὰ ἐν τῇ σελ. 159 «ἀπὸ τὸ στόμιον τοῦ Πόντου μέχρι τοῦ Βαθυρρύακος, αὐτὸ τὸ μεταξὺ διάστημα καλεῖται κυρίως στόμα τοῦ Πόντου, τὸ δὲ λοιπὸν μέχρι τῆς ἀκροπόλεως τοῦ Βυζαντίου εἶναι ὁ Βόσπορος».
4. Ἡμερολόγιον Ἀνατολικὸν, Κ. Βακαλοπούλου· ἔτους 1896, σελ. 103—134.

Εἶδός τι περιλήψεως τῆς τοῦ Κυρίλλου βιογραφίας ἐποιήσατο ὁ Λοπάρεβ* ἡ παρ' ἐμοὶ περίληψις περιέχει ὅσα δέον ἵνα γινώσκωσιν οἱ φιλίστορες.

[1]Κατὰ γὰρ τὸ θρακῶον μέρος ἐν τῷ χωρίῳ Φιλέᾳ, γέγονέ τις ἀνὴρ, βίῳ καὶ λόγῳ κεκοσμημένος . . . . . ἦν γὰρ θεοφώτιστος ὁ παῖς· προκόψας δὲ τῇ κατὰ Θεὸν ἡλικίᾳ, ἐδέξατο καὶ σφραγίδα ἀναγνώστου παρὰ τοῦ τῆς χώρας ἀρχιεπισκόπου . . . . . [2]Εἰκοστὸν δὲ ἔτος φθάσας ζεύγνυται γυναικί. . . . . [3]ὡραίᾳ μὲν τῷ σώματι, ὡραιοτέρᾳ δὲ τῷ πνεύματι· καὶ γὰρ, ὡς αὐτὸς ἐμοὶ διηγεῖτο, βοηθὸς ἦν αὐτῷ καὶ συνεργὸς πρὸς τὴν προκειμένην αὐτῷ ὁδὸν . . . . . συλλαβούσης δὲ τῆς γυναικὸς καὶ παῖδα τεξάσης. . . . . [4]ὁ ὅσιος, πρῶτα μὲν, κατὰ τοὺς θείους κανόνας, τετράδα καὶ παρασκευὴν ἐξηροφάγει καὶ ἑβραδυφάγει, οὐ μὴν ἀλλὰ καὶ ὑδροπότει, εἶτα δευτέραν, τρίτην καὶ πέμπτην ὡσαύτως ἐποίει· σαββάτῳ δὲ καὶ κυριακῇ ἤσθιε πάντα, ἃ ἀμέμπτως ἐφεῖται τῇ τῶν χριστιανῶν πολιτείᾳ, χρώμενος καὶ οἴνῳ ὀλίγῳ, κατὰ τὸν ἀπόστολον . . . . . ἐπεμελεῖτο δὲ καὶ τῆς κατὰ Θεὸν ἀγρυπνίας . . . . . .[5] καὶ ἐκδίδωσιν ἑαυτὸν εἰς ναυτιλίαν κυβερνήτῃ τινὶ ἐπὶ τρισὶν ἔτεσιν. . . . . .[6] ἔπειτα ἀπήγγειλε τῇ συζύγῳ ὅτι, ἐν ἐκ τῶν δύο πρόκειταί μοι, ἢ χωρισθῆναί σου καὶ τῶν παίδων ἡμῶν καὶ ἐν μοναστηρίῳ ἀπελθεῖν, ἢ μένοντα μεθ' ὑμῶν ἀργίαν ἀσκῆσαι . . . . .[7] Ὡς οὖν ἤκουσεν ἡ σύζυγος αὐτοῦ, μετὰ δακρύων παρεκάλει αὐτὸν λέγουσα· Κύριέ μου, μὴ καταλίπῃς τὴν δούλην σου ἐν τῷ τέως . . . . . πεισθεὶς οὖν τοῖς λόγοις αὐτῆς ὁ ὅσιος [8]ἔμεινεν ἐν τῇ οἰκίᾳ αὐτοῦ, κελλίον μικρὸν ποιήσας ἔνδοθεν αὐτῆς τοσοῦτον, ὥστε χωρεῖν αὐτὸν γόνυ κλίνειν, καὶ τὰς εὐχὰς αὐτοῦ προσφέρειν Θεῷ· Ἡσύχασε τοίνυν ἐν αὐτῷ καὶ σὺν αὐτοῖς χρόνους οὐκ ὀλίγους . . . . . .[9] Φιλήσυχος δὲ σφόδρα ὢν ὁ ἀνὴρ, ἐξήρχετο ἐννύχιον καὶ ἐμάκρυνε φυγαδεύων ἐν τῷ ἐρημικωτέρῳ τόπῳ τῆς λίμνης . . . . .[10] καὶ πάλιν ὑπέστρεφεν εἰς τὴν οἰκίαν αὐτοῦ, τὴν γυναῖκα καὶ τὰ τέκνα ἐπισκεπτόμενος . . . .[11] ποτὲ τοίνυν ἐν χειμερίῳ καιρῷ ἀστραπῶν καὶ βροντῶν πολλῶν γενομένων καὶ ὄμβρου ραγδαίου κατερχομένου, τοῦ ὁσίου πρὸ τῆς σκηνῆς καθεζομένου, ἦλθέ τις ἀνὴρ ὁδοιπόρος ὑπὸ τοῦ ψύχους καταπεπονημένος, καὶ πρὸς τὸν ὅσιον ἀπιδὼν εἶπε· «Κύριέ μου· ποῦ ἐστιν ἡ οἰκία τοῦ παπᾶ Κυριακοῦ τοῦ ἐλεήμονος;» Ὁ δὲ, ἔκθαμβος γεγονὼς, ἀπεκρίνατο· «Ἐγὼ εἰμὶ ὁ παπᾶς Κυριακὸς, καὶ συνώνυμός μου ἐν τῷ χωρίῳ οὐκ ἔστι· τίς δέ ἐστιν ὁ ἐλε[12]ήμων ἀγνοῶ» . . . . .[13] Φιλεκκλήσιος δὲ ὢν ὁ ὅσιος καὶ φιλόθεος, τετύπωκε, κατὰ παρασκευὴν, τὸν ἐνιαυτὸν ἅπαντα, εἰσέρχεσθαι πεζῇ ἐν Κωνσταντινουπόλει καὶ τὴν[14] ἐν Βλαχέρναις δέσποιναν ἡμῶν Θεοτόκον προσκυνεῖν καὶ κατασπάζεσθαι· καὶ μετὰ τὴν συμπλήρωσιν τῆς νυκτερινῆς δοξολογίας ἐπανέρχεσθαι οἴκαδε· ἔστι δὲ ἡ ὁδὸς, ὥς τινες λέγουσι, μίλια τριάκοντα ἓξ ἢ καὶ τεσσαράκοντα . . . . . Λιμοῦ δὲ σφοδροῦ ποτε κατὰ τὴν χώραν γενομένου καὶ πολλῆς θνήσεως ὑπό τε τοῦ λιμοῦ[15] καὶ λοιμοῦ συμβάσης . . . .[16] ὑποστρέφων οὖν ἐκ τῆς Θεοτόκου[17] ἔφθασε τὸ χωρίον Νεάπολιν, καὶ ἐρωτηθεὶς παρὰ τοῦ κουράτορος τίς εἴη καὶ πόθεν, ἵστατο σκοπῶν καὶ τὸν ἄλαλον ὑποκρινόμενος . . . . .[18] Ἠξίωσε δὲ αὐτὸν ὁ ὅσιος ἐκεῖνος ἀνὴρ (Ἰλαρίων,[19] μοναχὸς ἐν τῇ βασιλευούσῃ πόλει, ἀνὴρ βίῳ καὶ λόγῳ κεκοσμημένος) ἐκπέμψαι μετὰ γραμμάτων ὡς μέγα * τινα θησαυρὸν, πρός τινα γυναῖκα τῶν ἐπιφανῶν, τὸ ἐπίκλην Κομνηνὴν, οὗπω δὲ ἦν βασιλεύσασα, ἐτίμα γὰρ αὐτὴν, κρατοῦντος τότε τὰ σκῆπτρα τῆς βασιλείας νεωστὶ τοῦ εὐσεβεστάτου κυροῦ Μιχαὴλ τοῦ Δούκα . . . . ἀπελθὼν μέντοι ὁ ὅσιος πρὸς αὐτὴν, τὰ γράμματα[20] αὐτῇ δέδωκεν· ἡ δὲ ταῦτα ἀναγνοῦσα προσέπεσεν αὐτοῦ τοῖς ποσὶν . . . . ὡσαύτως δὲ καὶ αὐτὸς γόνυ κλίνας ἠτεῖτο εὐχὴν. . . . . .[21] φιλομόναχος δὲ οὖσα ἡ γυνὴ, δέδωκεν αὐτῷ καὶ χρήματά τινα· ἃ καὶ μὴ βουλόμενον δέξασθαι δι' ὅρκων αὐτὸν εὐπειθῆ πεποίηκε . . . . Ἄλλοτε δὲ πάλιν ἐπεθύμησεν ὁ ὅσιος ἀπελθεῖν ἐν Χώναις καὶ προσκυνῆσαι τὸ γεγονὸς

1. 16.—2. 36. Ἔστι δὲ τὸ ἔτος 1034.—3. 4α.—4. 56.—5. 9α.—6. 13α.—7. 14α.—8. 146.—9. 16α.—10. 176.—11. 206.

12) 21α.—13) 236.—14) 24α.—15) 246.—16) 256.—17) τῶν Βλαχερνῶν ἴσως.—18) 276.—19) 26α.—20) 28α.—21) 296.

* οὕτω γράφεται ἐνῷ καὶ σύνολος ἡ βιογραφία ὀρθογραμμένη ἐστί.

* «Βυζαντινῶν Χρονικῶν» τόμ. Δ', σελ. 378—400.

θαῦμα παρὰ τοῦ ἀρχιστρατήγου Μιχαὴλ....[22] φθάσας δὲ ἐν τῷ ναῷ τοῦ ἀρχιστρατήγου καὶ εἰσελθὼν προσέπεσε τῇ ἁγίᾳ εἰκόνι αὐτοῦ . . . .[23] ἔπειτα τῇ Θεοῦ συνεργίᾳ καὶ χάριτι ὑπέστρεψεν οἴκαδε. Ἄλλοτε ἠθέλησεν ἀπελθεῖν εἰς προσκύνησιν τοῦ πνευματικοῦ πατρὸς αὐτοῦ, ὃς τὴν οἴκησιν ἐκέκτητο ἐν τῇ Στενῷ, ἐν τῷ χωρίῳ Νεαπόλει ἐν τῇ μονῇ τοῦ ἁγίου Φιλίππου· ἦν δὲ ὁ τοιοῦτος ἀββᾶς ἀνδρεῖος τὴν ψυχὴν καὶ γενναῖος τῷ σώματι· ἐκέκτητο δὲ καὶ ὀλιγοστὰ μελισσοφάτνια . . . . . Ἐκέκτητο δὲ ὁ ὅσιος ὁμαίμονα δεύτερον αὐτοῦ, παντελῶς τῶν γραμμάτων ἄγευστον, θεοσόφιστον δὲ, σώφρονα καὶ ἁγνὸν, εἴ καί τις ἄλλος, φιλεργὸν[24], μεταδοτικὸν, φιλήσυχον, φιλάδελφον καὶ φιλόθεον, ὅς, κόσμῳ καὶ τοῖς ἐν κόσμῳ χαίρειν εἰπὼν, ἠθέλησεν ἀπελθεῖν εἰς Ῥώμην, χάριν προσκυνήσεως τῶν ἁγίων ἀποστόλων . . . . γνοὺς δὲ τοῦτο ὁ αὐτάδελφος αὐτοῦ συνηκολούθησεν αὐτῷ . . . . πεζοποροῦντες καὶ τοσοῦτον κόπον ὑπομένοντες. . . . .[25] φθάσαντες δὲ τὴν περίφημον Ῥώμην καὶ τοὺς τάφους τῶν ἁγίων ἀποστόλων προσκυνήσαντες, καὶ πολλοὺς τῶν ἐκεῖσε ἐκ τῆς κατὰ Θεὸν ὁμιλίας αὐτῶν καὶ θέας ὠφελήσαντες, ὑπέστρεψαν οἴκαδε. . . . . Ἐκέκτηντο δὲ πλησίον τοῦ χωρίου αὐτῶν ἐκκλησίαν προγονικὴν, τῷ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὀνόματι σεμνυνομένην, ἄοικον δὲ καὶ ἀνεπιμέλητον· ἐν ᾗ ὁ Μιχαὴλ κατοικήσας καὶ ἀποκαρεὶς μετωνομάσθη Ματθαῖος· ὃς. . . . . ἐξ οἰκείων κόπων καὶ πόνων μοναστήριον συνεστήσατο καὶ ἀδελφοὺς ἐπεκτήσατο, καὶ συντόμως εἰπεῖν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι καὶ εὖ εἶναι αὐτὴν ἀπειργάσατο. . . . . Ἀνήρχετο[26] δὲ ὁ ὅσιος αὐτάδελφος αὐτοῦ εἰς ἐπίσκεψιν αὐτοῦ· αὐτὸς γὰρ ἦν ὁ ῥυθμίζων καὶ κανονίζων αὐτοὺς[27] εἴς τε τὴν ψαλμῳδίαν αὐτῶν, καὶ εὐχὴν, καὶ δίαιταν, καὶ ἀποταγὴν, καὶ ὑποταγήν. . . . . εἶτα πάλιν κατήρχετο[26] ἐν τῷ ἑαυτοῦ κελλίῳ ἡσυχάζων μετὰ τῆς γυναικὸς καὶ τῶν τέκνων αὐτοῦ[28], τὸ παραδοξότατον καὶ μοναχοῖς ἔκφυλον. Ἐγένετο δέ τις ἐθνῶν ἐπιδρομὴ κατὰ τὸ θρακῶον μέρος· καὶ πάντων τοῖς φρουρίοις προσφευγόντων, προσέφυγε καὶ ὁ ἀββᾶς Ματθαῖος μετὰ τῶν συναδελφῶν αὐτοῦ εἰς τὸ φρούριον Δέρκου· ὁ δὲ ὅσιος εἰς ἐρημικώτερον τόπον τῆς λίμνης ἀπελθὼν, καὶ εἰς ἕλος μικρὰν καλύβην πηξάμενος, ἐκεῖσε ἦν, ἕως οὗ ὁ Θεὸς τοὺς θηλάτους ἐκείνους ἐκ τῆς χώρας ἀπήλασεν. Ἔκτοτε οὐκ ἠθέλησεν ὑποστρέψαι εἰς τὴν οἰκίαν αὐτοῦ, ἀλλ' ἀπελθὼν ἐν τῇ προρρηθείσῃ μονῇ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἀποκαρεὶς, Κύριλλος μετονομασθείς, ἦν μετὰ τοῦ ἀδελφοῦ, μᾶλλον δὲ ἀδελφῶν[29]. Καὶ τὰ μὲν πρῶτα συνέψαλλε μετὰ τῶν ἀδελφῶν καὶ συνηύχετο, διὰ τὴν αὐτῶν ὠφέλειαν, καὶ ἐν τῇ τραπέζῃ αὐτῶν συνεκάθητο . . . . . βίους ἁγίων ἀνδρῶν ἐξηγούμενος. . . . .[30] μετὰ δὲ τριετῆ χρόνον, συνεκκλησίαζε μετ' αὐτῶν ἐν σαββάτῳ καὶ κυριακαῖς καὶ ταῖς δεσποτικαῖς ἑορταῖς μέχρι τινὸς καιροῦ· ἔπειτα καὶ τελείως ἡσύχασε· μὴ παραβάλλων τινὶ, μὴ τῆς μονῆς ἐξερχόμενος, μηδὲ ἐν αὐτῇ περιπολῶν. . . . . .[31] σεσιώπηκε δὲ τρισὶ χρόνοις, μηδενὶ τὸ παράπαν συντυχὼν, πάρεξ τοῦ διακονοῦντος αὐτῷ. . . . . .[32] εἰργάζετο δὲ, σὺν τῷ ὀλιγοστῷ κηπίῳ αὐτοῦ, καὶ ἐπανωκαμάλαυκα[33] ἐξ ἐρίου ὧν τὰ μὲν ἐπώλει, τὰ δὲ τοῖς ἀδελφοῖς παρεῖχε, πρὸς τὸ δοῦναι τοῖς ἐν Χριστῷ ἀδελφοῖς. . . . .[34] τοὺς δὲ κυκλευτὰς οὐχ οὕτω χρὴ δέχεσθαι, τὴν ἐξ αὐτῶν ἡμῖν προσγενομένην βλάβην φεύγοντες καὶ τὸ ἐμπόδιον. . .[35] Εἴ τις οὖν τοὺς τοιούτους κυκλευτὰς ἀτόπους καλέσει, ἤγουν μὴ ἔχοντας τόπον, οὐχ ἁμαρτήσει τοῦ πρέποντος. . . . . ὁ μὲν ὄρις κέκτηται φωλεὸν, καὶ πάντα τὰ ἰσβόλα θηρία τῆς γῆς· ὡσαύτως καὶ οἱ ἰχθύες· εἰ δὲ καί τινες ἐξ αὐτῶν μεταβαίνουσι φοσσατικῶς, ἀλλὰ κατὰ θείαν πρόνοιαν. . . . . .[36] Δέδωκε δέ ποτε ἐπανωκαμάλαυκα ἕνδεκα ἐκ τοῦ ἐργοχείρου αὐτοῦ ὁριλοχρίστῳ τινὶ πορευομένῳ εἰς Ἀγχίαλον, τοῦ πωλῆσαι ταῦτα πρὸς σῖτον. . . . .[37] Ὅτε δὲ ἦν ἐν τῷ κόσμῳ ὁ ὅσιος, τὸ τῶν Ὀλυμπιτῶν[38] Ὡρολόγιον ἔψαλλεν. . . .[39] Ὅτε δὲ τὸ τῶν σκυθῶν γένος ἐξῆλθε παγγενῆ λῃζον τὴν Δύσιν ἔφθασε καὶ μέχρι τοῦ θρακῴου μέρους· πάντων δὲ καταφευγόντων ἐν τοῖς φρουρίοις, διὰ τὸν ἐπικείμενον κίνδυνον, οὐκ ἠθέλησεν ὁ ὅσιος ἀπελθεῖν ἐν τῷ φρουρίῳ Δέρκου, ἀλλὰ πρὸς τὴν Προποντίδα τοῦ Στενοῦ ἀπελθὼν, πρός τινας μοναχοὺς, ἐδέχθη ὑπ' αὐτῶν ἀσμένως, καὶ μᾶλλον ὑπὸ τοῦ προεστῶτος τῆς μονῆς. . . .[40] Ἦν δὲ τῷ τότε καὶ ὁ τῶν σκυθῶν ἀφόρητος χειμὼν ἐκεῖνος,

22) 32α.—23) 326.—24) 34α.—25) 356.—26) τὸ ἀνήρχετο καὶ κατήρχετο δείκνυσιν ὅτι ἡ μονὴ τοῦ Σωτῆρος ἦν πλησίον τῆς Δέρκου.—27) 36α.—28) 37α.

29) 376.—30) 38α—31) 39α.—32) 396.—33) ἐπανειλημμένως ἐπανωκαμάλαυκα γράφει.—34) 40α.—35) 42α.—36) 43α.—37) 436.—38) μονῶν τοῦ βιθυνικοῦ κόλπου.—39) 486.—40) 536.

τῇ τοῦ Θεοῦ βοηθείᾳ καὶ τῇ τοῦ κρατοῦντος συνεργίᾳ, εἰς γαλήνην μετεβλήθη. Τούτων οὕτω συβάντων ἀνῆλθ(ε)ν ἐν τῇ μονῇ, ἐν ᾗ καὶ πρώην κατῴκησ(ε), ἡσυχάζων ἐν τῷ κελλίῳ.....[41] Ἦν δέ τις ἀνὴρ ἐν τῷ χωρίῳ Φιλέᾳ Κλαπᾶς ἐπονομαζόμενος· οὗτος κατωβαρὴς ὢν ἐπὶ χρόνοις πλείστοις καὶ εἰς γῆρας ἤδη κλίνας ἐβαρεῖτο ὑπὸ τῆς νόσου· ἠθέλησε λοιπὸν ἰατρευθῆναι· ὁ δὲ ἰατρὸς οὐκ ἐβούλετο τοῦτο ποιῆσαι, διὰ τὸ γέροντα αὐτὸν εἶναι, ἀναγκασθεὶς δὲ παρὰ τοῦ ἀσθενοῦντος εἶπεν· «Εἰ μὴ ὁ ἀββᾶς Κύριλλος κλώσει τὸ σχοινίον μετὰ τῶν χειρῶν αὐτοῦ, οὐ δύναμαί σε ἰατρεῦσαι»....[42] Ἦλθε πρὸς αὐτὸν Κωνσταντῖνος ὁ Χοιροσφάκτης· ἦν ἄνθρωπος εὐλαβὴς καὶ φοβούμενος τὸν Θεόν· λέγει αὐτῷ· «Οἶδας ὅτι κέκτημαι κτῆμα πλησίον τῆς μονῆς· ἀποχαρίζομαι λοιπὸν τοῦτο τῇ ἁγιωσύνῃ σου ἐξ ὁλοκλήρου· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ ζῶα, ὅσα ἐν αὐτῷ κέκτημαι· καὶ, εἰ κελεύεις, ἔστωσαν ἐν τῇ μονῇ· εἰ δ' οὖν, πωλήσας αὐτὸ μετὰ τῶν ἐν αὐτῷ, διάδος πτωχοῖς»....
.....[43] τούτων ἀκούσας ὁ φιλόχριστος ἐθαύμασε..... καὶ φησὶ πρὸς τὸν ὅσιον· Ὄντως, τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις..... Παρεγένετο δὲ πρὸς τὸν ὅσιον Εὐμάθιος δοὺξ ὁ Φιλοκάλης· ὁ δὲ λέγει· Τί ἐλήλυθας ἐνταῦθα μονόλυκε;..... ἀφειδῶς τὰ ποίμνια σπαράσσων;.....[44] Ὅτε δὲ ὁ εὐσεβέστατος βασιλεὺς κῦρις Ἀλέξιος ἐξῆλθε σὺν Θεῷ πολεμήσων τοὺς φράγγους, λέγω δὲ τὸν ὑπερνεφῆ καὶ ἀλαζόνα Βαϊμοῦνδον ἐκεῖνον..... εἶπον αὐτῷ· «Ἀββᾶ, τίς ἄξιος γνῶναι ἐν ἀληθείᾳ πῶς μέλλει εὐοδωθῆναι εἰς τὸ ταξείδιον αὐτοῦ ὁ βασιλεύς»; Ὁ δὲ εἶπε..
.....[45] «καὶ ὡς δοκῶ ὑποτάξαι αὐτὸν ἔχει»..... Ἦν δέ τις ἱερεὺς τῆς ἀρχιεπισκοπῆς Δέρκου τὸ ἐπίκλην Μανός· οὗτος οἰόμενος εἶναί τι, μηδὲν ὢν, χαμερπὴς ὢν καὶ ὑψήγορος, οὐκ ὀρθῶς νοῶν τὰς Γραφὰς, ἐκ τοῦ κατὰ μικρὸν σκολιῶς ταύτας παρερμηνεύων, συνέλαβε πόνον καὶ ἔτεκεν ἀνομίαν, ἕως οὗ καὶ περὶ τὴν πίστιν ἐσφάλη..... μαθὼν ὁ ὅσιος, θέλων αὐτὸν διορθώσασθαι, ἔφη.....[46] «Καὶ σὺ, παρερμηνεύων τὰς θείας Γραφὰς, ἀναισχύντως φληναφεῖς περὶ τῶν πέντε ἀνδρῶν τῆς σαμαρειτιδος, ὅτι οὐ κυρίως ἦσαν ἄνδρες, ἀλλὰ τὴν χεῖρα αὐτῆς ἐκάλεσε πέντε ἄνδρας· μετ' αὐτῆς γὰρ ἡμάρτανε».....[47]

41) 55β. — 42) 58α. — 43) 59β. — 44) 64β. — 45) 65α. — 46) 65β. — 47) 70α.

Ἐντὸς ὀλίγων ἡμερῶν τέλει τοῦ βίου ἐχρήσατο· ἀκούσας τοίνυν ἐγὼ, ὅτι ὁ Μανὸς ἐτελεύτησεν, εἶπον τῷ ὁσίῳ.....[48] Ὁ αὐτάδελφος αὐτοῦ ὁ καὶ προεστὼς τῆς μονῆς εἶπεν· «Ἀββᾶ, δοκεῖ μοι κρεῖττον εἶναι τὸ καταλεῖψαι τὴν ἡγουμενείαν τῶν ἀδελφῶν· τίς γὰρ εἰμὶ ὁ ἐλεεινός»; Καὶ ὁ ὅσιος· «Ταῦτά εἰσι τὰ ἐκβάλλοντα τὸν ἡγούμενον τῆς ἡγουμενείας. Ἐάν ἐστιν αἱρετικός. Ἐὰν ἔγκηται σαρκικῷ πάθει καὶ γίνηται κακὸν ὑπόδειγμα τοῖς ἀδελφοῖς. Ἐὰν καταχρᾶται τοῖς τῆς μονῆς εἰς οὐδὲν δέον. Ἐὰν συμφιλιάζῃ καὶ συνεχῶς συνομιλῇ μετὰ ἀνθρώπων διεφθαρμένων. Ἐὰν ἀμελῇ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας καὶ τῶν συνήθων προσευχῶν. Ἐὰν καταλύῃ τὰς παραδεδομένας νηστείας ὑπὸ τῶν ἁγίων ἀποστόλων καὶ θεοφόρων πατέρων. Ἐὰν τὰς ἀξίας σιωπῆς ἐξαγορεύσεις τῶν ἀδελφῶν ἀνακαλύπτῃ πρὸς τὸ καταισχύναι αὐτούς. Ἐὰν παιδία κοσμικὰ διδάσκωνται ἐν τῷ κοινοβίῳ. Ἐὰν συνεχῶς εἰσέρχωνται γυναῖκες ἐν τῷ κοινοβίῳ. Ἐὰν συνεργῇ τοῖς ἐλαττώμασι τῶν ἀδελφῶν καὶ οὐ μᾶλλον καταργῇ, ὅσον τὸ ἐπ' αὐτῷ, ἐλέγχων, ἐπιτιμῶν, παρακαλῶν. Ἐὰν ἔστιν ὁ ἡγούμενος ἀσφράγιστος παρὰ τοῦ τῆς χώρας ἀρχιερέως, καθὼς οἱ θεῖοι κανόνες διαγορεύουσιν. Ἐὰν ἐπὶ παροχῇ[49] χρημάτων δέχηταί τινας καὶ ἀποκείρῃ. Ἐὰν τὸ κατὰ ἀλήθειαν κοινόβιον μεταλλάξῃ εἰς κελλιωτικόν»....[50] Καὶ ταῦτα μὲν οὕτως. Ὑμεῖς δὲ τί ἐφάγετε σήμερον; ἦν δὲ παρασκευή. Ὁ δὲ «ἁγιοζώμιον», ἀββᾶ.—Καὶ ὁ ὅσιος· «Τί δέ ἐστιν αὐτό»;—«Βάλλουσιν, ἔφη, κρόμμυα καὶ ἕτερα εἴδη μετὰ ἀρωμάτων τινῶν, καθὼς κέκτηταί τις· καὶ λέγεται ἁγιοζώμιον».—Ἀκούσας δὲ καὶ στενάξας εἶπεν· «Οὐαί μοι, ἀδελφέ· παρεγνώρισας αὐτό· γαστριμαργοζώμιόν ἐστι..
.....[51] Παρακαλῶ, ἀδελφὲ, εἰ οὐ δύνασθε αὐτὸ ἀποκόψαι, κἂν μὴ καλῆτε ἁγιοζώμιον, ἐπεὶ ὑβρίζετε τοὺς ἁγίους»..... Καὶ οὐ θαῦμα. Πεντήκοντα γὰρ ἔτη καὶ πρὸς εἶχε μὴ γευσάμενος ἐψητοῦ ἢ οἴνου ἢ σταφυλῆς, ἢ ἄλλης τινὸς ὀπώρας νεαρᾶς, πάρεξ κυδωνίων..
.....[52] ἦν δὲ ὁ τοιοῦτος (αὐτοχειροτόνητος μοναχὸς) ἔχων πνευματικὸν πατέρα, ἄνδρα ἀρετῇ πάσῃ κεκοσμημένον*, ὃς ἦν μαθητευθεὶς ἀγίῳ τινὶ ἀνδρὶ ἐν τῷ Μαύρῳ καλουμένῳ

48) 76β.—49) 77α. Ὥστε δέκα τρεῖς αἰτίαι παύσεως. 50) 87α. Τὸ δὲ κελλιωτικὸν δηλοῖ τὸ σήμερον λεγόμενον ἰδιόρρυθμον. — 51) 87β. — 52) 93β.

* ἐκαλεῖτο Αὐξέντιος, ὡς ἐν φύλλῳ 95α φαίνεται.

Ὄρει· τοσαύτη δὲ ἦν ἡ κατάνυξις αὐτοῦ, ὡς μὴ ἀδειάζειν** ἀπ' αὐτῆς σχεδὸν νυκτὸς καὶ ἡμέρας· συλλέξας γὰρ τῶν ὀκτὼ ἤχων τὰ στιχηρὰ καὶ τοὺς κατανυκτικοὺς κανόνας, καὶ ποιήσας βιβλίον, οὐκ ἐδίδου ἑαυτῷ ἀνάπαυσιν, ἀλλ' ἦν ψάλλων αὐτὴν νυκτὸς καὶ ἡμέρας μετὰ ζεούσης καρδίας.....[53] ἠθέλησε θεάσασθαί με τὸν ἀνάξιον· ἦν γὰρ ὁ ὅσιος οὗτος ἀνὴρ ἔν τινι μοναστηρίῳ τῆς Προποντίδος ξενιζόμενος, ὃ καὶ Ἀνδροσθένειον λέγεται· καὶ μὴ μελήσας ἀπῆλθον εἰς προσκύνησιν τῆς ἁγιότητος αὐτοῦ, καὶ εὗρον αὐτὸν ἀνακείμενον καὶ μόλις φθεγγόμενον..... παρίστατο δὲ αὐτῷ καὶ ἰατρός..... ὁ δὲ ὡμολόγει μὴ εἰδέναι. Ὡς δὲ ἔβλεπον αὐτὸν, εἰδὼς τὴν κατὰ Θεὸν[54] ἐργασίαν αὐτοῦ, συνῆκα ὅτι ἐκ τῆς νεωστὶ ἐγχειρισθείσης βίβλου τῶν κατανυκτικῶν κανόνων συμβέβηκεν αὐτῷ ἡ νόσος, διὰ τὸ ἐγγλυκανθῆναι τοῖς ῥήμασιν αὐτῆς καὶ ἐκδοῦναι ἑαυτὸν εἰς ἄμετρον κλαυθμόν..... καὶ θεὶς εἰς τὸν τράχηλόν μου τὴν ἁγίαν αὐτοῦ χεῖρα, ἐκ περιχαρείας εἶπέ μοι· «Τὴν ἡμετέραν βίβλον ὁ ἰατρὸς οὐκ ἀνέγνω· καὶ διὰ τοῦτο οὐδὲ ἐπέγνω τὴν ἐμὴν ἀσθένειαν..... *τῶν αἰσθητῶν ἰατρῶν τὰς μὲν ἐπιτυγίας ὁ ἥλιος ὁρᾷ, τὰς δὲ ἀποτυγίας ἡ γῆ καλύπτει·* ἐγὼ δὲ ἐπαινῶ τὴν ἐμπειρίαν τοῦ ἰατροῦ μου, ὅτι οὐκ ἐᾷ τοὺς ἀνθρώπους τοὺς ἀρρώστους κατασαπῆναι, τάχιον αὐτοὺς τοῦ ζῆν ἀπαλλάττων»
.....[55] Τοσαύτη δὲ ἦν ἡ ἐν γνώσει ἀκτημοσύνη τοῦδε τοῦ ὁσίου, ὡς μὴ ἔχειν ἄλλο τι τοῦ αἰῶνος τούτου, ἢ τὴν προρρηθεῖσαν βίβλον, ἣν καὶ ἀπεχαρίσατό μοι τὸν θάνατον πτοηθείς..... Ἔκτοτε ζήσας ὁ ὅσιος οὗτος ἀνὴρ ὡσεὶ μῆνας πέντε ἠσθένησε τὴν πρὸς θάνατον· οὗτος ὁ ὅσιος Αὐξέντιος (τοῦτο γὰρ ἦν ὄνομα αὐτῷ).....[56] Λιμοῦ δέ ποτε γενομένου σφοδροῦ, καὶ πολλῶν θνησκόντων, μὴ δυνάμενος ἄλλο τι παρασχεῖν ὁ ὅσιος[57], τοῦ ἐφημερινοῦ ἄρτου, οὗ ἤσθιε, τὸ ἥμισυ, ὃν ἐξ ἔθους ἐλάμβανεν ἐκ τῆς μονῆς, παρεῖχε ποτὲ μὲν ἑνὶ ὀρφανῷ, ποτὲ δὲ ἄλλῳ· καὶ οὕτως ἡμέραν ἐξ ἡμέρας τρέφων, σὺν Θεῷ, ἐξείλετο αὐτοὺς ἐκ τῆς θηλάτου ὀργῆς.....[58] Ποτὲ γὰρ ὁ εὐσεβέστατος καὶ παμμακάριστος βασιλεὺς Ἀλέξιος..... ἀκούσας καὶ χαρᾶς πλησθεὶς ἔστειλε τῆς συνεύνου αὐτοῦ τὸν ὁμαίμονα, τὸν πρωτοστάτορα, ἦν γὰρ φιλομόναχος καὶ αὐτὸς[59], βαδίσας ἔστη ἔξω τῆς θύρας τοῦ κελλίου, κεκλεισμένης οὔσης, καὶ κρούσας εἶπεν..... Ἐγὼ εἰμὶ Μιχαὴλ ὁ Σεβαστὸς καὶ πρωτοστράτωρ.....[60] καὶ δι' ὅλης νυκτὸς προσομιλησάντων, τῆς ἡμέρας ἤδη ἐπιφωσκούσης, ἀναστὰς ὁ Σεβαστὸς ἐξῆλθεν· ἐντυχὼν δὲ τοῖς ἀδελφοῖς τῆς μονῆς ἠρώτησεν, εἰ ἄρα ζῇ τις τῶν κατὰ σάρκα συγγενῶν τοῦ ὁσίου, ἀναμαθὼν δὲ ὅτι ζῇ ἡ θυγάτηρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτῆς, εὐθέως τετύπωκεν αὐταῖς τὰ πρὸς χρείαν, καὶ ἀπῆλθε χαίρων.....[61] ἀπελθόντος μέν τοι πρὸς τὸν ὅσιον τοῦ βασιλέως πανοικί, τὰς κεφαλὰς αὐτῶν κλινάντων καὶ ἀλλήλους εὐλογησάντων καὶ κατασπασαμένων.....[62] καὶ προσομιλησάντων περὶ σωτηρίας ψυχῆς, ἀγάμενος ὁ βασιλεὺς ἔφη πρὸς αὐτόν.....[63] «Ὁ τόπος, ὃν κέκτηται ἡ μονὴ, τάχα, ὡς λέγεις, τοῦ δημοσίου ἐστίν· ἀλλ' οὖν ἀπὸ τῆς ὥρας ταύτης ἀποχαρίζομαι αὐτὸν πρὸς τὴν μονήν· καὶ εἴ τι δίκαιον κέκτηται ἐπ' αὐτὸ ὁ δημόσιος, αἴρω αὐτὸ ἀπ' αὐτοῦ, ὡς λογισθέντος τοῦ τοιούτου τόπου παρὰ τῆς βασιλείας μου, ποιήσω δὲ καὶ τῇ μονῇ χρυσόβουλλυν ἐξκουσσείας, τοῦ εἶναι ἀπάσης ἀπειρίας ἀμέτοχον». Ὁ καὶ πεποίηκεν..... ἐκβαλὼν δέδωκεν αὐτῷ χρυσίου λίτρας πέντε, τοῦ δοῦναι τοῖς ἐνδεέσι, τῇ δὲ μονῇ λίτραν μίαν· καὶ ἀπῄει πρὸς τὰ βασίλεια χαίρων..... πάνυ γὰρ ἦν φιλομόναχος ὁ ἀνήρ· καὶ ἔλεγε.....[64] Ποτὲ ὢν ταξιάρχης, ἐπέμφθην παρὰ τοῦ βασιλέως εἰς Ἀνατολὴν, πολεμήσων Ῥωσέλην τὸν φράγγον, ὃς κακὰ οὐ τὰ τυχόντα ἐποίει. Ἡ δὲ μήτηρ μου, φιλομόναχος οὖσα, προσέταξέ μοι ἄνδρα τινὰ ἅγιον συνακολουθῆσαί μοι, οὐ μόνον δὲ ἀλλὰ καὶ πατέρα πνευματικὸν ἔχειν αὐτόν. Ἀπῆλθον οὖν ἐν τῇ Ἀνατολῇ, περιπεσών δὲ ἐν ἀσθενείᾳ, εἰσελθὼν ὁ ἅγιος καὶ πνευματικός μου πατὴρ Ἰγνάτιος.....[65] καὶ ἔλεγεν· «Ὁ Θεὸς, ὁ Θεός μου, εἰσάκουσόν μου τοῦ ἀχρείου δούλου σου ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ ἄρας τὸ ψῦχος ἀπὸ τοῦδε δὸς ἐμοί..... καὶ ἀσπασάμενός με ἔφη. Ἐπιβὰς τῷ ἵππῳ σου ἔχου σὺν Θεῷ τῆς διακονίας σου, καὶ ὅταν, οἷς κρίμασιν οἶδεν αὐτὸς, θήσει τὸν θηλατον Ῥωσέλην ὑπὸ τοὺς πόδας σου, τότε καὶ τὸ ψῦχος διὰ τῆς αὐτοῦ χάριτος ἀρθήσεται ἀπ' ἐμοῦ.» Ἐπὶ Θεῷ δὲ μάρτυρι, ὡς εἶπε

53) 94α. — 54) 94β.— 55) 95α. — 56) 99α. — 57) 99β. — 58) 101α.

** ἐκ τῆς λέξεως **ἄδεια=μὴ ἔχειν ἄδειαν· ἐξ οὗ** καὶ τὸ τῆς δημώδους: *δὲν ἀδειάζει.*

59) 101β. — 60) 110α. — 61) 110β. — 62) 114β. 63) 115α.—64) 116α.—65. 116β.

τὸ ἀψευδὲς αὐτοῦ στόμα, οὕτω γέγονεν..... Πᾶσι γὰρ τοῖς μοναστηρίοις, οὐ μόνον τοῖς οὖσιν ἔσωθεν τῆς βασιλευούσης τῶν πόλεων ἀλλὰ καὶ τοῖς κύκλῳ αὐτῆς, ἔν τε δύσει καὶ ἀνατολῇ, καὶ ἐν ὄρεσι, τὸν ἀρκοῦντα αὐτοῖς σῖτον μετὰ καὶ τοῦ ναύλου, ὡσαύτως καὶ ἔλαιον, διὰ σιγιλλοχρυσοβούλλου τετύπωκε, πέριξ ὀλίγων τινῶν τῶν εὐθηνούντων· τοῖς δὲ ἐν ὄρεσι καθημένοις καὶ μᾶλλον τοῖς εὐλαβεστέροις πάντα τὰ χρειώδη παρεῖχε, μέχρι καὶ αὐτῆς τῆς ἐνδυμενίας μεγαλοδώρως ὁ φιλομόναχος.....[66] Ὡς γὰρ ἀπεχαιρέτισε τὸν γέροντα ὁ βασιλεὺς σὺν τῇ εὐσεβεστάτῃ αὐγούστῃ καὶ τοῖς τέκνοις αὐτῶν, τοσοῦτον ἠγαθύνθησαν αἱ καρδίαι αὐτῶν ἐκ τῆς θέας καὶ γλυκυτάτης ὁμιλίας τοῦ ὁσίου, ὡς καὶ αὐτὰ τὰ ἱμάτια ἀποδύσασθαι καὶ δοῦναι τοῖς ἐν Χριστῷ ἀδελφοῖς· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ τέκνα αὐτῶν καὶ οἱ ὑπ' αὐτοὺς τὸ αὐτὸ ἐποίησαν· ἃ καὶ λαβόντες οἱ ἐν Χριστῷ ἀδελφοὶ πάλιν πεπράκασιν αὐτὰ τοῖς αὐτοῖς ἐν τῇ πόλει· τίς γὰρ ἠδύνατο αὐτὰ ἀγοράσαι πολύτιμα ὄντα ; καὶ γέγονε χαρὰ ἐν τῇ χώρᾳ ἐκείνῃ διὰ τῆς χάριτος τοῦ Χριστοῦ. Ἦν γὰρ κατὰ τὸν καιρὸν ἐκεῖνον λιμὸς ἰσχυρός. Φήμης τοιγαροῦν γενομένης ὅτι ὁ ἀββᾶς Κύριλλος διανομὴν ποιεῖται χρυσίου, συνέρρευσε πλῆθος πολὺ πρὸς τὴν μονήν..... ὡς δὲ διένειμαν οἱ μοναχοὶ τὰς πέντε λίτρας τοῦ χρυσίου, ἃς δέδωκεν ὁ βασιλεὺς εἰς διανομὴν τῶν πτωχῶν, ὁ ὄχλος ὁ μὴ λαβὼν ἔτι καὶ ἔτι ἐπέκειτο ὀχλῶν τοὺς μοναχούς· τοῦτο μαθὼν ὁ ὅσιος λέγει τῷ μαθητῇ αὐτοῦ· «Οὐ δέδωκε τῇ μονῇ ὁ βασιλεὺς λίτραν χρυσίου ;» ὁ δέ, ναί, φησί· καὶ ὃς «διανειμάτωσαν καὶ αὐτήν»..... .....[67] καὶ μετ' ὀλίγον ἦλθε πρὸς τὸν ὅσιον ὁ σύγγαμβρος τοῦ παμμακαρίστου[68] βασιλέως ὁ Παλαιολόγος, δοὺς αὐτῷ καὶ ἀπόδεσμον χρυσίου ἀδρόν· ἠγάπα γὰρ τὸν ὅσιον πάνυ.....[69] Ἀσθενήσας δέ ποτε ὁ ὅσιος, ἦν γὰρ περὶ τὰ ἐνενήκοντα ἔτη, καὶ ὑπὸ τοῦ γήρως κατακαμφθεὶς καὶ τῇ νόσῳ κατατρυχωθείς, ἔκειτο ὡς ἄλλου πάσχοντος.. .....[70] ὅπερ ἀκούσας ὁ βασιλεὺς ἀπῆλθε πρὸς τὸν ὅσιον πανοικί..... ἰδὼν δὲ τὸ εὐκτήριον τῆς μονῆς διερρηγμένον, προσέταξε χαλασθῆναι αὐτὸ ἐκ βάθρων καὶ κτισθῆναι· ὃ καὶ γέγονε· κτισθὲν δὲ ἵσταται ἐπ' ὄψεσι πάντων τῶν ἐντυγχανόντων αὐτῷ εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.....[71] Οὗτος ὁ πατὴρ ἡμῶν Κύριλλος τριακοστὸς ὢν ἀπήρξατο τῆς ἀσκήσεως αὐτοῦ, σὺν Θεῷ, καὶ ἑξήκοντα ἔτη ἀσκήσας, τὰ μὲν ἐν τῇ αὐτοῦ οἰκίᾳ, τὰ δὲ ἐν τῇ μονῇ ἡσυχάζων, οὐκ ἠσθένησεν ἐν τοῖς τοσούτοις ἔτεσιν.....[72] Ἦθος εἶχεν Ἰωάννης ὁ Σεβαστὸς καὶ ἀνεψιὸς τοῦ παμμακαρίστου βασιλέως καὶ γαμβρὸς τοῦ πρωτοστράτορος ἀπέρχεσθαι καὶ προσκυνεῖν τὸν ἅγιον γέροντα, καὶ τῶν αὐτοῦ ὁμιλιῶν καὶ ἁγίων εὐχῶν ἀπολαύειν.....[73] ἀπὸ γὰρ τοῦ ἐνενηκοστοῦ πρώτου ἔτους ἤρξατο ἐν ταῖς δεσποτικαῖς ἑορταῖς ἐσθίειν ἐψητὸν μέν, ἀνέλαιον δέ· τῷ δὲ ἐνενηκοστῷ δευτέρῳ κατέλυσε καὶ εἰς ἔλαιον.....[73] ἐν δὲ τῷ ἐνενηκοστῷ ἕκτῳ ἐνιαυτῷ, τὰς μὲν θερινὰς ἡμέρας ποσῶς περιῆγεν ἑαυτὸν, ἀπὸ δὲ τοῦ ῥιγοπώρου κατεκλίθη τέλεον.....[74] Ἐτελειώθη δὲ ὁ ὅσιος πατὴρ ἡμῶν Κύριλλος τῇ δευτέρᾳ τοῦ δεκεμβρίου μηνός, ἔτους ἀπὸ κτίσεως κόσμου ἑξακισχιλιοστοῦ ἑξακοσιοστοῦ ἐνενηκοστοῦ ἑνδεκάτου. Ἔτι δὲ ζῶν ἐνετείλατό μοι μὴ θάψαι αὐτὸν ἐν τῷ ἁγίῳ τεμένει, ἀνάξιον ἑαυτὸν ἡγούμενος, ἀλλ' ἐν τῷ τάφῳ τοῦ αὐταδέλφου αὐτοῦ.....[75] Μετὰ δὲ παρέλευσιν ἐνιαυτῶν ἕνδεκα τῆς πρὸς Χριστὸν αὐτοῦ ἁγίας μεταστάσεως, ἐτόλμησα ἀνοῖξαι τὸν τάφον αὐτοῦ· καὶ εὑρὼν τὴν ἁγίαν αὐτοῦ κάραν μεστὴν θείας εὐωδίας, ἄρας αὐτὴν καὶ εἰς θήκην βαλὼν, προῦθηκα ἐν τῷ τεμένει τῆς μονῆς.

66) 1176. — 67) 1186. — 68) 119α.— 69) 122δ. Τοῦτο δὲ τῷ 1104 ἢ 1105.

70) 123α.— 71) 126δ.— 72) 132δ. — 73) 134δ. — 74) 135α.— 75) 136α.

ΒΙΟΓΡΑΦΙΑ ΤΩΝ ΟΣΙΩΝ ΤΩΝ ΕΝ ΤΩι ΧΑΣΜΑΤΙ

Τὴν βιογραφίαν ταύτην μεταγράψας ἐπέστειλέ μοι πρὸς ἔκδοσιν ὁ ἀείμνηστος ἀρχιμανδρίτης Ἰάκωβος, προηγούμενος τῆς ἐν Ἁγίῳ Ὄρει μονῆς τοῦ Διονυσίου, λόγιος ἀνήρ. Εὕρηται δ' αὕτη ἐν χαρτίνῳ χειρογράφῳ τῆς μονῆς ταύτης, ἀριθμὸν φέροντι ΡΛΒ', καὶ ἄρχεται ἐν φύλλῳ 298Β.

Ἕως οὗ νεώτεραι ἔρευναι ἀποδείξωσιν ἀσφαλῆ τὴν προέλευσιν τοιούτων ἱστορικῶν μνημείων, ἅτινα, κατ' εὐτυχίαν, οὐδὲν εἰσάγουσιν ἀντιπίπτον τῇ ἱστορίᾳ, κείσθωσαν τὰ γραφόμενα ταῦτα πρὸς συμπλήρωσιν ὧν γινώσκομεν περὶ τῶν ἀρειανικῶν ἐρίδων, καθὸ εἰδήσεις ἀγνώστους ἡμῖν παρεισάγοντα περὶ τῶν ἐν Ἰκονίῳ κατὰ τὸν Δ' αἰῶνα γενομένων.

Ὁ θάνατος τῶν ὁσίων πατέρων τίθεται τῇ 28 ὀκτωβρίου 362.

Βίος καὶ πολιτεία τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν τῶν ἐν τῷ Χάσματι.

Κωνσταντίνου τοῦ πρώτου τῶν χριστιανῶν βασιλέως, νεύσει Θεοῦ καὶ συνεργείᾳ τοῦ τιμίου Σταυροῦ, τῆς ῥωμαϊκῆς ἀρχῆς κρατοῦντος τὰ σκῆπτρα, ἡγεῖτο μὲν τῆς ῥωμαίων Ἐκκλησίας Σίλβεστρος, τῆς δὲ ἀλεξανδρέων Ἀλέξανδρος, καὶ Μακάριος τῶν Ἱεροσολύμων, τῆς δὲ ἀντιοχέων τῆς πρὸς τῷ Ὀρόντῃ ποταμῷ, μετὰ Ῥωμανὸν, οὔπω τις ἐπετέτραπτο, τῶν διωγμῶν ὡς εἰκὸς μὴ συγχωρησάντων γενέσθαι τὴν χειροτονίαν· οὐκ εἰς μακρὰν δὲ οἱ εἰς Νίκαιαν συνεληλυθότες τριακόσιοι δέκα καὶ ὀκτὼ θεοφόροι πατέρες, θαυμάσαντες τοῦ βίου τὸ ἀκραιφνὲς καὶ τοῦ λόγου τὸ δεινὸν, Εὐστάθιον ἄξιον ἐδοκίμασαν τοῦ ἀποστολικοῦ θρόνου ἡγεῖσθαι, καὶ ἐπίσκοπον ὄντα τῆς γείτονος Βερροίας εἰς Ἀντιόχειαν μετέστησαν. Τῶν δὲ Ἐκκλησιῶν εἰρήνην ἐχουσῶν, καὶ τὴν εἰς Χριστὸν πίστιν ἀπαρασάλευτον τηρουσῶν, Ἄρειος ὁ βδελυρὸς καὶ παράφρων, τῆς κατ' Αἴγυπτον Ἀλεξανδρείας Ἐκκλησίας ἔκδικος ὤν, ὡς ἐξαρχῆς σπουδαῖος ἵνα περὶ τὸ δόγμα δόξῃ, νεωτερίζοντι τῷ Μελετίῳ συνέπραττεν. Ἐριστικάς τινας διατάξεις ἐπὶ προφάσει δῆθεν τῆς εὐσεβείας εἰσάγων καὶ ταράττων τὰς Ἐκκλησίας ἐξεβλήθη· καθότι Πέτρου τοὺς Μελετίου σπουδαστὰς ἀποκηρύξαντος καὶ τὸ αὐτῶν βάπτισμα μὴ προσιεμένου, τοῖς γινομένοις ἐπέσκηπτεν καὶ ἁρμεῖν οὐκ ἠνέσχετο. Ἐπεὶ δὲ Πέτρος διὰ Χριστὸν ἐμαρτύρησε, καὶ μετὰ Ἀχιλλᾶν Ἀλέξανδρος τὴν τῆς Ἐκκλησίας προεδρείαν ἐδέξατο, συγγνώμην αἰτήσας Ἄρειος, ἐπετράπη διακονεῖν καὶ πρεσβυτερίου ἠξιώθη· μετὰ δὲ ταῦτα εἰς ἀτόπους ἐκκυλισθεὶς αἱρέσεις, καὶ τῆς ἁγίας Τριάδος τὴν μοναρχίαν τεμών, καὶ τολμήσας ἐν ἐκκλησίᾳ ῥήματα βλάσφημα προϊέναι, καὶ ἀποφήνασθαι τὸν υἱὸν τοῦ Θεοῦ ἐξ οὐκ ὄντων γεγενῆσθαι, καὶ ἦν ποτε ὅτε οὐκ ἦν καὶ αὐτεξουσιότητι κακίας καὶ ἀρετῆς δεκτικὸν ὑπάρχειν, καὶ κτίσμα καὶ ποίημα, ἃ λέγειν εἰκὸς τῶν τούτοις συνισταμένων, ἐξωστρακίσθη τοῦ ἱερατικοῦ καταλόγου, καὶ μὴ φέρων τὴν ἀπὸ τῆς Ἐκκλησίας ἑαυτοῦ ἀποκήρυξιν, λαβόμενος ἀπὸ τῆς ἀλεξανδρέων παροικίας τινὰς καὶ ὁμόφρονας αὐτῷ ποιήσας καὶ συμπράκτορας, οἵτινες ὑπῆρχον, πρεσβύτεροι μὲν Ἀειθαλᾶς καὶ Σαρμάτιος καὶ Καρπόνιος, διάκονοι δὲ Εὐζώϊος, Μακάριος, Ἑλλάδιος, Ἰούλιός τε καὶ Μηνᾶς, καὶ ἐκ τοῦ κοινοῦ λαοῦ οὐκ ὀλίγη μοῖρα ἡ νεωτερι-

σθεῖσα κατὰ τοῦ θείου δόγματος, συνέδριον συγκεκίνηκε, καὶ εἰς διαλέξεις λόγων καὶ προτάσεις χωρήσας μετὰ τῶν ἀποφαινομένων ὁμοούσιον εἶναι τῷ πατρί, ἡττηθεὶς παρὰ παντὸς τοῦ κλήρου, διαπρεσβεύεται πρὸς Παυλῖνον τὸν Τύρου ἐπίσκοπον καὶ Πατρόφιλον τὸν ἐπισκοπεύοντα τὴν Ἐκκλησίαν τῆς Σκυθοπόλεως, καὶ δι' αὐτῶν Εὐσέβιον τὸν τότε προεστῶτα τῆς νικομηδέων Ἐκκλησίας, ὥστε γράψαι ἐν Αἰγύπτῳ καὶ ἀποστεῖλαι πρὸς τὸν Ἀλέξανδρον ὅτι, εἰ μὲν ὀρθῶς ἔχει τὸ τοῦ Ἀρείου δόγμα καὶ τάδε νομίζειν περὶ τοῦ Θεοῦ, μηδαμῶς αὐτῷ χαλεπαίνειν, ἀλλὰ συγχωρεῖν αὐτῷ καὶ τῆς πρὸς αὐτὸν εἰρήνης καὶ κοινωνίας μετέχειν.

Ἐπεὶ δὲ διὰ τούτων οὐκ ἐπείσθη Ἀλέξανδρος, ἀλλ' ἐχαλέπαινε μᾶλλον διὰ τὸ γράφειν Ἄρειον πρὸς τοὺς κατὰ πόλιν ἐπισκόπους ὥστε συστῆναι τὸ τοῦ Ἀρείου ἄθεον δόγμα, συνόδων πολλῶν περὶ τούτων γεγενημένων, καὶ τῆς αἱρέσεως ἀκμαζούσης, μανθάνει ταῦτα Κωνσταντῖνος ὁ βασιλεὺς δι' Εὐσεβίου τοῦ τῆς Νικομηδείας ἀρχιερέως, ὃς ἦν ἀνὴρ ἐλλόγιμος ἐν ταῖς διαλέξεσιν, ἐν τοῖς βασιλείοις τετιμημένος, καὶ γράφει Ἀλεξάνδρῳ καὶ Ἀρείῳ μὴ διασπᾶν τὸ σῶμα Ἐκκλησίας ἐπὶ τῇ τῶν δογμάτων διαφωνίᾳ, ἀλλὰ μίαν καὶ τὴν αὐτὴν ἔχειν πίστιν, ἀναγκαῖον καὶ τὴν θείαν πρόνοιαν σέβεσθαι, τὰς δὲ περὶ τοιούτων ζητήσεων ἀκριβολογίας, κἂν μηδεμίαν συμφέρηται συγγνώμην, προσήκει ἐν ἀπορρήτῳ κατὰ διάνοιαν ἔχειν. Ἐδυσφόρει δὲ καὶ περὶ τούτου ὁ βασιλεύς, καὶ οὐ μετρίως ἐμέμφετο τόν τε Ἄρειον καὶ τὸν Ἀλέξανδρον, καθότι προσφάτως τῆς τῶν χριστιανῶν Ἐκκλησίας αὔξειν ἀρχομένης, πολλοὺς τῶν εὐσεβῶν τὴν γνώμην κλονεῖν, ἐπέτρεπε τοῖς ἐν Αἰγύπτῳ ἀρχιερεῦσιν μὴ στασιάζειν καὶ κλονεῖν ἃ μὴ θέμις. Ἀλλ' ἐπειδὴ οὐκ ἦν αὐτοὺς ἀφεμένους τῆς περὶ ταῦτα ζητήσεως, ἀλλὰ πρὸς τὸ ἐναντίον ἐχώρει τὸ πρᾶγμα καὶ κρείττων ἦν διαλλαγῶν ἡ ἔρις, ἄπρακτος δ' ἐπανῆκεν ὁ τὴν εἰρήνην βραβεῦσαι ἀπεσταλμένος· ἦν δὲ οὗτος ὁ Ὅσιος ὁ Κουδρούβης ἐπίσκοπος· σφόδρα δὲ ὁ βασιλεὺς πληγεὶς τὴν ψυχὴν συνεκάλεσε σύνοδον εἰς Νίκαιαν τῆς Βιθυνίας, καὶ πανταχοῦ τοῖς προεστῶσι τῶν Ἐκκλησιῶν ἔγραψεν εἰς ῥητὴν ἡμέραν παρεῖναι. Ἐκοινώνουν δὲ τούτου τοῦ συλλόγου, τῶν μὲν ἀποστολικῶν θρόνων Μακάριος ὁ Ἱεροσολύμων, καὶ Εὐστάθιος τῆς μεγάλης Ἀντιοχείας, καὶ Ἀλέξανδρος ὁ τῆς παρὰ τὸν Νεῖλον ποταμὸν Ἀλεξανδρείας, Ἰούλιος δὲ ὁ ῥωμαίων ἐπίσκοπος διὰ γῆρας ἀπελιμπάνετο, παρῆσαν δὲ ἀντ' αὐτοῦ Βίτων καὶ Βικέντιος, πρεσβύτεροι τῆς αὐτῆς Ἐκκλησίας· ἐπὶ τούτοις δὲ καὶ ἄλλοι πλεῖστοι ἄνδρες ἐλλόγιμοι καὶ τοῦ νοεῖν καὶ λέγειν ἐξησκημένοι ἐκ διαφόρων ἐθνῶν συνῆλθον, ἀκουσόμενοι τὸ νεωτερισθὲν δόγμα, καὶ τοῖς ὀρθοδόξοις συμβοηθήσοντες· ἦσαν δὲ ἐπίσκοποι οἱ συνεληλυθότες εἰς Νίκαιαν τριακόσιοι δέκα καὶ ὀκτώ· πρεσβυτέρων τε καὶ διακόνων ὡς εἰκὸς ἑπομένων οὐκ ὀλίγον πλῆθος· συμπαρῆσαν δὲ αὐτοῖς ἄνδρες διαλέξεων ἔμπειροι, ἐκείνοις βοηθεῖν ἐν λόγοις σπουδάζοντες, ἐν οἷς ἦν καὶ Ἀθανάσιος ὁ Ἀλεξανδρείας, ἔτι τότε διάκονος ὤν, Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ συνών.

Τῇ δὲ ῥητῇ ἡμέρᾳ ἐνεστηκυίας, οἱ μὲν ἐπίσκοποι συναθροισθέντες εἰς Νίκαιαν καὶ τὸν Ἄρειον εἰς μέσον προαγαγόντες ἠκριβολόγουν τῶν αὐτοῦ προφάσεων τὰς φληνάφους ἐρεσχελίας· ὁ δὲ δῦσχυρίζετο τοῖς πατρᾶσιν ἡττᾶν ἐπὶ τοῖς παρ' αὐτοῦ εἰρημένοις· ἀλλ' ἐπειδὴ ἐπεφθάκει ἡ ἡμέρα καὶ ὥρα, καθ' ἣν ὥριστο τεμεῖν τὰ ἀμφίβολα, συνῆλθον οἱ πατέρες εἰς τὰ Βασίλεια, καθότι καὶ τῷ βασιλεῖ Κωνσταντίνῳ δέδοκτο κοινωνῆσαι αὐτοῖς εἰς τὴν τοιαύτην βουλήν. Ἐπεὶ δὲ εἰς ταὐτὸ παρεγένετο σὺν τοῖς ἱερεῦσι, διαβὰς ὁ βασιλεὺς πρὸς τὴν ἀρχὴν τοῦ συλλόγου ἐπὶ θρόνου τινὸς ἐκάθησεν, ὅς περ αὐτῷ παρεσκεύαστο, καὶ τὴν σύνοδον καθεσθῆναι ἐκέλευσεν· παρεσκευάσαντο γὰρ ἑκατέρωθεν σκάμνον πολλὰ παρεκτεινόμενον τοῖς τείχοις τοῦ βασιλικοῦ παλατίου, οὗπερ ἡ σύνοδος συνηθροίσθη· ἦν γὰρ ὁ τρίκλινος πάνυ τερπνὸς καὶ τοῖς ἄλλοις τρικλίνοις εἰς μῆκος καὶ πλάτος ὑπερφέρων. Καθεζομένων δὲ αὐτῶν, ἀναστὰς Εὐσέβιος ὁ Παμφίλου ὁ τῆς Καισαρείας τῆς ἐν Παλαιστίνῃ ἐπίσκοπος λόγον τινὰ τῷ βασιλεῖ προσεφώνησε, καὶ δι' αὐτοῦ τῷ Θεῷ χαριστήριον ὕμνον· παυσαμένου δὲ αὐτοῦ καὶ σιγῆς γενομένης, «Πάντων μὲν ἕνεκεν, ἔφη ὁ βασιλεύς, τῷ Θεῷ χάριν ἔχω, μάλιστα δὲ ὁρῶν τὸν ὑμέτερον σύλλογον, ὦ φίλοι, καί μοι κρεῖττον εὐχῆς ἀπέβη τοσούτους ἱερέας εἰς ταὐτὸν ἐπάραι, καὶ βουλοίμην ἂν ὁμόφρονας ὑμᾶς θεάσασθαι καὶ συμφώνου γνώμης κοινωνοὺς, ἐπεὶ παντὸς κακοῦ χαλεπώτερον ἡγοῦμαι τὴν Ἐκκλησίαν τοῦ Θεοῦ ὁρᾶν στασιαζομένην· ὅτε οὖν ἠγγέλθη ἃ οὐκ ὤφειλον ἀκοῦσαι, σφόδρα τὴν ψυχὴν ἠνιάθην διχονοεῖν ὑμᾶς ἀκούσας, οὓς οὐδαμῶς ἁρμόζει Θεοῦ λειτουργοὺς ὄντας καὶ βραβευτὰς εἰρήνης, καὶ διὰ τοῦτο οὖν τὴν ἱερὰν ὑμῶν συνεκρότησα

σύνοδον. Βασιλεὺς ὢν καὶ συνθεράπων ὑμέτερος, χάριν αἰτῶ λαβεῖν ἀρεστὴν τῷ κοινῷ Θεῷ δεσπότῃ, ἐμοί τε λαβεῖν καὶ ὑμῖν δοῦναι πρέπουσαν, ἡ δὲ ἔστιν, προσενεγκεῖν εἰς μέσον τὰ αἴτια τῆς ἀμφισβητήσεως, καὶ ὁμόφρον καὶ εἰρηναῖον τέλος, ὥστε με σὺν ὑμῖν τοῦτο τὸ τρόπαιον ἀναστῆσαι κατὰ τοῦ φθονεροῦ δαίμονος, ὡς ἀλλοφύλων καὶ τυράννων ἐκ ποδῶν γενέσθαι. Ταύτην οὖν τὴν ἐμφύλιον στάσιν ἤγειρε νεμέσασθαι τοῖς ὑμετέροις ἀγαθοῖς».

Τοιαῦτα τῇ ῥωμαίων φωνῇ τοῦ βασιλέως εἰπόντος, παρεστώς τις ἡρμήνευσεν· ἐκ τούτου δὲ ἡ περὶ τοῦ δόγματος διάλεξις ἐκινήθη τοῖς ἱερεῦσιν, σχολῇ δὲ καὶ μᾶλλον ἀνεξικάκως ἠκροᾶτο ὁ βασιλεὺς τῶν ἑκατέρων λόγων, καὶ τοῖς μὲν καλῶς λέγουσιν ἐπείθετο, τοὺς δὲ φιλονεικοῦντας μετετίθει τῆς ἔριδος, πρὸς ἑκάστῳ διαλεγόμενος, ὡς ἀκούων ἠπίστατο, καθότι οὐδὲ τῆς ἑλλήνων γλώττης ἀπείρως εἶχε· τὸ τελευταῖον συνεβίβασαν ἀλλήλοις πάντες οἱ ἱερεῖς, καὶ ὁμοούσιον εἶναι τὸν Υἱὸν ἐψηφίσαντο· μόνοι δὲ τὰ μὲν πρῶτα δέκα καὶ ἑπτὰ λέγονται τὴν Ἀρείου δόξαν ἐπαινέσαι, ἀλλ' ἡ θεία χάρις ἡ τὰ ἀσθενῆ θεραπεύουσα καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα παραχρῆμα καὶ τούτους πρὸς τὰ κοινῇ δόξαντα μετέθετο. Ταύτῃ δὲ τῇ τῶν ἁγίων πατέρων γνώμῃ καὶ συμφωνίᾳ καὶ ὁ βασιλεὺς ἐψηφίσατο καὶ πάντες οἱ σὺν αὐτῷ, ὡς ὑπογράψαι τούτους καὶ ἀποφῆναι ὁμοούσιον εἶναι τὸν Υἱὸν τῷ Πατρί, τοὺς δὲ λέγοντας εἶναι ποτὲ ὅτε οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν, ἀπεκήρυξαν, καὶ τῆς καθολικῆς Ἐκκλησίας ἀλλοτρίους ἐψηφίσαντο. Ταύτην τὴν τῆς ὀρθοδόξου συμφωνίας γραφὴν ἐπῆνεσαν μὲν Εὐσέβιος ὁ τῆς Νικομηδείας, καὶ Θεόγνιος ὁ Νικαίας, οὐ συνέθεντο δὲ τῇ καθαιρέσει Ἀρείου, οὔτε ὑπέγραψαν, καίπερ τῇ γραφῇ τῆς πίστεως συναινέσαντες, διὸ καὶ ὑπερορίᾳ κατεδικάσθησαν καὶ τῶν οἰκείων ἐξεώσθησαν θρόνων, καὶ ἀντεισήχθησαν παρά τε τοῦ βασιλέως καὶ τῆς συνόδου εἰς μὲν τὴν Νικομηδείας Ἐκκλησίαν Ἄμφιος εἰς δὲ τὴν Νικαίας Χρυσίδης. Οὕτως οὖν Εὐσεβίου καὶ Θεογνίου τῶν τὰ Ἀρείου φρονούντων ἐξ ὧν ἐπεσκόπουν πόλεων ἀπελαθέντων, καὶ ὀρθοδόξων ἄλλων προβληθέντων, ὁ μὲν τῆς Χαλκηδόνος ἀρχιερεὺς Μάρις καὶ Πατρόφιλος ὁ σκυθοπολίτης, καὶ Σεκοῦνδος ὁ Πτολεμαΐδος τῆς Λιβύης, καὶ Εὐσέβιος ὁ Παμφίλου, τὴν ὀρθόδοξον πίστιν κρατύναντες, τὴν τῶν λοιπῶν πατέρων ψῆφον ἐκύρωσαν. Ὁ δὲ βασιλεὺς Κωνσταντῖνος Ἄρειον μὲν ὑπερορίᾳ φυγῇ ἐζημίωσεν, καὶ τοῖς ἁπανταχῆ ἐπισκόποις καὶ λαοῖς νομοθετῶν ἔγραφεν ἀσεβῆ ἡγεῖσθαι αὐτὸν καὶ τοὺς αὐτοῦ ὁμόφρονας, καὶ πυρὶ παραδιδόναι εἴ τι αὐτῶν εὑρίσκοιτο σύγγραμμα, ὥστε μήτε αὐτοῦ μήτε τοῦ δόγματος, οὗ εἰσηγήσατο, ὑπόμνημα φέρεσθαι, εἰ δέ τις φωραθείη κρύπτων, καὶ μὴ παραχρῆμα καταμηνύσας ἐμπρήσει, θάνατον εἶναι τὴν ζημίαν καὶ τιμωρίαν εἰς κεφαλήν· καὶ ἄλλας δὲ κατὰ πόλιν ἐπιστολὰς διεπέμψατο κατὰ Ἀρείου καὶ τῶν ὁμοδόξων αὐτοῦ. Ἐξετασθέντων δὲ καὶ τῶν μετὰ Μελίτιον ἀνὰ τὴν Αἴγυπτον συμβάντων, κατεδίκασεν αὐτὸν ἡ σύνοδος ἐν τῇ Λυκῷ διατρίβειν, ψιλὸν ὄνομα ἐπισκοπῆς ἔχοντα, καὶ τοῦ λοιποῦ μήτε ἐν πόλει, μήτε ἐν κώμῃ χειροτονεῖν.

Καὶ ἐπειδὴ ῥωμαίοις ἔθος ἐστὶν δημοτελῆ πανήγυριν ἄγειν καθ' ἑκάστην δεκάδα ἐτῶν τῆς τοῦ κρατοῦντος ἀρχῆς, ὁ βασιλεύς, ὥσπερ εὐκαιρίαν εὑρὼν, προετρέψατο πᾶσαν τὴν σύνοδον εἰς ἑστίασιν, καὶ τοῖς προσήκουσι δώροις ἐτίμησεν· ἐπεὶ δὲ οἴκαδε ἐπανιέναι παρεσκευάσαντο, συγκαλέσας πάντας συνεβούλευσεν ὁμονοεῖν περὶ τὴν πίστιν καὶ τῆς πρὸς ἀλλήλους εἰρήνης ἔχεσθαι, ὡς ἂν ἀστασίαστοι τοῦ λοιποῦ διαμείνωσι· καὶ πολὺν περὶ τούτου διεξελθὼν λόγον, τὸ τελευταῖον ἐκέλευσεν ὑπὲρ ἑαυτοῦ καὶ παίδων καὶ βασιλείας εὔχεσθαι σπουδαίως καὶ τὸν Θεὸν ἱκετεύειν ἑκάστοτε· καὶ πρὸς μὲν τοὺς τότε ἀφικομένους εἰς Νίκαιαν τοιαῦτα ὁ βασιλεὺς εἰπὼν συνετάξατο καὶ εἰσῆλθεν εἰς τὸ Βυζάντιον· οἱ δὲ τριακόσιοι δέκα καὶ ἓξ πατέρες, (χωρὶς τῶν δύο ἀγωνιστῶν Χρυσάνθου καὶ Μουσονίου, αὐτοὶ γὰρ μόνοι τὸν δικαίοις πρέποντα ὕπνον ὕπνωσαν καὶ πρὸς τὸν Θεὸν μετετέθησαν, καὶ ἐν τῇ νικαέων πόλει ἐντίμως ἐτέθησαν) ἕκαστος αὐτῶν εἰς τὴν ἐμπιστευθεῖσαν αὐτῷ ποίμνην ἐξέδραμεν. Οἱ δὲ περὶ Εὐσέβιον καὶ Θεόγνιον ἀρειανοὶ οὐκ ἐπαύσαντο δι' ἐπιστολῶν διαστρέφειν τὰς τοῦ Χριστοῦ Ἐκκλησίας, μέχρις ὅτου καὶ εἰς τὸ φανερὸν ἐκίνησαν διωγμὸν κατὰ τῶν ἀντεχομένων τῆς ὀρθοδόξου πίστεως, συνεργοὺς ἔχοντες εἰς τοῦτο καὶ τῆς τῶν ἑλλήνων μοίρας πολλούς.

Μετὰ γὰρ τὸν ἀοίδιμον θάνατον Κωνσταντίνου τοῦ βασιλέως, Κωνσταντίου τοῦ υἱοῦ αὐτοῦ κατασχόντος τὴν βασιλείαν καὶ τῇ αἱρέσει ὑπαχθέντος τῶν ἀνομοίων, πάλιν ἤρξατο φοιτᾶν τὸ δόγμα Ἀρείου,

καὶ οἱ τῆς ὀρθοδόξου πίστεως τρόφιμοι ἐξωρίζοντο τῶν Ἐκκλησιῶν, καὶ ὄρεσι καὶ σπηλαίοις κατεκρύπτοντο. Ἐκ ταύτης οὖν τῆς ἀναῤῥιπισθείσης αἱρέσεως, ὁ Εὐσέβιος καὶ Θεόγνιος τῇ τοῦ Κωνσταντίου πτερωθέντες προστάξει, καὶ τοὺς οἰκείους θρόνους ἀπολαβόντες, πολλοὺς τῶν πατέρων ὡς ἀνθισταμένους τῷ τοῦ Ἀρείου δόγματι τῶν οἰκείων φροντιστηρίων ἐξέωσαν καὶ πρὸς ἀλλοδαπὰς χώρας οἰκεῖν κατεδίκασαν· ἐξήλασε μὲν γὰρ Εὐσέβιος ἐκ τῶν τῆς Νικομηδείας ὁρίων Γοργόνιον καὶ Ὑπάτιον καὶ Θεόκλητον, ἄνδρας πάσῃ ἀρετῇ κεκοσμημένους, βίῳ καὶ λόγῳ ἐκλάμποντας, καὶ σὺν τούτοις Λογγίνον καὶ Σωφρόνιον πρεσβυτέρους, καὶ διακόνους δύο Σέργιον καὶ Ἰσίδωρον. Ὁ δὲ Θεόγνιος ἔτι ζέων καὶ αὐτὸς τῷ θυμῷ τῆς αἱρέσεως, χαριζόμενος τοῖς ἀρειανοῖς τὴν ἐκδίκησιν χείρονα κακὰ παρὰ τὸν Εὐσέβιον ἐν τοῖς τῆς Νικαίας φροντιστηρίοις τοῖς ὀρθοδόξοις εἰργάσατο, λῃστρικῶς τοῖς πατράσι καὶ τοῖς ἐπισκόποις ἐπιπηδήσας, καὶ ἀκρίτως αὐτοὺς τοῖς ῥοπάλοις τύψας, καὶ τῶν Ἐκκλησιῶν ἀπελάσας, ὑποφρουρίους ἐν τῇ φυλακῇ ἔθετο, μὴ συγχωρήσας τινὶ τῶν γνωρίμων πρὸς αὐτοὺς ἀφικέσθαι, ὡς ἂν μὴ παρ' αὐτῶν ἐπιμελείας τύχωσιν, ἀλλὰ λιμῷ καὶ δίψῃ διαφθαρῆναι αὐτούς. Ἰωάννην δὲ καὶ Ἀλέξανδρον καὶ Ἀνδρέαν, ἄνδρας θεοσεβεῖς καὶ τῆς ὀρθοδόξου πίστεως λατρευτὰς, καὶ αὐτοὺς συλλαβόμενοι οἱ ἀρειανίζοντες καὶ εἰς τὴν Νίκαιαν ἀναγαγόντες ἅμα νεανίσκῳ τινὶ Κολυμπαδίῳ τοὔνομα, καὶ Νικήτᾳ ἐκκλησιάρχῃ, τὸ μὲν πρῶτον αὐτοὺς εἶχον, οὐκ εἰς μακρὰν δὲ καταδραμόντες ἔωθεν, καὶ εἰς τὸ θέατρον αὐτοὺς παραστήσαντες ἐμαστίγωσαν, εἶθ' οὕτως ἐκβαλόντες αὐτοὺς ἐκ τῆς πόλεως ὠμότατα διεχρήσαντο, πῇ μὲν πρηνεῖς, πῇ δὲ ὑπτίους ἕλκοντες καὶ τῷ ἐδάφει προσρηγνύντες, καὶ οἱ ἔτυχον τύπτοντες, οἱ μὲν ξύλοις, οἱ δὲ λίθοις, ἄλλοι δὲ ἄλλοις ἐπιτυχοῦσιν. Οὕτως οὖν αὐτοὺς οἱ τοῦ Θεογνίου συμμύσται καταπραξάμενοι, καὶ εἰς σπήλαιόν τι τοῦ Ζαλικοῦ βουνοῦ κατακλείσαντες, μετὰ δέκα ἡμέρας σὺν ἄλλοις πλείστοις εἰς τὴν Ἰκονιέων ἐξώρισαν πόλιν, παραγγείλαντες τοῖς ἐγχωρίοις ἀρειανοῖς τηρεῖν καὶ διάγειν αὐτοὺς ἐν τῇ Κορνικῇ λίμνῃ, ἐπιβαίνειν αὐτοὺς καὶ εἰς Ψίτηλαν καὶ εἰς Σώματρα (;) διετάξαντο, μηδαμῶς δὲ τοῖς προστάταις τῶν Ἐκκλησιῶν συνδυάζειν αὐτούς, ἢ τοῦ δόγματος αὐτῶν μετέχειν.

Ἀπαχθέντες οὖν οἱ ὅσιοι τρισκαίδεκα πατέρες εἰς τὸ Ἰκόνιον, καὶ μήτε τὴν χώραν γνωρίζοντες, μήτε τινα τῶν γνωρίμων εἰς παρηγορίαν ἑαυτῶν καὶ ἀνάψυξιν ἔχοντες, πολλὰς σκληραγωγίας καὶ κακουχίας ὑπέστησαν, μάλιστα δὲ παρὰ τῶν ἐγχωρίων Κλουδιατῶν τῶν τὸ ἀνόμοιον πρεσβευόντων, αὐτοὶ γὰρ μόνοι μετὰ Δεκαλίωνος τοῦ τῆς Ἀμάστρας ἐπισκόπου πρὸς ἑαυτοὺς ἐστασίαζον ἀκριβολογούμενοι περὶ τὸ ὁμοούσιον ὄνομα· μετὰ δὲ ταῦτα συνόδου ἐν Ἀντιοχείᾳ γενομένης, ἀφαιρεῖται Εὐστάθιος τὴν ἀντιοχέων Ἐκκλησίαν, ὡς ἐπαινῶν τὴν ἐν Νικαίᾳ κυρωθεῖσαν πίστιν, ἐκβέβληνται δὲ καὶ ἄλλοι τῶν Ἐκκλησιῶν ὡς κοινωνοὶ Εὐσταθίου, καὶ γίνεται καθαίρεσις ἐπισκόπων, ὡς ἀποστρεφομένων τὴν τοῦ Ἀρείου αἵρεσιν, καὶ φθάνει ἡ στάσις μέχρι τοῦ Ἰκονίου, ὡς μικροῦ δεῖν ξιφῶν ἅψασθαι τούς τε ὀρθοδόξους καὶ κακοδόξους διὰ τὴν καθαίρεσιν Εὐσταθίου, καὶ πᾶσαν κινδυνεῦσαι τῆς ἀνατολῆς Ἐκκλησίαν. Ἐκ τούτου πτοηθέντες οἱ ἅγιοι μὴ καὶ εἰς αὐτοὺς τὸ πλῆθος χωρήσει, καταλιπόντες τὴν Σόβατραν, τὴν Κανὰ κώμην καταλαμβάνουσιν, ἐν ᾗ καὶ περιτυχόντες ἀνδρὶ ἐναρέτῳ τοὔνομα Συμεῶνι, καὶ παρ' αὐτοῦ ξενοδοχηθέντες καὶ εὐφραν-θέντες, ἠρωτήθησαν παρ' αὐτοῦ ὅθεν εἶεν, καὶ ἐκ ποίας χώρας, καὶ ποῦ τὴν μεταβατικὴν πορείαν ποιοῦνται, τῶν δὲ ἀπολογησαμένων οἵτινες εἶεν, καὶ ὅτι ἐκ τῆς νικαέων πόλεως ὁρμῶνται, καὶ διὰ τὸ τῆς ὁμοουσίου Τριάδος δόγμα ὑπερορίαν κατεδικάσθησαν, καὶ ὅτι οὐ μετὰ πολὺ πάλιν μέλλουσιν αὐτοὶ ζητηθῆναι παρὰ τῶν ἀρειανιζόντων καὶ κακοποιηθῆναι, καὶ ἀθώους ὄντας ἀποκτανθῆναι, συναλγήσας οὖν αὐτοῖς ὁ ἀνὴρ καὶ στενάξας, εἶτα δακρύσας ἐφ' ἱκανὸν, μόλις ποτὲ ἀπεκρίθη, Εὐθυμεῖτε, ὦ ἄνδρες, διὰ τὸν Κύριον, καγὼ ὑμῖν ἐπιτήδειον τόπον ὑποδείξω, ἵνα δυνηθῆτε κρυβῆναι καὶ δεινὸν μηδὲν παθεῖν. Καὶ τοῦτο εἰπὼν, εἰς Ματζιβαζῶν αὐτοὺς χώραν ἀνήγαγεν, ἐν ᾗ ὑπῆρχεν ἐξ αἰῶνος χάσμα βαθύγαιον κρημνῶδες, ἔχον ὕδωρ πολὺ, ἑρπετῶν παντοίων κατοικητήριον, καὶ τοῦτο αὐτοῖς ὑποδείξας ὡς φοβερὸν καὶ κατάπληκτον, ἔχον μῆκος καὶ εὖρος ὡσεὶ πήχεις τριακοσίας, τὸ δὲ βάθος ὡς ἀνδροήλικα ἑκατόν· ἐν αὐτῷ αὐτοὺς καταθεῖναι καθυπετίθετο, οἵτινες τοῦτο ἰδόντες καὶ λίαν καταπλαγέντες, δυσωπήσει χρησάμενοι πρὸς αὐτὸν τοῦ ἐμβαλεῖν αὐτοὺς ἐν αὐτῷ, καὶ πορευθεὶς εἰς τὸν οἶκον αὐτοῦ λατόμους δύο ἤγαγε, καὶ διὰ σχοινίων καὶ κοφίνων χαλάσαντες αὐτοὺς ἐν τῷ χάσματι, καὶ τὸν λίθον ἐκεῖνον πρίσαντες, ὡς ἐπ' ἀνατολὰς τὴν εἴσοδον πεποιήκασιν,

κακεῖθεν ὡς ἐπὶ νότον τὸ σπήλαιον τῶν ἁγίων πατέρων εἰργάσαντο, καὶ οὕτως εὐχερῶς εἰσῆλθον οἱ ἅγιοι ἐν αὐτῷ, παρὰ τῶν δύο ἐκείνων λατόμων καὶ τοῦ Συμεωνίου τρεφόμενοι.

Οὐ πολὺ τὸ μέσον καὶ φανεροῦνται οἱ πατέρες κρυπτόμενοι, καὶ πολλοὶ τῶν πιστῶν ἐπήρχοντο πρὸς αὐτοὺς ψυχικῆς ὠφελείας ἕνεκα, καὶ ᾠκοδομοῦντο πρὸς τὴν εὐσέβειαν. Ἐκ ταύτης οὖν τῆς διαθεούσης φήμης ἐκ τῶν περιχώρων τῆς ἀνατολῆς πολλοὶ καὶ ἄλλοι πατέρες ὡσεὶ τριακόσιοι τὸν ἀριθμὸν, οἱ καὶ παρὰ τῶν αἱρετικῶν ἐκδιωχθέντες, ἦλθον πρὸς αὐτοὺς, καὶ λατομήσαντες καὶ αὐτοὶ πανθαύμαστον σπήλαιον καὶ ναὸν τῆς Θεοτόκου δειμάμενοι, κατῴκησαν ἐν αὐτῷ, ψυχὴν δι' ἐγκρατείας καθαίροντες, καὶ τὸ σῶμα βραχυτάτῳ ἄρτῳ καὶ ὕδατι στηρίζοντες· οἵτινες καὶ θανέντες ἵστανται ὄρθιοι, περὶ ὧν μετέπειτα διηγήσομαι. Εἶθ' οὕτως εἰσῆλθον καὶ ἕτεροι τεσσαράκοντα καὶ ἐλατόμησαν καὶ αὐτοὶ ἐπὶ τὸ ἕφον μέρος τοῦ χάσματος σπήλαιον, ἀναβαθμίδας λιθίνας μέχρι τοῦ ὕδατος λατομήσαντες ὡσεὶ δέκα ἀριθμὸν, οἵτινες καὶ αὐτοὶ μένουσιν ἄφθαρτοι. καὶ μέχρι τῆς δεῦρο ἵστανται φοροῦντες τοὺς χιτῶνας αὐτῶν καὶ τὰς ἐπωμίδας καὶ τὰ σανδάλια ἐν τοῖς ποσὶν αὐτῶν, ἐξ ὧν ὑπάρχουσι πρεσβύτεροι τρεῖς, Βασίλειος, Νικήτας καὶ Ἰωάννης, ἐστολισμένοι τὴν τῆς ἱερωσύνης αὐτῶν στολὴν, καὶ διάκονος εἷς ξανθὸς ταῖς θριξὶν καὶ πρὸς αὐτοὺς ἀφορῶν. Ἀλλ' οὗτοι μὲν οἱ πατέρες ὑστέρως εἰσῆλθον καὶ τὸν ἴσον ἀγῶνα οἱ πάντες ἐπεδείξαντο καὶ τῆς ἀφθάρτου ζωῆς μετέσχον. Ὁ δὲ μακάριος Κολυμπάδιος, εἰ καὶ ἐλαχιστότερος πάντων ὑπῆρχεν καὶ τὸ σῶμα βραχὺς, ἀλλὰ τῷ πνεύματι ὑψηλὸς ἐτύγχανεν, αὔξειν γὰρ ἐφιλονείκει τῆς φύσεως τὴν ψυχὴν καὶ μὴ ἐπαίρεσθαι τὸ σῶμα κατὰ τοῦ πνεύματος, ἀλλὰ ῥυθμίζειν μὲν καὶ ὑποπιάζειν τὸ σῶμα, καθαίρειν δὲ τὴν ψυχὴν δι' ἐγκρατείας καὶ προσευχῆς, δι' ὃ καὶ τῆς θείας χάριτος ἔτυχε σὺν τῇ ἐν Χριστῷ αὐτοῦ ἀδελφότητι, πολλοὺς γὰρ τὸ βλέπειν ἀφῃρημένους, ἄλλους δὲ τῇ νόσῳ τετρυχωμένους, ἑτέρους δὲ ὑπὸ παθῶν ἀνιάτων κεκρατημένους διὰ μόνης αὐτῶν προσευχῆς ἐθεράπευον καὶ τὴν ὑγείαν παρέσχον, ἐξ ὧν δυνάστου τινὸς καππάδοκος ἐκ τοῦ χωρίου τῆς Μουρισσοῦ θυγατέρα μονογενῆ αὐτοῦ, πιοῦσαν γόνον ὄφεως διὰ τῆς νυκτὸς, δι' ἐπιθέσεως τῶν χειρῶν αὐτῶν οἱ ἅγιοι ἐθεράπευσαν, καὶ διὰ τοῦ στόματος αὐτῆς τὸν ὄφιν ἐξαγαγόντες, ἐρρωμένην τὸ σῶμα τῷ πατρὶ παρέδωκαν· καὶ ἄλλου δέ τινος χώραν ὑπὸ δαιμόνων ἐνεργηθεῖσαν καὶ μὴ καρπεύουσαν, δι' εὐχῆς αὐτῶν ἔγκαρπον ἔδειξαν· καὶ Χαραλάμπους ἀγέλας, ὑπὸ μαγγανίας ἀνθρώπων θνησκούσας καὶ ἐκλιπούσας, τὴν θραῦσιν ἔστησαν διὰ προσευχῆς αὐτῶν· καὶ γηπόνου τινὸς δύο υἱοὺς εἰς ἀλλήλους μαχομένους καὶ στασιάζοντας διὰ πατρικὸν ἀμπελῶνα, καὶ μέλλοντας ἀλλήλους ὅσον οὔπω διαχειρίζειν καὶ σφαγιάζειν, ξηρὰν τὴν ἄμπελον πεποιήκασιν, καὶ τὰς τῶν ἀδελφῶν ἔριδας καὶ ζηλοτυπίας δι' εὐχῆς κατεκοίμησαν· καὶ ἄλλα δέ τινα πάμπολλα θαύματα οἱ ἅγιοι πατέρες ἐργασάμενοι, καὶ ἐπὶ πᾶσι θαυμαστωθέντες διὰ τῶν πράξεων.

Ἐπεὶ δὲ τὸν δρόμον αὐτῶν τετελέκασι καὶ τὴν πίστιν τετηρήκασιν ἐν τῷ προῤῥηθέντι τόπῳ τοῦ Χάσματος· μετῆλθε δὲ τὸν βίον ὁ τὰ τῶν ῥωμαίων σκῆπτα κατέχων Κωνστάντιος· καὶ κρατεῖ τὴν βασίλειον ἀρχὴν Ἰουλιανὸς, ὃς τὰ τῶν χριστιανῶν ἀθετήσας μυστήρια καὶ τὰ τῶν ἑλλήνων ἐπιποθήσας ἐδίωκε τοὺς χριστιανοὺς, μεθ' ὧν καὶ περὶ τῶν ἐν τῷ Χάσματι ἀκούσας θαύματα καὶ τὴν ψυχὴν ταραχθεὶς ἐξώπλισε στρατιώτας ἀνόμους ἕλληνας κατ' αὐτῶν, ὥστε διὰ λιμοῦ καὶ πυρὸς καὶ ξίφους θανατῶσαι αὐτούς. Εὐαγγελισθέντες οὖν τοῦτο οἱ ἅγιοι ὑπὸ χρησμωδίας ἀγγέλου, καὶ διαποροῦντες τί ποιήσωσι περὶ τῆς ἑαυτῶν σωτηρίας, ἐπὶ ἑπτὰ ἡμέρας ἄσιτοι διαμείναντες, τῇ ὀγδόῃ, ἡμέρᾳ τῆς κυρίας τῶν ἡμερῶν, λειτουργίαν τελέσαντες καὶ εὐχὴν, μετέσχον τοῦ θείου σώματος καὶ αἵματος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ εἰσελθόντες ἐπὶ τὰ ἑαυτῶν σπήλαια, ἐπὶ τεσσαράκοντα ἡμέρας καὶ νύκτας εἶχοντο τῆς εὐχῆς· «Μὴ παραδῴης ἡμᾶς, λέγοντες, δέσποτα κύριε, τοῖς ἀνόμοις, μηδὲ καταλείψῃς ἡμᾶς ὀρφανοὺς ἐκ τῆς σκέπης σου· ἀλλ' ἀξίωσον ἡμᾶς εὐχομένους ἐν τῷ δε τῷ τόπῳ ἀσπίλους καὶ ἀνεπιβουλεύτους, καθὼς σοι πρέπον ἐστιν· σὺ γὰρ γινώσκεις, δέσποτα τῶν ἁπάντων, τὴν πρὸς σὲ ἡμῶν πεποίθησιν, ὅτι ἕνεκά σου ταῦτα πεπόνθαμεν, τοῦ χωρισθῆναι πατρίδων καὶ συγγενῶν καὶ φίλων ἀναστροφὰς, καὶ ἀδιασπάστους ἐν σοὶ εἶναι καὶ τηρεῖν τὰ προστάγματά σου».

Τελεσάντων οὖν αὐτῶν τὰς ἡμέρας τῆς προσευχῆς, πεφθακότων καὶ τῶν στρατιωτῶν ἕως τῆς ἰκονιαίων πόλεως καὶ ἀκριβολογούντων περὶ τῶν ἁγίων πατέρων τῶν ἐν τῷ Χάσματι, κελεύσματι Θεοῦ, βροντὴ γέγονεν οὐρανόθεν, ὥστε ἀναληφθῆναι ὁμοῦ τῶν ἁγίων πατέρων τὰ πνεύματα ὑπὸ ἁγίων ἀγγέλων καὶ τεθῆναι αὐτὰ

ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἐμπαγῆναί τε αὐτῶν τοὺς πόδας ἐν τῷ ἑδάφει ἐκείνῳ καὶ σταθῆναι, καὶ μὴ πεσεῖν αὐτοὺς μέχρι τῆς σήμερον, εἰς θαῦμα καὶ ἔκπληξιν τῶν ὁρώντων, τηρηθῆναι δὲ αὐτοὺς ἀφθάρτους σὺν τοῖς χιτῶσιν αὐτῶν καὶ παλλίοις, καὶ σὺν τοῖς περικεφαλαίοις αὐτῶν καὶ σουδαρίοις καὶ τοῖς ὑποδήμασιν. Ἐλθόντες οὖν μετὰ μίαν ἡμέραν οἱ διῶκται ἐπὶ τὸν τόπον, καὶ εἰσελθόντες ἐπὶ τὸ Χάσμα, τὰ μὲν σπήλαια εὗρον ἀνεῳγμένα, τοὺς δὲ ὁσίους εὗρον νεκροὺς, ἱσταμένους ἐπὶ τοὺς πόδας αὐτῶν, καί τις ἐξ αὐτῶν τῶν ἀνόμων, ζέων τῷ θυμῷ, γυμνώσας ξῖφος ἦρε τὴν κεφαλὴν Κολυμπαδίου, καὶ αὐτίκα πρὸς γῆν πεσὼν τὰ τῶν δαιμονώντων ἔπασχε, καὶ μετὰ μίαν ἡμέραν ἤρθη νεκρός· ἐκ τούτου φοβηθέντες οἱ τύραννοι μὴ καὶ αὐτοὶ τοῦτο δράσαντες πάθωσιν, ἀράμενοι τὴν κεφαλὴν τοῦ ἁγίου προσήρμοσαν τῷ ἰδίῳ σώματι καὶ εὐθέως ἐκολλήθη· αὐτοὶ δὲ κατησχυμένοι ἐξίεσαν· ἀλλὰ καὶ γυναῖκά τινα μετὰ παιδὸς τριετοῦς εὑρόντες πρὸς τὴν θύραν τοῦ Χάσματος ἱσταμένην καὶ καταρωμένην αὐτοὺς ὡς πράξαντας ἄθεσμον πρᾶγμα εἰς τὸν ἅγιον Κολυμπάδιον, καὶ εἰς τοὺς ὁσίους πατέρας Βασίλειον, Νικήτα καὶ Ἰωάννην· καὶ γὰρ κἀκείνους κατὰ τὰ σπλάγχνα ξίφεσιν ἔπληξαν, καὶ τὴν ἔνδοθεν αὐτῶν οἰκονομίαν ἐκένωσαν· κατασχόντες αὐτὴν καὶ ῥάβδοις τύψαντες, εἶτα κατὰ τραχήλου αὐτῆς σχοίνους δήσαντες καὶ πρὸς τὸ σπήλαιον σύραντες σὺν τῷ αὐτῆς παιδίῳ θανοῦσαν ἔρριψαν ἐντὸς καὶ αὐτὴν σὺν τοῖς πατράσι συνεῖναι· ἥτις πρὸς τῇ θύρᾳ τέθειται τοῦ σπηλαίου, τὸν δικαίοις πρέποντα ὕπνον ὑπνοῦσα.

Ἀνεπαύσαντο οὖν οἱ ὅσιοι καὶ τρισμακάριοι τριακόσιοι πεντήκοντα τρεῖς πατέρες οἱ ἐν τῷ Χάσματι τοῦ ἀνατολικοῦ θέματος ὄντες μηνὶ ὀκτωβρίῳ κη΄, εἰς δόξαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος· εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΔΙΟΡΘΩΣΕΙΣ ΚΑΙ ΣΥΜΠΛΗΡΩΣΕΙΣ

ΕΙΣ ΤΟ ΒΥΖΑΝΤΙΝΟΝ ΕΟΡΤΟΛΟΓΙΟΝ

1) **Περὶ τῆς ἐν Μαμβρῇ δρυός,** ἐν προλεγομένοις, κεφ. ϛ πέμπτῳ, πρόσθες καὶ τὰ παρ' Εὐσεβίῳ Παμφίλου γραφόμενα (εἰς τὸν βίον τοῦ μακαρίου Κωνσταντίνου τοῦ βασιλέως, λόγος Γ΄, 51, 52, 53) «καὶ γάρ ἐστιν, ὡς ἀληθῶς, δυσσέβημα παμμέγεθες τοὺς ἁγίους τόπους ὑπὸ τῶν ἀνοσίων χραίνεσθαι μιασμάτων ..... εἰδωλά τε γὰρ, παντοίας ἐξωλείας ἄξια, παρ' αὐτὴν (δῆλον ὅτι τὴν δρῦν) ἱδρύσθαι, καὶ βωμὸν ἑστᾶναι, καὶ θυσίας ἀκαθάρτους συνεχῶς ἐπιτελεῖσθαι..... ἵν' ἄνευ ὑπερθέσεως τὰ εἴδωλα πυρὶ παραδοθῇ καὶ ὁ βωμὸς ἐκ βάθρων ἀνατραπῇ..... ἄξιόν ἐστι καθαρὸν ἀπὸ παντὸς μιάσματος τὸν τόπον τοῦτον φυλάττεσθαι καὶ πρὸς τὴν ἀρχαίαν ἁγιότητα ἀνακαλέσασθαι· ὡς μηδὲν ἕτερον ἐπ' αὐτοῦ πράττεσθαι, ἢ τὴν πρέπουσαν τῷ Σωτῆρι ἡμῶν καὶ τῶν ὅλων δεσπότῃ Θεῷ τελεῖσθαι θρησκείαν». Ταῦτα κατ' ἐπιστολὴν τοῦ μεγάλου Κωνσταντίνου πρὸς Εὐσέβιον Καισαρείας.

2) **Περὶ τοῦ προορισμοῦ τοῦ ναοῦ τῶν ἁγίων Ἀποστόλων** πρόσθες τὰ παρ' Εὐσεβίῳ (αὐτόθι, λογ. Δ΄, 60) «αὐτὸς γοῦν (δῆλον οὖν ὁ μέγας Κωνσταντῖνος) ἑαυτῷ εἰς δέοντα καιρὸν τῆς αὐτοῦ τελευτῆς *τὸν ἐνταυθοῖ τάπον ἐταμιεύετο*, **τῆς τῶν Ἀποστόλων προσρήσεως κοινωνὸν** *τὸ ἑαυτοῦ σκῆνος μετὰ θάνατον* προνοῶν ὑπερβαλλούσῃ πίστεως προθυμίᾳ γεγενῆσθαι· ὡς ἂν καὶ *μετὰ τελευτὴν* **ἀξιῶτο** *τῶν ἐνταυθοῖ μελλουσῶν* **ἐπὶ τιμῇ τῶν Ἀποστόλων συντελεῖσθαι εὐχῶν».** *Ἐντεῦθεν* πιθανῶς *ἡ προέλευσις τῆς προσωνυμίας* **ἰσαποστόλου,** ἧς ἦν, κατὰ Βαλέσιον, ἄξιος, γνωστοῦ ὄντος ὅτι Βασίλειος ὁ Σελευκείας ἰσαπόστολον ὠνόμασε καὶ Θέκλαν τὴν μάρτυρα.

3) **Περὶ τῆς ἁγιάσεως τῆς μνήμης Ἑλένης τῆς ἰσαποστόλου** ἐπίσης πρόσθες τὰ τοῦ αὐτοῦ ἱστοριογράφου (αὐτ. λογ. Γ΄, 46, 47) «ὡς μὴ τεθνάναι εἰκότως τὴν τρισμακαρίαν τοῖς εὖ φρονοῦσι δοκεῖν, μεταβολὴν δὲ καὶ μετάθεσιν, ἀληθεῖ λόγῳ, τῆς γεώδους ζωῆς ἐπὶ τὴν οὐράνιον ὑπομεῖναι· *ἀνεστοιχειοῦτο* **γοῦν** *αὐτῇ ψυχῇ ἐπὶ τὴν ἄφθαρτον* **καὶ ἀγγελικὴν οὐσίαν** πρὸς τὸν αὐτῆς ἀναλαμβανομένη Σωτῆρα..... καὶ τὸ σκῆνος τῆς μακαρίας ἠρίοις βασιλικοῖς ἀπετίθετο..... φοιτῶσαν μὲν αὐτὴν ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ διὰ παντὸς ὁρᾶσθαι παρέχουσα· λαμπροῖς δὲ κατακοσμοῦσα κειμηλίοις τοὺς εὐκτηρίους οἴκους· μηδὲ τοὺς ἐν ταῖς βραχυτάταις πόλεσι παρορῶσα ναούς· ἣν ὁρᾷν τὴν θαυμασίαν ἐν σεμνῇ καὶ εὐσταλεῖ περιβολῇ τῷ πλήθει συναγελαζομένην, τήν τε πρὸς τὸ θεῖον εὐλάβειαν διὰ πάσης θεοφιλοῦς πράξεως ἐπιδεικνυομένην». Ταῦτα πρὸς συμπλήρωσιν τῶν ἐν τέλει τοῦ ζ΄ κεφαλαίου τῶν προλεγομένων γραφέντων: τὰ δὲ περὶ τοῦ ναοῦ τῶν Ἁγίων Ἀποστόλων ἴδε ἐν ἀρχῇ τοῦ αὐτοῦ τούτου ζ΄ δηλ. ϛ ἢ κεφαλαίου.

4) **Περὶ τῆς καθαγιάσεως τῆς μνήμης τοῦ μεγάλου Κωνσταντίνου** πρόσθες εἰς τὰ ἐν κεφ. η΄ τῶν προλεγομένων τὰ παρ' Εὐσεβίῳ (αὐτόθι, λόγος Δ΄, 67, 69, 71) διδακτικώτατα: «Οἱ δέ γε τοῦ παντὸς στρατοῦ καθηγεμόνες, κόμητές τε καὶ πᾶν τὸ τῶν ἀρχόντων τάγμα, οἷς τὸν βασιλέα καὶ νόμος πρότερον ἦν προσκυνεῖν, *τὸν ἐπὶ τῆς λάρνακος οἷά περ ζῶντα καὶ μετὰ θάνατον γοργκλινεῖς ἠσπάζοντο*· μετὰ δὲ τοὺς πρώτους ταῦτ' ἔπραττον παριόντες οἵ τ' ἐξ αὐτῆς συγκλήτου βουλῆς, οἵ τ' ἐπ' ἀξίας πάντες, μεθ' οὓς ὄχλοι παντοίων δήμων..... ἐπὶ τὴν θέαν παρῄεσαν..... ἐβασίλευε δὲ μετὰ θάνατον μόνος θνητὸς ὁ μακάριος· ἐπράττετό τε τὰ συνήθη ὡσανεὶ καὶ ζῶντος αὐτοῦ..... ὁμοῦ θ' οἱ πάντες τὸν μακάριον ἀνευφήμουν ..... καὶ οὐ ταῦτα βοαῖς ἐφώνουν μόνον· εἰς ἔργα δὲ χωροῦντες, **εἰκόνος ἀναθήμασιν** οἷά περ ζῶντα καὶ *τεθνηκότα αὐτὸν ἐτίμων*, **οὐρανοῦ μὲν σχῆμα διατυπώσαντες** *ἐν χρωμάτων γραφῇ*, **ὑπὲρ ἀψίδων οὐρανίων ἐν αἰθερίῳ διατρεβῇ διαναπαυόμενον αὐτὸν τῇ γραφῇ παραδιδόντες.....** μέσοι δὲ παρῄεσαν οἱ τοῦ Θεοῦ λειτουργοὶ τὰ τῆς ἐνθέου λατρείας δι' εὐχῶν ἀνεπλήρουν· ἔνθα δὴ ὁ μακάριος ἄνω κείμενος ἐφ' ὑψηλῆς κρηπίδος ἐδοξάζετο..... καὶ τὰ σπουδασθέντα αὐτῷ σὺν τῇ τῶν Ἀποστόλων κατηξιοῦτο μνήμῃ, *τὸ τῆς τρισμακαρίας ψυχῆς* **σκῆνος** *τῷ τῶν Ἀποστόλων προσρήματι συνδοξαζόμενον* καὶ τῷ τοῦ Θεοῦ λαῷ συναγελαζόμενον, *θεσμῶν τε θείων καὶ μυστικῆς λειτουργίας ἀξιούμενον καὶ κοινωνίας ὁσίων ἀπολαῦον εὐχῶν*· αὐτὸς δὲ τῆς βασιλείας καὶ μετὰ θάνατον ἐπειλημμένος, ὥσπερ οὖν ἐξ ἀναβιώσεως τὴν σύμπασαν ἀρχὴν διοικῶν, νικητὴς, μέγιστος, σεβαστὸς, αὐτῷ προσρήματι τῆς ῥωμαίων ἡγεμονίας κρατεῖ».

5) **Εἰς τὴν 1 ἰανουαρίου:** μνήμην Βασιλείου τοῦ μεγάλου, πρόσθες ὅτι κατὰ ἰούλιον τοῦ 1041 γινώσκομεν μὲν πρᾶξιν τοῦ πατριάρχου Κωνσταντινουπόλεως Ματθαίου Α΄, κυροῦσαν τοὺς λογαριασμοὺς τοῦ μοναχοῦ Μακαρίου, ὃς ἦν λαβὼν τὴν μονὴν Βασιλείου τοῦ μεγάλου, δι' ἣν ἐξώδευσεν ἐξ ἰδίων, πρὸς ἀνακαινισμὸν κελλίων καὶ τραπέζης καὶ προπυλαίων, καὶ πρὸς ἀνακάθαρσιν «ὀσπητοτοπίων» καὶ φύτευσιν ἀμπελώνων (Πατριαρχικοὶ Πίνακες, σελ. 461), ἀλλ' ἄγνωστον ἂν ἀναφέρηται ἡ πρᾶξις εἰς μονὴν ἐντὸς τῆς πόλεως, ἢ ἐν τοῖς προαστείοις κειμένην.

6) **Εἰς τὴν 3 ἰανουαρίου:** πρὸς τῷ τέλει τῆς τοῦ Δαπνοφάτου διηγήσεως περὶ τῆς τιμίας χειρὸς τοῦ Προδρόμου, στήλη α΄, στίχῳ 37-38 ἀναφέρεται *ἱεράρχης τοὔνομα Θεοφύλακτος*. Ἴσως ὑπόκειται λόγος περὶ τοῦ πατριάρχου καὶ βασιλόπαιδος Θεοφυλάκτου, καὶ τότε τακτέον χρόνον εἰσόδου τῆς τιμίας χειρὸς εἰς τὴν Κωνσταντινούπολιν τὴν 6 ἰανουαρίου 956.

7) **Εἰς τὴν 3 ἰανουαρίου:** περὶ τῆς χειρὸς τοῦ τιμίου Προδρόμου, πρόσθες ὅτι τῷ 1392 Βλαδισλαῦος ὁ τῆς Βλαχίας ἡγεμὼν καὶ ὁ ἀνεψιὸς αὐτοῦ μέγας βόρνικος Δραγομάρης ἐδωρήσαντο διὰ χρυσοβούλλου τῇ μονῇ τοῦ ἁγίου Στεφάνου τῶν Μετεώρων *δάκτυλον*

τῆς δεξιᾶς χειρὸς τοῦ τιμίου Προδρόμου. Π. Ἀραβαντινοῦ Χρονογρ. Ἠπείρου· τόμ. Β′, σελ. 106-107.

8) **Εἰς τὴν 19 ἰανουαρίου:** μνήμην τῆς ἀνακομιδῆς τοῦ λειψάνου Γρηγορίου τοῦ Θεολόγου, πρόσθες, εἰ βούλει τὸ ἔτος 912.

9) **Εἰς τὴν 27 ἰανουαρίου:** μνήμην τῆς ἀνακομιδῆς τοῦ λειψάνου Ἰωάννου τοῦ Χρυσοστόμου, πρόσθες ὅτι, τῇ Δευτέρᾳ τῆς Διακαινησίμου ἐρχόμενος ὁ αὐτοκράτωρ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων, πρὸ τοῦ τάφου τοῦ Χρυσοστόμου προσηύχετο, κηρὸς ἀνάπτων. Πορφυρογ. Ἔκθεσις τῆς βασιλ. τάξεως, Α′, σελ. 76.

10) **Εἰς τὴν 11 φεβρουαρίου:** μνήμην Θεοδώρας τῆς αὐγούστης, φαίνεται, κατὰ τὰ γραφόμενα τῶν πάλαι χρονογράφων, ὁ βυζαντινὸς κόσμος τιθεὶς τὴν πρώτην μεταξὺ τῶν Κυριακῶν τῆς ὀρθοδοξίας τῇ 11 φεβρουαρίου τῇ ἢ 12. Ἀλλὰ γνωστὸν ἐπίσης πόσον ὁ βυζαντινὸς κόσμος ἠπατᾶτο περὶ τὸν ὁρισμὸν τῆς ἑορτῆς τοῦ πάσχα· δὶς, ἐφ' ὅσον ἔστι μοι γνωστὸν, ἐωρτάσθη τὸ πάσχα παρὰ Κανόνα, τῆς τεσσαρακοστῆς εἰς πεντηκοστὴν μεταβληθείσης. Τῷ 548 «ἐγένετο διαστροφὴ περὶ τοῦ ἁγίου πάσχα· καὶ ἐποίησαν οἱ δῆμοι τὴν ἀποκρεώσιμον μηνὶ φεβρουαρίου δ′ (4)· ὁ δὲ βασιλεὺς προσέταξεν ἑτέραν ἑβδομάδα πραθῆναι κρέα, καὶ πάντες οἱ κρεοπῶλαι ἔσφαξαν καὶ προέθηκαν, καὶ οὐδεὶς ἠγόραζεν, οὔτε ἤσθιεν· τὸ δὲ πάσχα γέγονεν ὡς ὁ βασιλεὺς ἐκέλευσεν· καὶ εὑρέθη ὁ λαὸς νηστεύων ἑβδομάδα περιττήν». Θεοφάνης, Α′, σελ. 348=ὡρισμένον ὂν τὸ Πάσχα τῇ 1 ἀπριλίου, ἐγένετο τῇ 8. Ἐπίσης τῷ 760 «γέγονε πλάνη τῆς πασχαλίας, καὶ οἱ μὲν ὀρθόδοξοι κατὰ τὴν ἑῴαν ἔκτῃ τοῦ ἀπριλίου μηνὸς ἐπάσχασαν, οἱ δὲ πεπλανημένοι αἱρετικοὶ τῇ ιγ′». Θεοφ. Α′, σελ. 665. Ἀλλὰ καὶ τῷ 664, κατὰ τὸν αὐτὸν χρονογράφον, (Α′, σελ. 532) «ἐγένετο πλάνη τῶν νηστειῶν».

11) **Εἰς τὴν 11 μαρτίου:** μνήμην Πιονίου πρεσβυτέρου, πρόσθες «*Ἡ σύναξις ἐν τῷ Λιθοστρώτῳ*».

12) **Εἰς τὴν 23 ἀπριλίου:** ἀριθμ. 1: *περὶ τῆς μονῆς τῶν Μαγγάνων*, πρόσθες ὅτι μεταξὺ τῶν ἐτῶν 1397-1410 γινώσκομεν Λουκᾶν ἡγούμενον αὐτῆς· Πατριαρχικοὶ Πίνακες, σελ. 461 καὶ ὅπου παραπέμπω, περὶ τῆς εἰς τὸν Λουκᾶν τοῦτον ἀνατεθείσης ἐντολῆς.

13) **Εἰς τὴν 8 μαΐου:** πρὸ τῶν ἐξ Ἀφαμείας ἐπιγραφῶν μάνθανε ὅτι ἀνεκαλύφθησαν αὗται τῷ 1893, καὶ τούτων τὴν τετάρτην ἐνόμισα ἀναφερομένην εἰς τὸ ἔτος 6612 = 1104, συγχρονοῦν τῇ ἐπ' αὐτοῦ σημειουμένῃ Ἰνδικτιῶνι. «Δέρκος»· ἐν Ἡμερολογίῳ Ἀνατολικῷ, Κ. Βακαλοπούλου, σελ. 115.

14) **Εἰς τὴν 18 μαΐου:** περὶ Στεφάνου πατριάρχου, ἐν τρίτῳ στίχῳ, ἀντὶ 878, γράφε 886. — Οὕτως, ἐν δευτέρῳ παραγράφῳ ἢ κεφαλαίῳ τῶν Προλεγομένων, τὸ ἔτος 602 γραπτέον 692.—Ὁμοίως **εἰς τὴν 26 ὀκτωβρίου,** ἐκ τῶν ἐπιγραφῶν τοῦ Νικητιάτου *πέμπτη* κατὰ λάθος ἐγράφη ἡ *τετάρτη*. —**εἰς τὴν 28 νοεμβρίου,** ἔτος γεννήσεως τοῦ ὁσίου Στεφάνου τοῦ νέου θὲς τὸ 715, ἀντὶ τοῦ 714.—Ἐπίσης **εἰς τὴν 2 δεκεμβρίου** ἀνάγνωθι: *Κύριλλος ὁ Φιλεώτης ἐγεννήθη τῷ 1015, ἀπεβίωσε τῷ 1110*. —**εἰς τὴν 22 δεκεμβρίου,** ἐν τέλει τοῦ λόγου περὶ τοῦ ναοῦ τῆς ἁγίας Ἀναστασίας ἐν τοῖς Δομνίνου ἐμβόλοις, ἀνάγνωθι τὸν πατριάρχην *Θεόδοτον Β′*, οὐχὶ πρῶτον.—Ἐπίσης **εἰς τὴν 25 δεκεμβρίου** ὁ ὑπ' ἀριθμὸν 7 ναὸς γράφεται σωζόμενος τῷ Ι′ αἰῶνι, κατὰ λάθος· διόρθου **ΙΕ′.** — Ἐν δὲ τῷ κεφαλαίῳ «Μνῆμαι ναῶν καὶ ἁγίων ἀδιόριστοι» τὰ κατὰ γενικὴν ἐκφερόμενα ὀνόματα ἐν ᾧ Θ′ ἀνάγνωθι: *Ἐπιφάνιος καὶ Συμεὼν οἱ ὁμολογηταί* **Καὶ ταῦτα μὲν τὰ σπουδαιότερα τῶν τυπογραφικῶν παραραμμάτων.**

15) **Εἰς τὴν 29 μαΐου:** μνήμην τῆς Α′ Οἰκουμενικῆς Συνόδου, πρόσθες ὅτι συνῆλθε, κατὰ τὸ Πασχάλιον Χρονικὸν, σελ. 525, οὐχὶ τῇ 29 μαΐου ἀλλὰ «μηνὶ δεσίῳ ιθ′».

16) **Εἰς τὴν 8 ἰουνίου:** μνήμην Παύλου τοῦ ἐν τοῖς Καϊουμᾶ, πρόσθες ὅτι ἤκμασεν ἐπὶ Κωνσταντίνου κοπρωνύμου, καὶ ὅτι ἡ μονὴ Καϊουμᾶ ἔκειτο κατὰ τὰ μέρη τοῦ Ἄσπαρος, ἴσως κατὰ τὸ Σαλματομβρούκ τῆς σήμερον. Ἴδε «Ἄθλησιν ἁγίου Παύλου» κλπ. ἐν Ἱεροσολυμ. Σταχυολογίᾳ· τόμ. Δ′, σελ. 247—251, ἔνθα παραδόξως ἡ ἀνεύρεσις τοῦ λειψάνου αὐτοῦ τίθεται σύγχρονος τῇ βασιλείᾳ Μιχαὴλ καὶ Θεοδώρας καὶ τῇ ἱερατείᾳ τοῦ πατριάρχου Κωνσταντινουπόλεως Ἀντωνίου τοῦ Καυλέου, συγχέονται, δῆλά γε δή, ἱστορικὰ πρόσωπα ἀπέχοντα ἀπ' ἀλλήλων δύο γενεάς.

17) **Μετὰ τὴν 12 ἰουλίου:** εἰς τὴν μνήμην τῆς ἑνώσεως τῆς μεγάλης Ἐκκλησίας, πρόσθες ὅτι, ἡ λειτουργία τῆς ἡμέρας ἐκείνης

ἐτελεῖτο, φαίνεται, ἐν τῷ ναῷ τῆς ἁγίας Εἰρήνης, ἡ δὲ λιτὴ, ἀρχομένη ἀπὸ τούτου, ἐπληροῦτο ἐν τῇ Ἁγίᾳ Σοφίᾳ. Πορφυρογεν. Ἔκθ. βασ. τάξεως. Α′, σελ. 186.

18) **Εἰς τὴν 18 ἰουλίου:** μνήμην τῆς ἁγίας Θεοδοσίας, ἐν μέσῳ τοῦ λόγου περὶ τῶν ναῶν αὐτῆς καὶ μετὰ τὴν σημείωσιν 86, ἀνάγνωθι: *ναὸς ἐπ' ὀνόματι τῆς ἁγίας Θεοδοσίας* **οὐδέποτε ἠγέρθη πρὸ τοῦ ΙΔ′ αἰῶνος·** διότι περὶ ναοῦ κατὰ τὸν αἰῶνα τοῦτον ἀνατεθέντος τῇ μάρτυρι οὐδεμίαν ἀμφιβολίαν ἔχω. Τῷ 1370 ναός τις ἐπώνυμος Θεοδοσίᾳ μάρτυρι ἦν μετόχιον τοῦ πατριαρχείου τῆς Ἀλεξανδρείας. Πατριαρχικοὶ Πίνακες· σελ. 433, ὅπου βλέπε τὰς παραπομπάς.

19) **Εἰς τὴν 27 ἰουλίου:** μνήμην τοῦ ἁγίου Παντελεήμονος, ἐν ἀριθμῷ 4, πρόσθες ὅτι τῷ 955 ἡγούμενος τοῦ Ἁγίου Παντελεήμονος τῆς Ἀρμαμενταρέας ἦν ὁ μοναχὸς Κοσμᾶς, ὃς ἐφημίζετο ὡς προορατικοῦ χαρίσματος ἠξιωμένος. Σύγχρονος αὐτῷ ἦν, ἐν Κωνσταντινουπόλει διαμένων, Παῦλος ὁ Μονεμβασίας ἐπίσκοπος, γράψας περὶ ἐναρέτων ἀνδρῶν καὶ γυναικῶν διήγησιν, ἧς ἀπόσπασμα μικρὸν ἐξέδωκα· «Ἐκκλησιαστικῆς Ἀληθείας» τόμ. Δ′, σελ. 223 — 226. Μέτιθι Vita S. Pauli Junioris in monte Latro (Excerptum ex «Analectis Bollandianis» τόμ. ΙΑ′)· Bruxellae, 1892, σελ. 101.

Αὐτόθι· Ἄγνωστον ποῦ ἔκειτο ἡ μονὴ τοῦ Ἁγίου Παντελεήμονος ἡ λεγομένη τῆς κυρᾶς Μακρίνης τῆς Θεολογιτίσσης, ἧς ἡ διοίκησις καὶ διαχείρισις ἦν ἡνωμένη τῇ τῆς μονῆς τῆς Ἐλπίδος τῶν ἀπηλπισμένων. Πατριαρχικοὶ Πίνακες· σελ. 461.

20) **Εἰς τὴν 28 ἰουλίου:** μνήμην τῶν ἐγκαινίων τοῦ ναοῦ τῆς Θεοτόκου Τῶν Διακονίσσης, πρόσθες τὴν ὑπόνοιαν ὅτι ὁ ναὸς οὗτος φαίνεται ἀνήκων εἰς τὸν δῆμον τῶν Βενέτων· ἐσώζετο δ' ἐπὶ Κωνσταντίνου Πορφυρογεννήτου· Ἔκθ. βασ. τάξεως· Α′, σελ. 590.

21) **Εἰς τὴν 29 αὐγούστου:** ἐν λόγῳ περὶ τῶν ἡγουμένων τῆς τοῦ Στουδίου μονῆς, πρόσθες, μετὰ τὸν Ἀρκάδιον, τὸν ἐν βιογραφίᾳ Συμεὼν τοῦ νέου θεολόγου (12 μαρτίου) ἀναφερόμενον (πιθανῶς περὶ τὰ ἔτη 960—965) *Πέτρον*.

22) **Εἰς τὴν 2 σεπτεμβρίου:** μνήμην τοῦ ἁγίου Μάμαντος, πρόσθες τοὺς ἐν βιογραφίᾳ τοῦ νέου θεολόγου Συμεὼν ἀναφερομένους ἡγουμένους αὐτῆς *Ἀντώνιον*, πρὸ τοῦ 990 (μεθ' ὃν ἐγένετο Συμεὼν ὁ θεολόγος) καὶ μετ' αὐτὸν, μετὰ τὸ 1000, τὸν ἑκτομίαν *Ἀρσένιον*.

23) **Εἰς τὴν 8 νοεμβρίου:** ἐν λόγῳ (ὑπ' ἀριθμὸν 3) περὶ τοῦ ἐν Τοῖς Εὐσεβίου ναοῦ προστίθημι ὅτι τὰ Εὐσεβίου φαίνονται μὲν ἔξω τῆς Κωνσταντινουπόλεως, ἀλλὰ πιθανῶς ὑπῆρχεν ὁμώνυμος τοποθεσία καὶ ἐντός· νομίζω ὅτι ὁ ἔναρθρος προσδιορισμὸς ΤΑ δηλοῖ τοποθεσία ἐν Κωνσταντινουπόλει· ἀλλὰ μοναί τινες ἀναφέρονται φέρουσαι μονῶν ἑτέρων ὀνόματα, κειμένων ἐν Κωνσταντινουπόλει, ἐνῷ κεῖνται ἔξω ταύτης.

Αὐτόθι, εἰς τὸν ἀριθμὸν 17, περὶ τῆς ἐν τῷ Σωσθενείῳ κατὰ τὸν Ἀνάπλουν μονῆς τοῦ ἀρχαγγέλου Γαβριὴλ, πρόσθες ὅτι κατὰ ἰούλιον τοῦ 1337 ὁ πατριάρχης Κωνσταντινουπόλεως Ἰωάννης ΙΔ′ ὁ Καλέκας παρεχώρησεν αὐτὴν εἰς τὸν μοναχὸν Ἰγνάτιον τὸν Καλόθετον· Πατριαρχικοὶ Πίνακες, σελ. 421. Σημείωσαί μοι δ' ὅτι κατ' ἐκείνους τοὺς χρόνους ἠκούετο τὸ ἐπώνυμον τοῦτο, καὶ ἐγινώσκετο «Καλόθετος τῶν παρὰ χίοις δυνατῶν ὁ μάλιστα διαφορώτατος»· Καντακουζηνὸς, τόμ. Α′, σελ. 371. Μετ' αὐτὸν ἐπίσης ἐγινώσκετο (τῷ 1348) Λέων ὁ Καλόθετος· Καντακουζ. Γ′, σελ. 84, καὶ χωρὶς ὀνοματικοῦ προσδιορισμοῦ Καλόθετος ὁ πρωτοσέβαστος, τῷ 1346· Καντακ. Β′, σελ. 553. Γνωστὸς δὲ καὶ Ἰωσὴφ Καλόθετος, ἀκμάζων ἐν ἀρχαῖς τοῦ ΙΔ′ αἰῶνος· «Ἐκκλησιαστικῆς Ἀληθείας» τόμος Δ′, σελ. 221 κ. ἑξ.

24) **Εἰς τὴν 18 νοεμβρίου:** ἐν λόγῳ περὶ τοῦ ναοῦ τοῦ ἁγίου Ῥωμανοῦ, γράφεται μὲν ὅτι *ἴσως ἔκειτο παρὰ τὴν ὁμώνυμον πύλην*, ἥτις ἐπωνομάσθη ἐξ αὐτοῦ· ἀλλ' ἐκ τῶν παρὰ Πορφυρογεννήτῳ γραφομένων, καθ' ἃ τῇ Κυριακῇ τῶν βαΐων ὁ αὐτοκράτωρ ἀπήρχετο εἰς τὸν ναὸν τοῦ ἁγίου Ῥωμανοῦ καὶ ἐπειδὴ ἀναφέρονται οἱονεὶ συνορεύοντες τῷ ναῷ τούτῳ ὁ Ἅγιος Ἰωάννης καὶ ἡ Καμάρα τοῦ Μιλίου, συμπεραίνει τις ὅτι ὁ ναὸς τοῦ ἁγίου Ῥωμανοῦ, εἰς ὃν ὁ αὐτοκράτωρ ἐκκλησιάζετο, ἔκειτο πλησίον τοῦ Ἱπποδρόμου· Πορφυρογ. Ἔκθ. Α′, σελ. 375-376. Γνωστὸν δὲ πόσον ἀφίστανται τοῦ Ἱπποδρόμου ἡ πύλη τοῦ ἁγίου Ῥωμανοῦ=Τοπ-καπί.

25) **Εἰς τὴν 6 δεκεμβρίου:** ἐν ἀριθμῷ 1 περὶ ναοῦ ἁγίου Νικολάου ἔξω τῶν Βλαχερνῶν, προστίθημι ὅτι νοῶ αὐτὸν ὄντα τὸν ἐν Τοῖς Βασιλείδου, ἃ πιστεύω κείμενα πλησίον τῶν Ὑπερυψήλων ἀνακτόρων τῶν Βλαχερνῶν. Ναὸς ἐν τοῖς Βασιλείδου, κατὰ

τὸν Πορφυρογέννητον (Ἔκθ. Α', σελ. 800) ἐσώζετο κατὰ τὰ μέσα τοῦ Ι' αἰῶνος.

26) **Εἰς τὴν 25 δεκεμβρίου**: εἰς τὸν λόγον (ἀριθμ. 10) περὶ τῆς τοῦ Σωτῆρος Παντεπόπτου μονῆς πρόσθες ὅτι Ἀλέξιος ὁ Κομνηνὸς πρὸ τοῦ 1087 παρεχώρησε τήν τε νῆσον Λέρον καὶ τὰς νησίδας Φαρμακὸν καὶ Λειψὸν, οὐ μακρὰν αὐτῆς κειμένας, τῇ μονῇ τοῦ Παντεπόπτου· ἡ δὲ μήτηρ αὐτοῦ προσήρτησεν αὐτὰ τῇ μονῇ τοῦ Μυρελαίου· Miklosich καὶ Muller, Acta Monasteriorum· τόμ. Γ', σελ. 26-27. Τῆς τοῦ Παντεπόπτου μονῆς ἔστιν ἡμῖν γνωστὸς ἐπὶ Λουκᾶ πατριάρχου τοῦ Χρυσοβέργη ὁ ἡγούμενος Μελέτιος, ἤτοι περὶ τὰ 1156-1169, γενόμενος ἀφορμὴ σπουδαίας συζητήσεως μεταξὺ τῆς κοσμικῆς καὶ τῆς πνευματικῆς ἀρχῆς. Ἴδε πλείονα ἐν Πατριαρχικοῖς Πίναξί μου, σελ. 363. Ἐν δὲ τῷ μετὰ χεῖρας Ἑορτολογίῳ συνεπῶς διόρθωσα τὴν ἐποχὴν τῆς ἀκμῆς τοῦ Λουκᾶ ἡγουμένου τοῦ Παντεπόπτου εἰς αἰῶνα ΙΑ'.

Αὐτόθι, ἐν ἀριθμῷ 17, λόγου γινομένου περὶ τῆς τοῦ Φιλανθρώπου μονῆς, σημείου μοι ὅτι γινώσκω ἡγούμενον αὐτῆς ἐπὶ τοῦ Λουκᾶ Χρυσοβέργη *Εὐφημιανὸν*, προδήλως τὸν μετὰ ταῦτα μητροπολίτην Θεσσαλονίκης, ὡς ἐν χειρογράφῳ Νομοκανόνι, εὑρισκομένῳ παρ' ἐμοί, εὑρίσκω.

27) **Εἰς τὴν 27 δεκεμβρίου**: δέον λεχθῆναι ὅτι ὁ ναὸς τοῦ ἁγίου Στεφάνου τῆς Δάφνης ἐνομίσθη μοι ὢν ὁ ὑπ' ἀριθμὸν 2 ἐν τῷ Παλατίῳ, διὸ οὐκ ἠριθμήθη χωρὶς· οὐκ ἠριθμήθη ἐπίσης ὁ παρὰ Πορφυρογεννήτῳ Ἅγιος Στέφανος ὁ ἐν τῷ Ἱπποδρόμῳ, διότι ἀγνοῶ ἂν ᾖ διάφορος τῶν ἐννέα σημειωθέντων.

28) **Εἰς τὴν 29 δεκεμβρίου**: μνήμην Μαρκέλλου τοῦ τῶν Ἀκοιμήτων, πρόσθες ὅτι παρὰ Πορφυρογεννήτῳ (Ἔκθ. Α', σελ. 800, ὡς καὶ τὸ ἀνωτέρω) ἀναφέρεται κατὰ τὰ μέσα τοῦ Ι' αἰῶνος *ναὸς Ἀκοιμήτων*.

29) **Εἰς τὴν βιογραφίαν Μιχαὴλ τοῦ συγκέλλου** προστεθείσθω, πρὸς συμπλήρωσιν τῆς ἱστορίας τῶν χρόνων ἐκείνων, ἡ βιογραφία τοῦ ὁσίου Εὐστρατίου τῶν Ἀγαύρων· ἀρυόμεθα δ' ἐξ αὐτῆς τὴν εἴδησιν ὅτι *τῶν Ἐλεγμῶν ἡ μονὴ γράφεται διακειμένη «πρὸς τοῖς τοῦ Καταβόλου μέρεσι»*· Ἱερολμ. Σταχυολογία· τόμ. Δ', σελ. 383.

Περὶ μονῆς Ἐλεγμῶν (οὕτω γραφομένης) βλ. Continuati, σ. 400. Γεώργιον τὸν μοναχὸν, σ. 892· καὶ Κεδρηνὸν γράφοντα περὶ Ῥωμανοῦ Σαρωνίτου, γαμβροῦ Ῥωμανοῦ Λακαπηνοῦ ἐπὶ θυγατρὶ, καὶ περὶ Μιχαὴλ τοῦ Καλαφάτη, μετὰ τὴν ἀπὸ τῆς ἀρχῆς καθαίρεσιν ἐξορισθέντος ἐκεῖσε τῇ 21 ἀπριλίου τοῦ 1042. Ἐκ Καταβόλου δὲ προδήλως ἦν ὁ τῷ 1353 ἀναφερόμενος Ἰωάννης Καταβοληνός. Καντακουζ. Β', σελ. 475.

ΣΥΝΔΡΟΜΗΤΑΙ ΤΟΥ ΣΥΓΓΡΑΜΜΑΤΟΣ

(ἀναγραφόμενοι κατ' ἀλφάβητον)

ΣΗΜ. *Ἀναγράφονται μόνα τὰ ὀνόματα τῶν προκαταβαλόντων τὴν συνδρομήν.*

Ὁ παναγιώτατος οἰκουμενικὸς πατριάρχης κ. Κωνσταντῖνος Ε' ὁ ἀπὸ Ἐφέσου 10.

Ὁ παναγιώτατος πατριάρχης πρώην Κωνσταντινουπόλεως κ. Ἰωακεὶμ Ι" ὁ ἀπὸ Θεσσαλονίκης 20.

Ὁ παναγιώτατος πατριάρχης πρώην Κωνσταντινουπόλεως κ. Νεόφυτος Η' ὁ ἀπὸ Νικοπόλεως.

Ὁ παναγιώτατος πατριάρχης πρώην Κωνσταντινουπόλεως κ. Ἄνθιμος Ζ' ὁ ἀπὸ Λέρου 2.

Ὁ μακαριώτατος πατριάρχης πρώην Ἱεροσολύμων κ. Νικόδημος Α' ὁ ἀπὸ Θαβωρίου 4.

Οἱ σεβασμιώτατοι μητροπολῖται: Ἐφέσου Ἰωακείμ. — Δέρκων Καλλίνικος. — Ἀμασείας Ἄνθιμος 4. — Προύσης Ναθαναὴλ 4*. — Τραπεζοῦντος Κωνστάντιος — Διδυμοτείχου Φιλάρετος 2. — Ῥόδου Κωνσταντῖνος. — Βιζύης Ἱερόθεος. — Ἀγχιάλου Βασίλειος. — Σωζοαγαθοπόλεως Παρθένιος. — Ξάνθης Ἰωακείμ. — Δυρραχίου Προκόπιος — Ἴμβρου Παΐσιος 2. — Σκοπίων Ἀμβρόσιος. — Γρεβενῶν Δωρόθεος δι' ἑαυτὸν καὶ τὸν κλῆρον τῆς ἐπαρχίας αὐτοῦ 16. — Μογλενῶν Ἰωαννίκιος 2. — Χαλδείας Γερβάσιος. — Σερβίων καὶ Κοζάνης Κωνστάντιος 2. — Νευροκοπίου Νεόφυτος. — Ἐλευθερουπόλεως Διονύσιος.

* Αἱ καταγραφεῖσα εὐμενεῖ προστασίᾳ τοῦ σεβασμιωτάτου μητροπολίτου Προύσης συνδρομαὶ εἰσὶν αὗται: Οἱ τρεῖς *ἱεροὶ ναοὶ Προύσης*. — *Οἱ δύο ἱεροὶ ναοὶ Μουδανίων*. — Οἱ τέσσαρες ἱεροὶ ναοὶ *Τριγλείας*. — Οἱ δύο ἱεροὶ ναοὶ *Παλλαδαρίου*. — Οἱ ἱεροὶ ναοὶ *Συγῆς, Ἀλβανιτοχωρίου, Μεσαιπόλεως, Ἐλεγμῶν, Νεοχωρίου, Δεμιρδεσίου, Πλατυαίνου, Τεπετζηκίου*, καὶ *Σουσουρλουκίου*. — *Ἡ ἱερὰ μονὴ ἁγίου Ἀβερκίου Ἐλεγμῶν*.

ΑΓΙΟΥ ΟΡΟΥΣ ΑΘΩ

Ἡ Ἱερὰ Κοινότης διὰ τοὺς εἴκοσιν ἀντιπροσώπους, τοὺς τέσσαρας ἐπιστάτας, τοὺς δύο γραμματεῖς, τὴν ἐν Καρεαῖς σχολὴν καὶ τὴν βιβλιοθήκην τοῦ Πρωτάτου 28.

Ἡ ἱερὰ μονὴ Μεγίστη Λαύρα· τὸ κοινὸν αὐτῆς 2.—(Ὁ ἀείμνηστος προηγούμενος Νικόδημος).— Χρυσόστομος προηγούμενος. — Δαμιανὸς τυπικάρης καὶ ἱεροψάλτης — Ἱερόθεος διάκονος, βηματάρης. — Γαβριὴλ σκευοφύλαξ. — Γέρων Ἰωάσαφ λέριος. — Ἱλαρίων ἰατρός. — ἀρχοντάρης Μιχαήλ. — Εὐθύμιος μυλωνᾶς.

Ἡ ἱερὰ Μ. μονὴ Βατοπεδίου 10. — Ἀρχιμανδρίτης Χρύσανθος Βατοπεδινὸς 30.

Ἡ ἱερὰ μονὴ τῶν Ἰβήρων· τὸ κοινὸν 4. — Ἰγνάτιος προηγούμενος καὶ προσμονάριος. — προηγούμενος Διονύσιος. — προηγούμενος Ἱερόθεος. — προηγούμενος Γαβριήλ. — προηγούμενος Ἀγαθάγγελος. — ἀρχιμανδρίτης Σωφρόνιος. — προηγούμενος Νεόφυτος.—προηγούμενος Γρηγόριος. — Γέρων Κύριλλος.

Ἡ ἱερὰ μονὴ Διονυσίου 2. — (Ὁ ἀείμνηστος ἀρχιμανδρίτης Ἰάκωβος).

Ἡ ἱερὰ μονὴ Κουτλουμουσίου 2. — Οἱ ἐκ τῆς Σκήτης τοῦ ἁγίου Παντελεήμονος: Ἀβράμιος μοναχός. — Ἀγαθόνικος μοναχός. — Δωρόθεος Παναγόπουλος ἱερομόναχος. — Ἰωάννης ἱεροδιάκονος. — Πανάρετος μοναχός.—Παν-

τελεήμων ἱερομόναχος.—Παχώμιος μοναχός.—Οἱ ἐκ τῶν κελλίων αὐτῆς: Ἄνθιμος μοναχός, ἐκ τοῦ κελλίου ἁγίου Σπυρίδωνος. — Θεοδόσιος μοναχός, κελλίου ἁγίου Θεολόγου.—Ἱλαρίων καὶ Μελέτιος ἀδελφοί, ἐκ τοῦ κελλίου τοῦ Προδρόμου. — Προκόπιος ἱεροδιάκονος, τοῦ κελλίου ἁγίου Νικολάου. — Σωφρόνιος μοναχός, ἐκ τοῦ κελλίου τῶν Εἰσοδίων τῆς Θεοτόκου.

Ἡ ἱερὰ μονὴ Παντοκράτορος 2. — Ἀρχιμανδρίτης Στέφανος Παντοκρατορινός.

Ἡ ἱερὰ μονὴ Σίμωνος Πέτρας 3.

Ἡ ἱερὰ μονὴ Σταυρονικήτα 2.

Ἡ ἱερὰ ῥωσσικὴ μονὴ τοῦ ἁγίου Παντελεήμονος 44.

Ἡ ἱερὰ μονὴ Κωνσταμονίτου 2.

Αἱ ἱεραὶ Σκῆται: (Λαύρας) ἡ ῥουμανικὴ τοῦ τιμίου Προδρόμου 2.—(Παντοκράτορος) ἡ ῥωσσικὴ τοῦ προφήτου Ἠλιοῦ 4. — Ματθαῖος Καρακαλληνός, προηγούμενος. — Ὁ ὁσιώτατος διδάκτωρ Χρύσανθος Μακρῆς, ἰατρὸς καὶ προϊστάμενος τῆς ἱερᾶς μονῆς Ξηροποτάμου. — Γρηγόριος Ξενοφωντηνός, σάμιος, οἰκονόμος εἰς Ἅγιον Φίλιππον.

Καρεῶν: Γέρων Γαβριὴλ λαβᾶς (Χιλιανδαρινὸν κελλίον τῆς Κοιμήσεως. — Εὐγένιος ἀρχιμανδρίτης (Λαυρεωτικὸν κελλίον Πεντηκοστῆς). — Εὐθύμιος ἱερομόναχος, ζωγράφος (Λαυρεωτικοῦ κελλίου Ἰωάννου Θεολόγου). — Γέρων Θεοφάνης (Παντοκρατορινοῦ κελλίου τῶν Εἰσοδίων). — Ἰγνάτιος ἱεροψάλτης καὶ ζωγράφος, ἐκ Σμύρνης. — Κορνήλιος Λαυρεώτης, διδάσκαλος τῆς Ἀθωνιάδος σχολῆς (οὗ ἐπιστασίᾳ κατεγράφησαν οἱ ἐν Καρεαῖς συνδρομηταί). — Νεῖλος ἱερομόναχος (Σιμωνοπετρινοῦ κελλίου Ἁγίων Πάντων). — Πανταζῆς Κυριαζόπουλος, ἐκ Βώλου. — Κωνσταντῖνος Γ. Βρύσσης.

ΓΑΝΟΧΩΡΩΝ

Ἀλέξανδρος Ῥάπτοπουλίδης πρεσβύτερος (ἐπίτροπος τῷ 1894-97 τοῦ μητροπολίτου Γάνου καὶ Χώρας). — Γέρο Διονύσιος, κτίτωρ τοῦ μονυδρίου ἁγίου Ἰωάννου Θεολόγου 2. — Ἰωάννης Παντούρης, πρώην γυμνασιάρχης. — πρωθιερεὺς Κυριακός. — Ἰωσὴφ Καλαφάτης. — Κωνσταντῖνος ἀρχάριος μοναχός. — Χρῆστος Γρηγορίου. — Δημοσθένης Ἀποστόλου. — Λάζαρος Μουτζουρῆς σιδηρουργός. — Γεώργιος Μοσχίδης. — Παναγιώτης Γεωργίου κουντουρᾶς. — Φώτιος Ἀντωνίου τσανακτσῆς. — παπᾶ Παῦλος. — Χαράλαμπος Καβαλάρη τσανακτζῆς. — Ἀριστοτέλης ταστσῆς. — Γιάγκος Πασχάλογλους. — Ἰωάννης Τσατάλας, ἰατρός. — οἰκονόμος παπᾶ Βασίλειος ἐν Μηλιῷ. —Ναὸς ἁγίου Χαραλάμπους ἐν Γάνῳ. — Χρυσόστομος Διοματάρας ἐν Μυριοφύτῳ. — Πορφύριος προηγούμενος ἰβηρίτης ἐν Ἡρακλείτζῃ. — Σχολὴ Ἡρακλείτζης. — Ἀλέξανδρος Ἰβηρίτης, ἐφημέριος τοῦ ἐν Ἡρακλείτζῃ ἰβηριτικοῦ μετοχίου. — Ἀμβρόσιος ἱερομόναχος ἐκ Νεοχωρίου τῶν Γανοχώρων, ἡγούμενος ἁγίας Ἄννης. — Κωνσταντῖνος Δουκίδης διδάσκαλος. — Ἀναγνώστης Κυριακοῦ, ἐν Παλαμουτίῳ.

ΔΑΡΔΑΝΕΛΛΙΩΝ

(ὡς εἰσὶν ἐγγεγραμμένοι αὐτῇ χειρὶ τῷ 1894)

Γεννάδιος Λαυριώτης, ἀρχιμανδρίτης.—Ἀγλαΐα Ν. Ζόγα. — Ἀμαλία Α. Ζέρφου 2. — Ἀσπασία Π. Ζέρφου. — Δέσποινα Δ. Πάτταρα. — Μαριάνθη Π. Ζέρφου. — Φλωρεντία Α. Ἀνδρονίτου. — Ἀλέξιος Ζέρφος. — Α. Νικολαΐδης. — Ἀλέξανδρος Κολοζώφ. — Ἀριστείδης Χαραλαμπίδης 2. — Α. Ι. Πελτέκης. — Ἀντώνιος Ζωγράφος, φαρμακοποιός.—Α. Παρασκευαΐδης.—(Γεώργιος Ἀποστόλου Κουγιουμτζιδέλης) (Ρέν-κιοϊ). — Γεώργιος Α. Πρωτόπαπας (Νεοχώριον). — Γεώργιος Μ. Τραμπούλης. — Γεράσιμος Τσούγκρης. — Γεώργιος Σ. Σαγιάνος 2. — Δ. Χατζῆ Γεωργιάδης. — Δημ. Ζέης. — Δημήτριος Κ. Ζούγιας. — Δ. Α. Πάτταρας 2. — Δ. Γ. Χατζόπουλος. — Ἠλίας Πάτταρας. — Ἰωάννης Κ. Κύρμος. — Ἰωάννης Ξενάκης, ἰατρός. — Κ. Π. Ἀλεξιάδης, φαρμακοποιός. — Κ. Ι. Κολοζώφ. — Κ. Ι. Πισσίας. — Κ. Δ. Χαρισιάδης, ἰατρός. — Κωνσταντῖνος Δ. Σκαρλατίδης. — Μιχαὴλ Χρηστίδης. — Νικόλαος Ι. Πισσίας. — Ν. Σκαρλατίδης.— Παρ. Μ. Βάρναλης. — Π. Ἀναγνωστάκης, ἰατρός. — Πέτρος Δ Πρωτόπαπας (Νεοχώριον). — Σωτήριος Γεωργίου 2. — Χαράλαμπος Ἀνδρεάδης.

ΙΚΟΝΙΟΥ

Ἀρχιμανδρίτης Ἰωάννης Παντελεημονίδης, ἀρχιερατικὸς ἐπίτροπος. — Λουκᾶς Μ. Λουκίδης. — Γεώργιος Λ. Σιγάλας, ἑλληνοδιδάσκαλος τῆς ἐν Κελλιέροις ἀστικῆς σχολῆς, ἐξ Ἄνδρου.

SISMANOGLIO


SISMANOGLIO
MEGARO